πολλὰ τῆς ἡμετέρας χρείας· πρῶτον μὲν ὅτι ἀδικουμένοις καὶ οὐχ ἑτέρους βλάπτουσι τὴν ἐπικουρίαν ποιήσεσθε, ἔπειτα περὶ τῶν μεγίστων κινδυνεύοντας δεξάμενοι ὡς ἂν μάλιστα μετὰ ἀειμνήστου μαρτυρίου τὴν χάριν καταθεῖσθε· ναυτικόν τε κεκτήμεθα πλὴν τοῦ παρ' ὑμῖν πλεῖστον. Καὶ σκέψασθε τίς εὐπραξία σπανιωτέρα ἢ τίς τοῖς πολεμίοις λυπηροτέρα, [ἢ] εἰ ἣν ὑμεῖς ἂν πρὸ πολλῶν χρημάτων καὶ χάριτος ἐτιμήσασθε δύναμιν ὑμῖν προσγενέσθαι, αὕτη πάρεστιν αὐτεπάγγελτος ἄνευ κινδύνων καὶ δαπάνης διδοῦσα ἑαυτὴν, καὶ προσέτι φέρουσα ἐς μὲν τοὺς πολλοὺς ἀρετὴν, οἷς δὲ ἐπαμυνεῖτε χάριν, ὑμῖν δ' αὐτοῖς ἰσχύν· ἃ ἐν τῷ παντὶ χρόνῳ

ἔπειτα—δεξάμενοι, ὡς ἂν μάλιστα—καταθῆσθε. Ναυτικόν τε — πλεῖστον. Quam scripturam Poppo, Prol. t. i. p. 111. ita explicare tentavit, ut post χρείας et post καταθῆσθε colon collocaret; participium δεξάμενοι pro ὅτι δέξεσθε dictum sumeret, illudque participium futuri exacti vim habere. Pro nominativo δεξάμενοι, ait, proprie quidem exspectes dativum δεξαμένοις, cum præcedant verba γενήσεται ὑμῖν. Sed cum hæc verba ad sensum nihil aliud significent, quam ἕξετε καλὴν τὴν ξυντυχίαν τ. ἡμ. χρ., scriptorem putat pro dativo participii posuisse nominativum.—Codd. F. H. καταθῆσθε. In cod. C. litera η a correctore est loco duarum literarum capace. Igitur, probata Bekkeri conjectura, locum ita intelligo: ἔπειτα περὶ τῶν μεγίστων κινδυνεύοντας δεξάμενοι ὡς μάλιστα ἂν μετ' ἀειμνήστου μαρτυρίου τὴν χάριν καταθεῖσθε, ut oratio ter variata esse existimanda sit, incipiens illa per ὅτι—ποιήσεσθε, continuata per καταθεῖσθε ἂν, et terminata per ναυτικόν τε κεκτήμεθα. Jungendum autem initio hujus trimembris orationis ἡ ξυντυχία τῆς ἡμετέρας χρείας, ubi præter necessitatem Bauerus conjecit ὑμετέρας, jungens τῆς χρείας cum κατὰ πολλά. Sed amat hic scriptor trajectiones. Nec trajectio voculæ ὡς pertinentis ad superlativum offensioni esse potest, nam jungendum ὡς μάλιστα, de quo alibi dicetur. De formula χάριν κατατίθεσθαι dixi ad i, 128. Ceterum locum nostrum imitatus est Lucian. Ep. Saturn. t. ix. p. 38. ὁρᾶτε οὖν ὅπως μηκέτι ὑμᾶς αἰτιάσωνται, ἀλλὰ τιμήσωσι καὶ φιλήσωσι τῶν ὀλίγων τούτων μεταλαμβάνοντες· ὧν ὑμῶν μὲν ἡ δαπανὴ ἀνεπαίσθητος, ἐκείνοις δὲ ἐν καιρῷ τῆς χρείας ἡ δόσις ἀείμνηστος, quæ illustrantur dictis ad i, 128.

καὶ σκέψασθε—πάρεστιν] Ἢ εἰ in nullo libro reperitur; plerique omnes εἰ sine ἤ, cod. f. solum ἢ habet. In promtu est cogitatio, ἢ εἰ ponendum esse, cum εἰ et ἢ facile permutentur, atque ab aliis librariis tantum vocula εἰ, ab aliis tantum ἤ, (quod, quia sine εἰ verbum πάρεστι non habet, unde pendeat, deinde cessit conjunctioni εἰ) possit scripta esse; idque eo facilius, quo pronior in ejusmodi errorem pronuntiatio vocalium apud Neogræcos est.

ἣν ὑμεῖς—ἐτιμήσασθε] Citant hæc verba Zonar. Suid. Phavorin. in v. ἐτιμήσασθε, quam male exponunt per ἠγοράσατε. Adde Anecd. Bekker. i. p. 164., ubi scriptum ἢ εἰ, cum reliqui tantum ἢ habeant. Mox ἄνευ κινδύνων plurimi et optimi codd., non κινδύνου, ut i, 18. 70. pluralis ejusdem vocabuli legitur. V. ad Dionys. de C. V. p. 200. Jen. Act. Phil. Mon. t. ii. p. 331. not. et p. 23. Ita pluralis κολακίαι pro sing. restituendus Pausaniæ t. i. p. 32. Fac.

ἀρετὴν] i. e. 'virtutis existimationem.' Male vulgaris interpres, 'apud multos quidem afferens gloriam.' Sed οἱ πολλοὶ hic quidem sunt 'universi,' homines (aliis locis 'plebs' sive 'multitudo,' qua ipsa voce Cic. Catil. ii, 9, 3. plebem significat). Atque est is significatus vocum οἱ πολλοὶ non per se, sed per oppositionem Corcyræorum et Atheniensium. Vertendum igitur, 'apud homines afferens virtutis existimationem.' Suidas: ἀρετή· Ἀνδοκίδης καὶ Θουκυδίδης ἀντὶ τοῦ εὐδοξία. Phavorin. ἀρετὴν οὐ μόνον τὴν ἀνδρείαν, ἀλλὰ καὶ τὴν εὐδοξίαν, ὡς Θουκυδίδης ἐν πρώτῃ. Suidæ verba repetuntur in Anecd. Bekker. i. p. 443. Harpocr. ἀρετή, ἀντὶ τοῦ εὐδοξία, Θουκυδίδης ἐν πρώτῳ. Ipse infr. c. 69. pro ἀρετὴ dixit ἀξίωσις τῆς ἀρετῆς.

παντὶ χρόνῳ] Non mali codd. παρόντι χρ. quod tamen vim sententiæ minuit, quia sic in certum tempus restringitur quod de omni tempore dictum est. Eadem permutatio facta est iv, 7.

ὀλίγοις δὴ ἅμα πάντα ξυνέβη, καὶ ὀλίγοι ξυμμαχίας δεόμενοι οἷς ἐπικαλοῦνται ἀσφάλειαν καὶ κόσμον οὐχ ἧσσον διδόντες ἢ ληψόμενοι παραγίγνονται. Τὸν δὲ πόλεμον, δι' ὅνπερ χρήσιμοι ἂν εἴημεν, εἴ τις ὑμῶν μὴ οἴεται ἔσεσθαι, γνώμης ἁμαρτάνει καὶ οὐκ αἰσθάνεται τοὺς Λακεδαιμονίους φόβῳ τῷ ὑμετέρῳ πολεμησείοντας καὶ τοὺς Κορινθίους δυναμένους παρ' αὐτοῖς καὶ ὑμῖν ἐχθροὺς ὄντας καὶ προκαταλαμβάνοντας ἡμᾶς νῦν ἐς τὴν ὑμετέραν ἐπιχείρησιν, ἵνα μὴ τῷ κοινῷ ἔχθει κατ' αὐτῶν μετ' ἀλλήλων στῶμεν, μηδὲ δυεῖν φθάσαι ἁμάρτωσιν, ἢ κακῶσαι ἡμᾶς ἢ σφᾶς αὐτοὺς βεβαιώσασθαι. Ἡμέτερον δ' αὖ ἔργον προτερῆσαι, τῶν μὲν διδόντων, ὑμῶν δὲ δεξαμένων τὴν ξυμμαχίαν, καὶ προεπιβουλεύειν αὐτοῖς μᾶλλον ἢ ἀντεπιβουλεύειν.

34. Ἢν δὲ λέγωσιν ὡς οὐ δίκαιον τοὺς σφετέρους ἀποίκους ὑμᾶς δέχεσθαι, μαθέτωσαν ὡς πᾶσα ἀποικία εὖ μὲν πάσχουσα τιμᾷ τὴν μητρόπολιν ἀδικουμένη δὲ ἀλλοτριοῦται· οὐ γὰρ ἐπὶ τῷ δοῦλοι ἀλλ' ἐπὶ τῷ ὁμοῖοι τοῖς λειπομένοις εἶναι ἐκπέμπονται. Ὡς δὲ ἠδίκουν σαφές ἐστι· προκληθέντες γὰρ περὶ Ἐπιδάμνου ἐς κρίσιν πολέμῳ μᾶλλον

πολεμησείοντας] per *πολεμικῶς ἔχοντας* explicat Suidas, Thucydidis loco laudato. Eadem Phot. Marcellin. et Eustath. ad Il. ζ, 57. p. 33, 7. Bas. V. Pierson. ad Mœr. p. 14.

μηδὲ δυεῖν φθάσαι—βεβαιώσασθαι] Ne repetito verbo dicendum esset, ἢ *τοῦ φθάσαι ἡμᾶς κακῶσαι*, ἢ *τοῦ φθάσαι σφᾶς αὐτοὺς βεβαιώσασθαι*, scriptor insolentiore structura dixit, *δυεῖν ἁμάρτωσι, φθάσαι*, i. e. 'ne duabus rebus ad prævertendum exciderent,' ut explicat Herm. d. Ellips. et Pleonasm. p. 141. Etenim Corinthii in Corcyræos impetum facere dicuntur, ne duobus excidant; jam qui duobus, Popp. Obs. p. 121. ait, non vult excidere, is si minus duo, certe alterutrum cupit consequi. Unde 'ne duobus excidant' idem est quod 'ut alterutrum adipiscantur.' Sensum totius loci ita exposuit: 'Corinthii, priusquam Athenienses invadant, Corcyræos in ditionem suam redigere student, ne communi odio ducti contra Corinthios ab iisdem partibus stent, neve duobus, quæ sibi parent, excidant, sed alterutrum potius prius, quam in Athenienses impetum faciant, consequantur, vel hoc ut Corcyræos, si iis resistant et cedere nolint, malis afficiant, vel hoc, ut se ipsos, si Corcyræi perterriti iis subjiciantur, corroborent atque potentiam suam augeant.'—Structura verbi *φθάνειν* solennior est cum participio juncti, quam cum infinitivo. V. Matth. Gr. § 553, 3. Juvabit conferre Soph. El. 1312. *ὡς ἐγὼ μόνη οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς ἔσωσ' ἐμαυτὴν, ἢ καλῶς ἀπωλόμην*, ubi poëta dicere potuisset, ἢ *σῶσαι* et ἢ *ἀπολέσθαι*, vel *σώσασα* et *ἀπολομένη*. Tertium his similem locum contribuit Dindorf. ex Andocid. Or. de Myst. p. iv, 2. Steph. *καὶ ὁ πατὴρ ἐπείσθη ἀγῶνα τοιοῦτον ἀγωνίσασθαι, ἐν ᾧ δυοῖν τοῖν μεγίστοιν κακοῖν οὐκ ἦν αὐτῷ ἁμαρτεῖν· ἢ γὰρ ἐμοῦ δόξαντος τὰ ὄντα μηνῦσαι κατ' ἐκείνου ὑπ' ἐμοῦ ἀποθανεῖν ἢ αὐτῷ σωθέντι ἐμὲ ἀποκτεῖναι*, ubi delendum esse *γὰρ* Dindorf. pro certo habet. De medio *βεβαιώσασθαι* v. Popp. Prol. t. i. p. 189.

προεπιβουλεύειν] Hermog. de Meth. p. 366., qui ponit h. l. inter pleraque *παρισώσεως* exempla, et explicat alterum per *φθάνειν ἐπιβουλεύειν*, alterum per *ἀμύνεσθαι δεύτερον*. Sensus est: 'vestrum est, ut accepta societate illis prius dolos nectatis, quam exspectetis opportunitatem, qua vos ex illorum insidiis expediatis.'

34. *ἐκπέμπονται*] Fit transitus ab urbibus ad eorum cives, quare rejicienda scriptura aliquot codicum *ἐκπέμπεται*.

ἢ τῷ ἴσῳ ἐβουλήθησαν τὰ ἐγκλήματα μετελθεῖν. Καὶ ὑμῖν ἔστω τι τεκμήριον ἃ πρὸς ἡμᾶς τοὺς ξυγγενεῖς δρῶσιν, ὥστε ἀπάτῃ τε μὴ παράγεσθαι ὑπ᾽ αὐτῶν, δεομένοις τε ἐκ τοῦ εὐθέως μὴ ὑπουργεῖν. Ὁ γὰρ ἐλαχίστας τὰς μεταμελείας ἐκ τοῦ χαρίζεσθαι τοῖς ἐναντίοις λαμβάνων ἀσφαλέστατος ἂν διατελοίη.

35. Λύσετε δὲ οὐδὲ τὰς Λακεδαιμονίων σπονδὰς δεχόμενοι ἡμᾶς μηδετέρων ὄντας ξυμμάχους. Εἴρηται γὰρ ἐν αὐταῖς τῶν Ἑλληνίδων πόλεων ἥτις μηδαμοῦ ξυμμαχεῖ ἐξεῖναι παρ᾽ ὁποτέρους ἂν ἀρέσκηται ἐλθεῖν. Καὶ δεινὸν εἰ τοῖσδε μὲν ἀπό τε τῶν ἐνσπόνδων ἔσται πληροῦν τὰς ναῦς καὶ προσέτι καὶ ἐκ τῆς ἄλλης Ἑλλάδος καὶ οὐχ ἥκιστα ἀπὸ τῶν ὑμετέρων ὑπηκόων, ἡμᾶς δὲ ἀπὸ τῆς προκειμένης τε ξυμμαχίας εἴρξουσι καὶ ἀπὸ τῆς ἄλλοθέν ποθεν ὠφελείας, εἶτα ἐν ἀδικήματι θήσονται πεισθέντων ὑμῶν ἃ δεόμεθα. Πολὺ δὲ ἐν πλείονι αἰτίᾳ ἡμεῖς μὴ πείσαντες ὑμᾶς ἕξομεν. Ἡμᾶς μὲν γὰρ κινδυνεύοντας καὶ οὐκ ἐχθροὺς ὄντας ἀπώσεσθε· τῶνδε δὲ οὐχ ὅπως κωλυταὶ ἐχθρῶν ὄντων καὶ ἐπιόντων γενήσεσθε, ἀλλὰ καὶ ἀπὸ τῆς ὑμετέρας ἀρχῆς δύναμιν προσλαβεῖν περιόψεσθε ἣν οὐ δίκαιον, ἀλλ᾽ ἢ κἀκείνων κωλύειν τοὺς ἐκ τῆς ὑμετέρας μισθοφόρους, ἢ καὶ ἡμῖν πέμπειν καθ᾽ ὅ,τι ἂν πεισθῆτε ὠφέλειαν, μάλιστα δὲ ἀπὸ τοῦ προφανοῦς δεξαμένους βοηθεῖν. Πολλὰ δὲ ὥσπερ ἐν ἀρχῇ ὑπείπομεν τὰ ξυμφέροντα ἀποδείκνυμεν· καὶ μέγιστον ὅτι οἵ τε αὐτοὶ πολέμιοι ἡμῖν ἦσαν, ὅπερ σαφεστάτη πίστις, καὶ

ἐκ τοῦ εὐθέως] Heilm. hæc verba nectit cum *δεόμενοι*: 'yet comply with the requests which they immediately make to you.' Malim jungere *μὴ ἐκ τοῦ εὐθέως ὑπουργεῖν*, nam particula trajecta est; id quod probatur sequentibus, ubi de sera pœnitentia loquitur. 'Auxilium vero vestrum implorantibus ne statim sine hæsitando præbeatis.'

35. *πολὺ δὲ ἐν πλείονι*] Hyperbaton pro *ἐν πολὺ δὲ πλείονι*. Conf. vi, 86.

ἣν οὐ δίκαιον—ἔχειν] Verba *πολλὰ δὲ —ἀλλοτρίωσις* extra parenthesin ponenda sunt, nam *ἀλλὰ* ante *μάλιστα* opponitur negationi in *οὐχ ὁμοία*. Ad infinitivos *ἐᾶν* et *ἔχειν* repete *δίκαιον*. Conf. supr. c. 10., ubi *εἰκάζεσθαι* pendet a remotiori verbo *οἶμαι*, et ii, 24., ubi *χρῆσθαι* ex remoto verbo *ἔδοξεν*. 'Istos vero, qui sunt hostes vestri, quique vos aggrediuntur, non modo impedietis; sed etiam insuper copias ex vestra ditione colligere sinetis, quas non par est, sed par, aut illorum quoque militum ex agro vestro conductiones impedire, aut nobis etiam auxilium mittere, quocunque modo vobis visum fuerit; ante omnia vos decet nobis in societatem receptis palam opitulari. Multa vero cum alia commoda—demonstramus, tum hoc, nos eosdem habere inimicos—eosque non infirmos.—Cum autem navalis, et non terrestris societas offertur, alienatio non eadem est. Quamobrem decet vos ante omnia quidem—cavere, ne alii classem possideant; sin minus, curandum ut eos vobis concilietis, qui classe sint munitissimi.'—Verba *ὅτι οἱ αὐτοὶ—βλάβαι* citat Ulpian. Arg. Dem. Ol. i. (3.) Porro vulgaris scriptura est *ὑμῶν ἦσαν*. Exspectes potius *εἰσὶν*, nam

οὗτοι οὐκ ἀσθενεῖς, ἀλλ' ἱκανοὶ τοὺς μεταστάντας βλάψαι· καὶ ναυτικῆς καὶ οὐκ ἠπειρώτιδος τῆς ξυμμαχίας διδομένης οὐχ ὁμοία ἡ ἀλλοτρίωσις· ἀλλὰ μάλιστα μὲν, εἰ δύνασθε, μηδένα ἄλλον ἐᾶν κεκτῆσθαι ναῦς· εἰ δὲ μὴ, ὅστις ἐχυρώτατος, τοῦτον φίλον ἔχειν.

36. Καὶ ὅτῳ τάδε ξυμφέροντα μὲν δοκεῖ λέγεσθαι, φοβεῖται δὲ μὴ δι' αὐτὰ πειθόμενος τὰς σπονδὰς λύσῃ, γνώτω τὸ μὲν δεδιὸς αὐτοῦ ἰσχὺν ἔχον τοὺς ἐναντίους μᾶλλον φοβῆσον· τὸ δὲ θαρσοῦν μὴ δεξαμένου ἀσθενὲς ὂν πρὸς ἰσχύοντας τοὺς ἐχθροὺς ἀδεέστερον ἐσόμενον καὶ ἅμα οὐ περὶ τῆς Κερκύρας νῦν τὸ πλέον ἢ καὶ τῶν Ἀθηνῶν βουλευόμενος, καὶ οὐ τὰ κράτιστα αὐταῖς προνοῶν ὅταν ἐς τὸν μέλλοντα καὶ ὅσον οὐ παρόντα πόλεμον τὸ αὐτίκα περισκοπῶν ἐνδοιάζῃ χωρίον προσλαβεῖν ὃ μετὰ μεγίστων καιρῶν οἰκειοῦταί τε καὶ πολεμοῦται. Τῆς τε γὰρ Ἰταλίας καὶ Σικελίας καλῶς παράπλου κεῖται, ὥστε μήτε ἐκεῖθεν ναυτικὸν ἐᾶσαι Πελοποννησίοις ἐπελθεῖν, τό τε ἐνθένδε πρὸς τἀκεῖ παραπέμψαι, καὶ ἐς τὰ ἄλλα ξυμφορώτατόν ἐστι. Βραχυτάτῳ δ' ἂν κεφαλαίῳ, τοῖς τε ξύμπασι καὶ καθ' ἕκαστον, τῷδ'

quod iidem Corcyræis et Atheniensibus hostes erant, non satis est; potuerunt enim cum iis, qui hostes erant, in gratiam serius redire, et amicos habere, quos hostes habuerant. Kistemak. ἦσαν accipit pro ἦσαν ἂν, i. e. 'forent nobis iidem hostes, si inire nobiscum societatem velletis;' ratione simili, qua Latine indicativus imperfecti ponitur pro conjunctivo plusquamp.

ὅπερ—πίστις] V. Matth. Gr. § 440, 7. Conf. vi, 77. οὐκ Ἴωνες τάδε εἰσίν. Quod autem Xen. Cyrop. iv, 2, 1. dixit συμφορὰν τοῦτο ἡγούμεθα εἶναι, non potuit aliter dicere, neque hæc verba Krueger. ad Dionys. p. 21. huc trahere debebat, sicut ne cetera quidem, quæ attulit exempla. Alius est usus neutrius generis in verbis ἐφ' ὅπερ, i, 59., ubi vide.

36. τὸ μὲν δεδιὸς αὑτοῦ] Ita, non αὐτοῦ, F. H. N. P. G. R. S. Vindob. b. Vascosan. V. Buttm. Gr. § 114, 3. In sententia simplice ἑαυτοῦ ad subjectum hujus ipsius periodi, αὑτοῦ ad subjectum alius periodi refertur; in duabus autem inter se junctis sententiis, ἑαυτοῦ ad subjectum sententiæ aliunde pendentis, οὗ ad præcipuæ sententiæ subjectum, αὑτοῦ ad neutrum horum pertinet; sed pro οὗ etiam ἑαυτοῦ et αὐτοῦ reperitur. Conf. Buttm. Exc. 10. ad Dem. Or. Midian. Atque hic quidem, ubi oratione ita mutata, ut sensus idem retineretur, dicendum foret γνώτω, δεδιότα μὲν αὑτὸν καὶ ἰσχὺν ἔχοντα—μᾶλλον φοβήσειν, non δεδιότα αὐτὸν, codicibus illis obsequi rectius visum est. Sensum Bredov. recte reddidit: 'And whosoever deems these proposals useful, but if gained over by them should fear breaking through the league; let him remember that precisely his dread, as it acquires power, is only calculated the more to intimidate his foe; whereas quiet perseverance in the league, if we be not admitted, as it confers no additional strength, is but little adapted for inspiring terror into powerful enemies.' Verba ἐς τὸν μέλλοντα—πόλεμον verbotenus repetit Appian. B. C. iii, 32. Spectat ad h. l. Phavorin. in ὅσον οὔπω.

παράπλου] Genitivus pendet a καλῶς. Conf. i, 44. 77. iii, 92. H. l. imitatur Procop. Or. 4. d. Æd. Justin. c. 9. B. G. ii, 12., ubi ipsa verba Thucydidis sunt.

βραχυτάτῳ—μάθοιτε] Schol. λείπει τὸ λέγομεν, i. e. supplendum λέγομεν ad dat. τοῖς ξύμπασιν: quam explicationem merito rejecit Popp. Prol. t. i. p. 125., quocum verba τοῖς ξύμπασι καὶ καθ' ἕκαστον pro neutris habeo, et dativum per nostrum 'for' (für) explico, i. e. 'brevissima summa omnia ac singula complectens hæc est, unde discatis,' etc. Participium au-

ἂν μὴ προέσθαι ἡμᾶς μάθοιτε τρία μὲν ὄντα λόγου ἄξια τοῖς Ἕλλησι ναυτικὰ, τὸ παρ' ὑμῖν καὶ τὸ ἡμέτερον καὶ τὸ Κορινθίων. Τούτων δ' εἰ περιόψεσθε τὰ δύο ἐς ταὐτὸν ἐλθεῖν καὶ Κορίνθιοι ἡμᾶς προκαταλήψονται, Κερκυραίοις τε καὶ Πελοποννησίοις ἅμα ναυμαχήσετε· δεξάμενοι δὲ ἡμᾶς ἕξετε πρὸς αὐτοὺς πλείοσι ναυσὶ ταῖς ὑμετέραις ἀγωνίζεσθαι. Τοιαῦτα μὲν οἱ Κερκυραῖοι εἶπον· οἱ δὲ Κορίνθιοι μετ' αὐτοὺς τοιάδε.

37. Ἀναγκαῖον Κερκυραίων τῶνδε οὐ μόνον περὶ τοῦ δέξασθαι σφᾶς τὸν λόγον ποιησαμένων, ἀλλ' ὡς καὶ ἡμεῖς τε ἀδικοῦμεν καὶ αὐτοὶ οὐκ εἰκότως πολεμοῦνται, μνησθέντας πρῶτον καὶ ἡμᾶς περὶ ἀμφοτέρων, οὕτω καὶ ἐπὶ τὸν ἄλλον λόγον ἰέναι, ἵνα τὴν ἀφ' ἡμῶν τε ἀξίωσιν ἀσφαλέστερον προειδῆτε καὶ τὴν τῶνδε χρείαν μὴ ἀλογίστως ἀπώσησθε. Φασὶ δὲ ξυμμαχίαν διὰ τὸ σῶφρον οὐδενός πω δέξασθαι· τὸ δ' ἐπὶ κακουργίᾳ καὶ οὐκ ἀρετῇ ἐπετήδευσαν, ξύμμαχόν τε οὐδένα βουλόμενοι πρὸς τἀδικήματα οὐδὲ μάρτυρα ἔχειν, οὔτε παρακαλοῦντες αἰσχύνεσθαι. Καὶ ἡ πόλις αὐτῶν

tem ὄντα in sequentibus proxime verbis, τρία μὲν ὄντα, cum eodem existimo pendere ab ἂν μάθοιτε, i. e. μάθετε, quæ verba cogitando repetenda sunt; sed ne participium ὄντα obstet, non discendi, verum cognoscendi sive reputandi notione. V. Matth. Gr. § 530. et Popp. Prol. t. i. p. 285. Hæc ergo totius loci sententia: 'Brevissima autem summa universa et singula complectens, unde nos non deserendos esse, discatis, hæc est: reputate, Græcis tres esse classes memoratu dignas, vestram, nostram, et Corinthiorum, quarum si duas,' etc.

Κερκυραίοις τε—ναυμαχήσετε] Anecd. Bekk. i. p. 158.

37. Contra Corinthii Corcyræos malitiæ et improbitatis incusant; causas, cur iis hostes facti sint, exponunt; Corcyræorum petitionem impudentium hominum sollicitationem appellant; societatem Atheniensium suo se jure flagitare profitentur: nam gratiam sibi deberi, quæ ut referatur, proprium Atheniensium commodum jubere; referri autem posse nunc cum maxime summa cum opportunitate et præstantium opem et accipientium.

ἀναγκαῖον — ἀμφοτέρων] Schol. Hermog. p. 80. Bredovius: 'As the Corcyræans have not merely spoken of their admission into the league, but also alleged that we have done them injustice, and made war unjustly upon them, it is necessary to take notice of two points first, before proceeding with the remainder of our discourse, in order that you may clearly know the more surely the advantages of granting our demands, and may not for want of consideration, overlooking their necessity, reject them.' Idem adnotavit ἀξίωσιν petitionem esse, quam æquitas jubet, χρείαν, quam necessitas cogit. De articulo in Κερκυραίων τῶνδε omisso, v. Popp. Prol. t. i. p. 196.

ἐπὶ κακουργίᾳ—ἔχειν] Schol. Hermog. p. 44. articulus τὸ δ' vim demonstrativi τοῦτο habet. V. Herm. ad Vig. p. 700, 9. conf. ad vii, 71.

οὔτε παρακαλοῦντες αἰσχύνεσθαι] Cod. g. παρακαλοῦντα, b. παρακαλοῦντος. i. cum Tusano παρακαλοῦντας. Accusativum singularis Valla ita expressit, ut simul οὔτε, quod ante παρακαλοῦντες est, omitteret: 'quod videlicet nollent ullum malefactorum suorum aut socium habere aut testem, a quo verecundiæ admonerentur.' Quod recepi, ita vertendum: 'neque pudore suffundi voluerunt aliorum auxilium implorantes.' Quid ita? quoniam alienam opem implorare, cum alteri ipse recusaveris, impudentis est.

καὶ ἡ πόλις—γίγνεσθαι] Hæc verba ita intelligit Krueger. ad Dionys. p. 106. ἡ πόλις αὐτῶν αὐταρκῆ θέσιν κειμένη παρέχει

ἅμα, αὐτάρκη θέσιν κειμένη, παρέχει αὐτοὺς δικαστὰς ὧν βλάπτουσί τινα μᾶλλον ἢ κατὰ ξυνθήκας γίγνεσθαι, διὰ τὸ ἥκιστα ἐπὶ τοὺς πέλας ἐκπλέοντας μάλιστα τοὺς ἄλλους ἀνάγκῃ καταίροντας δέχεσθαι. Κἂν τούτῳ τὸ εὐπρεπὲς ἄσπονδον οὐχ ἵνα μὴ ξυναδικήσωσιν ἑτέροις προβέβληνται, ἀλλ᾽ ὅπως κατὰ μόνας ἀδικῶσι καὶ ὅπως ἐν ᾧ μὲν ἂν κρατῶσι βιάζωνται, οὗ δ᾽ ἂν λάθωσι πλέον ἔχουσιν, ἢν δέ πού τι προσλάβωσιν, ἀναισχυντοῦσι. Καίτοι εἰ ἦσαν ἄνδρες ὥσπερ φασὶν ἀγαθοί, ὅσῳ ἀληπτότεροι ἦσαν τοῖς πέλας, τοσῷδε φανερωτέραν ἐξῆν αὐτοῖς τὴν ἀρετὴν διδοῦσι καὶ δεχομένοις τὰ δίκαια δεικνύναι.

38. Ἀλλ᾽ οὔτε πρὸς τοὺς ἄλλους οὔτε ἐς ἡμᾶς τοιοίδε εἰσίν, ἄποικοι δὲ ὄντες ἀφεστᾶσί τε διὰ παντὸς καὶ νῦν πολεμοῦσι λέγοντες ὡς οὐκ ἐπὶ τῷ κακῶς πάσχειν ἐκπεμφθείησαν. Ἡμεῖς δὲ οὐδ᾽ αὐτοί φαμεν ἐπὶ τῷ ὑπὸ τούτων ὑβρίζεσθαι κατοικίσαι, ἀλλ᾽ ἐπὶ τῷ ἡγεμόνες τε εἶναι καὶ τὰ εἰκότα θαυμάζεσθαι. Αἱ γοῦν ἄλλαι ἀποικίαι τιμῶσιν ἡμᾶς καὶ μάλιστα ὑπὸ ἀποίκων στεργόμεθα.

αὐτοὺς μᾶλλον, sc. *ἐκτὸς ξυμμαχίας ὄντας ἢ κατὰ ξυνθήκας δικαστὰς γίγνεσθαι ἐκείνων, ἃ βλάπτουσί τινα*, i. e. 'et urbis eorum situs sibi ipsis sufficiens efficit, ut nullam societatem ineuntes magis quam fœdere cohibiti, injuriarum, quibus alios afficiunt, ipsi arbitri sint.' Minus recte; nam nec verba *ἐκτὸς ξυμμαχίας ὄντας* sic omitti poterant, et verba *κατὰ ξυνθήκας γίγνεσθαι* hunc sensum habent, 'fœdera inire,' ut ii, 21. *κατὰ ξυστάσεις γιγνόμενοι*, est, 'cum in conciliabulis essent;' quem eundem sensum mox, ii, 88. alia ratione ita exprimit, *κατὰ σφᾶς αὐτοὺς ξυνιστάμενοι*. Vertendum igitur: 'simul etiam ipsorum urbis situs sibi ipsis sufficiens efficit, ut injuriarum, quibus alios afficiunt, judices sive arbitri potius sint, quam ut fœdera ineant; quod ad alios rarissime navigant, alios vero necessitate apud se devertentes excipiunt sæpissime.'

κἂν τούτῳ—ἀναισχυντοῦσι] Vulgata h. l. scriptura non aliter explicari potest, nisi aliquot verbis ad plenum sensum suppletis, et ordine verborum ita constituto: *κἂν τούτῳ τὸ εὐπρεπὲς ἄσπονδον προβέβληνται, ὃ οὐκ ἐπετήδευσαν, ἵνα μὴ ξυναδικῶσιν ἑτέροις, ἀλλ᾽ ὅπως καταμόνας ἀδικῶσι*, i. e. 'atque in ista urbis suæ opportunitate illud decorum prætendunt, se ab aliorum societate abhorruisse; quam rationem agendi secuti sunt, non ut aliorum in sceleribus perpetrandis societatem fugerent, sed ut soli scelera perpetrarent.' Quæ omissio verborum *ὃ ἐπετήδευσαν*, vel similium, cum durissima videri possit, tamen non sine exemplis est. Qui enim infr., c. 40. verba *οὐ τοῖς ἐπὶ βλάβῃ ἑτέρων ἰοῦσιν ἡ ξυνθήκη ἐστὶν, ἀλλ᾽ ὅστις—μὴ τοῖς δεξαμένοις, εἰ σωφρονοῦσι, πόλεμον ἀντὶ εἰρήνης ποιήσει*, aliter explices, quam item aliquot verbis cogitando additis: *ὃ οὐ ποιήσουσι*, i. e. *οὐ δέξονται, εἰ σωφρονοῦσι*. Nam hic debet sensus esse: 'hoc fœdus non ad illos pertinet, qui in alterius partis fraudem veniunt—sed ad eos, qui recipientibus (id quod nolent facere, si sapiunt) bellum pro pace non sunt allaturi.' Mox verba *κατὰ μόνας* Anecd. Bekk. i. p. 101. explicant per *ἰδίᾳ*, memorato hoc ipso loco, et Xenoph. Mem. iii, 7., ubi v. Ruhnk. Denique paulo inferius vulgo *ἔχωσιν* et *ἀναισχυντῶσι* legitur. Sed B. F. H. G. et h. *ἔχουσιν* habent, ut B. C. F. H. h. *ἀναισχυντοῦσιν*. Solet Thuc. orationem variare transitu ex altero modo in alterum facto, cujus rei exempla extant iv, 92. ii, 44. vi, 18. Vid. ad i, 141. et Popp. Prol. t. i. p. 271.

εἰ ἦσαν] V. Matth. Gr. § 508. Ita cap. seq. *καλὸν δ᾽ ἦν*, etc. conf. Schæfer. Melet. Cr. p. 55. 130. Thiersch. Gr. § 331.

Καὶ δῆλον ὅτι εἰ τοῖς πλέοσιν ἀρέσκοντές ἐσμεν, τοῖσδ᾽ ἂν μόνοις οὐκ ὀρθῶς ἀπαρέσκοιμεν οὐδ᾽ ἐπιστρατεύομεν ἐκπρεπῶς μὴ καὶ διαφερόντως τι ἀδικούμενοι. Καλὸν δ᾽ ἦν, εἰ καὶ ἡμαρτάνομεν, τοῖσδε μὲν εἶξαι τῇ ἡμετέρᾳ ὀργῇ, ἡμῖν δὲ αἰσχρὸν βιάσασθαι τὴν τούτων μετριότητα. Ὕβρει δὲ καὶ ἐξουσίᾳ πλούτου πολλὰ ἐς ἡμᾶς ἄλλα τε ἡμαρτήκασι καὶ Ἐπίδαμνον ἡμετέραν οὖσαν κακουμένην μὲν οὐ προσεποιοῦντο, ἐλθόντων δὲ ἡμῶν ἐπὶ τιμωρίᾳ ἑλόντες βίᾳ ἔχουσι.

39. Καί φασι δὴ δίκῃ πρότερον ἐθελῆσαι κρίνεσθαι, ἥν γε οὐ τὸν προὔχοντα καὶ ἐκ τοῦ ἀσφαλοῦς προκαλούμενον λέγειν τι δοκεῖν δεῖ, ἀλλὰ τὸν ἐς ἴσον τά τε ἔργα ὁμοίως

38. *καὶ δῆλον—ἀδικούμενοι*] Vulgaris scriptura *ἐπιστρατεύοιμεν*, interpretatio hæc est: 'neque eximio modo bellum iis intulissemus, nisi etiam insignem injuriam accepissemus.' Sed ita scribendum fuisse, *οὐδ᾽ ἂν—ἐπεστρατεύσαμεν—μὴ ἀδικηθέντες*, monuit Popp. l. l. p. 143. Cum vero verba *τοῖσδ᾽ ἂν μόνοις οὐκ ὀρθῶς ἀπαρέσκοιμεν* ita verti necesse sit, 'his solis immerito displiceamus,' sequitur, sequentia, si legitur *ἐπιστρατεύοιμεν*, item dubitanter exprimenda esse: 'neque eximio modo bellum iis inferamus, nisi etiam insignem injuriam accipiamus.' Ita igitur, Poppo ait, injuria describitur, tanquam quæ eo tempore, quo loquuntur Corinthii, fortassis inferatur, fortassis non inferatur: id quod contra loci sententiam esse recte affirmavit; nihil enim vulgatam juvat Haackii oblocutio dicentis, optativum nihil obstare quin interpretemur ita: 'neque eximio modo bellum iis inferremus, nisi etiam insignem injuriam accepissemus;' nam cum in una eademque sententia ambo optativi eodem usu ponuntur, patet, eos eodem modo explicandos esse, et si alter dubitanter reddendus est, item reddendum alterum esse; sin alter conditionaliter, itidem alterum. Itaque cum Poppone revocavi optimorum librorum scripturam, *ἐπιστρατεύομεν*, i. e. 'neque bellum inferre solemus, nisi injuria afficimur.' Variatur igitur hic quoque oratio. Participio autem præsentis *ἀδικούμενοι* permanentem effectum rei præteritæ indicari, docuit Herm. ad Soph. El. 47. Ita fit, ut sæpe participium substantivi instar sit, ut *φεύγοντες* sunt 'exules,' *διαβάλλοντες* 'calumniatores,' *ἐπαγόμενοι* 'adductores,' *προδιδόντες* 'proditores.' V. Lobeck. ad Soph. Aj. p. 277. Porro pro *ἐκπρεπῶς* perperam vulgo exhibetur *εὐπρεπῶς*: at prius est in omnibus fere libris, et egregie respondet statim quod sequitur, *διαφερόντως*; nam *ἐκπρεπῶς*, Bened. ait, indicat, 'extraordinario modo,' more non solito. Quid vero verbis 'bellum decore gerere' indicatur? Quantum intelligo, quodvis bellum est indecorum, licet interdum sit necessarium.

ἡμῖν δὲ αἰσχρὸν] Cum incipiat *καλὸν ἦν τοῖσδε μὲν*, sequi debebat *ἡμῖν δὲ*, repetito *καλὸν ἦν*, quod et ad *μὲν* et ad *δὲ* pertinet eo quem obtinet positu; nunc addit *ἡμῖν δὲ αἰσχρὸν*, ergo antea debebat dicere *τοῖς μὲν καλὸν ἦν*, ut animadvertit Bauer. Philol. p. 287.

39. *ἥν γε οὐ—δοκεῖν δεῖ*] Vulgo *δοκεῖν δεῖ τηρεῖν*, ut tres deinceps infinitivi se excipiant. *Τηρεῖν* in multis libris deest, neque a scholiasta agnoscitur. Adde quod *τηρεῖν* Thucydidi non est 'observe,' ut dicat *τηρεῖν τὰς ἐντολὰς* vel simile quid, sed hoc verbum ei significat 'observare,' 'captare,' i. e. 'watch for,' velut iv, 27. *χειμῶνα τηρεῖν*, ut Bredov. annotavit. Delevi igitur. Porro *λέγειν τι* contrarium est formulæ *οὐδὲν λέγειν*, quorum prius est 'dicere quod alicujus momenti;' alterum, 'quod nullius momenti sit,' ut nos, 'not worth listening to,' et 'not worth mentioning.' V. interpp. ad Viger. p. 152. Herm. p. 731, 112. 113. Verborum autem sententia eadem est, ac si scripsisset: *ἥν γε τὸν ἐς ἴσον τὰ ἔργα ὁμοίως καὶ τοὺς λόγους, πρὶν διαγωνίζεσθαι, καθιστάντα λέγειν τι δοκεῖν δεῖ προκαλούμενον, ἀλλ᾽ οὐ τὸν προὔχοντα καὶ ἐκ τοῦ ἀσφαλοῦς προκαλούμενον*, sive *ἀλλ᾽ οὐ τὸν προὔχοντα καὶ ἐκ τοῦ ἀσφαλοῦς ταύτην προκαλούμενον λέγειν τι δοκεῖν δεῖ, ἀλλὰ τὸν*, etc. Nota structura verbi *προκαλεῖσθαί τινά τι*. V. Schneider. Lex. Gr. s. v. Schol. *οὐ δεῖ τὸν ἐν ἀσφαλείᾳ ὄντα καὶ προβαλλόμενον δίκην δοκεῖν λέγειν τι·* et rursus: *οὐ δεῖ προσέχειν τὸν ἐκ τοῦ ἀσφαλοῦς καὶ ἰσχυροῦ προκαλούμενον εἰς κρίσιν, οὐδὲ δοκεῖν ὅτι λέγει τι, ἀλλὰ καταφρονεῖν.* Bredovius: 'But he should not appear to speak, who has previously the advantage,

καὶ τοὺς λόγους πρὶν διαγωνίζεσθαι καθιστάντα. Οὗτοι δ' οὐ πρὶν πολιορκεῖν τὸ χωρίον, ἀλλ' ἐπειδὴ ἡγήσαντο ἡμᾶς οὐ περιόψεσθαι, τότε καὶ τὸ εὐπρεπὲς τῆς δίκης παρέσχοντο. Καὶ δεῦρο ἥκουσιν οὐ τἀκεῖ μόνον αὐτοὶ ἁμαρτόντες, ἀλλὰ καὶ ὑμᾶς νῦν ἀξιοῦντες οὐ ξυμμαχεῖν ἀλλὰ ξυναδικεῖν καὶ διαφόρους ὄντας ἡμῖν δέχεσθαι σφᾶς· οὓς χρῆν ὅτε ἀσφαλέστατοι ἦσαν, τότε προσιέναι καὶ μὴ ἐν ᾧ ἡμεῖς μὲν ἠδικήμεθα, οὗτοι δὲ κινδυνεύουσι, μηδ' ἐν ᾧ ὑμεῖς τῆς τε δυνάμεως αὐτῶν τότε οὐ μεταλαβόντες τῆς ὠφελείας νῦν μεταδώσετε, καὶ τῶν ἁμαρτημάτων ἀπογενόμενοι τῆς ἀφ' ἡμῶν αἰτίας τὸ ἴσον ἕξετε, πάλαι δὲ κοινώσαντας τὴν δύναμιν κοινὰ καὶ τὰ ἀποβαίνοντα ἔχειν, [ἐγκλημάτων δὲ μόνων ἀμετόχους οὕτω τῶν μετὰ τὰς πράξεις τούτων μὴ κοινωνεῖν.]

40. Ὡς μὲν οὖν αὐτοί τε μετὰ προσηκόντων ἐγκλημάτων ἐρχόμεθα καὶ οἵδε βίαιοι καὶ πλεονέκται εἰσὶ δεδήλωται·

and in a state of security invites inquiry; but rather that person, who by deeds as well as words, before he contends in arms, places himself in such a condition that both parties are equal.'

παρέσχοντο] Valcken. ad Callim. Eleg. Fragm. p. 227. corrigebat *προέσχοντο*.

μηδ' ἐν ᾧ—μεταδώσετε] Schol. τὸ ἑξῆς· *μήτε μεταδώσετε* (potius *μηδὲ ἐν ᾧ μεταδ.*) *αὐτοῖς τῆς ὠφελείας ὑμεῖς, τότε τῆς δυνάμεως αὐτῶν οὐ μεταλαβόντες. Λέγει τὸν κατὰ Σαμίων καὶ Αἰγινητῶν πόλεμον.* V. cap. 41.

ἐγκλημάτων—μὴ κοινωνεῖν] Hæc verba absunt ab A. B. F. H. N. a. f. g. h. In C. solum vocab. *ἐγκλημάτων* est. Omisit Bekker. In præcedentibus de Corcyræis sermo fuit, *οὓς χρῆν προσιέναι—ἀποβαίνοντα ἔχειν*, nunc repente mutata persona verba sequuntur ad Athenienses spectantia, quod certissimum interpolationis indicium. Accedit, quod utcunque hunc pannum versaveris, nihil exit quod non jam in prægressis melius dictum sit. Verba tamen ita Herm. explicare conatus est, ut *ἀμετόχους* non de præterito sed de futuro tempore sumeret; illud enim nullo modo fieri potest. Sensus igitur ex Hermanni interpretatione hic inest: 'ita vero ut solorum criminum participes reddamini, vos in eorum quæ Corcyræorum res gestas sequuntur, communionem venire non oportet,' i. e. vos cum non eadem, quæ Corcyræi, patraveritis, non eadem decet pati; quod si esset, a solis criminibus eorum essetis liberi, non vero a malis quæ propter hæc crimina eis inferentur.—Ego optimum duxi verba secludere.

40. *ὡς μὲν οὖν—ἐρχόμεθα*] Vulgo, *ὡς μὲν οὖν αὐτοί τε μετὰ προσηκόντων τῶν τοῦ δικαίου κεφαλαίων ἐς ὑμᾶς ἐρχόμεθα.* Cod. c. *μετὰ τῶν προσηκόντων.* A. B. F. H. N. c. f. g. *ἐγκλημάτων*, quod vocab. omittit C. Porro *τοῦ δικαίου κεφαλαίων ἐς ὑμᾶς* G. K. L. O. P. f. g. i. *πρὸς ὑμᾶς* I. P. a. e. *μετὰ προσηκόντων τοῦ δικαίου κεφαλαίων* R. *προσηκόντων κεφαλαίων* S. omisso *τῶν*, et suprascriptis *τοῦ δικαίου*. E codd. f. g. enotatio recte facta non est; nam ex iisdem *ἐγκλημάτων* et *κεφαλαίων* enotatur, sicut ex P. simul *ἐς* et *πρός*.—Pro recepta scriptura optimi libri stant, quam mutatam esse in vulgatam suspiceris ab iis quibus, adjecta illa interpolatione *ἐγκλημάτων δὲ —μὴ κοινωνεῖν*, nimis parvo intervallo vox eadem *ἐγκλημάτων* repeti videretur. Firmatur hæc suspicio eo, quod illi ipsi libri, qui spuria illa non agnoscunt, *ἐγκλημάτων* habent, non *τοῦ δικαίου κεφαλαίων*. Substituerunt autem in illius locum vocem *κεφαλαίων*, nam verba *τοῦ δικαίου* serius ab aliquo adjecta esse colligas hinc, quod in tot codd. aut plane desunt, in cod. S. autem inter versus adscripta. Vocab. *κεφαλαίων* autem qui subnatum sit, ex initio orationis Corcyræorum cognoscere licet, ubi præcipua argumenta sive persuasionis capita memorantur, quibus Athenienses ad societatem Corcyræorum adduci possint: qualia ne sibi quidem deesse ad promovendos Athenienses, Corinthii jam post duplicem hujus loci corruptionem dicentes inducuntur.—Præsens *ἐρχόμεθα* pro

ὡς δὲ οὐκ ἂν δικαίως αὐτοὺς δέχοισθε μαθεῖν χρή. Εἰ γὰρ εἴρηται ἐν ταῖς σπονδαῖς ἐξεῖναι παρ' ὁποτέρους τις τῶν ἀγράφων πόλεων βούλεται ἐλθεῖν, οὐ τοῖς ἐπὶ βλάβῃ ἑτέρων ἰοῦσιν ἡ ξυνθήκη ἐστὶν, ἀλλ' ὅστις μὴ ἄλλου αὑτὸν ἀποστερῶν ἀσφαλείας δεῖται καὶ ὅστις μὴ τοῖς δεξαμένοις, εἰ σωφρονοῦσι, πόλεμον ἀντ' εἰρήνης ποιήσει· ὃ νῦν ὑμεῖς μὴ πειθόμενοι ἡμῖν πάθοιτε ἄν. Οὐ γὰρ τοῖσδε μόνον ἐπίκουροι ἂν γένοισθε, ἀλλὰ καὶ ἡμῖν ἀντὶ ἐνσπόνδων πολέμιοι. Ἀνάγκη γὰρ, εἰ ἴτε μετ' αὐτῶν, καὶ ἀμύνεσθαι μὴ ἄνευ ὑμῶν τούτους. Καίτοι δίκαιοί γ' ἐστὲ μάλιστα μὲν ἐκποδὼν στῆναι ἀμφοτέροις. Εἰ δὲ μὴ, τοὐναντίον ἐπὶ τούτους μεθ' ἡμῶν ἰέναι· Κορινθίοις μέν γε ἔνσπονδοί ἐστε, Κερκυραίοις δὲ οὐδὲ δι' ἀνακωχῆς πώποτε ἐγένεσθε· καὶ τὸν νόμον μὴ καθιστάναι ὥστε τοὺς ἑτέρων ἀφισταμένους δέχεσθαι. Οὐδὲ γὰρ ἡμεῖς Σαμίων ἀποστάντων ψῆφον προσεθέμεθα ἐναντίαν ὑμῖν, τῶν ἄλλων Πελοποννησίων δίχα ἐψηφισμένων εἰ χρὴ αὐτοῖς ἀμύνειν, φανερῶς δὲ ἀντείπομεν τοὺς προσήκοντας ξυμμάχους αὐτόν τινα κολάζειν. Εἰ γὰρ τοὺς κακόν τι δρῶντας δεχόμενοι τιμωρήσετε, φανεῖται καὶ ἃ τῶν ὑμετέρων οὐκ ἐλάσσω ἡμῖν πρόσεισι, καὶ τὸν νόμον ἐφ' ὑμῖν αὐτοῖς μᾶλλον ἢ ἐφ' ἡμῖν θήσετε.

41. Δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν ἱκανὰ κατὰ τοὺς Ἑλλήνων νόμους, παραίνεσιν δὲ καὶ ἀξίωσιν χάριτος τοιάνδε ἣν οὐκ ἐχθροὶ ὄντες ὥστε βλάπτειν, οὐδ' αὖ φίλοι ὥστε ἐπιχρῆσθαι, ἀντιδοθῆναι ἡμῖν ἐν τῷ παρόντι φα-

perfecto est, quod sæpius fit in verbo *ἥκειν*. V. Matth. Gr. § 504.

ἀγράφων] Græcia tum temporis erat et fœderata et non fœderata, i. e. *ἔνσπονδος*, sive Atheniensium sive Lacedæmoniorum societati; et *ἄσπονδος* sive *ἔκσπονδος*, sive *ἄγραφος*. Hoc paulo inferius dicitur verbis *ἐκποδὼν στῆναι*, 'to remain neutral.' De voce *ἀνακωχὴ* v. Zonar. in v. Valck. ad Ammon. p. 24. Erotian. Lex. Hippocr. p. 16. Steph. Anecd. Bekk. i. p. 406. Thom. M. s. v. *διακωχή*. Zonar. in v. *διοκωχὴ*, et interpp. ad Mœr. s. v. Suid. et Phavorin. in *παρακωχή*. Phot. in *παροκωχὴ*, cujus glossa pertinet procul dubio ad Thuc. vi, 85., ubi v. Wass. Ibi vero omnes codd. in scripturam *παροχῇ* conspirant; unus autem, Suidas, quem exscripserunt Phavorin. et Phot., *παρακωχὴ* legisse videtur. V. Popp. Prol. t. i. p. 239. et schol. ad h. l. Præferunt hodie plerique scripturam harum vocum per *α*, non per *ο*.

φανεῖται καὶ ἃ] Ut *τὸ Ἑλληνικὸν* dictum legimus pro *οἱ Ἕλληνες*, ita neutrum *ἃ* pro *οἱ* accipiendum. V. Matth. Gr. § 269.

41. *δικαιώματα—τοιάνδε*] Dionys. p. 795. Vocem *δικαιώματα* Anecd. Bekk. i. p. 90. explicant per *τὰ δίκαια*, i. e. 'just rights.'

ἐπιχρῆσθαι] Schol. Suid. et Zonar. explicant per *τὸ πολλάκις κεχρῆσθαι*. Sed hi grammatici confuderunt verbum cum *ἀποχρῆσθαι*. At *ἐπιχρῆσθαι* est 'vicissim uti:' v. Riemer. Lex. Gr. s. v. *ἐπιφράζομαι*. 'Admonitionem et postulationem gratiæ habemus, nec tanquam inimici, ut

μὲν χρῆναι. Νεῶν γὰρ μακρῶν σπανίσαντές ποτε πρὸς τὸν Αἰγινητῶν ὑπὲρ τὰ Μηδικὰ πόλεμον παρὰ Κορινθίων εἴκοσι ναῦς ἐλάβετε· καὶ ἡ εὐεργεσία αὕτη τε καὶ ἡ ἐς Σαμίους, τὸ δι' ἡμᾶς Πελοποννησίους αὐτοῖς μὴ βοηθῆσαι, παρέσχεν ὑμῖν Αἰγινητῶν μὲν ἐπικράτησιν, Σαμίων δὲ κόλασιν, καὶ ἐν καιροῖς τοιούτοις ἐγένετο οἷς μάλιστα ἄνθρωποι ἐπ' ἐχθροὺς τοὺς σφετέρους ἰόντες τῶν πάντων ἀπερίοπτοί εἰσι παρὰ τὸ νικᾶν. Φίλον τε γὰρ ἡγοῦνται τὸν ὑπουργοῦντα, ἢν καὶ πρότερον ἐχθρὸς ᾖ, πολέμιόν τε τὸν ἀντιστάντα, ἢν καὶ τύχῃ φίλος ὤν, ἐπεὶ καὶ τὰ οἰκεῖα χεῖρον τίθενται φιλονεικίας ἕνεκα τῆς αὐτίκα.

42. Ὧν ἐνθυμηθέντες καὶ νεώτερός τις παρὰ πρεσβυτέρου αὐτὰ μαθὼν ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνεσθαι, καὶ μὴ νομίσῃ δίκαια μὲν τάδε λέγεσθαι, ξύμφορα δὲ, εἰ πολεμήσει, ἄλλα εἶναι. Τό τε γὰρ ξυμφέρον, ἐν ᾧ ἄν τις ἐλάχιστα ἁμαρτάνῃ, μάλιστα ἕπεται· καὶ τὸ μέλλον τοῦ πολέμου ᾧ φοβοῦντες ὑμᾶς Κερκυραῖοι κελεύουσιν ἀδικεῖν ἐν ἀφανεῖ ἔτι κεῖται καὶ οὐκ ἄξιον ἐπαρθέντας αὐτῷ φανερὰν ἔχθραν ἤδη καὶ οὐ μέλλουσαν πρὸς Κορινθίους κτήσασθαι, τῆς δὲ ὑπαρχούσης πρότερον διὰ Μεγαρέας ὑποψίας σῶφρον ὑφελεῖν μᾶλλον. Ἡ γὰρ τελευταία χάρις καιρὸν ἔχουσα, κἂν ἐλάσσων ᾖ, δύναται μεῖζον ἔγκλημα λῦσαι. Μηδ' ὅτι ναυτικοῦ ξυμμαχίαν μεγάλην διδόασι, τούτῳ ἐφέλκεσθε.

vobis damnum inferamus,' si nobis auxilium præstituri estis, 'nec tanquam amici, ut vicissim officio vestro utamur,' quasi jam antea mutua inter nos officia permutassemus, nam vos a nobis, non item nos a vobis adhuc adjuti sumus, sed quasi pro debito a vobis auxilium flagitamus.

Αἰγινητῶν] V. Herodot. v, 82.

ἐπικράτησιν] Pollux, ix, 142. reprehendit usum hujus vocis; sed et hanc et similes alii quoque scriptores usurpaverunt.

ἀπερίοπτοι] H. v. e Thuc. excitat Pollux, ii, 58. Dionys. A. R. ii, 11. καὶ οὐδενὸς τῶν ἀνηκέτων ἀπεχόμενος παρὰ τὸ νικᾶν, ubi v. interpp.

ἐχθρὸς ᾖ] Præsens junctum cum adv. πρότερον, ut ap. tragicos fieri solet, nisi malis εἰ—ἦν, nam certe ἦν habent c. e.; et εἰ cum ἦν non raro permutatur. Mox φιλονικίας pro φιλονεικίας conjecit legendum esse Popp. Obs. p. 221. propter præcedentia τῶν πάντων—νικᾶν.

42. ἀμύνεσθαι] L. O. P. Q. f. ἀμείβεσθαι, ex interpretamento. Prius h. l. invenerunt Suid. Zonar. in v. conf. Schol. et iv, 63. i, 121. ii, 67. iv, 64. Phavorin. in v. Brunck. in Lex. Sophocl. Eustath. ad Il. p. 546. c. Rom. (p. 414, 33.) φησὶν ὁ γραμματικὸς Ἀριστοφάνης, τὸ ἀμύνεσθαι—τεθεῖσθαι καὶ ἀντὶ ψιλοῦ τοῦ ἀμείψασθαι ὁτιοῦν—καὶ ἐκ τῶν Θουκυδίδου τὸ ἀξιούτω, etc. adde Thuc. i, 96., quem locum ob oculos habuit Greg. Cor. p. 118., porro iii, 84. iv, 19. bis; interpp. ad Sophocl. Antig. 639. Erf. Schol. ad Eur. Phœn. p. 691. ὡς καὶ Θουκυδίδης· ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνεσθαι, ubi v. Valck.

εἰ πολεμήσει] i. e. 'alia esse utilia, si pugnaverit,' pro 'si pugnaritis,' quoniam per τις inceperat, ut vi, 78. init. Monuit Bauer.

ἁμαρτάνῃ] Vulgo ἁμαρτάνοι, qui optativus ab h. l. alienus est.

ἡ γὰρ τελευταία—λῦσαι] Plut. Moral. p. 538. ex citatione Wassii.

Τὸ γὰρ μὴ ἀδικεῖν τοὺς ὁμοίους ἐχυρωτέρα δύναμις ἢ τῷ αὐτίκα φανερῷ ἐπαρθέντας διὰ κινδύνων τὸ πλέον ἔχειν.

43. Ἡμεῖς δὲ περιπεπτωκότες οἷς ἐν τῇ Λακεδαίμονι αὐτοὶ προείπομεν, τοὺς σφετέρους ξυμμάχους αὐτόν τινα κολάζειν, νῦν παρ' ὑμῶν τὸ αὐτὸ ἀξιοῦμεν κομίζεσθαι, καὶ μὴ τῇ ἡμετέρᾳ ψήφῳ ὠφεληθέντας τῇ ὑμετέρᾳ ἡμᾶς βλάψαι. Τὸ δ' ἴσον ἀνταπόδοτε, γνόντες τοῦτον ἐκεῖνον εἶναι τὸν καιρὸν ἐν ᾧ ὅ τε ὑπουργῶν φίλος μάλιστα καὶ ὁ ἀντιστὰς ἐχθρός. Καὶ Κερκυραίους τούσδε μήτε ξυμμάχους δέχεσθε βίᾳ ἡμῶν μήτε ἀμύνετε αὐτοῖς ἀδικοῦσι. Καὶ τάδε ποιοῦντες τὰ προσήκοντά τε δράσετε καὶ τὰ ἄριστα βουλεύσεσθε ὑμῖν αὐτοῖς. Τοιαῦτα δὲ καὶ οἱ Κορίνθιοι εἶπον.

44. Ἀθηναῖοι δὲ ἀκούσαντες ἀμφοτέρων, γενομένης καὶ δὶς ἐκκλησίας, τῇ μὲν προτέρᾳ οὐχ ἧσσον τῶν Κορινθίων ἀπεδέξαντο τοὺς λόγους, ἐν δὲ τῇ ὑστεραίᾳ μετέγνωσαν Κερκυραίοις ξυμμαχίαν μὲν μὴ ποιήσασθαι ὥστε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν, εἰ γὰρ ἐπὶ Κόρινθον ἐκέλευον σφίσιν οἱ Κερκυραῖοι ξυμπλεῖν, ἐλύοντ' ἂν αὐτοῖς αἱ πρὸς Πελοποννησίους σπονδαὶ, ἐπιμαχίαν δὲ ἐποιήσαντο τῇ ἀλλήλων βοηθεῖν, ἐάν τις ἐπὶ Κέρκυραν ἴῃ ἢ Ἀθήνας ἢ τοὺς τούτων ξυμμάχους. Ἐδόκει γὰρ ὁ πρὸς Πελοποννησίους πόλεμος καὶ ὣς ἔσεσθαι αὐτοῖς καὶ τὴν Κέρκυραν ἐβούλοντο μὴ προέσθαι Κορινθίοις ναυτικὸν ἔχουσαν τοσοῦτον, ξυγκρούειν δὲ ὅτι μάλιστα αὐτοὺς ἀλλήλοις, ἵνα ἀσθενεστέροις οὖσιν, ἤν τι δέῃ, Κορινθίοις τε καὶ τοῖς ἄλλοις ναυτικὸν ἔχουσιν ἐς πόλεμον καθιστῶνται. Ἅμα δὲ τῆς τε Ἰταλίας

43. δέχεσθε—ἀμύνετε] Vulgo δέχησθε—ἀμύνητε. Correctum est e libris: etenim particulam μὴ jungi aut conjunctivo aorist., aut imperativo præs. constat. V. Greg. Cor. p. 15. Herm. d. Præc. quibusd. Attic. p. iv. Thom. M. p. 611. Matth. Gr. § 511', 3. 517. Eo spectat glossa Photii μὴ νόμισον, ubi ex eadem glossa, quæ apud Suidam extat, Thugenidis poëtæ nomen reponendum pro Thucydidis. Idem poëta loco historici ponendus ap. Polluc. vi, 38., ubi vocem ὀψώνιον memorat, quæ nuspiam ap. historicum. V. Piers. ad Mœr. p. 333. Porson. Ind. Phot. s. v. 'Thugenides.' Impugnat illam regulam jam in vulgus notam Thiersch. in Act. Phil. Monac. t. iii. p. 289.

44. καὶ δὶς] Καὶ hyperbaton facit, ut v, 116. i, 37. ἀλλ' ὡς καὶ ἡμεῖς τε, pro ἀλλὰ καὶ ὡς ἡμεῖς τε, etc. i, 12. ἦν δὲ αὐτῶν καὶ ἀπόδασμος. Sed ibi a. c. καὶ omittunt; N. L. G. ante pronomen ponunt.

ξυμμαχίαν — ἐπιμαχίαν] Horum prius est, 'offensive and defensive;' alterum, 'defensive league.' Sed hoc discrimen non servavit Thuc. iii, 70. Fallitur Dounæus, Prælect. ad Dem. Or. d. Pac. p. 135., qui duarum vocum sede immutata legendum censet, Κερκυραίοις ἐπιμαχίαν—συμμαχίαν δ' ἐποιήσαντο: et vulgato ordine hæc verba recitat Ammon. d. Diff. Vocab. p. 131., ubi v. Valck.

καὶ Σικελίας καλῶς ἐφαίνετο αὐτοῖς ἡ νῆσος ἐν παράπλῳ κεῖσθαι.

45. Τοιαύτῃ μὲν γνώμῃ οἱ Ἀθηναῖοι τοὺς Κερκυραίους προσεδέξαντο, καὶ τῶν Κορινθίων ἀπελθόντων οὐ πολὺ ὕστερον δέκα ναῦς αὐτοῖς ἀπέστειλαν βοηθούς. Ἐστρατήγει δὲ αὐτῶν Λακεδαιμόνιός τε ὁ Κίμωνος καὶ Διότιμος ὁ Στρομβίχου καὶ Πρωτέας ὁ Ἐπικλέους. Προεῖπον δὲ αὐτοῖς μὴ ναυμαχεῖν Κορινθίοις, ἢν μὴ ἐπὶ Κέρκυραν πλέωσι καὶ μέλλωσιν ἀποβαίνειν ἢ ἐς τῶν ἐκείνων τι χωρίων· οὕτω δὲ κωλύειν κατὰ δύναμιν. Προεῖπον δὲ ταῦτα τοῦ μὴ λύειν ἕνεκα τὰς σπονδάς. Αἱ μὲν δὴ νῆες ἀφικνοῦνται ἐς τὴν Κέρκυραν.

46. Οἱ δὲ Κορίνθιοι, ἐπειδὴ αὐτοῖς παρεσκεύαστο, ἔπλεον ἐπὶ τὴν Κέρκυραν ναυσὶ πεντήκοντα καὶ ἑκατόν. Ἦσαν δὲ Ἠλείων μὲν δέκα, Μεγαρέων δὲ δώδεκα καὶ Λευκαδίων δέκα, Ἀμπρακιωτῶν δὲ ἑπτὰ καὶ εἴκοσι καὶ Ἀνακτορίων μία, αὐτῶν δὲ Κορινθίων ἐνενήκοντα. Στρατηγοὶ δὲ τούτων ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων, Κορινθίων δὲ Ξενοκλείδης ὁ Εὐθυκλέους πέμπτος αὐτός. Ἐπειδὴ δὲ προσέμιξαν τῇ κατὰ Κέρκυραν ἠπείρῳ ἀπὸ Λευκάδος πλέοντες, ὁρμίζονται ἐς Χειμέριον τῆς Θεσπρωτίδος γῆς. Ἔστι δὲ λιμὴν, καὶ πόλις ὑπὲρ αὐτοῦ κεῖται ἄπο θαλάσσης ἐν τῇ Ἐλαιάτιδι τῆς Θεσπρωτίδος Ἐφύρα. Ἐξίησι δὲ παρ' αὐτὴν Ἀχερουσία λίμνη ἐς θάλασσαν. Διὰ δὲ τῆς Θεσπρωτίδος Ἀχέρων ποταμὸς ῥέων ἐσβάλλει ἐς αὐτὴν, ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔχει. Ῥεῖ δὲ καὶ Θύαμις ποταμὸς, ὁρίζων τὴν Θεσπρωτίδα καὶ Κεστρίνην, ὧν ἐντὸς ἡ ἄκρα ἀνέχει τὸ Χειμέριον. Οἱ μὲν οὖν Κορίνθιοι τῆς ἠπείρου ἐνταῦθα ὁρμίζονταί τε καὶ στρατόπεδον ἐποιήσαντο.

47. Οἱ δὲ Κερκυραῖοι ὡς ᾔσθοντο αὐτοὺς προσπλέοντας, πληρώσαντες δέκα καὶ ἑκατὸν ναῦς, ὧν ἦρχε Μεικιάδης καὶ

45. Λακεδαιμόνιος] Schol. Aristid. t. ii. p. 152. Jebb. V. Valck. ad Herodot. vol. ii. P. i. p. 42. Schw.

46. Χειμέριον] Hinc sua hausit Strab. vii. p. 499. Alm., apud quem est Ἐφύρα, non, ut vulgo ap. Thuc., Ἐφύρη: olim legebatur Ἐφύρῃ. Scripti Ἐφύρη.

ἐξίησι] C. L. O. P. R. b. e. At vulgo ἔξεισι. Conf. Herodot. i, 6. vii, 20. Thuc. ii, 102. iv, 103. Heind. ad Plat. Phædon. c. 6. Lobeck. ad Soph. Aj. 248. et Bened. ad h. l.

ἐσβάλλει] Phavorin. in εἰσβάλλειν, ubi h. l. citat, alterum adjicit: Πελοποννήσιοι καὶ οἱ σύμμαχοι ἐπὶ τοῦ αὐτοῦ πολέμου εἰσέβαλον εἰς Ἀττικήν.

στρατόπεδον] V. Anecd. Bekk. i. p. 113. Montef. Bibl. Coislin. p. 488.

Αἰσιμίδης καὶ Εὐρύβατος, ἐστρατοπεδεύσαντο ἐν μιᾷ τῶν νήσων αἳ καλοῦνται Σύβοτα· καὶ αἱ Ἀττικαὶ δέκα παρῆσαν. Ἐπὶ δὲ τῇ Λευκίμμῃ αὐτοῖς τῷ ἀκρωτηρίῳ ὁ πεζὸς ἦν καὶ Ζακυνθίων χίλιοι ὁπλῖται βεβοηθηκότες. Ἦσαν δὲ καὶ τοῖς Κορινθίοις ἐν τῇ ἠπείρῳ πολλοὶ τῶν βαρβάρων παραβεβοηθηκότες. Οἱ γὰρ ταύτῃ ἠπειρῶται ἀεί ποτε αὐτοῖς φίλοι εἰσίν.

48. Ἐπειδὴ δὲ παρεσκεύαστο τοῖς Κορινθίοις, λαβόντες τριῶν ἡμερῶν σιτία ἀνήγοντο ὡς ἐπὶ ναυμαχίαν ἀπὸ τοῦ Χειμερίου νυκτὸς, καὶ ἅμα ἕῳ πλέοντες καθορῶσι τὰς τῶν Κερκυραίων ναῦς μετεώρους τε καὶ ἐπὶ σφᾶς πλεούσας. Ὡς δὲ κατεῖδον ἀλλήλους, ἀντιπαρετάσσοντο, ἐπὶ μὲν τὸ δεξιὸν κέρας Κερκυραίων αἱ Ἀττικαὶ νῆες, τὸ δὲ ἄλλο αὐτοὶ ἐπεῖχον τρία τέλη ποιήσαντες τῶν νεῶν, ὧν ἦρχε τριῶν στρατηγῶν ἑκάστου εἷς. Οὕτω μὲν Κερκυραῖοι ἐτάξαντο. Κορινθίοις δὲ τὸ μὲν δεξιὸν κέρας αἱ Μεγαρίδες νῆες εἶχον καὶ αἱ Ἀμπρακιώτιδες· κατὰ δὲ τὸ μέσον οἱ ἄλλοι ξύμμαχοι ὡς ἕκαστοι· εὐώνυμον δὲ κέρας αὐτοὶ οἱ Κορίνθιοι ταῖς ἄριστα τῶν νεῶν πλεούσαις κατὰ τοὺς Ἀθηναίους καὶ τὸ δεξιὸν τῶν Κερκυραίων εἶχον.

49. Ξυμμίξαντες δὲ ἐπειδὴ τὰ σημεῖα ἑκατέροις ἤρθη, ἐναυμάχουν, πολλοὺς μὲν ὁπλίτας ἔχοντες ἀμφότεροι ἐπὶ τῶν καταστρωμάτων, πολλοὺς δὲ τοξότας τε καὶ ἀκοντιστὰς τῷ παλαιῷ τρόπῳ ἀπειρότερον ἔτι παρεσκευασμένοι. Ἦν τε ἡ ναυμαχία καρτερὰ, τῇ μὲν τέχνῃ οὐχ ὁμοίως, πεζομαχίᾳ δὲ τὸ πλέον προσφερὴς οὖσα. Ἐπειδὴ γὰρ προσβάλλοιεν ἀλλήλοις, οὐ ῥᾳδίως ἀπελύοντο ὑπό τε πλήθους καὶ ὄχλου τῶν νεῶν, καὶ μᾶλλόν τι πιστεύοντες τοῖς ἐπὶ τοῦ καταστρώματος ὁπλίταις ἐς τὴν νίκην, οἳ καταστάντες ἐμάχοντο ἡσυχαζουσῶν τῶν νεῶν. Διέκπλοι δ' οὐκ ἦσαν, ἀλλὰ

47. Λευκίμμῃ] Sic ubique scripsi pro Λευκίμνῃ, secutus libros scriptos et Strabonem.

48. μετεώρους] Suidas in μετεώρους νῆας. Zonar. in ἐν μετεώρῳ.

49. σημεῖα] Suidas in v. Mox καρτερὰ verte 'obstinate.' V. Elmsl. ad Eur. Heracl. 837.

ὑπό τε πλήθους] Particulam trajectam Thuc. ponere solet post præpositiones; contra quam Cicero, qui sejungit ab illis, dicitque, 'ab iisque,' 'apud eosque,' et similiter, ut docuit Gœrenz. ad Philosophica. Conf. i, 54. ὑπό τε τοῦ ῥοῦ καὶ ἀνέμου. 55. ὑπό τε Περδίκκου καὶ Κορινθίων. 118. πρός τε ἀλλήλους καὶ τὸν βάρβαρον. iv, 8. ἄνευ τε ναυμαχίας καὶ κινδύνου. 10. ἣν ἐθέλωμέν τε μεῖναι καὶ μὴ—καταπροδοῦναι, ubi Elmsl. ad Eur. Heracl. 622. conjicit legendum esse γε.

διέκπλοι] Suidas in v. exscripsit scholia ad h. l.; sed verba illa, quæ Kuster. in scholiis legi negat, sumta sunt e schol. ad ii, 89. Pugnandi modi duo diversi

θυμῷ καὶ ῥώμῃ τὸ πλέον ἐναυμάχουν ἢ ἐπιστήμῃ. Πανταχῇ μὲν οὖν πολὺς θόρυβος καὶ ταραχώδης ἦν ἡ ναυμαχία, ἐν ᾗ αἱ Ἀττικαὶ νῆες παραγιγνόμεναι τοῖς Κερκυραίοις εἴ πῃ πιέζοιντο, φόβον μὲν παρεῖχον τοῖς ἐναντίοις, μάχης δὲ οὐκ ἦρχον δεδιότες οἱ στρατηγοὶ τὴν πρόῤῥησιν τῶν Ἀθηναίων. Μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν Κορινθίων ἐπόνει· οἱ γὰρ Κερκυραῖοι εἴκοσι ναυσὶν αὐτοὺς τρεψάμενοι καὶ καταδιώξαντες σποράδας ἐς τὴν ἤπειρον μέχρι τοῦ στρατοπέδου πλεύσαντες αὐτῶν καὶ ἐπεκβάντες ἐνέπρησάν τε τὰς σκηνὰς ἐρήμους καὶ τὰ χρήματα διήρπασαν. Ταύτῃ μὲν οὖν οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἡσσῶντό τε καὶ οἱ Κερκυραῖοι ἐπεκράτουν. Ἧι δὲ αὐτοὶ ἦσαν οἱ Κορίνθιοι, ἐπὶ τῷ εὐωνύμῳ, πολὺ ἐνίκων, τοῖς Κερκυραίοις τῶν εἴκοσι νεῶν ἀπὸ ἐλάσσονος πλήθους ἐκ τῆς διώξεως οὐ παρουσῶν. Οἱ δ' Ἀθηναῖοι ὁρῶντες τοὺς Κερκυραίους πιεζομένους μᾶλλον ἤδη ἀπροφασίστως ἐπεκούρουν, τὸ μὲν πρῶτον ἀπεχόμενοι ὥστε μὴ ἐμβάλλειν τινί· ἐπεὶ δὲ ἡ τροπὴ ἐγένετο λαμπρῶς καὶ ἐνέκειντο οἱ Κορίνθιοι, τότε δὴ ἔργου πᾶς εἴχετο ἤδη καὶ διεκέκριτο οὐδὲν ἔτι, ἀλλὰ ξυνέπεσεν ἐς τοῦτο ἀνάγκης ὥστε ἐπιχειρῆσαι ἀλλήλοις τοὺς Κορινθίους καὶ Ἀθηναίους.

50. Τῆς δὲ τροπῆς γενομένης οἱ Κορίνθιοι τὰ σκάφη μὲν οὐχ εἷλκον ἀναδούμενοι τῶν νεῶν ἃς καταδύσειαν, πρὸς δὲ τοὺς ἀνθρώπους ἐτράποντο φονεύειν διεκπλέοντες μᾶλλον ἢ

erant, *περίπλους* et *διέκπλους*. Prior fiebat, cum naves una post alteram hostium naves circumnavigabant, et in perturbatas, ubi opportune fieri videbatur, irruebant. V. ii, 84. Aciem hostium perrumpere et in pernavigando rostris naves lædere, remos detergere, *διέκπλους* appellatur: quod fiebat, dum modo accelerant propulsis remigio navibus, modo recedunt, et e recessu atque e longinquo in hostes irruunt.

ἐν ᾗ — τῶν Ἀθηναίων] Hæc laudans schol. Soph. Antig. 133. *ἐκεῖνος*, ait, *περὶ τῶν Ἀθήνηθεν νεῶν τὸν λόγον ποιούμενος ἔτρεψε τὸν λόγον πρὸς τοὺς αὐτῶν στρατηγούς.* Ibi pro *εἴ πῃ* legitur *εἴ ποι*, et *τοῖς ἐναντίοις* omittitur. Idem ad v. 266. *εἴ πῃ* agnoscit, item *τοῖς ἐναντίοις*, sed utroque loco *παραγενόμενα* exhibet.

μέχρι τοῦ στρατοπέδου] Hinc apodosis incipit. *Καὶ*, quod vulgo ante *μέχρι* ponunt, librorum auctoritate omisi.

ταύτῃ] Liban. Parentat. in Julian. p. 252.

50. *σκάφη*] Schol. ita *καλεῖ τὰ κοιλώματα τῶν νεῶν, ἃ ἡμεῖς γάστρας* ('the hull') *καλοῦμεν.*

ἃς καταδύσειαν] De hoc optativo v. Buttm. Gr. p. 479. Matth. § 527. Thiersch. § 347. 1. b. conf. iii, 84. *ἐν δ' οὖν τῇ Κερκύρᾳ τὰ πολλὰ αὐτῶν προετολμήθη, καὶ ὁπόσα ὕβρει μὲν ἀρχόμενοι τὸ πλέον ἢ σωφροσύνῃ ὑπὸ τῶν τὴν τιμωρίαν παρασχόντων οἱ ἀνταμυνόμενοι δράσειαν.* *Καταδύειν* autem est, 'navem ictibus adeo lacerare, ut submergatur altiusve in aquam deprimatur,' quo facto non jam facile reficitur. i. e. 'cause a ship to leak:' id quod patet e Xenoph. H. Gr. i, 6, 36. *πλεῖν ἐπὶ τὰς καταδεδυκυίας ναῦς καὶ τοὺς ἐπ' αὐτῶν ἀνθρώπους.* Schol. ad Thuc. i, 54. *καταδύσαντες ἀντὶ τοῦ τρώσαντες· οὐ γὰρ λέγει ἐπὶ τοῦ βαπτίσαντες· τοιοῦτο δὲ καί ἐστι τὸ ἃς καταδύσειαν.* Adde Suidam et Phavorin. in *καταδύσαντες*. Aliis tamen locis, ut vii, 41. viii, 42. juxta se posuit *καταδύσαντες* et *κατατραυματίσαντες*. Citat h. l. Greg. Cor. p. 58. inde a *τὰ σκάφη* usque ad *καταδύσαντες*, ubi v. interpp.

ζωγρεῖν. Τούς τε αὑτῶν φίλους οὐκ αἰσθόμενοι ὅτι ἥσσηντο οἱ ἐπὶ τῷ δεξιῷ κέρᾳ ἀγνοοῦντες ἔκτεινον. Πολλῶν γὰρ νεῶν οὐσῶν ἀμφοτέρων καὶ ἐπὶ πολὺ τῆς θαλάσσης ἐπεχουσῶν, ἐπειδὴ ξυνέμιξαν ἀλλήλοις, οὐ ῥᾳδίως τὴν διάγνωσιν ἐποιοῦντο ὁποῖοι ἐκράτουν ἢ ἐκρατοῦντο. Ναυμαχία γὰρ αὕτη Ἕλλησι πρὸς Ἕλληνας νεῶν πλήθει μεγίστη δὴ τῶν πρὸ ἑαυτῆς γεγένηται. Ἐπειδὴ δὲ κατεδίωξαν τοὺς Κερκυραίους οἱ Κορίνθιοι ἐς τὴν γῆν, πρὸς τὰ ναυάγια καὶ τοὺς νεκροὺς τοὺς σφετέρους ἐτράποντο, καὶ τῶν πλείστων ἐκράτησαν ὥστε προσκομίσαι πρὸς τὰ Σύβοτα, οἷ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν βαρβάρων προσεβεβοηθήκει. Ἔστι δὲ τὰ Σύβοτα τῆς Θεσπρωτίδος λιμὴν ἔρημος. Τοῦτο δὲ ποιήσαντες αὖθις ἀθροισθέντες ἐπέπλεον τοῖς Κερκυραίοις. Οἱ δὲ ταῖς πλωΐμοις καὶ ὅσαι ἦσαν λοιπαὶ μετὰ τῶν Ἀττικῶν νεῶν καὶ αὐτοὶ ἀντέπλεον δείσαντες μὴ ἐς τὴν γῆν σφῶν πειρῶσιν ἀποβαίνειν. Ἤδη δὲ ἦν ὀψὲ καὶ ἐπεπαιώνιστο αὐτοῖς ὡς ἐς ἐπίπλουν, καὶ οἱ Κορίνθιοι ἐξαπίνης πρύμναν ἐκρούοντο κατιδόντες εἴκοσι ναῦς Ἀθηναίων προσπλεούσας· ἃς ὕστερον τῶν δέκα βοηθοὺς ἐξέπεμψαν οἱ Ἀθηναῖοι δείσαντες ὅπερ ἐγένετο, μὴ νικηθῶσιν οἱ Κερκυραῖοι καὶ αἱ σφέτεραι δέκα νῆες ὀλίγαι ἀμύνειν ὦσι.

51. Ταύτας οὖν προϊδόντες οἱ Κορίνθιοι καὶ ὑποτοπήσαντες ἀπ' Ἀθηνῶν εἶναι οὐχ ὅσας ἑώρων ἀλλὰ πλείους ὑπανεχώρουν. Τοῖς δὲ Κερκυραίοις, ἐπέπλεον γὰρ μᾶλλον ἐκ τοῦ ἀφανοῦς, οὐχ ἑωρῶντο καὶ ἐθαύμαζον τοὺς Κορινθίους πρύμναν κρουομένους, πρίν τινες ἰδόντες εἶπον ὅτι νῆες ἐκεῖναι ἐπιπλέουσι· τότε δὲ καὶ αὐτοὶ ἀνεχώρουν. Ξυνεσκόταζε

ναυάγια] Suid. et Phavorin. *ναυάγιον παρὰ Θουκυδίδῃ οὐδετέρως μὲν, ὅταν τι τῆς νεὼς ἀποκλασθῇ, οἷον πηδάλιον, ἤ τι τοιοῦτο· ναυαγία δὲ θηλυκῶς, πᾶσα ἡ τῆς νεὼς ἀπώλεια.* Mox de verbo *πειρῶσι* v. Popp. Prol. t. i. p. 186.

ἐπεπαιώνιστο] Zonar. *ἐπαιώνιστο* (quod corrige ex h. l.) *εὐφήμιστο*. Conf. Hesych. s. v.

ὡς ἐς ἐπίπλουν] Vulgo sine *ἐς*. Præpositionem addunt A. B. C. G. Q. e. f. g. h. R. S. Simplex præpositio *ἐς*, *πρὸς*, etc. significat, 'towards,' 'to;' *ὡς ἐς*, 'in the direction of,' 'as if to.'

πρύμναν ἐκρούοντο] Recessio navis cum fiebat prora hosti opposita, ut navis remis inhiberetur, id dicebatur *ἀνάκρουσις*; ubi recessio cum aversione juncta erat, id appellabant *ἀναστροφὴν*, i. e. 'reversionem.' Hoc discernendum ab *ἐπιστροφῇ* sive 'conversione.' Eur. Androm. 1097. *χωρεῖ δὲ πρύμναν*, ubi schol. *εἰς τοὐπίσω ἀνεπόδισεν μὴ δοὺς τὰ νῶτα, ἀλλὰ πρὸς τοὺς ἐναντίους ὁρῶν. Τοῦτο δὲ καὶ Θουκυδίδης φησὶ πρύμναν ἀνακρούοντες, ὅταν μὴ μεταβαλόμενοι φεύγωσιν, ἀλλ' ἀντίοι ὄντες ἀναχωρήσωσιν.*

ὀλίγαι ἀμύνειν] i. e. 'naves pauciores, quam ut vim propulsare possint.' V. Wyttenb. ad Julian. Orat. p. 217. Schæf. Matth. Gr. § 448.

γὰρ ἤδη καὶ οἱ Κορίνθιοι ἀποτραπόμενοι τὴν διάλυσιν ἐποιήσαντο. Οὕτω μὲν ἡ ἀπαλλαγὴ ἐγένετο ἀλλήλων, καὶ ἡ ναυμαχία ἐτελεύτα ἐς νύκτα. Τοῖς Κερκυραίοις δὲ στρατοπεδευομένοις ἐπὶ τῇ Λευκίμμῃ αἱ εἴκοσι νῆες αἱ ἀπὸ τῶν Ἀθηνῶν αὗται, ὧν ἦρχε Γλαύκων τε ὁ Λεάγρου καὶ Ἀνδοκίδης ὁ Λεωγόρου, διὰ τῶν νεκρῶν καὶ ναυαγίων προσκομισθεῖσαι κατέπλεον ἐς τὸ στρατόπεδον οὐ πολλῷ ὕστερον ἢ ὤφθησαν· οἱ δὲ Κερκυραῖοι, ἦν γὰρ νὺξ, ἐφοβήθησαν μὴ πολέμιαι ὦσιν, ἔπειτα δὲ ἔγνωσαν καὶ ὡρμίσαντο.

52. Τῇ δὲ ὑστεραίᾳ ἀναγόμεναι αἵ τε Ἀττικαὶ τριάκοντα νῆες καὶ τῶν Κερκυραίων ὅσαι πλόϊμοι ἦσαν ἐπέπλευσαν ἐπὶ τὸν ἐν τοῖς Συβότοις λιμένα, ἐν ᾧ οἱ Κορίνθιοι ὥρμουν, βουλόμενοι εἰδέναι εἰ ναυμαχήσουσιν. Οἱ δὲ τὰς μὲν ναῦς ἄραντες ἀπὸ τῆς γῆς καὶ παραταξάμενοι μετεώρους ἡσύχαζον, ναυμαχίας οὐ διανοούμενοι ἄρχειν ἑκόντες, ὁρῶντες προσγεγενημένας τε ναῦς ἐκ τῶν Ἀθηνῶν ἀκραιφνεῖς καὶ σφίσι πολλὰ τὰ ἄπορα ξυμβεβηκότα, αἰχμαλώτων τε περὶ φυλακῆς οὓς ἐν ταῖς ναυσὶν εἶχον, καὶ ἐπισκευὴν οὐκ οὖσαν τῶν νεῶν ἐν χωρίῳ ἐρήμῳ. Τοῦ δὲ οἴκαδε πλοῦ μᾶλλον διεσκόπουν ὅπη κομισθήσονται, δεδιότες μὴ οἱ Ἀθηναῖοι νομίσαντες λελύσθαι τὰς σπονδὰς διότι ἐς χεῖρας ἦλθον, οὐκ ἐῶσι σφᾶς ἀποπλεῖν.

53. Ἔδοξεν οὖν αὐτοῖς ἄνδρας ἐς κελήτιον ἐμβιβάσαντας ἄνευ κηρυκείου προσπέμψαι τοῖς Ἀθηναίοις καὶ πεῖραν ποιήσασθαι. Πέμψαντές τε ἔλεγον τοιάδε· Ἀδικεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, πολέμου ἄρχοντες καὶ σπονδὰς λύοντες. Ἡμῖν γὰρ πολεμίους τοὺς ἡμετέρους τιμωρουμένοις ἐμποδὼν ἵστασθε ὅπλα ἀνταιρόμενοι. Εἰ δ' ὑμῖν γνώμη ἐστὶ κωλύειν τε ἡμᾶς ἐπὶ Κέρκυραν ἢ ἄλλοσε εἴ ποι βουλόμεθα πλεῖν, καὶ τὰς σπονδὰς λύετε, ἡμᾶς τούσδε λαβόντες πρῶτον χρήσασθε ὡς πολεμίοις. Οἱ μὲν δὴ τοιαῦτα εἶπον· τῶν δὲ Κερκυραίων τὸ μὲν στρατόπεδον ὅσον ἐπήκουσεν, ἀνεβόησεν

51. *οἱ Κερκυραῖοι — ὡρμίσαντο*] Male Portus, 'postea illas agnoverunt, et in suas sedes receperunt.' Supple *αἱ νῆες* ad *ὦσιν* et ad *ὡρμίσαντο*, et interpretare, 'Corcyræi metuebant ne hostiles naves essent, postea illas agnoverunt et in portum navibus se receperunt.'

52. *διεσκόπουν*] Genitivus non repetendus ab *ὅπη*, sed pendet a verbo, ubi significat, 'de aliqua re cogitare,' 'to reflect upon.'

53. *τῶν δὲ Κερκυραίων — ἀπεκρίναντο*] Schol. *τῶν δὲ, τουτέστι τῶν τοῦ ἄλλου μέρους. Οὕτω Φοιβάμμων φησὶν, ἵν' ᾖ τῶν δὲ, τὸ μὲν στρατόπεδον τῶν Κερκυραίων, οἱ δὲ, Ἀθηναῖοι.* Ita interpunctum in ed.

εὐθὺς λαβεῖν τε αὐτοὺς καὶ ἀποκτεῖναι. Οἱ δὲ Ἀθηναῖοι τοιάδε ἀπεκρίναντο· Οὔτε ἄρχομεν πολέμου, ὦ ἄνδρες Πελοποννήσιοι, οὔτε τὰς σπονδὰς λύομεν· Κερκυραίοις δὲ τοῖσδε ξυμμάχοις οὖσι βοηθοὶ ἤλθομεν. Εἰ μὲν οὖν ἄλλοσέ ποι βούλεσθε πλεῖν, οὐ κωλύομεν· εἰ δὲ ἐπὶ Κέρκυραν πλευσεῖσθε ἢ ἐς τῶν ἐκείνων τι χωρίων, οὐ περιοψόμεθα κατὰ τὸ δυνατόν.

54. Τοιαῦτα τῶν Ἀθηναίων ἀποκριναμένων οἱ μὲν Κορίνθιοι τόν τε πλοῦν τὸν ἐπ' οἴκου παρεσκευάζοντο καὶ τροπαῖον ἔστησαν ἐν τοῖς ἐν τῇ ἠπείρῳ Συβότοις· οἱ δὲ Κερκυραῖοι τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο τὰ κατὰ σφᾶς ἐξενεχθέντα ὑπό τε τοῦ ῥοῦ καὶ ἀνέμου ὃς γενόμενος τῆς νυκτὸς διεσκέδασεν αὐτὰ πανταχῇ, καὶ τροπαῖον ἀντέστησαν ἐν τοῖς ἐν τῇ νήσῳ Συβότοις ὡς νενικηκότες. Γνώμῃ δὲ ἑκάτεροι τοιᾷδε τὴν νίκην προσεποιήσαντο. Κορίνθιοι μὲν κρατήσαντες τῇ ναυμαχίᾳ μέχρι νυκτὸς ὥστε καὶ ναυάγια πλεῖστα καὶ νεκροὺς προσκομίσασθαι καὶ ἄνδρας ἔχοντες αἰχμαλώτους οὐκ ἐλάσσους χιλίων, ναῦς τε καταδύσαντες περὶ ἑβδομήκοντα, ἔστησαν τροπαῖον· Κερκυραῖοι δὲ τριάκοντα ναῦς μάλιστα διαφθείραντες καὶ ἐπειδὴ Ἀθηναῖοι ἦλθον, ἀνελόμενοι τὰ κατὰ σφᾶς αὐτοὺς ναυάγια καὶ τοὺς νεκρούς, καὶ ὅτι αὐτοῖς τῇ τε προτεραίᾳ πρύμναν κρουόμενοι ὑπεχώρησαν οἱ Κορίνθιοι ἰδόντες τὰς Ἀττικὰς ναῦς, καὶ ἐπειδὴ ἦλθον οἱ Ἀθηναῖοι οὐκ ἀντέπλεον ἐκ τῶν Συβότων,

Aldina. Sed incredibiliter, Dindorf. ait, lapsus est Phœbammo, si perinde putavit sic ut ipse scripsit, τὸ μὲν στρατόπεδον τῶν Κερκυραίων, an, ut est apud Thucydidem, Κερκυραίων τὸ μὲν στρατόπεδον diceretur. His enim si contraria sunt ista οἱ δὲ Ἀθηναῖοι, barbarum est Κερκυραίων τὸ μὲν στρατόπεδον pro Κερκυραίων μὲν τὸ στρατόπεδον: nam μὲν, etsi alio licet atque consequens δὲ loco poni, suo tamen semper debet. Eaque de causa, pergit, illius perstrinxi ceteroquin immemorabilem annotationem, quoniam mihi minime sana videtur vulgata scriptura, quippe secundum quam Κερκυραίων tum classem Corcyræorum tum Athenienses complectatur, quos nequit quamvis socios: sed ego Κερκυραίων delendum esse conjicio.—Nihil delendum; non enim Κερκυραίων classem et ipsorum et Atheniensium complectitur, sed accipiendum ita est: 'Corcyræorum ea quidem pars, quæ adstans vocem loquentis audiebat (non enim omnes Corcyræos audivisse constat) exclamavit—Athenienses autem hæc responderunt.' Nulli igitur Athenienses exclamabant, ut qui non tanto, quanto Corcyræi, odio in Corinthios incensi essent. Nominativus autem pro genitivo partitivo positus, τὸ μὲν στρατόπεδον ὅσον, pro τοῦ μὲν στρατοπέδου ὅσον, ut supr. c. 2.

54. καὶ τοὺς νεκροὺς] Ut τοὺς adderem, movit locus geminus, ubi eadem verba addito articulo reperiuntur, sup. c. 50. et vii, 72. alibi.

καὶ ἐπειδὴ ἦλθον οἱ Ἀθηναῖοι] Vulgo sine οἱ Ἀθηναῖοι. Sed hæc verba leguntur in A. B. C. F. G. H. I. L. O. P. R. S. c. e. g. h. Aberravit a nexu orationis Haack., putans illud ἦλθον ad Corcyræos pertinere. Verum est quidem, Bened. ait, modo antecessisse verba ἐπειδὴ Ἀθηναῖοι ἦλθον, sed ibi respectu ad Corcyræos, non ad Corinthios facto, hæc verba

διὰ ταῦτα τροπαῖον ἔστησαν. Οὕτω μὲν ἑκάτεροι νικᾶν ἠξίουν.

55. Οἱ δὲ Κορίνθιοι ἀποπλέοντες ἐπ' οἴκου Ἀνακτόριον, ὅ ἐστιν ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, εἷλον ἀπάτῃ· ἦν δὲ κοινὸν Κερκυραίων καὶ ἐκείνων· καὶ καταστήσαντες ἐν αὐτῷ Κορινθίους οἰκήτορας ἀνεχώρησαν ἐπ' οἴκου, καὶ τῶν Κερκυραίων ὀκτακοσίους μὲν οἳ ἦσαν δοῦλοι ἀπέδοντο, πεντήκοντα δὲ καὶ διακοσίους δήσαντες ἐφύλασσον καὶ ἐν θεραπείᾳ εἶχον πολλῇ, ὅπως αὐτοῖς τὴν Κέρκυραν ἀναχωρήσαντες προσποιήσειαν. Ἐτύγχανον δὲ καὶ δυνάμει αὐτῶν οἱ πλείους πρῶτοι ὄντες τῆς πόλεως. Ἡ μὲν οὖν Κέρκυρα οὕτω περιγίγνεται τῷ πολέμῳ τῶν Κορινθίων, καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀνεχώρησαν ἐξ αὐτῆς. Αἰτία δὲ αὕτη πρώτη ἐγένετο τοῦ πολέμου τοῖς Κορινθίοις ἐς τοὺς Ἀθηναίους ὅτι σφίσιν ἐν σπονδαῖς μετὰ Κερκυραίων ἐναυμάχουν.

56. Μετὰ ταῦτα δ' εὐθὺς καὶ τάδε ξυνέβη γενέσθαι Ἀθηναίοις καὶ Πελοποννησίοις διάφορα ἐς τὸ πολεμεῖν. Τῶν γὰρ Κορινθίων πρασσόντων ὅπως τιμωρήσωνται αὐτούς, ὑποτοπήσαντες τὴν ἔχθραν αὐτῶν οἱ Ἀθηναῖοι Ποτιδαιάτας, οἳ οἰκοῦσιν ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης, Κορινθίων ἀποίκους, ἑαυτῶν δὲ ξυμμάχους φόρου ὑποτελεῖς, ἐκέλευον τὸ ἐς Παλλήνην τεῖχος καθελεῖν καὶ ὁμήρους δοῦναι, τούς τε ἐπιδημιουργοὺς ἐκπέμπειν καὶ τὸ λοιπὸν μὴ δέχεσθαι οὓς κατὰ ἔτος ἕκαστον Κορίνθιοι ἔπεμπον, δείσαντες μὴ ἀποστῶσιν ὑπό τε Περδίκκου πειθόμενοι καὶ Κορινθίων, τούς τε ἄλλους τοὺς ἐπὶ Θρᾴκης ξυναποστήσωσι ξυμμάχους.

proferuntur. Præterea Thuc. aperte indicavit c. 52., Corinthios eo potissimum deterritos esse, quominus postridie prælium navale, denuo provocati, committerent, quia naves Atheniensium adhuc integras modo adventasse videbant. Neque unum idemque his verbis, *ἰδόντες—καὶ ἐπειδὴ ἦλθον Ἀθηναῖοι*, indicatur; nam tempus plane diversum antecedentis et sequentis diei hac dictione duplice significat. Quare illud *ἰδόντες τ. Ἀτ. ν.* ad antecedentia, *πρύμναν κρουόμενοι οἱ Κορίνθιοι*, respicit; sed alterum, *καὶ ἐπειδὴ ἦλθον οἱ Ἀθηναῖοι*, cum sequentibus *οὐκ ἀντέπλεον* est conjungendum.

56. *ὁμήρους*] Suidas in *ὅμηρος*.

ἐπιδημιουργοὺς] Verba ista Suidas in *δημιουργὸς* hoc modo effert: *καὶ μηκέτι δέχεσθαι τοὺς κατ' ἔτος ἐκπεμπομένους Κορινθίων ἐπιδημιουργοὺς κελεύοντες.* Conf. v, 47. Hesych. in ead. v. Etym. M. p. 265, 43. Eustath. ad Od. *ρ.* p. 1825. Rom. Liv. xxxviii, 30. ibiq. interpp. Turneb. Adv. xiv, 11. De magistratibus a majore patria in colonias missis, v. Spanhem. d. Usu et Præst. Numism. Diss. ix. p. 581. Schol. *ὁ Ἀσκληπιάδης τὴν ἐπὶ πρόθεσιν περιττὴν εἶναι λέγει. Ἐπιδημιουργοὶ ἄρχοντες πεμπόμενοι, φυλάρχων τάξιν ἔχοντες. Ἐπιδημιουργοὺς τοὺς ἐπιμελητὰς τῆς ἀνακτίσεως τῶν τειχῶν. Ὄνομα ἀρχῆς ὁ ἐπιδημιουργὸς παρὰ Κορινθίοις· ἄλλοι γὰρ ἄλλως τοὺς ἄρχοντας καλοῦσιν· ἰστέον δὲ ὅτι τούτους ἀπέστελλον οἱ Κορίνθιοι κατὰ ἔτος ἄρχοντας Ποτιδαιάταις ὡς ἀποίκοις.*

57. Ταῦτα δὲ πρὸς τοὺς Ποτιδαιάτας οἱ Ἀθηναῖοι προπαρεσκευάζοντο εὐθὺς μετὰ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν. Οἵ τε γὰρ Κορίνθιοι φανερῶς ἤδη διάφοροι ἦσαν, Περδίκκας τε ὁ Ἀλεξάνδρου Μακεδόνων βασιλεὺς ἐπεπολέμωτο ξύμμαχος πρότερον καὶ φίλος ὤν. Ἐπολεμώθη δὲ ὅτι Φιλίππῳ τῷ ἑαυτοῦ ἀδελφῷ καὶ Δέρδᾳ κοινῇ πρὸς αὐτὸν ἐναντιουμένοις οἱ Ἀθηναῖοι ξυμμαχίαν ἐποιήσαντο. Δεδιώς τε ἔπρασσεν, ἔς τε τὴν Λακεδαίμονα πέμπων ὅπως πόλεμος γένηται αὐτοῖς πρὸς Πελοποννησίους, καὶ τοὺς Κορινθίους προσεποιεῖτο τῆς Ποτιδαίας ἕνεκα ἀποστάσεως· προσέφερε δὲ λόγους καὶ τοῖς ἐπὶ Θρᾴκης Χαλκιδεῦσι καὶ Βοττιαίοις ξυναποστῆναι, νομίζων, εἰ ξύμμαχα ταῦτα ἔχοι ὅμορα ὄντα τὰ χωρία, ῥᾷον ἂν τὸν πόλεμον μετ' αὐτῶν ποιεῖσθαι. Ὧν οἱ Ἀθηναῖοι αἰσθόμενοι καὶ βουλόμενοι προκαταλαμβάνειν τῶν πόλεων τὰς ἀποστάσεις, ἔτυχον γὰρ τριάκοντα ναῦς ἀποστέλλοντες καὶ χιλίους ὁπλίτας ἐπὶ τὴν γῆν αὐτοῦ Ἀρχεστράτου τοῦ Λυκομήδους μετ' ἄλλων δέκα στρατηγοῦντος, ἐπιστέλλουσι τοῖς ἄρχουσι τῶν νεῶν Ποτιδαιατῶν τε ὁμήρους λαβεῖν καὶ τὸ τεῖχος καθελεῖν τῶν τε πλησίον πόλεων φυλακὴν ἔχειν ὅπως μὴ ἀποστήσονται.

58. Ποτιδαιᾶται δὲ πέμψαντες μὲν καὶ παρ' Ἀθηναίους πρέσβεις, εἴ πως πείσειαν μὴ σφῶν πέρι νεωτερίζειν μηδὲν, ἐλθόντες δὲ καὶ ἐς τὴν Λακεδαίμονα μετὰ Κορινθίων [ἔπρασσον] ὅπως ἑτοιμάσαιντο τιμωρίαν, ἢν δέῃ, ἐπειδὴ ἔκ τε Ἀθηναίων ἐκ πολλοῦ πράσσοντες οὐδὲν εὕροντο ἐπιτήδειον, ἀλλ' αἱ νῆες αἱ ἐπὶ Μακεδονίαν καὶ ἐπὶ σφᾶς ὁμοίως ἔπλεον, καὶ τὰ τέλη τῶν Λακεδαιμονίων ὑπέσχετο αὐτοῖς, ἢν ἐπὶ Ποτίδαιαν ἴωσιν Ἀθηναῖοι, ἐς τὴν Ἀττικὴν ἐσβαλεῖν, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον ἀφίστανται μετὰ Χαλκιδέων καὶ

57. προσεποιεῖτο] Exspectes προσποιούμενος et προσφέρων. Conf. iv, 4., ubi ξυνετίθεσαν pro ξυντιθέντες. viii, 45., ubi ἀξιοῦσι pro ἀξιοῦντες. V. Thiersch. Gr. § 312, 4. et ad i, 1.

58. ἐλθόντες—ἐπιτήδειον] Vulgo ἔπρασσον sine uncis: quo verbo admisso, in verbis ἐπειδὴ ἔκ τε 'Αθ. copula desideratur: verba autem ἔπρασσον ὅπως ἑτοιμάσαιντο τιμωρίαν tum non solum cum ἐλθόντες ἐς τὴν Λακεδαίμονα, sed etiam cum πέμψαντες παρ' Ἀθηναίους πρέσβεις, conjungenda sunt, ut docent particulæ μὲν—δὲ, et verbo finito destitutum participium πέμψαντες. Sed id nullo modo fieri potest, quoniam Lacedæmonem legatos miserunt, ut ultionem pararent; at Athenas, ne ultione opus foret. Quemadmodum igitur verba εἴ πως πείσειαν μὴ σφῶν πέρι νεωτερίζειν μηδὲν nonnisi cum πέμψαντες παρ' Ἀθηναίους cohærent, ita ὅπως ἑτοιμάσαιντο τιμωρίαν ἢν δέῃ ad alia verba quam ad ἐλθόντες ἐς τὴν Λακεδαίμονα referri non possunt. Quare Popp. Obs. p. 119. deleta voce ἔπρασσον, et commate post δέῃ posito, hunc locum emendavit.

Βοττιαίων κοινῇ ξυνομόσαντες. Καὶ Περδίκκας πείθει Χαλκιδέας τὰς ἐπὶ θαλάσσῃ πόλεις ἐκλιπόντας καὶ καταβαλόντας ἀνοικίσασθαι ἐς Ὄλυνθον, μίαν τε πόλιν ταύτην ἰσχυρὰν ποιήσασθαι· τοῖς τε ἐκλιποῦσι τούτοις τῆς ἑαυτοῦ γῆς τῆς Μυγδονίας περὶ τὴν Βόλβην λίμνην ἔδωκε νέμεσθαι ἕως ἂν ὁ πρὸς Ἀθηναίους πόλεμος ᾖ. Καὶ οἱ μὲν ἀνῳκίζοντό τε καθαιροῦντες τὰς πόλεις καὶ ἐς πόλεμον παρεσκευάζοντο.

59. Αἱ δὲ τριάκοντα νῆες τῶν Ἀθηναίων ἀφικνοῦνται ἐς τὰ ἐπὶ Θρᾴκης, καὶ καταλαμβάνουσι τὴν Ποτίδαιαν καὶ τἄλλα ἀφεστηκότα· νομίσαντες δὲ οἱ στρατηγοὶ ἀδύνατα εἶναι πρός τε Περδίκκαν πολεμεῖν τῇ παρούσῃ δυνάμει καὶ τὰ ξυναφεστῶτα χωρία τρέπονται ἐπὶ τὴν Μακεδονίαν, ἐφ᾿ ὅπερ καὶ τὸ πρότερον ἐξεπέμποντο, καὶ καταστάντες ἐπολέμουν μετὰ Φιλίππου καὶ τῶν Δέρδου ἀδελφῶν ἄνωθεν στρατιᾷ ἐσβεβληκότων.

60. Καὶ ἐν τούτῳ οἱ Κορίνθιοι τῆς Ποτιδαίας ἀφεστηκυίας καὶ τῶν Ἀττικῶν νεῶν περὶ Μακεδονίαν οὐσῶν, δεδιότες περὶ τῷ χωρίῳ καὶ οἰκεῖον τὸν κίνδυνον ἡγούμενοι πέμπουσιν ἑαυτῶν τε ἐθελοντὰς καὶ τῶν ἄλλων Πελοποννησίων μισθῷ πείσαντες ἑξακοσίους καὶ χιλίους τοὺς πάντας ὁπλίτας καὶ ψιλοὺς τετρακοσίους. Ἐστρατήγει δὲ αὐτῶν Ἀριστεὺς ὁ Ἀδειμάντου, κατὰ φιλίαν τε αὐτοῦ οὐχ ἥκιστα οἱ πλεῖστοι ἐκ Κορίνθου στρατιῶται ἐθελονταὶ ξυνέσποντο· ἦν γὰρ τοῖς

ἀνοικίσασθαι] Phavorin. in *ἀνοικίζειν* adscripsit verba *οἱ μὲν ἀνῴκιζον τότε* (sic) —*παρεσκευάζοντο*. *Ἀνοικίζεσθαι* est 'emigrare in regionem a mari remotam.'

59. *τὰ ἐπὶ Θρᾴκης*] i. e. in peninsulam maris Thracii, sive in Chalcidicam, plenam coloniarum Græcarum, in quibus erat Chalcis, colonia Chalcidensium in Eubœa. Hæc peninsula hoc tempore neque Macedoniæ neque Thraciæ accensebatur, sed peculiari nomine *τῶν ἐπὶ Θρᾴκης* appellari solet. Amphipolis pro extrema urbe hujus plagæ habebatur, quæque ab ea ulterius tam in ortum quam septentrionem versus patebant terræ, ad Thraciam Thucydidis ætate relatæ sunt. V. Weisk. de Hyperb. in Hist. Philipp. P. iii. p. 11. not.

ἐφ᾿ ὅπερ] sc. *ἐπὶ τὸ τρέπεσθαι* sive *πλεῖν*, ut vertere possis, 'ad quod negotium.' Schol. ad i, 122. *ὃ καὶ λόγῳ*] *εἴωθεν ὁ συγγραφεὺς ἀπὸ τῶν θηλυκῶν μεταβαίνειν εἰς τὸ οὐδέτερον, οἷον· τρέπονται —ἐξεπέμποντο*. Scholia exscripsit Suidas v. *Θουκυδίδης*. Eadem verba *ἐφ᾿ ὅπερ* repetuntur vi, 47. Nec solum ubi neutrum ad prægressum infinitivum referri potest, eo genere utitur, sed alibi etiam in transitum ex aliis generibus in neutrum inclinat. Qualia sunt *τροπὰς, οἷα*, vi, 96. ni fallunt codd., qui ita habent pro feminino *παρεκλήθησαν ἐς αὐτά*. v, 27. V. Popp. Prol. t. i. p. 105. Æmulatur in hac re Thucydidem Sallust. Cat. 1. 'sed nostra omnis vis in animo et corpore sita: animi imperio, corporis servitio magis utimur: alterum nobis cum Dis, alterum cum belluis commune est.' c. 5. 'inopia rei familiaris et conscientia scelerum, quæ utraque his artibus auxerat;' plane ut Thuc. *ἐν οἷς ἀμφοτέροις*, iii, 97. post femininum. Cat. 31. 'ex summa lætitia atque lascivia, quæ diuturna quies pepererat.' Jug. 38. 'nox atque præda hostes remorata sunt.' 41. 'abundantia earum rerum, quæ prima mortales ducunt.'

60. *καὶ ἐν τούτῳ—ἀφεστηκυίας*] Citat Phavorin., apud quem male *ἀφεστηκότες*.

Ποτιδαιάταις ἀεί ποτε ἐπιτήδειος. Καὶ ἀφικνοῦνται τεσσαρακοστῇ ἡμέρᾳ ὕστερον ἐπὶ Θρᾴκης ἢ Ποτίδαια ἀπέστη.

61. Ἦλθε δὲ καὶ τοῖς Ἀθηναίοις εὐθὺς ἡ ἀγγελία τῶν πόλεων ὅτι ἀφεστᾶσι· καὶ πέμπουσιν, ὡς ᾔσθοντο καὶ τοὺς μετὰ Ἀριστέως ἐπιπαρόντας, δισχιλίους ἑαυτῶν ὁπλίτας καὶ τεσσαράκοντα ναῦς πρὸς τὰ ἀφεστῶτα καὶ Καλλίαν τὸν Καλλιάδου πέμπτον αὐτὸν στρατηγόν. Οἳ ἀφικόμενοι ἐς Μακεδονίαν πρῶτον καταλαμβάνουσι τοὺς προτέρους χιλίους Θέρμην ἄρτι ᾑρηκότας καὶ Πύδναν πολιορκοῦντας. Προσκαθεζόμενοι δὲ καὶ αὐτοὶ τὴν Πύδναν ἐπολιόρκησαν μέν, ἔπειτα δὲ ξύμβασιν ποιησάμενοι καὶ ξυμμαχίαν ἀναγκαίαν πρὸς τὸν Περδίκκαν, ὡς αὐτοὺς κατήπειγεν ἡ Ποτίδαια καὶ ὁ Ἀριστεὺς παρεληλυθώς, ἀπανίστανται ἐκ τῆς Μακεδονίας, καὶ ἀφικόμενοι ἐς Βέροιαν κἀκεῖθεν ἐπιστρέψαντες καὶ πειράσαντες πρῶτον τοῦ χωρίου καὶ οὐχ ἑλόντες ἐπορεύοντο κατὰ γῆν πρὸς τὴν Ποτίδαιαν, τρισχιλίοις μὲν ὁπλίταις ἑαυτῶν, χωρὶς δὲ τῶν ξυμμάχων πολλοῖς, ἱππεῦσι δὲ ἑξακοσίοις Μακεδόνων τοῖς μετὰ Φιλίππου καὶ Παυσανίου· ἅμα δὲ νῆες παρέπλεον ἑβδομήκοντα. Κατ' ὀλίγον δὲ προϊόντες τριταῖοι ἀφίκοντο ἐς Γίγωνον καὶ ἐστρατοπεδεύσαντο.

62. Ποτιδαιᾶται δὲ καὶ οἱ μετὰ Ἀριστέως Πελοποννήσιοι προσδεχόμενοι τοὺς Ἀθηναίους ἐστρατοπεδεύοντο πρὸς Ὀλύνθου ἐν τῷ ἰσθμῷ, καὶ ἀγορὰν ἔξω τῆς πόλεως ἐπεποίηντο.

61. *πέμπτον αὐτὸν*] i. e. 'ipsum cum quatuor collegis.' V. Dorv. ad Charit. p. 262.

κἀκεῖθεν—πειράσαντες] Thom. M. in *πειρῶ*. Mœr. in *πειράσαντες*. Conf. Eustath. ad Il. iv. p. 445. (338, 37.) 'Tentandi' significatu Thuc. activo *πειρᾶν* utitur, velut vii, 12. *τῶν τειχῶν ἡμῶν πειρᾶν*, quem locum adscripsit Eustath. l. l. iv, 25. *καὶ προσβάλλοντες—ταῖς ναυσὶν ἐπείρων*, ubi vulgo *ἐπειρῶντο* legitur, sed e libris activum reponendum. iv, 70. *τῆς Νισαίας πειρᾶσαι*. At 'conandi' significatione plerumque medium ponit, non tamen semper; nam supr. c. 50. *πειρῶσιν* est 'conentur,' et iv, 132. *πειρᾶσθαι Θεσσαλῶν* dixit, 'tentare Thessalos.' Deinde *ἐπιστρέφειν*, Thiersch. inquit in Act. Phil. Mon. t. iii. p. 454., sensu medio significat aut 'se convertere' in aliquem, aut 'redire in viam quam veneris.' Jungendum *κἀκεῖθεν ἐπιστρέψαντες*, 'atque inde conversi sive reversi.' Jam vero non videntur coire *καὶ πειράσαντες πρῶτον τοῦ χωρίου*. Res ipsa enim et adverbium *πρῶτον* postulant, ut ante abscessum oppidum tentaverint. Hinc Thiersch. conjecerat, pro *καὶ πειράσαντες πρῶτον* scribendum esse *καταπειράσαντες πρῶτον*, quo verbo in hac re plerumque utitur Polyb. Sed cum Thucydides hoc composito prorsus abstinuerit, et aut simplice *πειρᾶν* aut composito *ἀποπειρᾶν* usus sit, notionum potius trajectionem statuendam esse existimat, qualem statui posse docet geminus fere locus, vii, 38. *τῆς δὲ ἡμέρας ἐπὶ πολὺ προσπλέοντες, καὶ ἀνακρουόμενοι καὶ πειράσαντες ἀλλήλων καὶ οὐδέτεροι δυνάμενοι ἄξιόν τι λόγου παραλαβεῖν—διεκρίθησαν*· nam in his quoque prius tentabant semel invicem, quam repellerentur. Hinc interpretari possis, 'et illinc reversi, ac tentato quidem primum oppido nec capto, terra Potidæam proficiscebantur.'

Στρατηγὸν μὲν τοῦ πεζοῦ παντὸς οἱ ξύμμαχοι ᾕρηντο Ἀριστέα, τῆς δὲ ἵππου Περδίκκαν· ἀπέστη γὰρ εὐθὺς πάλιν τῶν Ἀθηναίων καὶ ξυνεμάχει τοῖς Ποτιδαιάταις, Ἰόλαον ἀνθ' αὑτοῦ καταστήσας ἄρχοντα. Ἦν δὲ ἡ γνώμη τοῦ Ἀριστέως τὸ μὲν μεθ' ἑαυτοῦ στρατόπεδον ἔχοντι ἐν τῷ ἰσθμῷ ἐπιτηρεῖν τοὺς Ἀθηναίους, ἢν ἐπίωσι, Χαλκιδέας δὲ καὶ τοὺς ἔξω ἰσθμοῦ ξυμμάχους καὶ τὴν παρὰ Περδίκκου διακοσίαν ἵππον ἐν Ὀλύνθῳ μένειν· καὶ ὅταν Ἀθηναῖοι ἐπὶ σφᾶς χωρῶσι, κατὰ νώτου βοηθοῦντας ἐν μέσῳ ποιεῖν αὐτῶν τοὺς πολεμίους. Καλλίας δ' αὖ ὁ τῶν Ἀθηναίων στρατηγὸς καὶ οἱ ξυνάρχοντες τοὺς μὲν Μακεδόνας ἱππέας καὶ τῶν ξυμμάχων ὀλίγους ἐπὶ Ὀλύνθου ἀποπέμπουσιν, ὅπως εἴργωσι τοὺς ἐκεῖθεν ἐπιβοηθεῖν, αὐτοὶ δ' ἀναστήσαντες τὸ στρατόπεδον ἐχώρουν ἐπὶ τὴν Ποτίδαιαν. Καὶ ἐπειδὴ πρὸς τῷ ἰσθμῷ ἐγένοντο καὶ εἶδον τοὺς ἐναντίους παρασκευαζομένους ὡς ἐς μάχην, ἀντικαθίσταντο καὶ αὐτοί. Καὶ οὐ πολὺ ὕστερον ξυνέμισγον. Καὶ αὐτὸ μὲν τὸ τοῦ Ἀριστέως κέρας καὶ ὅσοι περὶ ἐκεῖνον ἦσαν Κορινθίων τε καὶ τῶν ἄλλων λογάδες, ἔτρεψαν τὸ καθ' ἑαυτοὺς καὶ ἐπεξῆλθον διώκοντες ἐπὶ πολύ· τὸ δὲ ἄλλο στρατόπεδον τῶν τε Ποτιδαιατῶν καὶ τῶν Πελοποννησίων ἡσσᾶτο ὑπὸ τῶν Ἀθηναίων καὶ ἐς τὸ τεῖχος κατέφυγεν.

63. Ἐπαναχωρῶν δὲ ὁ Ἀριστεὺς ἀπὸ τῆς διώξεως ὡς ὁρᾷ τὸ ἄλλο στράτευμα ἡσσημένον, ἠπόρησε μὲν ὁποτέρωσε διακινδυνεύσῃ χωρήσας, ἢ ἐπὶ τῆς Ὀλύνθου ἢ ἐς τὴν Ποτίδαιαν, ἔδοξε δ' οὖν ξυναγαγόντι τοὺς μεθ' ἑαυτοῦ ὡς ἐς ἐλάχιστον χωρίον, δρόμῳ βιάσασθαι ἐς τὴν Ποτίδαιαν. Καὶ παρῆλθε

62. *στρατηγὸν μὲν*] Quod vulgo addunt his verbis *οὖν δὴ*, cum optimis libris omisi et cum Phavorino, qui *στρατηγὸν—Περδίκκαν* adscripsit in *ἄρχει*.

ἀπέστη] Aor. pro plusquamp. V. Matth. Gr. § 497. Obs. Buttm. Gr. § 124, 3. not. 1.

ἔχοντι] Vulgo *ἔχοντα*. Dativum offerunt A. B. C. F. H. f. g. h. Constructio ad sensum facta, nam verborum *τοῦ Ἀριστέως γνώμη ἦν* idem sensus ac si dixisset *τῷ Ἀριστεῖ ἔδοξε*.

τοὺς ἐκεῖθεν] V. Buttm. Gr. § 138, 8. Matth. § 596. Mox dedi *ἔτρεψαν* pro *ἐτρέψαντο* ex G. H. K. S., quamquam ap. Charit. p. 123. Amst. legitur *πρῶτος ἐτρέψατο τοὺς καθ' αὑτὸν*, ubi Dorv. nostri loci non immemor fuit.

63. *ὡς ἐς ἐλάχιστον*] Præpositio *ἐς* hic prorsus necessaria, ut est supra c. 50. in verbis *ὡς ἐς ἐπίπλουν*, vulgo secluditur. V. ad viii, 103. Verba autem *ὡς ἐς ἐλάχιστον* junge cum *ξυναγαγόντι*, i. e. 'suis in quam minimum spatium contractis.' Particulæ *ὡς* et *ὅτι* a superlativo interdum interposita præpositione separantur. Conf. supr. c. 33. iii, 46. *ὅτι ἐν βραχυτάτῳ*. Phavorin. in *ἐπιχειρεῖ* citat: *Θουκυδίδης· ἐπεχείρουν βιάσασθαι δρόμῳ εἰς τὴν Ποτίδαιαν*.

παρὰ τὴν χηλὴν διὰ τῆς θαλάσσης βαλλόμενός τε καὶ χαλεπῶς, ὀλίγους μέν τινας ἀποβαλὼν, τοὺς δὲ πλείους σώσας. Οἱ δ' ἀπὸ τῆς Ὀλύνθου τοῖς Ποτιδαιάταις βοηθοὶ, ἀπέχει δὲ ἑξήκοντα μάλιστα σταδίους καὶ ἔστι καταφανὲς, ὡς ἡ μάχη ἐγίγνετο καὶ τὰ σημεῖα ἤρθη, βραχὺ μέν τι προῆλθον ὡς βοηθήσοντες, καὶ οἱ Μακεδόνες ἱππῆς ἀντιπαρετάξαντο ὡς κωλύσοντες· ἐπειδὴ δὲ διὰ τάχους ἡ νίκη τῶν Ἀθηναίων ἐγίγνετο καὶ τὰ σημεῖα κατεσπάσθη, πάλιν ἐπανεχώρουν ἐς τὸ τεῖχος καὶ οἱ Μακεδόνες παρὰ τοὺς Ἀθηναίους· ἱππῆς δ' οὐδετέροις παρεγένοντο. Μετὰ δὲ τὴν μάχην τροπαῖον ἔστησαν οἱ Ἀθηναῖοι καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Ποτιδαιάταις. Ἀπέθανον δὲ Ποτιδαιατῶν μὲν καὶ τῶν ξυμμάχων ὀλίγῳ ἐλάσσους τριακοσίων, Ἀθηναίων δὲ αὐτῶν πεντήκοντα καὶ ἑκατὸν καὶ Καλλίας ὁ στρατηγός.

64. Τὸ δ' ἐκ τοῦ ἰσθμοῦ τεῖχος εὐθὺς οἱ Ἀθηναῖοι ἀποτειχίσαντες ἐφρούρουν· τὸ δ' ἐς τὴν Παλλήνην ἀτείχιστον ἦν· οὐ γὰρ ἱκανοὶ ἐνόμιζον εἶναι ἔν τε τῷ ἰσθμῷ φρουρεῖν καὶ ἐς τὴν Παλλήνην διαβάντες τειχίζειν, δεδιότες μὴ σφίσιν οἱ Ποτιδαιᾶται καὶ οἱ ξύμμαχοι γιγνομένοις δίχα ἐπιθῶνται. Καὶ πυνθανόμενοι οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τὴν Παλλήνην ἀτείχιστον οὖσαν, χρόνῳ ὕστερον πέμπουσιν ἑξακοσίους καὶ χιλίους ὁπλίτας ἑαυτῶν καὶ Φορμίωνα τὸν Ἀσωπίου στρατηγόν. Ὃς ἀφικόμενος ἐς τὴν Παλλήνην καὶ ἐξ Ἀφύτιος ὁρμώμενος προσήγαγε τῇ Ποτιδαίᾳ τὸν στρατὸν κατὰ βραχὺ προϊὼν καὶ κείρων ἅμα τὴν γῆν. Ὡς δὲ οὐδεὶς ἐπεξῄει ἐς μάχην, ἀπετείχισε τὸ ἐκ τῆς Παλλήνης

χηλὴν] Schol. (quem exscripsit Suidas in χηλαί) χηλὴ καλεῖται οἱ ἔμπροσθεν τοῦ πρὸς θάλασσαν τείχους προβεβλημένοι λίθοι διὰ τὴν τῶν κυμάτων βίαν, μὴ τὸ τεῖχος βλάπτοιτο· εἴρηται δὲ παρὰ τὸ ἐοικέναι χηλῇ βοός. Kuhn. ad Polluc. i, 99. interpretatur 'extremum litoris vel continentis procurrens in mare instar ungulæ;' quæ est in pede bovis vel equi. Et potest sane utraque explicatio conjungi, si quos schol. lapides dicit in eam formam ad litus compositos esse cogites, ut fluctuum impetum utrinque quasi cornibus arcerent, vel brachiis. V. de Sit. et Orig. Syr. p. 76.

ἀπέθανον δὲ] Epitaphium in Athenienses hac pugna occisos nuper inventum explicat Thiersch. in Act. Phil. Mon. t. ii. p. 395.

64. ἀποτειχίσαντες] Suidas, ἀποτειχίζων, ἀποφράσσων. Harpocr., ex eoque Suidas, ἀποτειχίσαι, τὸ ἀπολαβεῖν τείχει καὶ ἀποκλεῖσαι τῆς ἐξόδου· ἀποτετειχισμένος δὲ, ὁ ἀπειλημμένος καὶ ἀποκεκλεισμένος τῷ τείχει. Ἀντιφῶν καὶ Θουκυδίδης. Add. Anecd. Bekk. i. p. 437. Phavorin. in ἀποτειχίσαι. De circumvallatione dixi in lib. de Sit. et Or. Syr. c. xxvii. p. 90.

Ἀφύτιος] Schol. Ἰωνικῶς εἶπεν Ἀφύτιος· ἔδει γὰρ διὰ τοῦ ὁ. V. Popp. Prol. t. i. p. 231.

τεῖχος· καὶ οὕτως ἤδη κατὰ κράτος ἡ Ποτίδαια ἀμφοτέρωθεν ἐπολιορκεῖτο καὶ ἐκ θαλάσσης ναυσὶν ἅμα ἐφορμούσαις.

65. Ἀριστεὺς δὲ ἀποτειχισθείσης αὐτῆς καὶ ἐλπίδα οὐδεμίαν ἔχων σωτηρίας, ἢν μή τι ἀπὸ Πελοποννήσου ἢ ἄλλο παρὰ λόγον γίγνηται, ξυνεβούλευε μὲν πλὴν πεντακοσίων ἄνεμον τηρήσασι τοῖς ἄλλοις ἐκπλεῦσαι, ὅπως ἐπὶ πλέον ὁ σῖτος ἀντισχῇ, καὶ αὐτὸς ἤθελε τῶν μενόντων εἶναι. Ὡς δ' οὐκ ἔπειθε, βουλόμενος τὰ ἐπὶ τούτοις παρασκευάζειν, καὶ ὅπως τὰ ἔξωθεν ἕξει ὡς ἄριστα, ἔκπλουν ποιεῖται λαθὼν τὴν φυλακὴν τῶν Ἀθηναίων. Καὶ παραμένων ἐν Χαλκιδεῦσι τά τε ἄλλα ξυνεπολέμει καὶ Ἑρμυλίων λοχήσας πρὸς τῇ πόλει πολλοὺς διέφθειρεν· ἔς τε τὴν Πελοπόννησον ἔπρασσεν ὅπη ὠφέλειά τις γενήσεται. Μετὰ δὲ τῆς Ποτιδαίας τὴν ἀποτείχισιν Φορμίων μὲν ἔχων τοὺς ἑξακοσίους καὶ χιλίους τὴν Χαλκιδικὴν καὶ Βοττικὴν ἐδῄου, καὶ ἔστιν ἃ καὶ πολίσματα εἷλε.

66. Τοῖς δ' Ἀθηναίοις καὶ Πελοποννησίοις αἰτίαι μὲν αὗται προσγεγένηντο ἐς ἀλλήλους· τοῖς μὲν Κορινθίοις ὅτι τὴν Ποτίδαιαν ἑαυτῶν οὖσαν ἀποικίαν καὶ ἄνδρας Κορινθίων τε καὶ Πελοποννησίων ἐν αὐτῇ ὄντας ἐπολιόρκουν· τοῖς δ' Ἀθηναίοις ἐς τοὺς Πελοποννησίους ὅτι ἑαυτῶν τε πόλιν ξυμμαχίδα καὶ φόρου ὑποτελῆ ἀπέστησαν, καὶ ἐλθόντες σφίσιν ἀπὸ τοῦ προφανοῦς ἐμάχοντο μετὰ Ποτιδαιατῶν. Οὐ μέν-

65. παρὰ λόγον] Vulgo παράλογον. 'Quod ap. Thuc. i, 78. legitur, τοῦ πολέμου τὸν παράλογον, conferunt interpretes cum hujusmodi dictionibus ὁ πλεῖστος τοῦ χρόνου, i, 5. Putarunt igitur, Thucydidem voce παράλογος ut adjectivo usum esse: quod nunquam fecit. Vid. ii, 61. 85. iii, 16. vii, 28. 55. 61. viii, 24. Cui sententiæ qui loci repugnare videntur, nulla opera corrigi possunt. Sunt autem hi, vii, 71. extr. ἢν μή τι παράλογον γίγνηται, ubi παρὰ λόγον scribendum, (conf. ii, 64. vi, 33.) et i, 65. ἢν μή τι ἀπὸ Πελοποννήσου ἢ ἄλλο παράλογον γένηται, ubi eadem emendatione adhibita ad ἄλλο ex prægressis repete pronomen τι. Pro ἄλλο exspectaveris ἄλλοθεν, sed conf. v, 80. καὶ ὁπόσα ἀλλήλων πολέμῳ ἢ εἴ τι ἄλλο εἶχον. Etiam ii, 90. γενομένου τούτου τοῦ ἀπροσδοκήτου καὶ παραλόγου. Τοῦ cum nonnullis libris omittendum, et ex optimis codd. παρὰ λόγον reponendum. Denique i, 140. διόπερ καὶ τὴν τύχην, ὅσα ἂν παρὰ λόγον ξυμβῇ, pro vulgato παραλόγως, præstant codices. Eandem confusionem deprehendimus iv, 55. 56.' Krueger. Comm. Thuc. p. 267. Photius bis: παράλογον λέγουσιν ἀρσενικῶς οἵ τε ἄλλοι καὶ μάλιστα Θουκυδίδης τὸ παράδοξον καὶ ὃ οὐκ ἄν τις προσδοκήσειεν, οἷον· τοῦ πολέμου τὸν παράλογον, καί· ὅτι ἐγένετο πολὺς ὁ παράλογος. Eadem Suidas iterat in v., additis ex aliis scriptoribus exemplis. Adde Thom. M. in v., qui adscripsit locum ex i, 78., quem item Phot.; schol. Lucian. t. v. p. 8. Polluc. ii, 119. interpp. ad Thom. M. et Steph. Append. ad Scriptt. de Dial. Att. p. 157. Elmsl. ad Eur. Bacch. 938.

Ἑρμυλίων] Vulgo Σερμυλίων. Correxerunt Peyron. Notit. Libror. Valpergæ, p. 28. et Popp. Prol. t. ii. p. 367.

ὅπη—γενήσεται] Tusanus emendavit ὅπως, et sic hæc verba adscripsit Popp. l. l. t. i. p. 142.

τοι ὅ γε πόλεμός πω ξυνεῤῥώγει, ἀλλ' ἔτι ἀνακωχὴ ἦν· ἰδίᾳ γὰρ ταῦτα οἱ Κορίνθιοι ἔπραξαν.

67. Πολιορκουμένης δὲ τῆς Ποτιδαίας οὐχ ἡσύχαζον, ἀνδρῶν τε σφίσιν ἐνόντων καὶ ἅμα περὶ τῷ χωρίῳ δεδιότες· παρεκάλουν τε εὐθὺς ἐς τὴν Λακεδαίμονα τοὺς ξυμμάχους καὶ κατεβόων ἐλθόντες τῶν Ἀθηναίων ὅτι σπονδάς τε λελυκότες εἶεν καὶ ἀδικοῖεν τὴν Πελοπόννησον. Αἰγινῆταί τε φανερῶς μὲν οὐ πρεσβευόμενοι, δεδιότες τοὺς Ἀθηναίους, κρύφα δὲ, οὐχ ἥκιστα μετ' αὐτῶν ἐνῆγον τὸν πόλεμον, λέγοντες οὐκ εἶναι αὐτόνομοι κατὰ τὰς σπονδάς. Οἱ δὲ Λακεδαιμόνιοι, προσπαρακαλέσαντες τῶν ξυμμάχων καὶ εἴ τίς τι ἄλλο ἔφη ἠδικῆσθαι ὑπὸ Ἀθηναίων, ξύλλογον σφῶν αὐτῶν ποιήσαντες τὸν εἰωθότα λέγειν ἐκέλευον. Καὶ ἄλλοι τε παριόντες ἐγκλήματα ἐποιοῦντο ὡς ἕκαστοι καὶ Μεγαρῆς, δηλοῦντες μὲν καὶ ἕτερα οὐκ ὀλίγα διάφορα, μάλιστα δὲ λιμένων τε εἴργεσθαι τῶν ἐν τῇ Ἀθηναίων ἀρχῇ καὶ τῆς

66. *ξυνεῤῥώγει*] Zonar. male *συνεῤῥάγησαν· διεκόπησαν*. V. Valck. ad Eur. Hippol. p. 309.

67. *Αἰγινῆταί τε—τὸν πόλεμον*] Particulas *μὲν—δὲ* interdum ad ea tantum ipsa, quæ opposita inter se sunt, referri, manente constructione participii, observavit Herm. ad Soph. El. 1059., secundum quæ particulæ illæ h. l. ita positæ fuerint, quasi scripsisset *οὐκ ἐπρεσβεύοντο μὲν, κρύφα δὲ ἐνῆγον*. Idem de h. l. judicavit Buttm. ad Dem. Or. Midian. Exc. 12. p. 149., qui solius particulæ *δὲ* in eadem per protasin et apodosin structura exemplum protulit e Xenoph. Mem. iii, 7, 8. *θαυμάζω σου, εἰ ἐκείνους* (homines politicos) *ῥᾳδίως χειρούμενος, τούτοις δὲ* (multitudini hominum) *μηδένα τρόπον οἴει δυνήσεσθαι προσενεχθῆναι*, et ex Isocr. d. Permut. 26. *ὅτι δέον αὐτοὺς τὴν φρόνησιν ἀσκεῖν μᾶλλον τῶν ἄλλων οἱ δὲ χεῖρον πεπαίδευνται τῶν ἰδιωτῶν*. Sed noster locus ex eorum numero eximi potest, si comma post *κρύφα δὲ* ponas, repetito participio *πρεσβ*. Conf. c. 95. *ἐκεῖνον μὲν οὐκέτι ἐκπέμπουσιν ἄρχοντα, Δόρκιν δέ*. c. 125. *ἐνιαυτὸς μὲν οὐ διετρίβη, ἔλασσον δέ*. ii, 98. *πορευομένῳ αὐτῷ ἀπεγίγνετο μὲν οὐδὲν τοῦ στρατοῦ,—προσεγίγνετο δέ*. Xen. H. Gr. iii, 2, 8. *τὸ αἴτιον τοῦ νῦν μὲν μὴ ἐξαμαρτάνειν, τότε δὲ, αὐτοὶ ἤδη ἱκανοὶ ἐστε γιγνώσκειν*. Quam rationem, a Kruegero ad Dionys. p. 110. initam, secutus hic sum, quanquam alibi quoque exempla structuræ supra illustratæ ap. nostrum scriptorem reperiemus. Ceterum conf. Wyttenb. ad Julian. p. 196.

τῶν ξυμμάχων—ἄλλο] Ita vulgo exhibetur, *ξυμμάχων τε καὶ εἴ τίς τι ἄλλο*. F. H. f. g. h. omittunt illud *τε*, recte; nam, quod Haack. animadvertit, in vulgata offensioni sunt verba *τι ἄλλο*, pro quibus scribi debebat vel *τῶν ἄλλων*, vel *εἴ τις ἄλλος*, vel *εἴ τί τις ἄλλος*. Omnibus his correctionibus supersedere possumus, ejecta particula *τε*, quo facto hæc sententia est: 'Lacedæmonii vero sociorum præterea advocatis, si qui alia quapiam in re se ab Atheniensibus injuriam accepisse dicerent, legitimo suæ gentis concilio facto, qui vellent, eos dicere jusserunt.'

λιμένων—εἴργεσθαι] Schol. *φασὶν ὅτι Περικλῆς, μέλλων λόγον δοῦναι τῶν χρημάτων τοῦ ἀγάλματος, ὃ κατεσκεύασεν ὁ Φειδίας, ἠθύμει· ἰδὼν οὖν αὐτὸν ὁ Ἀλκιβιάδης παῖς ὢν, ἤρετο ὅ τι ἀθυμεῖ· τοῦ δὲ φήσαντος ὅτι διὰ τοῦτο ἀθυμῶ, ὅπως δώσω λόγον τῶν χρημάτων, ἐκεῖνος φθάσας εἶπε, μᾶλλον σκοπεῖ ὅπως μὴ δώσεις. Ὁ δὲ ὑπολαβὼν τὸν λόγον, εἰσάγει ψῆφον εἰς τὴν πόλιν κατὰ Μεγαρέων, ἀξιῶν αὐτοὺς εἴργεσθαι λιμένων καὶ ἀγορᾶς. Καὶ τῶν Ἀθηναίων θορυβηθέντων αὐτὸς ἐκφεύγει. Οἱ δὲ φασὶν ὅτι διὰ τοῦτο τὴν ψῆφον εἰσήγαγε, διότι οἱ Μεγαρεῖς Ἀσπασίαν τὴν διδάσκαλον Περικλέους ὕβρισαν, πόρνην αὐτὴν ἀποκαλέσαντες*. Hæ nugæ, ex quo fonte fluxerint, facile quilibet intelligit. V. Aristoph. Ach. 525. Ran. 1337., unde sua

Ἀττικῆς ἀγορᾶς παρὰ τὰς σπονδάς. Παρελθόντες δὲ τελευταῖοι Κορίνθιοι καὶ τοὺς ἄλλους ἐάσαντες πρῶτον παροξῦναι τοὺς Λακεδαιμονίους ἐπεῖπον τοιάδε.

68. Τὸ πιστὸν ὑμᾶς, ὦ Λακεδαιμόνιοι, τῆς καθ' ὑμᾶς αὐτοὺς πολιτείας καὶ ὁμιλίας ἀπιστοτέρους ἐς τοὺς ἄλλους, ἤν τι λέγωμεν, καθίστησι· καὶ ἀπ' αὐτοῦ σωφροσύνην μὲν ἔχετε, ἀμαθίᾳ δὲ πλέονι πρὸς τὰ ἔξω πράγματα χρῆσθε. Πολλάκις γὰρ προαγορευόντων ἡμῶν ἃ ἐμέλλομεν ὑπὸ Ἀθηναίων βλάπτεσθαι, οὐ περὶ ὧν ἐδιδάσκομεν ἑκάστοτε τὴν μάθησιν ἐποιεῖσθε, ἀλλὰ τῶν λεγόντων μᾶλλον ὑπενοεῖτε ὡς ἕνεκεν τῶν αὐτοῖς ἰδίᾳ διαφόρων λέγουσι· καὶ δι' αὐτὸ οὐ πρὶν πάσχειν, ἀλλ' ἐπειδὴ ἐν τῷ ἔργῳ ἐσμέν, τοὺς ξυμμάχους τούσδε παρεκαλέσατε ἐν οἷς προσήκει ἡμᾶς οὐχ ἥκιστα εἰπεῖν, ὅσῳ καὶ μέγιστα ἐγκλήματα ἔχομεν, ὑπὸ μὲν Ἀθηναίων ὑβριζόμενοι, ὑπὸ δὲ ὑμῶν ἀμελούμενοι. Καὶ εἰ μὲν ἀφανεῖς που ὄντες ἠδίκουν τὴν Ἑλλάδα, διδασκαλίας ἂν ὡς οὐκ εἰδόσι προσέδει. Νῦν δὲ τί δεῖ μακρηγορεῖν, ὧν τοὺς μὲν δεδουλωμένους ὁρᾶτε, τοῖς δ' ἐπιβουλεύοντας αὐτούς, καὶ οὐχ ἥκιστα τοῖς ἡμετέροις ξυμμάχοις καὶ ἐκ πολλοῦ προπαρεσκευασμένους, εἴ ποτε πολεμήσονται. Οὐ γὰρ ἂν Κέρκυ-

habet Tzetzes, Chiliad. xi, 955. 961. Conf. Boeckh. Staatsh. d. Ath. i. p. 209.

68. Corinthii conqueruntur de lentitudine et tarditate Lacedæmoniorum; unde quid damni et ipsis et eorum sociis oriatur, ostendunt; atque Atheniensium ingenium mobile ac industrium ex adverso ponentes, ad bellum sine mora movendum adhortantur.

τὸ πιστὸν] Neutrum adjectivum cum articulo sæpissime substantivi vim habet: v. Popp. Prol. t. i. p. 168. Sensum hujus periodi bene Heilm. reddidit, 'The honourable conduct which you have observed in the management of public affairs, and your entire behaviour, makes you not yield a ready belief to us, when we have to complain of others: and hence it is, your generally renowned conduct in your own peculiar concerns causes you not to have a clear insight into affairs which are foreign to you.'

λεγόντων—ὑπενοεῖτε] Anecd. Bekk. i. p. 178. corrupte, *ὑπονοῶ γενικῇ. Θουκυδίδης πρώτῳ· ἀλλὰ τῶν λεγόντων μᾶλλον ὑπονοεῖται.* At genitivus non a verbo *ὑπονοεῖν*, sed ex tota formula *ὡς λέγουσι*, pendet, idem significante quod *τὸ λέγειν*, ut sit quasi *ἀλλὰ τῶν λεγόντων ὑπενοεῖτε τὸ λέγειν ἕνεκεν τῶν αὐτ. ἰδ. διαφ.*, ut docuit Poppo, allatis his verbis Xenoph. Cyrop. v, 2, 18. *ἐνενόησε δὲ αὐτῶν καὶ ὡς ἐπηρώτων ἀλλήλους τοιαῦτα*, ut sit pro *ἐνενόησε τὸ ἐπερωτῆσαι ἀλλήλ. τ.* V. Prol. t. i. p. 122. Præsens autem *λέγουσι* positum, quia oratio recta et obliqua, ut solet, permutatæ sunt. V. Matth. Gr. § 507, 3. Adverbium *ἰδίᾳ* eodem modo substantivo adjungitur, ut adverbia temporis *νῦν, πρότερον, πάλαι*, et similia, et loci, ut *ἐκεῖ, ὧδε, ἐκεῖθεν, ἐνταῦθα*, et similia, articulo præfixo. Conf. i, 95. *τῶν ἰδίᾳ ἀδικημάτων.*

πολεμήσονται] i. e. 'quando bellum iis inferetur.' Conf. Strab. p. 428. B. *Μεσσήνη δὲ πολεμηθεῖσα.* Mox *ἀποχρῆσθαι* est 'abuti' eo sensu quo Latini quoque pro 'uti' usurpant. Verte, 'very conveniently situated for obtaining necessaries for the peninsula of Chalcis.' Præpositionis *ἀπὸ* in hac compositione eadem vis quæ in v. *ἀποζῆν* cap. 2., et respondet nostro 'therefrom.' Fortassis ad h. l. respexerunt Suidas et Zonar. in *ἐπιχρῆσθαι.* V. ad i, 41. Nam vulgata h. l. olim erat *ἐπιχρῆσθαι*, ex bonis libris jam correcta.

οὐ γὰρ ἂν—εἶχον] Thom. M. in *ὑπάγω.*

ράν τε ὑπολαβόντες βίᾳ ἡμῶν εἶχον καὶ Ποτίδαιαν ἐπολιόρκουν, ὧν τὸ μὲν ἐπικαιρότατον χωρίον πρὸς τὰ ἐπὶ Θρᾴκης ἀποχρῆσθαι, ἡ δὲ ναυτικὸν ἂν μέγιστον παρέσχε Πελοποννησίοις.

69. Καὶ τῶνδε ὑμεῖς αἴτιοι τό τε πρῶτον ἐάσαντες αὐτοὺς τὴν πόλιν μετὰ τὰ Μηδικὰ κρατῦναι καὶ ὕστερον τὰ μακρὰ στῆσαι τείχη, ἐς τόδε τε ἀεὶ ἀποστεροῦντες οὐ μόνον τοὺς ὑπ' ἐκείνων δεδουλωμένους ἐλευθερίας, ἀλλὰ καὶ τοὺς ἡμετέρους ἤδη ξυμμάχους. Οὐ γὰρ ὁ δουλωσάμενος, ἀλλ' ὁ δυνάμενος μὲν παῦσαι, περιορῶν δὲ, ἀληθέστερον αὐτὸ δρᾷ, εἴπερ καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς ὡς ἐλευθερῶν τὴν Ἑλλάδα φέρεται. Μόλις δὲ νῦν τε ξυνήλθομεν καὶ οὐδὲ νῦν ἐπὶ φανεροῖς. Χρῆν γὰρ οὐκ εἰ ἀδικούμεθα ἔτι σκοπεῖν, ἀλλὰ καθ' ὅτι ἀμυνούμεθα. Οἱ γὰρ δρῶντες βεβουλευμένοι πρὸς οὐ διεγνωκότας ἤδη καὶ οὐ μέλλοντες ἐπέρχονται. Καὶ ἐπιστάμεθα οἵᾳ ὁδῷ οἱ Ἀθηναῖοι καὶ ὅτι κατ' ὀλίγον χωροῦσιν ἐπὶ τοὺς πέλας. Καὶ λανθάνειν μὲν οἰόμενοι διὰ τὸ ἀναίσθητον ὑμῶν ἧσσον θαῤῥοῦσι· γνόντες δὲ εἰδότας περιορᾶν ἰσχυρῶς ἐγκείσονται. Ἡσυχάζετε γὰρ μόνοι Ἑλλήνων, ὦ Λακεδαιμόνιοι, οὐ τῇ δυνάμει τινὰ ἀλλὰ τῇ μελλήσει ἀμυνόμενοι, καὶ μόνοι

Mox *δεδουλωμένους* agnoscit Pollux iii, 75.

69. *καὶ τῶνδε—κρατῦναι*] Hoc loco usus est Aristid. d. Dict. Civ. c. 5. item statim sequentibus *ἡσυχάζετε — Ἑλλήνων*. Mox *ἡμετέρους* scripturam codicum I. K. L. O. Q. S. g. prætuli vulgatæ *ὑμετέρους*.

οὐ γὰρ ὁ δουλωσάμενος—δρᾷ] Stobæus p. 311. et Hermogen., et partem verborum *ὁ δυνάμενος—δρᾷ* schol. Greg. Naz. Invect. i. p. 32. Imitatus est Proclus ad Hesiod. p. 149. Gaisf. Ad pronomen *αὐτὸ* supple *τὸ δουλοῦσθαι*. Mox verba *καὶ τὴν ἀξίωσιν—φέρεται* adscripsit Thom. M. in *ἀξιῶ*.

οἱ γὰρ—καὶ οὐ μέλλοντες] Schol. *οἱ γὰρ* Athenienses *μετὰ σκέψεως εἰς τὴν πρᾶξιν ἐρχόμενοι οὐκ ἀναβεβλημένως ἔρχονται κατὰ τῶν ἀγνοούντων*. Lindav. Spicil. p. 2. perperam conjecit *μέλλοντας*, sc. *διαγνῶναι*, quo sententia obscuratur, idque volens scriptor dixisset *πρὸς οὔτε διεγνωκότας ἤδη, οὔ τε* (vel *οὐδὲ*) *μέλλοντας*. Nimirum contraria sunt *δρῶντες καὶ οὐ μέλλοντες*, tum *βεβουλευμένοι ἤδη* et *οὐ διεγνωκότες*, nam *ἤδη* arcte cum illo participio jungendum; a scriptore autem, ut solet, trajectum est.

καὶ ἐπιστάμεθα—ὁδῷ] Ulpian. ad Dem. Ol. p. 5. Wolf. observavit imitationem Demostheneam hujus loci, sed memoriter adscripsit verba *καὶ ἴσμεν οἵᾳ ὁδῷ χωροῦσιν οἱ Ἀθηναῖοι ἐπὶ τοὺς πέλας*. Proxime sequentia cum Heilm. verte, 'Whilst your indifference leaves them under the impression that nobody notices their doings, they are not yet so very bold; but as soon as they shall find out that you are aware of it, and do not pay attention to it, they will apply themselves to it with all their might.' Sive, 'et eo quidem quod facinora sua, propter vestram inertiam, occulta fore putabunt, non tam audaces erunt, quam cum cognoverint, vos ea quidem scire, sed negligere, vehementer incumbent.'

ἡσυχάζετε—ἐκράτει] Aristid. d. Dict. Civ. i, 5., ubi pro *γὰρ* est *δέ*. Heilm. 'You, Lacedæmonians, are indeed the only Greeks who do not help one with arms in hand, but with long threatening: you alone act according to the singular principle to overthrow the power of your enemies, not in its first growth, but after it has doubled its strength. It has always

οὐκ ἀρχομένην τὴν αὔξησιν τῶν ἐχθρῶν, διπλασιουμένην δὲ καταλύοντες. Καίτοι ἐλέγεσθε ἀσφαλεῖς εἶναι ὧν ἄρα ὁ λόγος τοῦ ἔργου ἐκράτει. Τόν τε γὰρ Μῆδον αὐτοὶ ἴσμεν ἐκ περάτων γῆς πρότερον ἐπὶ τὴν Πελοπόννησον ἐλθόντα ἢ τὰ παρ' ὑμῶν ἀξίως προαπαντῆσαι, καὶ νῦν τοὺς Ἀθηναίους οὐχ ἑκὰς ὥσπερ ἐκεῖνον, ἀλλ' ἐγγὺς ὄντας περιορᾶτε, καὶ ἀντὶ τοῦ ἐπελθεῖν αὐτοὶ ἀμύνεσθαι βούλεσθε μᾶλλον ἐπιόντας, καὶ ἐς τύχας πρὸς πολλῷ δυνατωτέρους ἀγωνιζόμενοι καταστῆναι, ἐπιστάμενοι καὶ τὸν βάρβαρον αὐτὸν περὶ αὐτῷ τὰ πλείω σφαλέντα, καὶ πρὸς αὐτοὺς τοὺς Ἀθηναίους πολλὰ ἡμᾶς ἤδη τοῖς ἁμαρτήμασιν αὐτῶν μᾶλλον ἢ τῇ ἀφ' ἡμῶν τιμωρίᾳ περιγεγενημένους· ἐπεὶ αἵ γε ὑμέτεραι ἐλπίδες ἤδη τινάς που καὶ ἀπαρασκεύους διὰ τὸ πιστεῦσαι ἔφθειραν. Καὶ μηδεὶς ὑμῶν ἐπ' ἔχθρᾳ τὸ πλέον ἢ αἰτίᾳ νομίσῃ τάδε λέγεσθαι. Αἰτία μὲν γὰρ φίλων ἀνδρῶν ἐστὶν ἁμαρτανόντων· κατηγορία δὲ ἐχθρῶν ἀδικησάντων.

70. Καὶ ἅμα εἴπερ τινὲς καὶ ἄλλοι ἄξιοι νομίζομεν εἶναι τοῖς πέλας ψόγον ἐπενεγκεῖν, ἄλλως τε καὶ μεγάλων τῶν διαφερόντων καθεστώτων περὶ ὧν οὐκ αἰσθάνεσθαι ἡμῖν γε δοκεῖτε, οὐδ' ἐκλογίσασθαι πώποτε πρὸς οἵους ὑμῖν Ἀθηναίους ὄντας καὶ ὅσον ὑμῶν καὶ ὡς πᾶν

been said, that you are a steady people; but in this particular your reputation is better than what is borne out by the fact.' Pro *αὔξησιν* libri aliquot præbent *δύναμιν*. Firmat vulgatam Diodor. xi. p. 434. Wess., qui ad h. l. respexisse videtur.

περὶ αὐτῷ] i. e. 'sua ipsius culpa.' Conf. vi, 33. *περὶ σφίσιν αὐτοῖς πταίσωσι*, ubi v. Schol. et Abresch. Diluc. p. 598. Auctar. p. 226.

αἰτία—κατηγορία] Summa in nominum distinctione fuit Prodici cura; v. Plat. Protag. p. 337. Heind. ad Charm. p. 84. Quam imitatum esse Thucydidem, Marcellin. testatur. Schol. t. ii. p. 569. Lips. *ἰστέον ὅτι εἰς τὸ κομψὸν τῆς φράσεως Θουκυδίδης Αἰσχύλον καὶ Πίνδαρον ἐμιμήσατο· εἰς δὲ τὸ γόνιμον τῶν ἐνθυμημάτων τὸν ἑαυτοῦ διδάσκαλον Ἀντιφῶντα· εἰς δὲ τὴν λέξιν Πρόδικον, ὅθεν καὶ Προδίκου λέξεις ἐν τῷ κειμένῳ σημαιούμεθα· εἰς δὲ τὸ γνωμικὸν τοὺς Σωκρατικούς* (ut legit Spaan. Diss. d. Antiph. p. 801. pro *Ἰσοκρατικούς*). Cum nostro loco conf. Isocr. Panegyr. 36. Simile accuratæ distinctionis exemplum extat iii, 39. *ἐπανέστησαν μᾶλλον ἢ ἀπέστησαν. Ἀπόστασις μέν γε τῶν βίαιόν τι πασχόντων.* Quem locum imitatur Dionys. A. R. iii, 8. p. 425, 1. Idem Dionys. p. 929. reprehendit hanc diligentiam ut putidam nimiamque; ubi v. Krueger. p. 194. Ceterum nemo alius vocabula *αἰτία* et *κατηγορία* distinxit unquam, ut notavit Bauerus. Xenoph. Mem. i, 2. *τούτου Σωκράτην ὁ κατήγορος αἰτιᾶται*, inimicus scilic. inimicum; et Pollux, iv, 29. viii, 6. eadem duo verba jungit. Si *μέμψιν*, Bauer. ait, amicis tribuisset, 'objurgationem,' 'expostulationem,' ferrem facilius. Nunc *ἀκριβολογῆσαι* videtur more suo, quo i, 71. *ἀδικεῖσθαι* et *βιάζεσθαι* distinguit; cum alibi *βίαν* pro *ἀδικίᾳ* ponat, ut i, 45. extr. 68. Et sane injuriæ notio in utroque est, nisi quod *βιάζεσθαι* superiori viribus tribuitur, *ἀδικεῖν* autem pari. —Sed propter id ipsum recte istas voces distinxit. Addit Bauerus, vii, 77. *μηδὲ καταμέμψασθαι ὑμᾶς ἄγαν αὐτοὺς μήτε ταῖς ξυμφοραῖς μήτε ταῖς παρὰ τὴν ἀξίαν νῦν κακοπαθίαις*, ubi verba *παρὰ τὴν ἀξίαν* aliquid discriminis efficere videntur.

70. *ἄξιοι—ἐπενεγκεῖν*] Plut. d. Discrim. Am. et Adulat. t. vi. p 264. Reisk.

διαφέροντας ὁ ἀγὼν ἔσται. Οἱ μέν γε νεωτεροποιοὶ καὶ ἐπινοῆσαι ὀξεῖς καὶ ἐπιτελέσαι ἔργῳ ὃ ἂν γνῶσιν· ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε σώζειν καὶ ἐπιγνῶναι μηδὲν καὶ ἔργῳ οὐδὲ τἀναγκαῖα ἐξικέσθαι. Αὖθις δὲ οἱ μὲν καὶ παρὰ δύναμιν τολμηταὶ καὶ παρὰ γνώμην κινδυνευταὶ καὶ ἐπὶ τοῖς δεινοῖς εὐέλπιδες· τὸ δὲ ὑμέτερον τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι, τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις πιστεῦσαι, τῶν τε δεινῶν μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι. Καὶ μὴν καὶ ἄοκνοι πρὸς ὑμᾶς μελλητὰς καὶ ἀποδημηταὶ πρὸς ἐνδημοτάτους. Οἴονται γὰρ οἱ μὲν τῇ ἀπουσίᾳ ἄν τι κτᾶσθαι, ὑμεῖς δὲ τῷ ἐπελθεῖν καὶ τὰ ἑτοῖμα ἂν βλάψαι. Κρατοῦντές τε τῶν ἐχθρῶν ἐπὶ πλεῖστον ἐξέρχονται, καὶ νικώμενοι ἐπ' ἐλάχιστον ἀναπίπτουσιν. Ἔτι

οἱ μέν γε—ἐξικέσθαι] Dionys. p. 804. Schol. Hermogen. p. 133.

αὖθις δὲ οἱ—ἀπολυθήσεσθαι] Adscripsit Dionys. l. l. et p. 808. Verbis *καὶ παρὰ—κινδυνευταὶ* usus est Thom. M. p. 856. Imitatus est Dionys. A. R. t. vi. p. 1081, 17. *δι' ἣν καὶ παρὰ γνώμην τολμηταὶ γίγνονταί τινες, καὶ παρὰ δύναμιν μαχηταί.* Interpretatur Liv. xlv, 23. 'Atheniensium populum fama est celerem et supra vires audacem esse ad conandum: Lacedæmonium cunctatorem et vix in ea, quibus fidit, ingredientem.' Cum iis quæ paulo ante scripta sunt, *ἐπιτελέσαι ἔργῳ—γνῶσιν,* Græviu s comparat Callimach. H. Jov. 87. *ἑσπέριος κεῖνός γε* (Ptolemæus) *τελεῖ τά κεν ἠοῖ νοήσῃ, ἑσπέριος τὰ μέγιστα, τὰ μείονα δ', εὖτε νοήσῃ.* Spanhem. t. ii. p. 68. Ern. addit dictum Aristophaneum ap. Clem. Alex. Stromat. p. 627. de Deo: *δύναται δὲ γὰρ ἴσον τῷ δρᾶν τὸ νοεῖν.* Æschyl. Suppl. 606. *πάρεστι δ' ἔργον ὡς ἔπος,* quo respexit Apollon. Argon. iv, 103. *ἔνθ' ἔπος ἠδὲ καὶ ἔργον.* Conf. Thuc. i, 138., ubi sunt laudes Themistoclis, quocum confer C. Nep. V. Them. c. 1.; porro Thuc. vi, 12. *πρᾶγμα μέγα εἶναι, καὶ μὴ εἶναι νεωτέρῳ βουλεύσασθαί τε καὶ ὀξέως μεταχειρίσαι.* Imitati sunt nostrum locum Dem. Ol. iii. p. 32. Reisk. *καὶ γνῶναι πάντων ὑμεῖς ὀξύτατοι τὰ ῥηθέντα· καὶ πρᾶξαι δὲ δυνήσεσθε νῦν, ἐὰν ὀρθῶς ποιῆτε,* et qui Thucyd. verba ad Severi indolem accommodavit, Herodian. ii, 45. *νοῆσαί τε ὀξὺς, καὶ τὸ νοηθὲν ἐπιτελέσαι ὀξὺς,* atque ad nostri scriptoris exemplum, Lysias, Epitaphio p. 105. Themistoclem vocat *ἱκανώτατον εἰπεῖν καὶ γνῶναι καὶ πρᾶξαι.* V. ad i, 138. Eandem ingenii mobilitatem in bono imperatore requirit Sallust. Cat. 1. 'nam et prius, quam incipias, consulto, et, ubi consulueris, mature facto opus est;' quæ ducta sunt e Thuc. hoc cap. verbis *μόνοι γὰρ ἔχουσι—ὧν ἂν γνῶσι.* Omnibus his præiit Homer. Il. xix, 242. *ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον.* Hoc vulgare illud, ait Heyn., *ἅμα ἔπος, ἅμ' ἔργον,* 'dictum,' 'factum,' quod Herodotus imitatus dixit *ταῦτα εἶπε καὶ ἅμα ἔπος καὶ ἔργον ἐποίεε.* —Conf. Eustath. ap. eundem, ad Il. t. vii. p. 659. Ceterum animadvertenda parisosis in his verbis, *οἱ μὲν καὶ παρὰ δύναμιν—ἀπολυθήσεσθαι·* et plurima ejus generis in hoc cap., in quo ipsa comparatio Lacedæmoniorum et Atheniensium huic figuræ favebat. Hanc quæsitam membrorum orationis æqualitatem hic et iii, 82. *τόλμα μὲν γὰρ—ἐπίπαν ἀργὸν* notat Dionys. p. 808. Paulo inferius, *ἐπὶ τοῖς δεινοῖς* scripsi pro *ἐν τοῖς δεινοῖς* ex A. B. F. H. K. N. d. g. h. i. Krueger. ad Dionys. p. 236. confert Eurip. Iphig. T. 456. *εὐτρεπίζετε, ἃ χρὴ 'πὶ τοῖς παροῦσι καὶ νομίζεται.* V. Matth. Gr. § 586. Denique de verbis *τὸ ὑμέτερον* hæc adnotavit Dionys. p. 804. *τὸ γὰρ ὑμέτερον ἀντὶ τοῦ ὑμεῖς παρείληπται, πρᾶγμα ὑπάρχον ἀντὶ τοῦ σώματος.* Sed ne hoc quidem idioma Thucydidis esse, monuit ibi Krueger. v. Matth. Gr. § 269. et imitatus est ipse reprehensor, A. R. viii, 7. p. 1518. 5. 8. p. 1521, 14.

μελλητὰς] Conf. infr. c. 84., ubi Archidamus rex de Lacedæmoniis, *καὶ τὸ βραδὺ καὶ μέλλον, ὃ μέμφονται μάλιστα ἡμῶν, μὴ αἰσχύνεσθε.*

ἀποδημηταὶ—ἐνδημοτάτους] Pollux ix, 9. Anecd. Bekk. i. p. 93. Mox *ἐπελθεῖν* est 'patria exire hostium aggrediendorum causa,' sicut paulo inferius est 'hostiliter sive armis aggredi.'

ἀναπίπτουσι] Athen. i, 19. p. 23. B. *τὸ ἀναπίπτειν κυρίως ἐπὶ ψυχῆς ἐστιν, οἷον ἀθυμεῖν, ὀλιγωρεῖν. Θουκυδίδης πρώτῃ· νικώμενοι—ἀναπίπτουσι.* Suidas in v. *ἀναπίπτειν, οὐ τὸ κατακλίνεσθαι, ἀλλὰ τὸ μετ-*

δὲ τοῖς μὲν σώμασιν ἀλλοτριωτάτοις ὑπὲρ τῆς πόλεως χρῶνται, τῇ γνώμῃ δὲ οἰκειοτάτῃ ἐς τὸ πράσσειν τι ὑπὲρ αὐτῆς. Καὶ ἃ μὲν ἂν ἐπινοήσαντες μὴ ἐξέλθωσιν, οἰκεῖα στέρεσθαι ἡγοῦνται· ἃ δ' ἂν ἐπελθόντες κτήσωνται, ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν πράξαντες. Ἢν δ' ἄρα καί του πείρᾳ

αμέλεσθαι, καὶ ἀποκνεῖν, et simul hæc verba Thucydidis addit. Eustath. ad Hom. Od. p. 1641. Rom. ἔνθα ὅρα τὸ ἀναπίπτουσιν, οὐ ληφθὲν ἐπὶ ψυχικῆς ἀθυμίας, ὡς παρὰ Θουκυδίδῃ ἐν τῷ· νικώμενοι ἀναπίπτουσιν, ἀλλ' ἀντὶ τοῦ ἀνακλῶνται. Nos, 'they become not pusillanimous.'

ἀλλοτριωτάτοις] Solan. ad Lucian. t. vi. p. 483. contulit Greg. Nazianz. p. 41. Bas., qui dicit, martyres omnia alacriter perpessos esse, ὥσπερ ἐν ἀλλοτρίοις σώμασιν. Lucian. l. l. p. 157. ἐγὼ δὲ ἀκούων ταῦτα τῷ τραύματι ὡς ἀλλοτρίῳ ἐπέβαινον, ὁ δὲ τοῦ θανάτου με φόβος ἀναίσθητον τῆς ὀδύνης ἔθηκεν. Alius est usus vocis 'alienus' ap. Horat. Sat. ii, 3, 72. 'effugiet tamen hæc sceleratus vincula Proteus. Cum rapies in jus malis ridentem alienis, Fiet aper, modo avis, modo saxum, et cum volet arbor.' Hæc ita interpretatur Heindorf.: 'the expression 'malis alienis ridere' is evidently formed in imitation of the Homeric, Od. υ, 345. μνηστῆρσι δὲ Παλλὰς Ἀθήνη ἄσβεστον γέλω ὦρσε, παρέπλαγξεν δὲ νόημα· οἱ δ' ἤδη γναθμοῖσι γελοίων ἀλλοτρίοισι,—ὄσσε δ' ἄρα σφῶν δακρυόφιν πίμπλαντο· γόον δ' ὠΐετο θυμός. By γναθμοῖς γελᾶν ἀλλοτρίοις (malis alienis) then a forced smile seems to be intended, where one does not laugh with one's own cheeks. (Compare Valer. Flacc. viii, 164. 'alieno gaudia vultu semper erant,' 'the cheerfulness of the countenance was always forced.') Here, however, the debtor summoned before the court of justice is laughing, in the full confidence of his triumph, and so as not to spare his own cheeks, just as if they were those of another person. Horace therefore appears to have understood the passage in Homer as expressing a full and strong laughter; and perhaps rightly so, since in what precedes we have the expression μνηστῆρσι δὲ Παλλὰς Ἀθήνη ἄσβεστον γέλω ὦρσε. Gessner interprets it, that the debtor is laughing—malis sive genis creditoris, 'at the expense of the creditor.'' Recte hæc interpretatus esset Heindorf., 'so as not to spare his own cheeks, just as if they were those of another person,' si detrimentum malæ ridendo capere possent. Neque ejus interpretatio quadrat in procos, qui non sponte sed ab Minerva furore acti riderent. Recte sic dicas nostro loco, 'their body they spare as little as if it were that of another person;' idemque est sensus locorum Gregorii Naz. et Luciani, quos unos cum nostro recte contuleris. Nam hoc sibi voluit historicus, corporibus quasi alienis usos Athenienses in pugna, quia pugnando corpora cæduntur. Non animadverterunt interpretes, in locis Homeri Horatiique subesse aliquid debere ad sensum idem, quanquam alter dicit, procos ita risisse, ut corde interitum præsagirent; alter, debitorem ita, ut vultus risum non proderet, i. e. 'he laughed secretly, in his heart, out of malice,' non enim in risus sive cachinnos effusus esse dicitur. Simile Homerico loco est illud Tibulli, Eleg. iii, 6, 35. 'nec bene mendaci risus componitur ore.' Subest autem his locutionibus, ἀλλοτρίοις γναθμοῖς γελᾶν, et 'alienis malis ridere,' hic sensus, 'to laugh in such a manner that the countenance does not let the laughing be perceived,' sive, ut Valerii Flacci verbis utar, 'ridere vultu, qui a risu alienus est,' i. e. 'to laugh with a face to which laughing is unknown.' Nam in verbis Flacci verba 'alieno vultu' sic intelligo: 'vultu a gaudiis alieno.' Jam apparet, quomodo et qui dolorem præsagiens ridet, et qui risum occultans ridet, 'malis alienis ridere' dici possit. Gessneri ratio improbabilissima, quandoquidem 'malis alienis ridere' non ita dici potest, ut dicitur, 'to pay with another's money.' Nam cujus dispendio solvas debita, ejus pecunia solvis sive præsentaria et numerata, sive damno ejus parata; malas certe mutuo non sumas. Qui autem interpretatus est, 'to laugh with a distorted countenance, as it were with another person's face,' Passovius Lex. Gr. s. v. ἀλλότριος, is verba Homeri tantum ante oculos habuit, verum etad omnes locos pertinentem formulæ sensum non tetigit; neque ejus interpretatio adhiberi potest Horatii loco, apud quem non distorsisse os debitor cogitandus est, sed potius risum occultasse.—Mox ἐξέλθωσιν pro vulgato ἐπεξέλθωσιν cum Bekkero dedi ex A.B.F. g. h. coll. iii, 108. τὸ πολὺ τοῦ ἔργου ἐξῆλθον.

ἡγοῦνται—πράξαντες] Sunt qui partic. πράξαντες pro infinitivo positum putent, quia participium sequitur post verba dicendi, persuadendi, decernendi loco infinitivi. V. Matth. Gr. § 555, 2. ut sit, ἡγοῦνται ὀλίγα πρᾶξαι πρὸς τὰ μέλλοντα

σφαλῶσιν, ἀντελπίσαντες ἄλλα ἐπλήρωσαν τὴν χρείαν. Μόνοι γὰρ ἔχουσί τε ὁμοίως καὶ ἐλπίζουσιν ἃ ἂν ἐπινοήσωσι, διὰ τὸ ταχεῖαν τὴν ἐπιχείρησιν ποιεῖσθαι ὧν ἂν γνῶσι. Καὶ ταῦτα μετὰ πόνων πάντα καὶ κινδύνων δι' ὅλου τοῦ αἰῶνος μοχθοῦσι· καὶ ἀπολαύουσιν ἐλάχιστα τῶν ὑπαρχόντων διὰ τὸ ἀεὶ κτᾶσθαι, καὶ μήτε ἑορτὴν ἄλλο τι ἡγεῖσθαι ἢ τὸ τὰ δέοντα πρᾶξαι, ξυμφοράν τε οὐχ ἧσσον ἡσυχίαν ἀπράγμονα ἢ ἀσχολίαν ἐπίπονον. Ὥστε εἴ τις αὐτοὺς ξυνελὼν φαίη πεφυκέναι ἐπὶ τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχίαν μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾶν, ὀρθῶς ἂν εἴποι.

71. Ταύτης μέντοι τοιαύτης ἀντικαθεστηκυίας πόλεως, ὦ Λακεδαιμόνιοι, διαμέλλετε· καὶ οἴεσθε τὴν ἡσυχίαν οὐ τούτοις τῶν ἀνθρώπων ἐπὶ πλεῖστον ἀρκεῖν οἳ ἂν τῇ μὲν παρασκευῇ δίκαια πράσσωσι, τῇ γνώμῃ δέ, ἢν ἀδικῶνται, δῆλοι ὦσι μὴ ἐπιτρέψοντες· ἀλλ' ἐπὶ τῷ μὴ λυπεῖν τε ἄλλους καὶ αὐτοὶ ἀμυνόμενοι μὴ βλάπτεσθαι τὸ ἴσον νέμετε. Μό-

τυχεῖν. Sed huic explicationi impedimento est verbum *τυχεῖν*, quoniam *ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν* non dici potest pro eo quod dici debebat: *ὀλίγα πρὸς ἐκεῖνα, ὧν μέλλουσι τυχεῖν*. Nihil igitur restat, nisi ut periphrasin statuamus inesse in verbis *τυχεῖν πράξαντες*, i. e. 'forte se gessisse,' et *τυχεῖν* pendere ex *ἡγοῦνται*. Totus igitur locus hoc dicit: 'si vero quæ laboribus consecuti perfecerint, perexigua se forte fortuna peregisse judicant, si cum illis conferantur, quæ postea se consecuturos sperant.' Addo 'forte fortuna,' quæ inest vis in *τυχεῖν* et cum mente Atheniensium convenit, qui parum adhuc laboris se impendisse putent, plus forte fortuna prospere gessisse. In eandem sententiam Bredovius: 'Where their country is concerned, they treat their bodies as objects altogether foreign to themselves; but their mind they use as the power entirely belonging as a property to the country, to be active for its benefit. Accordingly, it appears to them a deduction from their property, not to execute a design which their mind has formed; but what they really do acquire, they consider as a mere trifle accomplished by them when compared with the plans of their mind for the future.' Mox dedi *καί του πείρᾳ* pro *που καὶ πείρᾳ* ex codd., quia hic scriptor aut *σφαλῆναί τι* dicit, ut i, 140. aut *πείρᾳ του σφαλ.*, ut ii, 43. Et paulo inferius, *ὁμοίως καὶ* ex iisdem, pro *καὶ ὁμοίως*, et jam Reisk. Animadv. p. 11. monuerat.

ἑορτὴν] Huc spectat Origenes contr. Celsum, viii. p. 404. Hoesch. *δῆλον, ὅτι οἱ τὸ θεῖον ἐξητασμένως σέβειν θέλοντες εὔλογόν τι (ἂν) πράττοιεν, μεταλαμβάνοντες τῶν δημοτελῶν ἑορτῶν· ἑορτὴ γάρ, ὥς φησί τις τῶν Ἑλληνικῶν σοφῶν, καλῶς λέγων, οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ τὰ δέοντα πράττειν*, ubi sententiam auctoris *μὴ μεταλ.* cum Mss. flagitare, Wasse adnotavit. 'Neque ullum alium diem,' Thuc. dicit, 'festum,' i. e. jucundum, 'habent, nisi eum qui in exercendis officiis prætereat.' Attingit Laconum *ἡσυχίαν ἀπράγμονα* diebus feriatis, ut observat Abresch. Auct. Diluc. p. 231. et Diluc. p. 66. Conf. Pericl. ap. Thuc. ii, 36. Dio Cass. xxxviii, 37. *μήτε εὐδαιμονίαν ἄλλο τι ἢ τὸ τὰ δέοντα πράττειν νομίζοντες, μήτε δυστυχίαν ἄλλο τι ἢ τὸ μετὰ ἀπραξίας ἡσυχάζειν*. Marius ap. Sallustium: 'Sudorem, pulverem, et alia talia relinquant nobis, quibus illa epulis jucundiora sunt.'—Mox ad *ἐᾶν* supple *ἔχειν ἡσυχίαν*. V. Popp. Prol. t. i. p. 182.

71. *καὶ οἴεσθε—νέμετε*] Scribere debebat *ἀλλ' οἳ ἂν—νέμωσι*, pro quo dixit *ἀλλὰ νέμετε*, tanquam in præcedentibus, negatione cum *οἴεσθε* juncta, dixisset, *καὶ οὐκ οἴεσθε τὴν ἡσυχίαν τούτοις ἀρκεῖν*. 'Neque putatis, quietem iis maxime contingere, qui neminem quidem injuria afficiant, sed quos tamen constet injuriam esse ulturos. Vos vero injuriam non modo infertis, sed ne defenditis quidem a vobis, si metuendum sit, ne detrimentum ex defensione capiatis, in eoque agendi modo

λις δ' ἂν πόλει ὁμοίᾳ παροικοῦντες ἐτυγχάνετε τούτου· νῦν δ' ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτηδεύματα πρὸς αὐτούς ἐστιν. Ἀνάγκη δὲ ὥσπερ τέχνης ἀεὶ τὰ ἐπιγιγνόμενα κρατεῖν· καὶ ἡσυχαζούσῃ μὲν πόλει τὰ ἀκίνητα νόμιμα ἄριστα, πρὸς πολλὰ δὲ ἀναγκαζομένοις ἰέναι πολλῆς καὶ τῆς ἐπιτεχνήσεως δεῖ. Διόπερ καὶ τὰ τῶν Ἀθηναίων ἀπὸ τῆς πολυπειρίας ἐπὶ πλέον ὑμῶν κεκαίνωται. Μέχρι μὲν οὖν τοῦδε ὡρίσθω ὑμῶν ἡ βραδυτής· νῦν δὲ τοῖς τε ἄλλοις καὶ Ποτιδαιάταις, ὥσπερ ὑπεδέξασθε, βοηθήσατε κατὰ τάχος ἐσβαλόντες ἐς τὴν Ἀττικήν, ἵνα μὴ ἄνδρας τε φίλους καὶ ξυγγενεῖς τοῖς ἐχθίστοις πρόησθε, καὶ ἡμᾶς τοὺς ἄλλους ἀθυμίᾳ πρὸς ἑτέραν τινὰ ξυμμαχίαν τρέψητε. Δρῷμεν δ' ἂν ἄδικον οὐδὲν οὔτε πρὸς θεῶν τῶν ὁρκίων οὔτε πρὸς ἀνθρώπων τῶν αἰσθανομένων. Λύουσι γὰρ σπονδὰς οὐχ οἱ δι' ἐρημίαν ἄλλοις προσιόντες, ἀλλ' οἱ μὴ βοηθοῦντες οἷς ἂν ξυνομόσωσι. Βουλομένων δὲ ὑμῶν προθύμων εἶναι μενοῦμεν· οὔτε γὰρ ὅσια ἂν ποιοῖμεν μεταβαλλόμενοι οὔτε ξυνηθεστέρους ἂν ἄλλους εὕροιμεν. Πρὸς τάδε βουλεύεσθε εὖ

justitiam ponitis.' Participium igitur *ἀμυνόμενοι* puta dictum pro *τῷ ἀμύνεσθαι*, velut supra alicubi legimus *προκαταρχόμενοι* pro *τῇ προκαταρχῇ*; atque *ἴσον νέμειν ἐπί τινι* est 'ponere jus et æquum' in aliqua re, i. e. 'to believe that justice consists in doing such and such things.' Bredovius: 'Now, whilst such a nation stands opposed to you, O Lacedæmonians, you tarry, and do not consider, that repose lasts longest to those men who in their institutions act justly, but openly show a determination not to submit to what is wrong; but you think that justice consists in not hurting others, and in standing on your guard merely to repel damage from yourselves.' V. Popp. Obs. p. 187.

ἐπὶ πλέον ὑμῶν] Dicere debebat *ἐπὶ πλέον τῶν ὑμῶν*, vel *ἢ τὰ ὑμῶν*, quia præcessit *τὰ τῶν Ἀθηναίων*. V. Matth. Gr. § 453. Herm. ad Vig. p. 717. Schæfer. Mel. Cr. p. 127. ad Apollon. Rhod. t. ii. p. 164.

μέχρι τοῦδε ὡρίσθω] Aristid. d. Dict. Civ. c. 2.—Verte, 'hactenus progressa finem jam habeat tarditas vestra.' Verbum *ὡρίσθω* prægnanti sensu positum. Simillimus locus est, v, 1. *αἱ ἐνιαύσιοι σπονδαὶ διελέλυντο μέχρι Πυθίων*, sc. continuatæ. Plura hujus usus exempla congessit Popp. Prol. t. i. p. 292.

τοῖς τε ἄλλοις καὶ Ποτιδαιάταις] Articulum *τοῖς* ante *Ποτ.* inserunt F. H. N. 'Sed posteriori vocabulo articulum non addi, etsi in præcedente adfuerit, sæpissime animadverti, ut i, 36. *τῆς τε γὰρ Ἰταλίας καὶ Σικελίας*. i, 44., ubi eadem verba. i, 57. *τοῖς — Χαλκιδεῦσι καὶ Βοττιαίοις*. i, 140. *τὴν βεβαίωσιν καὶ πεῖραν*. 141. multorum codd. auctoritate in verbis *ἥ τε μεγίστη καὶ ἡ ἐλαχίστη* posterior articulus ejiciendus est, Conf. iv, 3. 5. Quare sæpe factum est, ut aut priore quoque loco articulus omitteretur, ut i, 46. *τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις*, ubi in F. H. g. deest *τοῖς*, aut posteriore adderetur, ut h. l. videtur factum. Conf. i, 80., ubi in verbis *τοὺς Πελοποννησίους καὶ ἀστυγείτονας* alii codd. articulum *τοὺς* ante *Πελ.* abjiciunt, alii ante *ἀστυγ.* addunt. iii, 20. *ὑπὸ τῶν Πελοποννησίων καὶ τῶν Βοιωτῶν*, ubi plurimi codd. posteriorem articulum omitti jubent. Etiam init. huj. c. iidem codd. F. H. N. [adde jam A. f. g. h.] articulum *τοὺς* ante *ἄλλους* omittunt, ubi non sequor eos: nam c. 70. extr. sine ulla varietate legitur *ἐπὶ τῷ μήτε—μήτε τοὺς ἄλλους—ἐᾶν*.' Haack.

τρέψητε] i. e. 'ne nos desperatione ad aliorum societatem vertatis,' sive, ne faciatis, ut nos desperantes eo vertamur. i, 142. *βλάπτοιεν ἂν καταδρομαῖς καὶ αὐτομολίαις*, 'noceant transfugiis,' i. e. quia nostri tunc ad eos transfugiunt: hostium enim non erant *αὐτομολίαι*, sed eas admittebant, causamque dabant earum parti alteri. iii, 59. *ἐπικαλούμεθα τοὺς κεκμηκότας μὴ γενέσθαι ὑπὸ Θηβαίοις*, 'rogamus ne simus

καὶ τὴν Πελοπόννησον πειρᾶσθε μὴ ἐλάσσω ἐξηγεῖσθαι ἢ οἱ πατέρες ὑμῖν παρέδοσαν.

72. *Τοιαῦτα μὲν οἱ Κορίνθιοι εἶπον. Τῶν δὲ Ἀθηναίων ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ Λακεδαίμονι περὶ ἄλλων*

sub Thebanis,' i. e. ne vos sinatis nos esse sub iis, ut explicat Bauer.—Mox ad *πρὸς θεῶν* v. Viger. p. 661. ibiq. Herm. p. 863.

Πελοπόννησον ἐξηγεῖσθαι] Dionys. p. 803. *πρόσωπα δὲ παρ' αὐτῷ τὰ πράγματα γίγνεται, καθάπερ ἐν τῇ Κορινθίων πρὸς Λακεδαιμονίους δημηγορίᾳ γέγονεν. Ἀξιῶν γὰρ ὁ Κορίνθιος τοὺς προεστηκότας τῆς Πελοποννήσου φυλάττειν αὐτῆς τὸ ἀξίωμα πρὸς τὰς ἔξω πόλεις, οἷον παρὰ τῶν πατέρων παρέλαβον, ταῦτα λέγει· 'πρὸς τάδε—παρέδοσαν.' Τὸ γὰρ ἐξηγεῖσθαι νῦν τέθεικεν ἐπὶ τοῦ πρόαγειν ἔξω τὴν Πελοπόννησον, ἡγουμένους αὐτῆς. Τοῦτο δὲ τῇ χώρᾳ μὲν ἀδύνατον ἦν συμβῆναι, τῇ δὲ δόξῃ καὶ τοῖς πράγμασι τοῖς περὶ αὐτὴν ὑπάρχουσι δυνατόν· καὶ βούλεται τοῦτο δηλοῦν.* Ubi Krueger., qui ipsa verba, ait, adverterit, ita hæc, opinor, intelliget, 'ducere Peloponnesum in externas terras.' Sed qui quæ deinceps leguntur considerarit, videbit rhetorem interpretari voluisse 'Peloponnesum augere.'—Puto equidem, hoc sibi velle Dionysium: sensum verborum Thucydidis non hunc esse, 'educere Peloponnesum in exteras regiones,' quia id terræ quidem fieri non liceat, sed 'Peloponneso ita præesse, ut major ejus gloria exeat.' Itaque in *ἐξηγεῖσθαι* simul vim 'educendi' et 'ducendi' (quatenus hoc verbum idem significat quod 'præesse') statuit inesse. Ceterum præter solitum *ἐξηγεῖσθαι* hic accusativum adjunctum habet, et semel præterea ap. hunc scriptorem. Abresch. Diluc. p. 642. adnotavit, Procopium apud Suidam v. *Ἰωάννης ὁ Τύραν*, et Theoph. Chronogr. p. 139. denique Memnonem ap. Phot. Bibl. p. 713. eadem hujus verbi structura usos esse. Heilm. 'According to this, form your resolutions like sensible people, and endeavour so to manage, that the Peloponnesus under your government may not fall into a worse condition than that in which you received it from your ancestors.'

72. *τῶν δὲ Ἀθηναίων—ἔδοξεν αὐτοῖς*] dicit de h. l. schol. Soph. Antig. 111. Sententia causalis quam vocant, (ut docuit Werfer. in Act. Phil. Monac. t. i. p. 79.) ei, cujus causam complectitur, anteponi solet. Jam cum Græci sententiæ causali, quantum fieri potest, primam sedem assignare cupiant, fit ut subjectum orationis antecedens sententiæ causali adstruatur. Herodot. i, 24. *καὶ τοῖσι ἐσελθεῖν γὰρ ἡδονήν, εἰ μέλλοιεν ἀκούσεσθαι τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ, ἀναχωρῆσαι.* iv, 200. *τῶν δὲ (Βαρκαίων) πᾶν γὰρ ἦν τὸ πλῆθος μεταίτιον, οὐκ ἐδέκοντο τοὺς λόγους.* ix, 109. *τῇ δὲ κακῶς γὰρ ἔδεε πανοικίῃ γενέσθαι, πρὸς ταῦτα εἶπε Ξέρξῃ.* — Itidemque causalis sententia per *δὲ* incipiens præmittitur a Pausania, t. i. p. 101. Fac. *ἀναθεῖσαι σφίσιν ἐπὶ τὰς κεφαλάς, ἃ ἡ τῆς Ἀθηνᾶς ἱέρεια δίδωσι φέρειν, οὔτε ἡ διδοῦσα ὁποῖόν τι δίδωσιν εἰδυῖα, οὔτε ταῖς φερούσαις ἐπισταμέναις* (i. e. *οὔτε αἱ φέρουσαι ἐπίστανται*)· *ἔστι δὲ περίβολος ἐν τῇ πόλει τῆς καλουμένης ἐν κήποις Ἀφροδίτης οὐ πόῤῥω, καὶ δι' αὐτοῦ κάθοδος ὑπόγαιος αὐτομάτη ταύτῃ κατίασιν.* Conf. i. p. 152. 208. 342. 353. Sententiam causam reddentem et per *γὰρ* incipientem, ex more Græcorum, præmittit præterea Thuc. his locis, i, 31. 104. 135. 137. iii, 70. iv, 67. Quod autem subjectum antecedens (ut nostro loco *Ἀθηναίων*) sententiæ causali aptatur, similia Herodoteis alia apud eum inveniuntur, ut viii, 30. *τοῖς ἐν Σάμῳ Ἀθηναίοις προσαφιγμέναι γὰρ ἦσαν καὶ ἄλλοθεν ἄλλαι νῆες —, καὶ τὰς ἀπὸ Χίου πάσας καὶ τὰς ἄλλας ξυναγαγόντες ἐβούλοντο διακληρωσάμενοι ἐπὶ μὲν τῇ Μιλήτῳ τῷ ναυτικῷ ἐφορμεῖν, πρὸς δὲ τὴν Χίον καὶ ναυτικὸν καὶ πεζὸν πέμψαι.* Auctor, ait Krueger. Comm. Thuc. p. 313. not., sic inchoavit, ac si pro *ἐβούλοντο διακληρωσάμενοι* scripturus esset *ἐδόκει διακληρωσαμένοις.* — Minus recte; nam *τοῖς—Ἀθηναίοις* scripsit, subjectum adaptans participio *προσαφιγμέναι* in sententia causali, ut nostro loco pro *Ἀθηναίοις* simulque omisso *αὐτοῖς*, quod est post *ἔδοξε*, posuit *Ἀθηναίων*, accommodans subjectum substantivo *πρεσβεία*, quod est in sententia causam per *γὰρ* reddente. Ab his locis aliquantum diversus est alius, i, 115. *τῶν δὲ Σαμίων ἦσαν γάρ τινες, οἳ οὐχ ὑπέμειναν, ἀλλ' ἔφυγον ἐς τὴν ἤπειρον, ξυνθέμενοι τῶν ἐν τῇ πόλει τοῖς δυνατωτάτοις—ἐπικούρους τε ξυλλέξαντες—διέβησαν ὑπὸ νύκτα ἐς τὴν Σάμον.* Ubi cum non addita sit post *ἤπειρον* copula *καί*, quam in exemplis supra adscriptis post *παροῦσα* et *νῆες* reperies, scriptorem apparet ita pergere, quasi dixisset *τῶν Σαμίων τινὲς*, quod tamen *τινες* in parenthesi latere monuit Popp. Obs. p. 199. Accedit quartus locus ex vii, 48. *καὶ ἦν γάρ τι καὶ ἐν ταῖς Συρακούσαις βουλόμενον τοῖς Ἀθηναίοις τὰ πράγματα ἐνδοῦναι, ἐπεκηρυκεύετο πρὸς αὐτόν*, pro *καί τι καὶ—βουλόμενον—ἐνδοῦναι (ἦν γὰρ ἐκεῖ) ἐπεκηρυκεύετο*, ut explicat Popp. l. l. p. 305.

παροῦσα, καὶ ὡς ᾔσθοντο τῶν λόγων, ἔδοξεν αὐτοῖς παριτητέα ἐς τοὺς Λακεδαιμονίους εἶναι, τῶν μὲν ἐγκλημάτων πέρι μηδὲν ἀπολογησομένους ὧν αἱ πόλεις ἐνεκάλουν, δηλῶσαι δὲ περὶ τοῦ παντὸς ὡς οὐ ταχέως αὐτοῖς βουλευτέον εἴη, ἀλλ' ἐν πλείονι σκεπτέον. Καὶ ἅμα τὴν σφετέραν πόλιν ἐβούλοντο σημῆναι ὅση εἴη δύναμιν, καὶ ὑπόμνησιν ποιήσασθαι τοῖς τε πρεσβυτέροις ὧν ᾔδεσαν καὶ τοῖς νεωτέροις ἐξήγησιν ὧν ἄπειροι ἦσαν, νομίζοντες μᾶλλον ἂν αὐτοὺς ἐκ τῶν λόγων πρὸς τὸ ἡσυχάζειν τραπέσθαι ἢ πρὸς τὸ πολεμεῖν. Προσελθόντες οὖν τοῖς Λακεδαιμονίοις ἔφασαν βούλεσθαι καὶ αὐτοὶ ἐς τὸ πλῆθος αὐτῶν εἰπεῖν εἴ τι μὴ ἀποκωλύοι. Οἱ δ' ἐκέλευόν τε ἐπιέναι, καὶ παρελθόντες οἱ Ἀθηναῖοι ἔλεγον τοιάδε.

73. Ἡ μὲν πρέσβευσις ἡμῶν οὐκ ἐς ἀντιλογίαν τοῖς ὑμετέροις ξυμμάχοις ἐγένετο, ἀλλὰ περὶ ὧν ἡ πόλις ἔπεμψεν· αἰσθόμενοι δὲ καταβοὴν οὐκ ὀλίγην οὖσαν ἡμῶν παρήλθομεν οὐ τοῖς ἐγκλήμασι τῶν πόλεων ἀντεροῦντες, οὐ γὰρ παρὰ δικασταῖς ὑμῖν οὔτε ἡμῶν οὔτε τούτων οἱ λόγοι ἂν γίγνοιντο, ἀλλ' ὅπως μὴ ῥᾳδίως περὶ μεγάλων πραγμάτων τοῖς ξυμμάχοις πειθόμενοι χεῖρον βουλεύσησθε, καὶ ἅμα βουλόμενοι περὶ τοῦ παντὸς λόγου τοῦ ἐς ἡμᾶς καθεστῶτος δηλῶσαι ὡς οὔτε ἀπεικότως ἔχομεν ἃ κεκτήμεθα, ἥ τε πόλις ἡμῶν ἀξία λόγου ἐστί. Καὶ τὰ μὲν πάνυ παλαιὰ τί δεῖ λέγειν, ὧν ἀκοαὶ μᾶλλον λόγων μάρτυρες ἢ ὄψις τῶν ἀκουσομένων; τὰ δὲ Μηδικὰ καὶ ὅσα αὐτοὶ ξύνιστε, εἰ καὶ δι' ὄχλου μᾶλλον ἔσται, ἀεὶ προβαλλομένοις ἀνάγκη λέγειν· καὶ γὰρ ὅτε

δηλῶσαι δὲ] Variatur oratio transitu ex participio *ἀπολογησομένους* in infinitivum facto.

ἐπιέναι] i. e. 'ad dicendum prodire,' ut i, 90. 91. 119. alibi.

73. Athenienses, quæ per bella Persica bene de Græcia meriti sint, jactant; qua via ad principatum pervenerint, atque opus esse, ut sui servandi causa vel gravi imperio socios coërceant, exponunt: sua clementia, non injustitia, ut socii tantopere de se querantur, effectum esse. Lacedæmonios hortantur, ut caute agant in consiliis belli pacisque agitandis.

πρέσβευσις] Reprehendit usum hujus vocabuli, et mox voc. *καταβοὴ* aliorumque, Dionys. p. 794. Citat etiam Gregor. Cor. p. 50., ubi v. interpp. et in Add. et Corrig. p. 871. Polluc. iv, 26. viii, 137. Voc. *καταβοὴ* ex h. l. excitat Antiatt. in Anecd. Bekk. i. p. 104. Pollux ii, 126. v, 160. Suidas in v. Ipse Dionys. A. R. vi. p. 1137. 1344. hac voce usus est.

παρήλθομεν] Suidas in v., qui exscripsit Schol. ad Thucyd. i, 90.

ἀκοαὶ—ὄψις] Numeri variantur, ut ii, 81. *λόγοις* et *ἔργῳ* componuntur. Structura hæc est: *ὧν ἀκοαὶ λόγων* (i. e. *λόγοι ἀκουσθέντες*) *μᾶλλον μάρτ. ἢ ὄψ. τ. ἀκ.* Heilm: 'We will not here make mention of things long since passed, respecting which we can appeal only to the reports of others, and not to the immediate perception of our hearers.'

δι' ὄχλου—προβαλλομένοις] Reprehendit usum vocis *ὄχλος* Dionys. l. l., quo jure v. ap. Popp. Prol. t. i. p. 90. Verba *τὰ δὲ Μηδικὰ—προβαλλομένοις* adscripserunt Suidas et Photius in *προβάλλεσθαι*. Verba ita ordinat Perizon. ad Sanct. Min. i, 6. *ἀνάγκη ἡμῖν ἀεὶ προβαλλομένοις λέγειν*, 'necesse est, nos qui semper ea proferimus, apud vos quoque illa dicere, licet

ἐδρῶμεν, ἐπ' ὠφελείᾳ ἐκινδυνεύετο, ἧς τοῦ μὲν ἔργου μέρος μετέσχετε, τοῦ δὲ λόγου μὴ παντὸς, εἴ τι ὠφελεῖ, στερισκώμεθα. Ῥηθήσεται δὲ οὐ παραιτήσεως μᾶλλον ἕνεκα ἢ μαρτυρίου καὶ δηλώσεως πρὸς οἵαν ὑμῖν πόλιν μὴ εὖ βουλευομένοις ὁ ἀγὼν καταστήσεται. Φαμὲν γὰρ Μαραθῶνί τε μόνοι προκινδυνεῦσαι τῷ βαρβάρῳ καὶ ὅτε τὸ ὕστερον ἦλθεν, οὐχ ἱκανοὶ ὄντες κατὰ γῆν ἀμύνεσθαι ἐσβάντες ἐς τὰς ναῦς πανδημεὶ ἐν Σαλαμῖνι ξυνναυμαχῆσαι, ὅπερ ἔσχε μὴ κατὰ πόλεις αὐτὸν ἐπιπλέοντα τὴν Πελοπόννησον πορθεῖν, ἀδυνάτων ἂν ὄντων πρὸς ναῦς πολλὰς ἀλλήλοις ἐπιβοηθεῖν. Τεκμήριον δὲ μέγιστον αὐτὸς ἐποίησε· νικηθεὶς γὰρ ταῖς ναυσὶν ὡς οὐκέτι αὐτῷ ὁμοίας οὔσης τῆς δυνάμεως κατὰ τάχος τῷ πλέονι τοῦ στρατοῦ ἀνεχώρησεν.

74. Τοιούτου μέντοι ξυμβάντος τούτου, καὶ σαφῶς δηλωθέντος ὅτι ἐν ταῖς ναυσὶ τῶν Ἑλλήνων τὰ πράγματα ἐγένετο, τρία τὰ ὠφελιμώτατα ἐς αὐτὸ παρεσχόμεθα, ἀριθμόν τε νεῶν πλεῖστον καὶ ἄνδρα στρατηγὸν ξυνετώτατον καὶ προθυμίαν ἀοκνοτάτην, ναῦς μέν γε ἐς τὰς τετρακοσίας ὀλίγῳ

minus grata vobis futura.' Melius Bredovius: 'The Median war, and the events which you know from your own experience, we must over and over again refer to, even if it should become unpleasant.' Ut in edd. interpunctum est (commate post *προβαλλομένοις*) sensus perversus exsistit: 'licet nobis, eadem semper repetentibus, minus gratum erit.'

τοῦ μὲν ἔργου] Schol. *ἐπειδὴ ἕως Μυκάλης ἐδίωξαν, οἱ δὲ Ἀθηναῖοι ἕως Παμφυλίας.* V. Thuc. i, 75. 95. alibi. Aliter Bredovius: 'For in those achievements we were contending for real advantages, of the essential part of which you have had your share; but we should not like to be deprived of the liberty of speaking about them, if there is any advantage in this.' Equidem cum Schol. consentiens interpretor: 'quas res cum gessimus, in communem utilitatem pericula subiimus, quorum vos quidem participes aliquatenus fuistis, nos vero ne omnino eorum, ubi prodest, commemoratione privemur:' quoniam sic flagitare videtur voc. *ἔργου*. Similiter Demosthenes: *ἃ πολλῶν μὲν ἕνεκα ἀκούσατέ μου, μάλιστα δὲ αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ τὰ μὲν ἔργα τῶν ὑπὲρ ὑμῶν πόνων ὑπέμεινα, ὑμεῖς δὲ μηδὲ τοὺς λόγους αὐτῶν ἀνέξεσθε.* Dedi *στερισκώμεθα* pro *στερισκόμεθα* e libris.

Μαραθῶνι] Clem. Alex. Strom. vi. p. 626.—Frequentius *ἐν* additur. Ceterum v. Gottl. ad Plat. Menex. ii. p. 39. Sic Eurip. Phœn. 611. *Μυκήναις*. Callim. Lavacr. Pall. 18. *Ἴδᾳ*, ut Bentl. emendavit, probatque Hemsterh. ad Lucian. t. i. p. 252. Reitz. V. Valck. ad Eur. Hippol. p. 226. interpp. ad Herodot. ix. p. 705. Matth. Gr. § 406, b.—Dem. pr. Cor. p. 297. Reisk. *οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντες*, etc.—*Προκινδυνεῦσαι* est 'ante alios pugnare,' Homero Tyrtæoque *πρόμαχον εἶναι*. Verba *φαμὲν—τῷ βαρβάρῳ* citantur in Anecd. Bekk. i. p. 169. Dativo *βαρβάρῳ* significatur 'adversus barbarum,' quia in verbo inest sensus pugnandi. V. Abresch. Auct. p. 232. Verba *φαμὲν—ναυμαχῆσαι* adscripsit auctor libelli d. Constr. Verb. ap. Herm. d. Em. Rat. Gr. Gr. p. 366. Vocem *πανδημεὶ* ex h. l. affert Pollux, vi, 162.

74. *ἐς τὰς τετρακοσίας*] I. L. O. R. *τριακοσίας*. Schol. *ἦσαν αἱ πᾶσαι τετρακόσιαι· κατὰ δὲ ἄλλους τετρακόσιαι ὀγδοήκοντα.* V. Dem. pro Cor. c. 70. Isocr. Paneg. c. 31. Lys. Epitaph. p. 105. Reisk. Diod. xv, 58. Herodot. viii, 44. 48. Plut. V. Them. c. 14. Valck. ad Herodot. viii. p. 619. 640. Morus ad Isocr. l. l. p. 71. Jacobs. ad Dem. Or. d. Rep. habitas p. 43. et præsertim Boeckh. Staatsh. d. Ath. t. i. p. 275.

ἐλάσσους τῶν δύο μοιρῶν, Θεμιστοκλέα δὲ ἄρχοντα, ὃς αἰτιώτατος ἐν τῷ στενῷ ναυμαχῆσαι ἐγένετο. Ὅπερ σαφέστατα ἔσωσε τὰ πράγματα, καὶ αὐτοὶ διὰ τοῦτο μάλιστα δὴ ἐτιμήσατε ἄνδρα ξένον τῶν ὡς ὑμᾶς ἐλθόντων. Προθυμίαν δὲ καὶ πολὺ τολμηροτάτην ἐδείξαμεν, οἵ γε ἐπειδὴ ἡμῖν κατὰ γῆν οὐδεὶς ἐβοήθει, τῶν ἄλλων ἤδη μέχρι ἡμῶν δουλευόντων ἠξιώσαμεν ἐκλιπόντες τὴν πόλιν καὶ τὰ οἰκεῖα διαφθείραντες μηδ᾽ ὣς τὸ τῶν περιλοίπων ξυμμάχων κοινὸν προλιπεῖν, μηδὲ σκεδασθέντες ἀχρεῖοι αὐτοῖς γενέσθαι, ἀλλ᾽ ἐσβάντες ἐς τὰς ναῦς κινδυνεῦσαι καὶ μὴ ὀργισθῆναι ὅτι ἡμῖν οὐ προετιμωρήσατε. Ὥστε φαμὲν οὐχ ἧσσον αὐτοὶ ὠφελῆσαι ὑμᾶς ἢ τυχεῖν τούτου. Ὑμεῖς μὲν γὰρ ἀπό τε οἰκουμένων τῶν πόλεων καὶ ἐπὶ τῷ τὸ λοιπὸν νέμεσθαι, ἐπειδὴ ἐδείσατε ὑπὲρ

τῶν δύο μοιρῶν] Articulus abest a bonis codd., sed alibi idem in iisdem verbis legitur, ut ii, 10. 47. i, 104.—' The expression *τὰ δύο μέρη τοῦ ἔτους* neither signifies ' duobus anni temporibus,' as Xylander translates it ; nor ' the half of a year,' as the authors of the old Latin and Italian versions have literally rendered it. This expression signifies among the Greeks ' two-thirds of a year.' ' Interpp. ad Strab. t. i. p. 448. vers. Gall., quorum observatio huic loco adhibenda est. Conf. Bredov. Ubi solennis hæc totius rei divisio non intelligenda est, Thucydides disertis verbis, quotus partium numerus cogitandus sit, indicat, ut i, 10. Conf. i, 104. ii, 10., ibiq. Schol.

αἰτιώτατος—ναυμαχῆσαι] Anecd. Bekk. i. p. 363. *αἴτιον γενέσθαι ἀντὶ τοῦ ἐν αἰτίαις, Θουκυδίδης.* Sed hæc ad alium locum spectant. *Αἴτιος* cum infinit. sine articulo *τοῦ*, solennis structura. V. Heind. ad Plat. Cratyl. p. 110. Schæfer. Melet. Crit. p. 23. Herm. ad Vig. p. 702, 20. Levesq. ad Thucyd. t. i. p. 217. Conf. Thuc. i, 25. 33. 75. 133. ii, 74. v, 15. Apud Plut. V. Pelop. c. 6. legitur, *μάλιστα συναιτίους γενομένους τῷ δήμῳ τοῦ κατελθεῖν.* Ejiciendus articulus, quem Reisk. temere invexit. Secuti sunt Latini, ut Tibull. iv, 6, 10. in voce ' dignus :' ' servire dignior.' iii, 1, 8. ' digna gaudere,' ubi v. Huschk. Pausan. t. i. p. 188. Fac. de eodem Themistocle : *αἴτιος ἐγένετο γενέσθαι*, sc. *νίκην*. p. 382. *ἐγεγόνει δὲ καὶ τῶν κηρύκων τοῖς ἐλθοῦσιν—ἀποθανεῖν αἴτιος*. p. 69. *ὅτι καὶ Τερμιλλεῖς* (sic enim leg. v. Herodot. i, 173. vii, 92.)—*καὶ τούτοις αἴτιός ἐστι, Λυκίους ἀπ᾽ αὐτοῦ καλεῖσθαι.* Articulum intrusit Reisk. item ap. Lys. c. Agorat. p. 501. *εἰ Ἄνυτος αὐτῷ ἐγένετο αἴτιος μὴ ἀποθανεῖν* ; etiamsi p. 500. legitur *τοῦ μὴ ἀποθανεῖν Ἄνυτος ἐγένετο αὐτῷ αἴτιος*, vel sic sine idonea causa. Xenoph. H. Gr. vii, 5, 17. *αἴτιοι ἐγένοντο σωθῆναι.* vii, 4, 19. *αἴτιος ἐδόκει εἶναι συνάψαι.* Add. Matth. Gr. § 542. et ad verba *φθάσαι ἁμάρτωσιν* i, 33. quæ adnotavi. Articulum vero cum infinitivo præpositione juncta Græci non omittunt, quare, i, 17. *τὸ* addidi in verbis *τὸ τὸν ἴδιον οἶκον αὔξειν.* Cui præcepto grammaticorum non adversatur locus, i, 68. *ἐπικαιρότατον—πρὸς τὰ ἐπὶ Θρᾴκης ἀποχρῆσθαι*, ubi præpositio non ad verbum pertinet, sed intelligendum *ὥστε ἀποχρῆσθαι αὐτοῖς.* Conf. Herm. l. l.

καὶ αὐτὸν—ξένον] Hunc locum codices secutus ita scribit Valck. ad Herodot. p. 677, 81. *καὶ αὐτοὶ διὰ τοῦτο δὴ μάλιστα ἐτιμήσατε ἄνδρα ξένον*, etc. Haack. autem edidit, *καὶ αὐτὸν διὰ τοῦτο δὴ μάλιστα ἐτ. ἄνδρ. ξ.*, etc. *Ὑμεῖς* uterque recte ejecit; nam abest a codd. plerisque ; A. F. H. N. d. e. g. h. i. *Δὴ* autem post *μάλιστα* posui ; solet enim ad superlativum addi. V. ad i, 1. Conf. iii, 39. iv, 55. et alibi. *Αὐτοὶ* autem cum Valck. pro *αὐτὸν* dedi ex A. H. d. g. h. i., quia vis in eo inest, quod ipsi Spartani merita Themistoclis dignis præmiis condecoraverant. V. Plut. V. Them. c. 17. Nam et curru, et oleæ ramo eum donaverunt, et ex juventute sua miserunt, qui eum ad fines usque prosequerentur. Conf. Plat. Menex. 10. Aristid. t. ii. p. 177. Jebb. Genitivus *ἐλθόντων* a *μάλιστα*, ex qua voce pendet, aliis verbis sejunctus. Conf. i, 33. *ξυντυχία—τῆς χρείας.* v, 91. *σωτηρία—πόλεως.* vii, 87. *καθόσον—αὐτοῦ*, et *νῆες Συρακουσίων καὶ ξυμμάχων.* V. Hudson. ad viii, 64.—Bekker. edidit, *καὶ αὐτὸν διὰ τοῦτο ὑμεῖς δὴ μάλιστα ἐτιμήσατε.*

ὑμῶν καὶ οὐχ ἡμῶν τὸ πλέον, ἐβοηθήσατε· ὅτε γοῦν ἦμεν ἔτι σῶοι, οὐ παρεγένεσθε· ἡμεῖς δὲ ἀπό τε τῆς οὐκ οὔσης ἔτι ὁρμώμενοι καὶ ὑπὲρ τῆς ἐν βραχείᾳ ἐλπίδι οὔσης κινδυνεύοντες ξυνεσώσαμεν ὑμᾶς τε τὸ μέρος καὶ ἡμᾶς αὐτούς. Εἰ δὲ προσεχωρήσαμεν πρότερον τῷ Μήδῳ, δείσαντες ὥσπερ καὶ ἄλλοι περὶ τῇ χώρᾳ, ἢ μὴ ἐτολμήσαμεν ὕστερον ἐσβῆναι ἐς τὰς ναῦς ὡς διεφθαρμένοι, οὐδὲν ἂν ἔτι ἔδει ὑμᾶς μὴ ἔχοντας ναῦς ἱκανὰς ναυμαχεῖν, ἀλλὰ καθ' ἡσυχίαν ἂν αὐτῷ προεχώρησε τὰ πράγματα ᾗ ἐβούλετο.

75. Ἆρ' ἄξιοί ἐσμεν, ὦ Λακεδαιμόνιοι, καὶ προθυμίας ἕνεκα τῆς τότε καὶ γνώμης ξυνέσεως ἀρχῆς γε ἧς ἔχομεν τοῖς Ἕλλησι μὴ οὕτως ἄγαν ἐπιφθόνως διακεῖσθαι; καὶ γὰρ αὐτὴν τήνδε ἐλάβομεν οὐ βιασάμενοι, ἀλλ' ὑμῶν μὲν οὐκ ἐθελησάντων παραμεῖναι πρὸς τὰ ὑπόλοιπα τοῦ βαρβάρου, ἡμῖν δὲ προσελθόντων τῶν ξυμμάχων καὶ αὐτῶν δεηθέντων ἡγεμόνας καταστῆναι· ἐξ αὐτοῦ δὲ τοῦ ἔργου κατηναγκάσθημεν τὸ πρῶτον προαγαγεῖν αὐτὴν ἐς τόδε, μάλιστα μὲν ὑπὸ δέους, ἔπειτα δὲ καὶ τιμῆς, ὕστερον καὶ ὠφελείας. Καὶ οὐκ ἀσφαλὲς ἔτι ἐδόκει εἶναι τοῖς πολλοῖς ἀπηχθημένους καί τινων καὶ ἤδη ἀποστάντων κατεστραμμένων, ὑμῶν τε ἡμῖν οὐκέτι ὁμοίως φίλων ἀλλ' ὑπόπτων καὶ διαφόρων ὄντων, ἀνέντας κινδυνεύειν· καὶ γὰρ ἂν αἱ ἀποστάσεις πρὸς ὑμᾶς ἐγίγνοντο. Πᾶσι δὲ ἀνεπίφθονον τὰ ξυμφέροντα τῶν μεγίστων πέρι κινδύνων εὖ τίθεσθαι.

76. Ὑμεῖς γοῦν, ὦ Λακεδαιμόνιοι, τὰς ἐν τῇ Πελοποννήσῳ πόλεις ἐπὶ τὸ ὑμῖν ὠφέλιμον καταστησάμενοι ἐξηγεῖσθε· καὶ εἰ τότε ὑπομείναντες διὰ παντὸς ἀπήχθησθε ἐν τῇ ἡγεμονίᾳ ὥσπερ ἡμεῖς, εὖ ἴσμεν μὴ ἂν ἧσσον ὑμᾶς λυπηροὺς γενομένους τοῖς ξυμμάχοις καὶ ἀναγκασθέντας ἂν ἢ ἄρχειν ἐγκρατῶς ἢ αὐτοὺς κινδυνεύειν. Οὕτως οὐδ' ἡμεῖς θαυμαστὸν οὐδὲν πεποιήκαμεν οὐδ' ἀπὸ τοῦ ἀνθρωπείου τρόπου, εἰ ἀρχήν τε διδομένην ἐδεξάμεθα, καὶ ταύτην μὴ ἀνεῖμεν ὑπὸ τῶν μεγίστων νικηθέντες, τιμῆς καὶ δέους καὶ ὠφελείας, οὐδ' αὖ πρῶτοι τοῦ

τὸ μέρος] i. e. 'pro virili, quantum in nobis erat.' V. Viger. p. 109. Abresch. Misc. Obs. vol. iii. p. 149.

75. *ἆρ' ἄξιοι*] i. e. 'nonne digni sumus?' 'are we, then, to be deemed worthy?' V. Matth. Gr. § 368. a. Herm. ad Vig. p. 823. ad Soph. Antig. 628. Schæfer. Melet. Cr. p. 89.—Mox dedi *ἀρχῆς γε*, pro *ἀρχῆς τε*, ex libris aliquot: non enim imperium argumentum est, cur Athenienses invidia indigni sint, sed potius id quo in invidiam incurrerunt. Atque sic schol.,

τοιούτου ὑπάρξαντες, ἀλλ' ἀεὶ καθεστῶτος τὸν ἥσσω ὑπὸ τοῦ δυνατωτέρου κατείργεσθαι; ἄξιοί τε ἅμα νομίζοντες εἶναι καὶ ὑμῖν δοκοῦντες μέχρι οὗ τὰ ξυμφέροντα λογιζόμενοι τῷ δικαίῳ λόγῳ νῦν χρῆσθε, ὃν οὐδείς πω, παρατυχὸν ἰσχύϊ τι κτήσασθαι, προθεὶς τοῦ μὴ πλέον ἔχειν ἀπετράπετο· ἐπαινεῖσθαί τε ἄξιοι οἵτινες χρησάμενοι τῇ ἀνθρωπείᾳ φύσει ὥστε ἑτέρων ἄρχειν, δικαιότεροι ἢ κατὰ τὴν ὑπάρχουσαν δύναμιν γεγένηνται. Ἄλλους γ' ἂν οὖν οἰόμεθα τὰ ἡμέτερα λαβόντας δεῖξαι ἂν μάλιστα εἴ τι μετριάζομεν· ἡμῖν δὲ καὶ ἐκ τοῦ ἐπιεικοῦς ἀδοξία τὸ πλέον ἢ ἔπαινος οὐκ εἰκότως περιέστη.

77. Καὶ ἐλασσούμενοι γὰρ ἐν ταῖς ξυμβολαίαις πρὸς τοὺς ξυμμάχους δίκαις καὶ παρ' ἡμῖν αὐτοῖς ἐν τοῖς ὁμοίοις

Valla, aliique. V. Matth. Gr. § 368. a.—Citat h. l. Hermog. d. Ideis, c. 8.

76. ἀνθρωπείᾳ] Mœris s. v. Mox ἄρχειν prægnanti sensu est 'imperare velle.'

77. ξυμβολαίαις δίκαις] Initio hujus cap. non est jungendum καὶ γάρ, nam hæ voculæ, ubi jungendæ sunt, nunquam a Thucydide aliis vocibus interpositis disjunguntur. Sed illud καὶ ad aliud καὶ refertur, quod est in verbis καὶ παρ' ἡμῖν αὐτοῖς, etc. Monuit Popp. Prol. t. i. p. 306.—De judiciis hic commemoratis multi egerunt, ut Vales. ad Harpocrat. p. 334. Creuzer. Symb. u. Mythol. t. i. p. 135. ed. prior. Jacobs ad Dem. p. 402. Boeckh. Staatsh. d. Ath. t. i. p. 484. not. Heffter. Ath. Ger. p. 89. Schœmann. et Meier. Att. Proz. p. 773. Platner. d. Proz. u. d. Klagen b. d. Att. t. i. p. 100. — Thucydidis verborum sententia hæc est: 'In nostris cum sociis rationibus multa non coacti indulsimus, dum non vi sed jure cum iis agimus, ex quibusdam pactis conventis communia cum sociis judicia subeuntes.' Etenim inter quas civitates frequens commercium esset, quo id facilius redderetur, et de ratione actionum instituendarum, et de foro, utrum sequerentur, pacta quædam iniri solebant. Quæ appellabant σύμβολα; caussas vero, quæ ex his pactis componebantur, Thucydides quidem dicit ξυμβολαίας δίκας, apud oratores Atticos nomen δίκαι ἀπὸ συμβόλων frequentius. Latine cum Livio, xli, 28. hoc institutum dicas 'commercium juris præbendi et repetundi.' Conf. Fest. in 'Reciperatio,' et Spanhem. ad Julian. Orat. i. p. 34. Credere licet, illis συμβόλοις civi alterius civitatis concessum fuisse, in terris alterius quocum lis oborta erat, ex formulis quibusdam, de quibus inter civitates convenerat, coram judicibus agere, neutri difficultate ulla jus suum persequendi interposita; quanquam et, prout inter civitates convenerat, alias cum aliis rebus publicis rationes judiciorum exercendorum obtinuisse, consentaneum est, et varios actionum modos fuisse, ut actor modo forum rei sequeretur, modo forum actoris reus, si forte in illius civitate commoraretur. Hic certe communis mos erat, ut qui in foro peregrinæ civitatis causa cecidisset, provocando ad suæ civitatis judices denuo lege agere posset, ac nescio an in sua civitate victus appellare ad judicia, quæ in civitate adversarii erant, potuerit. Qui autem Athenis his judiciis præerant Thesmothetæ, iidem præsidebant consilio judicum Heliææ, quibus a populo permitti solebat, ut talia cum peregrinis civitatibus pacta inirent. Secundum grammaticos in his judiciis ἀπὸ συμβόλων numerandæ sunt etiam controversiæ sociorum, imperio Atheniensium subjectorum, quos, dum maris imperium Athenienses tenebant, Athenis judicio experiri coactos fuisse constat. Etiam quæ lites erant inter ejusmodi conditionis socios et cives Atticos, δίκαι ἀπὸ συμβόλων dicebantur, quanquam longe differebant a causis quas inter se agebant civitates, quæ erant æquo jure et liberæ: nam hæ agebantur ex pactis sponte initis; illæ ex formulis ab imperante civitate præscriptis: hæ modo ab alterius, modo ab alterius civitatis judicibus; illæ semper Athenis dijudicabantur: in his ad suæ civitatis judicia provocare licebat; in illis non licuisse apparet. Quemadmodum vero socios appellabant Athenienses etiam eos qui dedititiorum jure erant, ita nihil impedit quominus illa

νόμοις ποιήσαντες τὰς κρίσεις φιλοδικεῖν δοκοῦμεν. Καὶ οὐδεὶς σκοπεῖ αὐτῶν τοῖς καὶ ἄλλοθί που ἀρχὴν ἔχουσι καὶ ἧσσον ἡμῶν πρὸς τοὺς ὑπηκόους μετρίοις οὖσι διότι τοῦτο οὐκ ὀνειδίζεται· βιάζεσθαι γὰρ οἷς ἂν ἐξῇ, δικάζεσθαι οὐδὲν προσδέονται. Οἱ δὲ εἰθισμένοι πρὸς ἡμᾶς ἀπὸ τοῦ ἴσου ὁμιλεῖν, ἤν τι παρὰ τὸ μὴ οἴεσθαι χρῆναι ἢ γνώμῃ ἢ δυνάμει τῇ διὰ τὴν ἀρχὴν καὶ ὁπωσοῦν ἐλασσωθῶσιν, οὐ τοῦ πλέονος μὴ στερισκόμενοι χάριν ἔχουσιν, ἀλλὰ τοῦ ἐνδεοῦς χαλεπώτερον φέρουσιν ἢ εἰ ἀπὸ πρώτης ἀποθέμενοι τὸν νόμον φανερῶς ἐπλεονεκτοῦμεν. Ἐκείνως δὲ οὐδ᾽ ἂν αὐτοὶ ἀντέλεγον ὡς οὐ χρεὼν τὸν ἥσσω τῷ κρατοῦντι ὑποχωρεῖν. Ἀδικούμενοί τε, ὡς ἔοικεν, οἱ ἄνθρωποι μᾶλλον ὀργίζονται ἢ βιαζόμενοι. Τὸ μὲν γὰρ ἀπὸ τοῦ ἴσου δοκεῖ πλεονεκτεῖσθαι, τὸ δ᾽ ἀπὸ τοῦ κρείσσονος καταναγκάζεσθαι. Ὑπὸ γοῦν τοῦ Μήδου δεινότερα τούτων πάσχοντες ἠνείχοντο, ἡ δὲ ἡμετέρα ἀρχὴ χαλεπὴ δοκεῖ εἶναι, εἰκότως· τὸ παρὸν γὰρ ἀεὶ βαρὺ τοῖς ὑπηκόοις. Ὑμεῖς γ᾽ ἂν οὖν εἰ καθελόντες ἡμᾶς ἄρξαιτε,

quoque judicia sociorum cum civibus Atticis specioso nomine συμβόλων insignita fuisse cogitemus. Tametsi grammatici perhibent, non solum lites sociorum cum civibus, sed etiam sociorum inter socios, eodem nomine ἀπὸ συμβόλων comprehensas fuisse. Ceterum Boeckh. jure negare videtur, omnes omnino causas sociorum dedititiorum in urbe actas esse, cum probabilius sit hos certe jurisdictionem in rebus minoribus causisque privatis, quibus supra certam quandam pecuniæ summam lis non æstimaretur, integram habuisse. Causæ sociorum per menses æstivos inde a mense Munychione, i. e. ineunte vere, agebantur; quo tempore cum navigatio inciperet, sociis, qui plerique omnes insulani essent, in urbem venire licebat. V. Platner. l. l. p. 113.

παρὰ—χρῆναι] i. e. παρὰ τὸ οἴεσθαι μὴ χρῆναι, sive 'against the conviction that this should not be done:' solet enim οὐ et μὴ sententiarum ab οἶμαι pendentium cum hoc ipso verbo jungi, ut Latini 'non puto' dicunt, pro 'puto, non,' etc.

τοῦ ἐνδεοῦς—φέρουσιν] Usitatius erat τὸ ἐνδεὲς χαλεπώτερον φέρουσιν. Sed v. Matth. ad Hist. Gr. cap. præc. p. 233. et Gr. § 368. a. conf. ii, 62. οὐδ' εἰκὸς χαλεπῶς φέρειν αὐτῶν μᾶλλον. Bredov. 'These people are so accustomed to live upon terms of equality with ourselves, that as soon as they suffer the least detriment, in their opinion unjustly, in consequence of a resolution, or through the exercise of our sovereignty, they do not thank us for not having suffered more, but about their trifling loss (which bears no proportion to what they might have suffered, and have suffered from others) do really make greater noise, than if we had at once set all justice aside, and had only sought our aggrandizement: and if we had thus acted, they could not presume to deny that inferiors ought to submit to their superiors.' De ellipsi ἀπὸ πρώτης v. Schæfer. ad L. Bos. p. 43.—Ut autem homines molestius ferunt injuriam quam vim; ita Plut. V. Timol. iniquius verba quam facta probrosa ferri ait: οὕτως ὑπὸ λόγων μᾶλλον ἢ πράξεων πονηρῶν ἀνιᾶσθαι πεφύκασιν οἱ πολλοί· χαλεπώτερον γὰρ ὕβριν ἢ βλάβην φέρουσι. —In verbis ἐκείνως δὲ (i. e. εἰ φανερῶς ἐπλεονεκτοῦμεν) particula posita est pro γὰρ, ut sæpe, velut i, 86. οἱ δ' οὐκέτι, etc. viii, 69. ἦσαν δ' Ἀθηναῖοι, etc. V. Herm. ad Vig. p. 847. et de nostro loco id observavit schol. Denique, ἀπὸ τοῦ ἴσου verte 'by his equals.'

ὑμεῖς γ' ἂν οὖν—ἂν—μεταβάλοιτε] Particula ἂν in eadem sententia bis posita, ad idemque verbum referenda. Conf. i, 36. 136. ii, 41. 94. Anecd. Bekk. i. p. 128. Greg. Cor. p. 43. Herm. ad Vig. p. 814.

τάχα ἂν τὴν εὔνοιαν ἣν διὰ τὸ ἡμέτερον δέος εἰλήφατε, μεταβάλοιτε, εἴπερ οἷα καὶ τότε πρὸς τὸν Μῆδον δι' ὀλίγου ἡγησάμενοι ὑπεδείξατε, ὁμοῖα καὶ νῦν γνώσεσθε. Ἄμικτα γὰρ τά τε καθ' ὑμᾶς αὐτοὺς νόμιμα τοῖς ἄλλοις ἔχετε καὶ προσέτι εἷς ἕκαστος ἐξιὼν οὔτε τούτοις χρῆται οὔθ' οἷς ἡ ἄλλη Ἑλλὰς νομίζει.

78. Βουλεύεσθε οὖν βραδέως ὡς οὐ περὶ βραχέων, καὶ μὴ ἀλλοτρίαις γνώμαις καὶ ἐγκλήμασι πεισθέντες οἰκεῖον πόνον πρόσθησθε. Τοῦ δὲ πολέμου τὸν παράλογον, ὅσος ἐστὶ, πρὶν ἐν αὐτῷ γενέσθαι προδιάγνωτε· μηκυνόμενος γὰρ φιλεῖ ἐς τύχας τὰ πολλὰ περιΐστασθαι, ὧν ἴσον τε ἀπέχομεν καὶ ὁποτέρως ἔσται ἐν ἀδήλῳ κινδυνεύεται. Ἰόντες τε οἱ ἄνθρωποι ἐς τοὺς πολέμους τῶν ἔργων πρότερον ἔχονται, ἃ χρῆν ὕστερον δρᾶν, κακοπαθοῦντες δὲ ἤδη τῶν λόγων ἅπτονται. Ἡμεῖς δὲ ἐν οὐδεμιᾷ πω τοιαύτῃ ἁμαρτίᾳ ὄντες οὔτ' αὐτοὶ οὔθ' ὑμᾶς ὁρῶντες λέγομεν ὑμῖν, ἕως ἔτι αὐθαίρετος ἀμφοτέροις ἡ εὐβουλία, σπονδὰς μὴ λύειν μηδὲ παραβαίνειν τοὺς ὅρκους, τὰ δὲ διάφορα δίκῃ λύεσθαι κατὰ τὴν ξυνθήκην· ἢ θεοὺς τοὺς ὁρκίους μάρτυρας ποιούμενοι πειρασόμεθα ἀμύνεσθαι πολέμου ἄρχοντας ταύτῃ ᾗ ἂν ὑφηγῆσθε.

79. Τοιαῦτα δὲ οἱ Ἀθηναῖοι εἶπον. Ἐπειδὴ δὲ τῶν τε ξυμμάχων ἤκουσαν οἱ Λακεδαιμόνιοι τὰ ἐγκλήματα τὰ ἐς τοὺς Ἀθηναίους καὶ τῶν Ἀθηναίων ἃ ἔλεξαν, μεταστησάμενοι πάντας ἐβουλεύοντο κατὰ σφᾶς αὐτοὺς περὶ τῶν παρόντων. Καὶ τῶν μὲν πλειόνων ἐπὶ τὸ αὐτὸ αἱ γνῶμαι ἔφερον, ἀδικεῖν τε τοὺς Ἀθηναίους ἤδη καὶ πολεμητέα εἶναι

ἄμικτα] Mireris citas rerum vicissitudines: sic Græci hoc tempore inter se loquuntur; at apud Herodot. viii, 144. Athenienses ad Spartanos, *τὸ Ἑλληνικὸν ἐὸν ὅμαιμόν τε καὶ ὁμόγλωσσον, καὶ θεῶν ἱδρύματά τε κοινὰ, καὶ θυσίαι, ἤθεά τε ὁμότροπα*, etc. Scilicet Dorienses reliquos Græcos despiciebant. V. Valck. ad Herodot. iii. p. 227. schol. Thuc. ad i, 124. 144. Mox ad *ἐξιὼν* intellige *ἐς πόλεμον*, hoc verbum enim et *ἔξοδος* in hac re propria sunt. V. Valck. ad Eur. Phœn. 766. Abresch. Auctar. p. 234. et de fine huj. cap. Crag. d. Rep. Laced. iii, 12. Instit. 6.

78. *τοῦ πολέμου—περιΐστασθαι*] Stob. p. 532. Suidas et Schol. ad Lucian. t. v. p. 8. V. supr. ad c. 65. de v. *παράλογος*. Mox *ἐν ἀδήλῳ κ.* est, 'ita ut incertus sit exitus.'

ἢ θεοὺς] Plerique libri pro *ἢ* habent *εἰ δὲ μὴ*, quod usitatius est quam *ἢ* hoc sensu, ut sit 'alioqui.' Conf. i, 121. *ἢ δεινὸν ἂν εἴη*. 140. *ἢ μηδὲ κατορθοῦντας—μεταποιεῖσθαι*. Mox, *ὑφηγῆσθε* idem est ac *προηγῆσθε*: nam *ὑπὸ* in compositis subinde est pro præp. *πρό*. Gottl. adiri jubet Schneider. ad Demetr. d. Eloc. p. 141. Bud. Comm. L. Gr. p. 536.

79. *πολεμητέα—τάχει*] Phot. p. 378, 20. Pors. Schol. ad Arist. Ach. 193. in cod. suo invenisse videtur *πολεμιστέα*. Dionys. Art. Rhet. p. 294. *παρὰ τῷ Θουκυδίδῃ*, ait, *Ἀρχίδαμος, ὃν φησιν συνετὸν εἶναι καὶ σώφρονα*, eodem utitur artificio ad reprimendos Lacedæmonios, cupiditate

ἐν τάχει· παρελθὼν δὲ Ἀρχίδαμος ὁ βασιλεὺς αὐτῶν, ἀνὴρ καὶ ξυνετὸς δοκῶν εἶναι καὶ σώφρων, ἔλεξε τοιάδε.

80. Καὶ αὐτὸς πολλῶν ἤδη πολέμων ἔμπειρός εἰμι, ὦ Λακεδαιμόνιοι, καὶ ὑμῶν τοὺς ἐν τῇ αὐτῇ ἡλικίᾳ ὁρῶ, ὥστε μήτε ἀπειρίᾳ ἐπιθυμῆσαί τινα τοῦ ἔργου, ὅπερ ἂν οἱ πολλοὶ πάθοιεν, μήτε ἀγαθὸν καὶ ἀσφαλὲς νομίσαντα. Εὕροιτε δ' ἂν τόνδε περὶ οὗ νῦν βουλεύεσθε οὐκ ἂν ἐλάχιστον γενόμενον, εἰ σωφρόνως τις αὐτὸν ἐκλογίζοιτο. Πρὸς μὲν γὰρ τοὺς Πελοποννησίους καὶ ἀστυγείτονας παρόμοιος ἡμῶν ἡ ἀλκὴ, καὶ διὰ ταχέων οἷόν τε ἐφ' ἕκαστα ἐλθεῖν· πρὸς δὲ ἄνδρας οἳ γῆν τε ἑκὰς ἔχουσι καὶ προσέτι θαλάσσης ἐμπειρότατοί εἰσι καὶ τοῖς ἄλλοις ἅπασιν ἄριστα ἐξήρτυνται, πλούτῳ τε ἰδίῳ καὶ δημοσίῳ καὶ ναυσὶ καὶ ἵπποις καὶ ὅπλοις καὶ ὄχλῳ ὅσος οὐκ ἐν ἄλλῳ ἑνί γε χωρίῳ Ἑλληνικῷ ἐστιν, ἔτι δὲ καὶ ξυμμάχους πολλοὺς φόρου ὑποτελεῖς ἔχουσι, πῶς χρὴ πρὸς τούτους ῥᾳδίως πόλεμον ἄρασθαι καὶ τίνι πιστεύσαντας ἀπαρασκεύους ἐπειχθῆναι; πότερον ταῖς ναυσίν; ἀλλ' ἥσσους ἐσμέν· εἰ δὲ μελετήσομεν καὶ ἀντιπαρασκευασόμεθα, χρόνος ἐνέσται. Ἀλλὰ τοῖς χρήμασιν; ἀλλὰ πολλῷ ἔτι πλέον τούτου ἐλλείπομεν καὶ οὔτε ἐν κοινῷ ἔχομεν οὔτε ἑτοίμως ἐκ τῶν ἰδίων φέρομεν.

bellandi cum Atheniensibus flagrantes, quo Demosthenes in Or. de Symmor. ad reprimendos Athenienses, bellum adversus regem Persarum gerere gestientes.

80. Oratio Archidami, regis Spartanorum, qua imperfecti apud se bellici apparatus, et quæ sit natura belli cum Atheniensibus gerendi monet; ut melius præparentur suadet, imprudentem festinationem dissuadet; utilitates cautæ agendi rationis exponit, atque prius quam armis, paciscendo disceptent, hortatur. Ad hanc orationem puto spectare verba Marcellini ad Hermog. p. 313. in Reisk. Appar. Cr. ad Dem. t. i. p. 247. Schæf. *οὐκ ἀποχρήσει δὲ τὰ τῶν πολεμίων μόνον διαβάλλειν, ἀλλὰ δεῖ καὶ τὰ οἰκεῖα συστῆσαι, ὡς ὁ Θουκυδίδης ἐν τῇ Περικλέους* (puto *Ἀρχιδάμου*) *δημηγορίᾳ.*

καὶ αὐτὸς—εἰμι] Pausan. i. p. 95. *καὶ τοῦ παντὸς ἄρχειν ᾕρητο Λεωσθένης, πόλεώς τε ἀξιώματι καὶ αὐτὸς εἶναι δοκῶν πολέμων ἔμπειρος.*

ἀπειρίᾳ — νομίσαντα] variatur oratio transitu ex substantivo in partic. facto. Conf. i, 107. ubi sic lego: *νομίσαντες δὲ ἀπορεῖν, ὅπῃ διέλθωσιν, ἐπεστράτευσαν αὐτοῖς; καί τι καὶ τοῦ δήμου καταλύσεως ὑποψίᾳ*, pro *ὑποψία ἦν.*

τόνδε περὶ οὗ νῦν] Vulgo *τὸν πόλεμον τόνδε*. Sed *τὸν πόλεμον* omittunt A. B. F. H. N. g. h. *τόνδε* om. L. P. *τόνδε τὸν πόλεμον* C. K. O. Q. S. Valla quoque *τὸν πόλεμον* omisit.

πλούτῳ] Per simile polysyndeton Dem. Or. adv. Phil. Ep. p. 152. *ὅτι δὲ χρὴ μήτε ὀῤῥωδεῖν ὑμᾶς τὴν ἐκείνου δύναμιν, μήτε ἀγεννῶς ἀντιταχθῆναι πρὸς αὐτὸν, ἀλλὰ καὶ σώμασι, καὶ χρήμασι, καὶ ναυσὶ, καὶ πᾶσιν, ὡς ἁπλῶς εἰπεῖν, ἀφειδῶς ὁρμῆσαι πρὸς τὸν πόλεμον, ἐγὼ πειράσομαι διδάσκειν.* Conf. p. 170. Mox Gottl. recte *ἀντιπαρασκευασόμεθα* dedit pro *παρασκευάσομεν*, probantibus Hemsterh. ad Thom. M. p. 852. et Abresch. Auct. p. 261. Conf. Ern. ad Xen. Mem. iii, 7.

ἐν κοινῷ] i. e. 'in ærario:' v. Wessel. ad Herodot. vii. p. 569. Aristot. Polit. ii, 7.

81. Τάχ' ἄν τις θαρσοίη ὅτι τοῖς ὅπλοις αὐτῶν καὶ τῷ πλήθει ὑπερφέρομεν, ὥστε τὴν γῆν δῃοῦν ἐπιφοιτῶντες· τοῖς δὲ ἄλλη γῆ ἐστὶ πολλὴ ἧς ἄρχουσι, καὶ ἐκ θαλάσσης ὧν δέονται ἐπάξονται. Εἰ δ' αὖ τοὺς ξυμμάχους ἀφιστάναι πειρασόμεθα, δεήσει καὶ τούτοις ναυσὶ βοηθεῖν, τὸ πλέον οὖσι νησιώταις. Τίς οὖν ἔσται ἡμῶν ὁ πόλεμος; εἰ μὴ γὰρ ἢ ναυσὶ κρατήσομεν ἢ τὰς προσόδους ἀφαιρήσομεν ἀφ' ὧν τὸ ναυτικὸν τρέφουσι, βλαψόμεθα τὰ πλέω. Κἀν τούτῳ οὐδὲ καταλύεσθαι ἔτι καλὸν, ἄλλως τε καὶ εἰ δόξομεν ἄρξαι μᾶλλον τῆς διαφορᾶς. Μὴ γὰρ δὴ ἐκείνῃ γε τῇ ἐλπίδι ἐπαιρώμεθα ὡς ταχὺ παυθήσεται ὁ πόλεμος ἢν τὴν γῆν αὐτῶν τάμωμεν. Δέδοικα δὲ μᾶλλον μὴ καὶ τοῖς παισὶν αὐτὸν ὑπολίπωμεν· οὕτως εἰκὸς Ἀθηναίους φρονήματι μήτε τῇ γῇ δουλεῦσαι, μήτε ὥσπερ ἀπείρους καταπλαγῆναι τῷ πολέμῳ.

82. Οὐ μὴν οὐδὲ ἀναισθήτως αὐτοὺς κελεύω τούς τε ξυμμάχους ἡμῶν ἐᾶν βλάπτειν καὶ ἐπιβουλεύοντας μὴ καταφωρᾶν, ἀλλὰ ὅπλα μὲν μήπω κινεῖν, πέμπειν δὲ καὶ αἰτιᾶσθαι μήτε πόλεμον ἄγαν δηλοῦντας μήθ' ὡς ἐπιτρέψομεν, κἀν τούτῳ καὶ τὰ ἡμέτερα αὐτῶν ἐξαρτύεσθαι ξυμμάχων τε προσαγωγῇ καὶ Ἑλλήνων καὶ βαρβάρων, εἴ ποθέν τινα ἢ ναυτικοῦ ἢ χρημάτων δύναμιν προσληψόμεθα· ἀνεπίφθονον δὲ ὅσοι ὥσπερ καὶ ἡμεῖς ὑπ' Ἀθηναίων ἐπιβουλευόμεθα μὴ Ἕλληνας μόνον, ἀλλὰ καὶ βαρβάρους προσλαβόντας διασωθῆναι· καὶ τὰ αὐτῶν ἅμα ἐκποριζώμεθα. Καὶ ἢν μὲν ἐσακούσωσί τι πρεσβευομένων ἡμῶν, ταῦτα ἄριστα· ἢν δὲ μὴ, διελθόντων ἐτῶν καὶ δύο καὶ τριῶν ἄμεινον ἤδη ἢν δοκῇ

81. *καταλύεσθαι*] Usitatius hoc sensu, quo est 'reconciliari' verbum *διαλύεσθαι*. Sed *καταλύειν* eodem sensu extat v, 23. viii, 58.

ὑπολίπωμεν] Hom. Il., ut Schol. adnotavit: *μηδ' ἡμῖν τεκέεσσί τ' ὀπίσσω πῆμα λίπωνται*. Mox, de aoristo *καταπλαγῆναι* v. Popp. Prol. t. i. p. 158.

82. *μήτε πόλεμον — ὡς ἐπιτρέψομεν*] Vide de his verbis Matth. Gr. § 631, 4.

ἐπιβουλευόμεθα] Scribere debebat *ἐπιβουλεύονται*, quia pertinet ad *ὅσοι*, sed structura sententiæ principalis non raro sequitur sententiam in medio positam, atque aliunde pendentem. Conf. iii, 67. *ἢν οἱ ἡγεμόνες ὥσπερ νῦν ὑμεῖς κεφαλαιώσαντες πρὸς τοὺς ξύμπαντας διαγνώμας ποιήσεσθε*. Mox *καὶ τὰ αὐτῶν* est pro *τὰ ἡμῶν αὐτῶν*. V. Matth. Gr. § 489. II. Buttm. § 114. not. 5. Bredov. 'And in the mean time we must prepare with all our might, partly by collecting confederates among the Greeks and foreigners, whencesoever we can get money or ships; for nobody can blame us, attacked as we are by enemies such as the Athenians, if we avail ourselves of the help of foreigners as well as of Greeks for our salvation; partly we will keep our own resources in readiness.' Respondent inter se *ξυμμάχων τε προσαγωγῇ* et *καὶ τὰ αὐτῶν ἅμα ἐκπορ.*, verba autem *ἀνεπίφθονον—διασωθῆναι* in parenthesi sunt.

πεφραγμένοι ἴμεν ἐπ' αὐτούς. Καὶ ἴσως ὁρῶντες ἡμῶν ἤδη τήν τε παρασκευὴν καὶ τοὺς λόγους αὐτῇ ὁμοῖα ὑποσημαίνοντας μᾶλλον ἂν εἴκοιεν, καὶ γῆν ἔτι ἄτμητον ἔχοντες καὶ περὶ παρόντων ἀγαθῶν καὶ οὔπω ἐφθαρμένων βουλευόμενοι. Μὴ γὰρ ἄλλο τι νομίσητε τὴν γῆν αὐτῶν ἢ ὅμηρον ἔχειν, καὶ οὐχ ἧσσον ὅσῳ ἄμεινον ἐξείργασται· ἧς φείδεσθαι χρὴ ὡς ἐπὶ πλεῖστον, καὶ μὴ ἐς ἀπόνοιαν καταστήσαντας αὐτοὺς ἀληπτοτέρους ἔχειν. Εἰ γὰρ ἀπαράσκευοι τοῖς τῶν ξυμμάχων ἐγκλήμασιν ἐπειχθέντες τεμοῦμεν αὐτήν, ὁρᾶτε ὅπως μὴ αἴσχιον καὶ ἀπορώτερον τῇ Πελοποννήσῳ πράξωμεν. Ἐγκλήματα μὲν γὰρ καὶ πόλεων καὶ ἰδιωτῶν οἷόν τε καταλῦσαι· πόλεμον δὲ ξύμπαντας ἀραμένους ἕνεκα τῶν ἰδίων, ὃν οὐχ ὑπάρχει εἰδέναι καθ' ὅτι χωρήσει, οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι.

83. Καὶ ἀνανδρία μηδενὶ πολλοὺς μιᾷ πόλει μὴ ταχὺ ἐπελθεῖν δοκείτω εἶναι. Εἰσὶ γὰρ καὶ ἐκείνοις οὐκ ἐλάσσους χρήματα φέροντες ξύμμαχοι, καὶ ἔστιν ὁ πόλεμος οὐχ ὅπλων τὸ πλέον, ἀλλὰ δαπάνης, δι' ἣν τὰ ὅπλα ὠφελεῖ, ἄλλως τε καὶ ἠπειρώταις πρὸς θαλασσίους. Πορισώμεθα οὖν πρῶτον αὐτὴν, καὶ μὴ τοῖς τῶν ξυμμάχων λόγοις πρότερον ἐπαιρώμεθα, οἵπερ δὲ καὶ τῶν ἀποβαινόντων τὸ πλέον ἐπ' ἀμφότερα τῆς αἰτίας ἕξομεν, οὗτοι καὶ καθ' ἡσυχίαν τι αὐτῶν προΐδωμεν.

84. Καὶ τὸ βραδὺ καὶ μέλλον, ὃ μέμφονται μάλιστα ἡμῶν, μὴ αἰσχύνεσθε. Σπεύδοντές τε γὰρ σχολαίτερον ἂν παύσαισθε διὰ τὸ ἀπαράσκευοι ἐγχειρεῖν· καὶ ἅμα ἐλευθέραν καὶ ἐνδοξοτάτην πόλιν διὰ παντὸς νεμόμεθα· καὶ δύναται

ὅμηρον] Suidas in v. Harpocr. Hesych. in ὁμηρεῖν. Etym. M. p. 335, 20. Suidas paulo ante verbum καταφωρᾶν explicat per ἐλέγχειν, ubi Scholiasta usus est. Mox οὐχ ἧσσον est pro τοσούτῳ μᾶλλον ὅσῳ ἄμεινον, ut vii, 68. V. Abresch. Auctar. p. 236. Etenim οὐχ ἧσσον est μᾶλλον, et οὐχ ἥκιστα idem quod μάλιστα. V. Mœr. p. 182., ibiq. Piers. Add. interpp. ad Vig. p. 453.

ἐγκλήμασιν] i. e. 'propter crimina.' V. Matth. Gr. § 398. b. De aorist. πράξωμεν post ὅπως μὴ v. Popp. Prol. t. i. p. 136. Qui sequuntur canonem Dawesianum, (de quo v. Heind. ad Plat. Protag. p. 476. Thiersch. Gr. § 343, 13.) legunt πράξομεν, quia ex illo ὅπως μὴ nonnisi cum conj. aor. primi pass. et aoristi sec., non autem cum activi aut medii aoristi primi conjunctivo conjungitur. Apud Thucydidem conjunctivus aoristi primi activi cum ὅπως μὴ junctus est, ii, 67. iv, 66. 76. Medii aoristi primi conjunctivus extat i, 57. coll. viii, 4. porro i, 73. iii, 57. In quibus exemplis ne unus quidem cod. futurum præbet.—Verba μὴ αἴσχιον—πράξομεν adscripta in Anecd. Bekk. i. p. 162.

84. ἂν παύσαισθε] Plerique codd. παύσησθε, quod poëticum est. V. Matth. Gr. § 517. Prætuli optativum cum Popp. l. l. p. 138. Mox scripturam ἐνδοξοτάτης tuetur Thom. M. in ἐπίδοξος, ubi usus est verbis καὶ ἅμα—διαπαντός. In proxime sequentibus τοῦτ' εἶναι pronomen refer ad

μάλιστα σωφροσύνη ἔμφρων τοῦτ' εἶναι. Μόνοι γὰρ δι' αὐτὸ εὐπραγίαις τε οὐκ ἐξυβρίζομεν καὶ ξυμφοραῖς ἧσσον ἑτέρων εἴκομεν· τῶν τε ξὺν ἐπαίνῳ ἐξοτρυνόντων ἡμᾶς ἐπὶ τὰ δεινὰ παρὰ τὸ δοκοῦν ἡμῖν οὐκ ἐπαιρόμεθα ἡδονῇ, καὶ ἤν τις ἄρα ξὺν κατηγορίᾳ παροξύνῃ, οὐδὲν μᾶλλον ἀχθεσθέντες ἀνεπείσθημεν. Πολεμικοί τε καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον γιγνόμεθα, τὸ μὲν ὅτι αἰδὼς σωφροσύνης πλεῖστον μετέχει, αἰσχύνης δὲ εὐψυχία, εὔβουλοι δὲ ἀμαθέστερον τῶν νόμων τῆς ὑπεροψίας παιδευόμενοι, καὶ ξὺν χαλεπότητι σωφρονέστερον ἢ ὥστε αὐτῶν ἀνηκουστεῖν, καὶ μὴ τὰ ἀχρεῖα ξυνετοὶ ἄγαν ὄντες, τὰς τῶν πολεμίων παρασκευὰς λόγῳ καλῶς μεμφόμενοι ἀνομοίως ἔργῳ ἐπεξιέναι, νομίζειν δὲ τάς τε διανοίας τῶν πέλας παραπλησίους εἶναι καὶ τὰς προσπιπτούσας τύχας οὐ λόγῳ διαιρετάς. Ἀεὶ δὲ ὡς πρὸς εὖ βουλευομένους τοὺς ἐναντίους ἔργῳ παρασκευαζόμεθα· καὶ οὐκ ἐξ ἐκείνων ὡς ἁμαρτησομένων ἔχειν δεῖ τὰς ἐλπίδας, ἀλλ' ὡς ἡμῶν αὐτῶν ἀσφαλῶς προνοουμένων. Πολύ τε διαφέρειν οὐ δεῖ νομίζειν

ἐλευθέραν, ut sit, ἐλευθέρα εἶναι. Ad sensum vero hujus loci explicandum faciunt sermones Platon. d. Leg. 646. Steph.

εὐπραγίαις] Photius: *εὐπραξίαν οἱ παλαιοὶ κωμικοὶ διὰ τοῦ ξ· Θουκυδίδης δὲ διὰ τοῦ γ.* Habet tamen etiam alteram formam.

αἰδὼς] i. e. 'dedecoris vitandi studium.' Vid. Elmsl. ad Eur. Heracl. 201. Schol. monet verborum Homeri, *αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται.* Quippe, ut Simonides ait, *ὁ θάνατος ἔκιχε καὶ τὸν φυγόμαχον*, cujus verba expressit Horat. Od. iii, 2, 14. 'Mors et fugacem persequitur virum, Nec parcit inbellis juventæ Poplitibus timidove tergo.'

εὔβουλοι δὲ—προνοουμένων] Hoc dicit: modestia nostra, quam tarditatem dicunt Corinthii, efficit, ut et bellicosi simus et circumspecti; ac bellicosi quidem, quia modestiam vel maxime pudor et vitandi dedecoris studium sequitur, rursus ex illo pudore nascitur periculorum contemtus et fortitudo. Ita fit, ut bellicosi simus. Circumspecti autem modestia nostra sumus, quia sic instituimur, ut leges non contemnamus, et severitate disciplinæ iis obtemperare discamus; quia sic instituimur, ut inutilia addiscere nolentes non quidem hostium apparatum facunde reprehendamus, sed tanto acrius agendo rem ipsam aggrediamur; quia denique sic instituimur, ut persuasum nobis habeamus, consilia hostium similia esse fortunæ casibus, qui ne ipsi quidem callide disserendo ex incertis certi reddi possunt. Quare semper re et factis parati sumus, ut adversus bene consultos hostes, neque in erroribus, quos illi fortasse commissuri sunt, fiduciam ponimus, sed inde spem victoriæ capimus, quod in omnem eventum semper præparati sumus.—Verba *τὸ μὲν* ante *ὅτι αἰδὼς* refer ad *πολεμικοὶ*, ut sit, *καὶ πολεμικοὶ μὲν γιγνόμεθα.* Verbo *αἰσχύνης* non aliud quidquam significatur quam verbo *αἰδώς*: hic enim est nexus et quasi climax quidam sententiarum; modesti sumus, ex modestia vitandi dedecoris studiosi, ex hoc studio fortes. Jam cum post *τὸ μὲν* sequi deberet *τὸ δὲ*, posuit pro *τὸ δὲ*, quia præcessit *πολεμικοί τε καὶ εὔβουλοι γιγνόμεθα*, verba *εὔβουλοι δὲ*, et deinde orationem variat dicens pro *ὅτι ἀμαθέστερον—παιδευόμεθα* sic, *ἀμαθέστερον παιδευόμενοι.* Jam a partic. *παιδευόμενοι* pendent adverbia *ἀμαθέστερον* et *σωφρονέστερον.* Atque in sententiis quoque ab his adverbiis pendentibus oratio variatur, nam ab *ἀμαθέστερον* quod pendet, substantivum est, *τῆς ὑπεροψίας*, quod autem a *σωφρονέστερον*, verbum, *ἢ ὥστε ἀνηκουστεῖν.* Deinde *ξὺν χαλεπότητι σωφρονέστερον* dixit pro *χαλεπώτερόν τε καὶ σωφρονέστερον.* Præterea a participio *παιδευόμενοι* pendent infinitivi *ἐπεξιέναι* et *νομίζειν.* Verba autem *καὶ μὴ τὰ ἀχρεῖα—ἐπεξιέναι* ita explico: *καὶ μὴ τῷ τὰ ἀχρεῖα ξυνετοὶ ὄντες εἶναι τὰς τῶν πολεμίων παρασκευὰς λόγῳ*

ἄνθρωπον ἀνθρώπου, κράτιστον δὲ εἶναι ὅστις ἐν τοῖς ἀναγκαιοτάτοις παιδεύεται.

μὲν καλῶς μέμφεσθαι, ἀνομοίως δὲ ἔργῳ ἐπεξιέναι, sc. *παιδευόμενοι*, quemadmodum supr. cap. 71. init. partic. *ἀμυνόμενοι* vidimus explicandum esse per *τῷ ἀμύνεσθαι*. Pergit *νομίζειν δὲ—οὐ λόγῳ διαιρετάς*. Quæ verba vulgo ita interpretantur: 'sed ita instituimur, ut et aliorum cogitationes nostris similes esse et fortunæ casus oratione explicari non posse existimemus.' Qui si verus sensus istorum verborum esset, pro *οὐ διαιρετὰς* opus fuisset scribi *μὴ διαιρετάς*. At enim *παραπλησίους εἶναι καὶ τὰς—τύχας* dictum e more Græcorum pro *παραπλησίους εἶναι ταῖς τύχαις*. Verba autem *οὐ λόγῳ διαιρετὰς*, i. e. 'which are not to be settled by words,' jam recte *οὐ*, non *μὴ* habent, quia sic resolvenda sunt: *αἳ οὐ διαιρεταὶ λόγῳ εἰσίν*. Conf. Periclis verba, infr. c. 140. *ἐνδέχεται—αἰτιᾶσθαι*. Hæc totius periodi interpretatio sequentibus firmatur, quibus hoc dicit: propterea quod pro incertis consilia hostium, pro incertis casus fortunæ habemus; minus quidem verborum facimus, sed tanto tutius bella aggredimur, semper ita parati, quasi hostes optime sibi consuluerint, quo fit, ut nullus rerum eventus præter spem nobis contingat. Particula *ὡς*, cum genitivo absol. *προνοουμένων* juncta, per circumscriptionem reddenda est: 'one must have hopes, in the consciousness that one is prepared even for every chance.' V. Buttm. Gr. § 132. not. 5. Verba denique extrema hujus cap. refero ad laudes quas Corinthii Atheniensibus tribuerant c. 70. 71. Schol. pleraque non inutilia adnotavit: *σωφροσύνη ἔμφρων λέγει τὴν μετὰ λογισμοῦ τυγχάνουσαν, οὐ τὴν ἀλόγιστον, καὶ ἀπὸ φύσεως μόνον συμβαίνουσαν*. Minus recte verba *τοῦτ' εἶναι* explicat per *τὸ βραδὺ καὶ τὸ μέλλον*. Verba *τῶν τε ξὺν ἐπαίνῳ—ἡδονῇ* recte ad orationem Corinthiorum respicere ait. Pergit *ἀσαφὲς τὸ χωρίον ποιεῖ ἡ τῶν ὀνομάτων ἐναλλαγή· τήν τε γὰρ αἰδῶ καὶ τὴν αἰσχύνην κατὰ τοῦ αὐτοῦ τίθησι συνωνύμως, καὶ τὸ λοιπὸν ἔμφασιν παρέχει, ὡς ἐπ' ἄλλου καὶ ἄλλου τάσσων τὴν λέξιν· ὡς καὶ τὴν σωφροσύνην καὶ τὴν εὐκοσμίαν ὁμοίως τέθεικε*. Ad verbum *ἀμαθέστεροι* (ita enim legit) hæc adnotavit: *ὁ μὴ εἰδώς τι κακὸν ποιῆσαι, ἀμαθῶς αὐτοῦ ἔχει δηλονότι. Ἡμεῖς οὖν, φησί, παιδευόμεθα ἀμαθῶς ἔχειν τοῦ καταφρονεῖν τῶν νόμων· τουτέστιν, οὐ παιδευόμεθα, ὥστε ὑπερορᾶν τῶν νόμων*. Notum autem est, Athenienses adversariis suis exprobrasse *ἀμαθίαν*, quod fecit etiam orator Corinthius c. 71., tanquam *ἀμούσοις*. V. Ælian. V. H. xii, 50., ibique Perizon. Præcipue autem studium eloquentiæ negligebant: v. Thuc. iv, 84. Hæc sunt *τὰ ἀχρεῖα* quæ dicit Archidamus, ubi Schol. *τὰ ἀχρεῖα, τὰ σοφίσματα τῶν λόγων· οἱ γὰρ Λάκωνες βραχυλόγοι*. Pergit, *καὶ ξὺν χαλεπότητι· οἱ γὰρ Λακεδαιμόνιοι βαρυτάτην εἶχον ἀγωγήν, χαλεπῶς ζημιούμενοι καὶ σωφρονιζόμενοι· ἐν γὰρ Λακεδαίμονι ἔφοροί τινες ἦσαν, οἳ εἴ τινα ἴδοιεν ἀργοῦντα, τοῦτον ἔτυπτον λέγοντες, ὅτι ὁ ἀργῶν καὶ τῶν νόμων σπεύδει καταφρονεῖν*. Verba autem *νομίζειν—διαιρετὰς* quod attinet, schol. partim verum vidit, partim cæcutiit; *ὁ δέ τε σύνδεσμος* (ante *διανοίας*) *πρὸς τὸ οὐ ἐπίῤῥημα*. Sed illa particula potius referenda ad proxime sequens *καί*.—*Τὸ δὲ οὐ ἀντὶ τοῦ μή, ἵν' ᾖ οὕτως ἡ σύνταξις· 'Καὶ πολεμικοὶ καὶ εὔβουλοι γινόμεθα, παιδευόμενοι μὴ νομίζειν τὰς διανοίας τῶν πέλας καὶ τὰς προσπιπτούσας τύχας ὁμοίας εἶναι, λόγῳ διαιρετὰς,' ἀντὶ τοῦ· οὐχ ὡς λόγῳ λέγουσιν οἱ μὴ σκοποῦντες ἃ δεῖ, οὕτω τὰς τύχας ἔχειν ὑπολαμβάνειν*. Quod nullo modo fieri potest; nam neque *οὐ* pro *μὴ* ponere licebat, neque particulam negativam ex sententia ab alia pendente transferre in sententiam unde illa pendet. Ita enim exit sensus plane alienus: 'non putamus similia esse consilia hominum et fortunæ casus,' cum potius similia esse velit, quippe quorum neutrum verbis dirigatur et in certo ponatur. Vocabulum *διαιρετὰς* per *φανερὰς*, i. e. 'explorata,' exponit. Verbis *ὡς ἁμαρτησομένων*, etc. rursus Corinthios tangi, recte monet. V. supr. c. 69. Verba *ἐν τοῖς ἀναγκαιοτάτοις*, quæ contrarium significant illis *ἀχρείοις*, ex iisdem explicanda sunt. Non sunt igitur, ut schol. vult, *τὰ ἐπικινδυνώτατα*, sed hoc sibi vult, 'ne putate, hominem homini multo præstare;' est ut vir viro virtutibus quibusdam non necessariis, velut facunditate, deliciarum studio præstet, 'sed præstantissimus ille est, qui in maxime necessariis eruditur,' i. e. in severa corporis morumque disciplina atque obedientia legum.—Ceterum probabilis Heilmanni conjectura est, scholiasten legisse *παραπλησίως*, et scripsisse *ὁμοίως*, quod nisi ita sit, nimis absurda ejus explicatio est. Ipse autem ita interpretatur: 'It is our considerate way of thinking which not only renders us warlike, but also makes us fit to form salutary resolutions: the former, because considerateness is associated with a sense of honour, which is again associated with valour; the latter, because we have been educated in that simplicity which does not let us know what it is to despise the laws, and because we have been too

85. Ταύτας οὖν ἃς οἱ πατέρες τε ἡμῖν παρέδοσαν μελέτας καὶ αὐτοὶ διὰ παντὸς ὠφελούμενοι ἔχομεν, μὴ παρῶμεν, μηδ' ἐπειχθέντες ἐν βραχεῖ μορίῳ ἡμέρας περὶ πολλῶν σωμάτων καὶ χρημάτων καὶ πόλεων καὶ δόξης βουλεύσωμεν, ἀλλὰ καθ' ἡσυχίαν. Ἔξεστι δ' ἡμῖν μᾶλλον ἑτέρων διὰ ἰσχύν. Καὶ πρὸς τοὺς Ἀθηναίους πέμπετε μὲν περὶ τῆς Ποτιδαίας, πέμπετε δὲ περὶ ὧν οἱ ξύμμαχοί φασιν ἀδικεῖσθαι, ἄλλως τε καὶ ἑτοίμων ὄντων αὐτῶν δίκας δοῦναι· ἐπὶ δὲ τὸν διδόντα οὐ πρότερον νόμιμον ὡς ἐπὶ ἀδικοῦντα ἰέναι. Παρασκευάζεσθε δὲ τὸν πόλεμον ἅμα. Ταῦτα γὰρ καὶ κράτιστα βουλεύσεσθε καὶ τοῖς ἐναντίοις φοβερώτατα. Καὶ ὁ μὲν Ἀρχίδαμος τοιαῦτα εἶπε· παρελθὼν δὲ Σθενελαΐδας τελευταῖος, εἷς τῶν ἐφόρων τότε ὤν, ἔλεξεν ἐν τοῖς Λακεδαιμονίοις ὧδε.

86. Τοὺς μὲν λόγους τοὺς πολλοὺς τῶν Ἀθηναίων οὐ γιγνώσκω· ἐπαινέσαντες γὰρ πολλὰ ἑαυτοὺς οὐδαμοῦ ἀντεῖπον ὡς οὐκ ἀδικοῦσι τοὺς ἡμετέρους ξυμμάχους καὶ τὴν Πελοπόννησον· καίτοι εἰ πρὸς τοὺς Μήδους ἐγένοντο ἀγαθοὶ τότε, πρὸς δὲ ἡμᾶς κακοὶ νῦν, διπλασίας ζημίας ἄξιοί εἰσιν, ὅτι ἀντ' ἀγαθῶν κακοὶ γεγένηνται. Ἡμεῖς δὲ ὁμοῖοι καὶ τότε καὶ νῦν ἐσμεν, καὶ τοὺς ξυμμάχους ἢν σωφρονῶμεν οὐ περιοψόμεθα ἀδικουμένους οὐδὲ μελλήσομεν τιμωρεῖν· οἱ δ' οὐκέτι μέλλουσι κακῶς πάσχειν. Ἄλλοις μὲν γὰρ χρή-

strictly trained in reasonable principles, than that we should ever rebel against them. We do not possess the useless skill to depreciate the arrangements of our enemies in an artificial speech, without afterwards acting according to our words when the hour of battle arrives: on the contrary, we think that others act with the same foresight as ourselves, and that the course of events is not to be decided by words. We always presume that prudent measures are taken by our enemy, and we endeavour to meet them by deeds. One ought never to ground one's hope of success upon the mistakes of the enemy, but upon the safety of one's own measures. Neither ought one to believe that there is any particular difference between men: only he is the best who has been led to what is most essential.' Quæ interpretatio probari posse videtur, si verbis οὐ διαπρεπὰς quasi unam notionem effici statuas; ita enim particulæ οὐ pro μὴ usus excusatur; ac favere sane videtur copulatio particularum τε—καὶ, cum ex mea explicatione τε melius abesset; cui rursus locus parallelus c. 140. ex oratione Periclis opitulari videtur; quare fortasse τε ante διανοίας delendum. Te abest ab uno cod. Paris. Verba ἀεὶ δὲ ὡς—τοὺς ἐναντίους sic explicanda esse: πρὸς τοὺς ἐναντίους ὡς πρὸς εὖ β., docuit Matth. Gr. § 595.

85. ἔξεστι δ' ἡμῖν] Schol. ταῦτα πρὸς τὸν Κορίνθιον αἰνίττεται ὁ Ἀρχίδαμος. Nimirum, ubi legatus Corinthius dicit, Spartanos securos quidem esse, sed non tutos: καίτοι ἐλέγεσθε ἀσφαλεῖς εἶναι ὧν ἄρα ὁ λόγος τοῦ ἔργου ἐκράτει, cap. 69. His ista opponit rex, 'licet enim nobis ita facere per potentiam nostram,' quæ deterret Athenienses, ne temere nos aggrediantur. Ad ἔξεστι supple ex superioribus, καθ' ἡσυχίαν βουλεύειν. Verba igitur διὰ ἰσχὺν male explicat Schol. δι' ἣν ἔχομεν ἰσχὺν, μή πως φθάσαντες ἀπολέσωμεν ταύτην δι' ἀβουλίαν.

86. Sthenelaidas arma suadet. Hujus orationis mentionem facit Plut. in comm., An Seni sit Resp. Ger. t.ix. p. 204.

ματά ἐστι πολλὰ καὶ νῆες καὶ ἵπποι, ἡμῖν δὲ ξύμμαχοι ἀγαθοὶ, οὓς οὐ παραδοτέα τοῖς Ἀθηναίοις ἐστὶν, οὐδὲ δίκαις καὶ λόγοις διακριτέα μὴ λόγῳ καὶ αὐτοὺς βλαπτομένους, ἀλλὰ τιμωρητέα ἐν τάχει καὶ παντὶ σθένει. Καὶ ὡς ἡμᾶς πρέπει βουλεύεσθαι ἀδικουμένους μηδεὶς διδασκέτω, ἀλλὰ τοὺς μέλλοντας ἀδικεῖν μᾶλλον πρέπει πολὺν χρόνον βουλεύεσθαι. Ψηφίζεσθε οὖν, ὦ Λακεδαιμόνιοι, ἀξίως τῆς Σπάρτης τὸν πόλεμον, καὶ μήτε τοὺς Ἀθηναίους ἐᾶτε μείζους γίγνεσθαι, μήτε τοὺς ξυμμάχους καταπροδιδῶμεν, ἀλλὰ ξὺν τοῖς θεοῖς ἐπίωμεν πρὸς τοὺς ἀδικοῦντας.

87. Τοιαῦτα δὲ λέξας ἐπεψήφιζεν αὐτὸς ἔφορος ὢν ἐς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων. Ὁ δὲ, κρίνουσι γὰρ βοῇ καὶ οὐ ψήφῳ, οὐκ ἔφη διαγιγνώσκειν τὴν βοὴν ὁποτέρα μείζων, ἀλλὰ βουλόμενος αὐτοὺς φανερῶς ἀποδεικνυμένους τὴν γνώμην ἐς τὸ πολεμεῖν μᾶλλον ὁρμῆσαι ἔλεξεν Ὅτῳ μὲν ὑμῶν, ὦ Λακεδαιμόνιοι, δοκοῦσι λελύσθαι αἱ σπονδαὶ καὶ οἱ Ἀθηναῖοι ἀδικεῖν, ἀναστήτω ἐς ἐκεῖνο τὸ χωρίον· δείξας τι χωρίον αὐτοῖς· ὅτῳ δὲ μὴ δοκοῦσιν, ἐς τὰ ἐπὶ θάτερα. Ἀναστάντες δὲ διέστησαν, καὶ πολλῷ πλείους ἐγένοντο οἷς ἐδόκουν αἱ σπονδαὶ λελύσθαι. Προσκαλέσαντές τε τοὺς ξυμμάχους εἶπον ὅτι σφίσι μὲν δοκοῖεν ἀδικεῖν οἱ Ἀθηναῖοι, βούλεσθαι δὲ καὶ τοὺς πάντας ξυμμάχους παρακαλέσαντες ψῆφον ἐπαγαγεῖν, ὅπως κοινῇ βουλευσάμενοι τὸν πόλεμον ποιῶνται, ἢν δοκῇ. Καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου διαπραξάμενοι ταῦτα, καὶ οἱ Ἀθηναίων πρέσβεις ὕστερον ἐφ' ἅπερ ἦλθον χρηματίσαντες. Ἡ δὲ διαγνώμη αὕτη τῆς ἐκκλησίας, τοῦ τὰς σπονδὰς λελύσθαι, ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει καὶ δεκάτῳ τῶν τριακοντουτίδων σπονδῶν προκεχωρηκυιῶν αἳ ἐγένοντο μετὰ τὰ Εὐβοϊκά.

88. Ἐψηφίσαντο δὲ οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς

87. ἐπεψήφιζεν] i. e. 'in suffragium misit.' V. Ern. ad Xen. Mem. i, 1. Abresch. Auct. p. 236. Budæi Comm. L. Gr. p. 167. Vales. ad Harpocr. s. v.

βοῇ] Fusius exponit Plut. V. Lyc. c. 26. Mox voc. χρηματίσαντες hinc excitant Thom. M. p. 919. et Suidas v. χρηματισάμενοι. Add. Hesych. in χρηματίσασθαι. Vocem διαγνώμη paulo inferius sequentem Schol. refert inter idiomata Thucydidis. Conf. iii, 42. 67. Citat etiam Thom. M. p. 211. ex hoc ipso loco. Zonaras: διαγνώμη, ἡ διάγνωσις καὶ ἡ διάκρισις· ἡ λέξις Θουκυδίδου, ubi v. Tittm. Similia Suidas in v., quem emendat Kuster. Adde Gail. Mém. p. 76. De voce τριακοντουτίδων v. supra ad c. 23. et Jungerm. ad Polluc. i, 56. Etym. M. in τριακοντούτης, qui h. l. memorat, ubi reponendum σπονδῶν pro νεῶν.

88. ἐψηφίσαντο — ηὐξήθησαν] Dionys. p. 834. Mox de v. πολεμητέα v. Matth. Gr. § 443. et sup. ad c. 79.

λελύσθαι καὶ πολεμητέα εἶναι οὐ τοσοῦτον τῶν ξυμμάχων πεισθέντες τοῖς λόγοις ὅσον φοβούμενοι τοὺς Ἀθηναίους μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ τῆς Ἑλλάδος ὑποχείρια ἤδη ὄντα.

89. Οἱ γὰρ Ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον ἐπὶ τὰ πράγματα ἐν οἷς ηὐξήθησαν. Ἐπειδὴ Μῆδοι ἀνεχώρησαν ἐκ τῆς Εὐρώπης νικηθέντες καὶ ναυσὶ καὶ πεζῷ ὑπὸ Ἑλλήνων, καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς ναυσὶν ἐς Μυκάλην διεφθάρησαν, Λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν ἐν Μυκάλῃ Ἑλλήνων, ἀπεχώρησεν ἐπ' οἴκου ἔχων τοὺς ἀπὸ Πελοποννήσου ξυμμάχους· οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ἀπὸ Ἰωνίας καὶ Ἑλλησπόντου ξύμμαχοι ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως ὑπομείναντες Σηστὸν ἐπολιόρκουν Μήδων ἐχόντων, καὶ ἐπιχειμάσαντες εἷλον αὐτὴν ἐκλιπόντων τῶν βαρβάρων. Καὶ μετὰ τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόντου ὡς ἕκαστοι κατὰ πόλεις. Ἀθηναίων δὲ τὸ κοινὸν, ἐπειδὴ αὐτοῖς οἱ βάρβαροι ἐκ τῆς χώρας ἀπῆλθον, διεκομίζοντο εὐθὺς ὅθεν ὑπεξέθεντο παῖδας καὶ γυναῖκας καὶ τὴν περιοῦσαν κατασκευὴν, καὶ τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο καὶ τὰ τείχη. Τοῦ τε γὰρ περιβόλου βραχέα εἱστήκει καὶ οἰκίαι αἱ μὲν πολλαὶ πεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνησαν οἱ δυνατοὶ τῶν Περσῶν.

90. Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸ μέλλον ἦλθον πρεσβείᾳ, τὰ μὲν καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήτε ἐκείνους μήτ' ἄλλον μηδένα τεῖχος ἔχοντα, τὸ δὲ πλέον τῶν ξυμμάχων ἐξοτρυνόντων καὶ φοβουμένων τοῦ τε ναυτικοῦ αὐτῶν τὸ πλῆθος, ὃ πρὶν οὐχ ὑπῆρχε, καὶ τὴν ἐς τὸν Μηδικὸν πόλεμον τόλμαν γενομένην. Ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον ὅσοις εἱστήκει ξυγκαθελεῖν μετὰ σφῶν τοὺς περιβόλους, τὸ μὲν βουλόμενον καὶ

ἐπὶ μεῖζον] Marg. cod. Bodl. *ἴσως ἔτι*. Male. Conf. i, 16. 118. ii, 97. iv, 100. 117. viii, 24. Eodem sensu *ἐπὶ μᾶλλον* dicitur ab Herodot. i, 94. iv, 181. V. Werfer. in Act. Phil. Monac. t. i. p. 258. Jacobs. ibid. p. 290.

89. *οἱ βάρβαροι*] H. l. ante oculos habuit Diod. xi. p. 434.

ὅθεν] i. e. *ἐκεῖθεν, οὗ*. V. Buttm. Gr. § 138. i, 8. Matth. Gr. § 473. Obs. 2.

οἰκίαι αἱ μὲν πολλαὶ] Ubi res quædam et tota et per partes suas significatur, totum illud eodem casu, quo hæ, proferri, usus est linguæ Græcæ. V. Matth. Gr. § 319. Duker. ad ii, 47. iv, 71. Mox, ad v. *ἐσκήνησαν* respexisse videntur Suidas et Phot. in v. Aoristus est pro plusquamperf.

90. *τὸ βουλόμενον*] i. e. *τὴν βούλησιν*. Hoc inter idiomata Thucydidis Dionys. p. 799. refert. Sed ipse, quod in altero reprehendit, cum optimo quoque et probatissimo scriptore admisit. V. Matth. Gr. § 269. Schæfer. ad Dionys. de C. V.

ὕποπτον τῆς γνώμης οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους, ὡς δὲ τοῦ βαρβάρου, εἰ αὖθις ἐπέλθοι, οὐκ ἂν ἔχοντος ἀπὸ ἐχυροῦ πόθεν, ὥσπερ νῦν ἐκ τῶν Θηβῶν, ὁρμᾶσθαι· τήν τε Πελοπόννησον πᾶσιν ἔφασαν ἱκανὴν εἶναι ἀναχώρησίν τε καὶ ἀφορμήν. Οἱ δ' Ἀθηναῖοι Θεμιστοκλέους γνώμῃ τοὺς μὲν Λακεδαιμονίους ταῦτ' εἰπόντας ἀποκρινάμενοι ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις περὶ ὧν λέγουσιν εὐθὺς ἀπήλλαξαν· ἑαυτὸν δὲ ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ Θεμιστοκλῆς ἐς τὴν Λακεδαίμονα, ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους πρέσβεις μὴ εὐθὺς ἐκπέμπειν, ἀλλ' ἐπισχεῖν μέχρι τοσούτου ἕως ἂν τὸ τεῖχος ἱκανὸν ἄρωσιν ὥστε ἀπομάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου ὕψους· τειχίζειν δὲ πάντας πανδημεὶ τοὺς ἐν τῇ πόλει καὶ αὐτοὺς καὶ γυναῖκας καὶ παῖδας, φειδομένους μήτε ἰδίου μήτε δημοσίου οἰκοδομήματος ὅθεν τις ὠφέλεια ἔσται ἐς τὸ ἔργον, ἀλλὰ καθαιροῦντας πάντα. Καὶ ὁ μὲν ταῦτα διδάξας καὶ ὑπειπὼν τἄλλα ὅτι αὐτὸς τἀκεῖ πράξοι ᾤχετο. Καὶ ἐς τὴν Λακεδαίμονα ἐλθὼν οὐ προσῄει πρὸς τὰς ἀρχὰς, ἀλλὰ διῆγε καὶ προὐφασίζετο. Καὶ ὁπότε τις αὐτὸν ἔροιτο τῶν ἐν τέλει ὄντων ὅ,τι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινὸν, ἔφη τοὺς ξυμπρέσβεις ἀναμένειν, ἀσχολίας δέ τινος οὔσης αὐτοὺς ὑπολειφθῆναι, προσδέχεσθαι μέντοι ἐν τάχει ἥξειν καὶ θαυμάζειν ὡς οὔπω πάρεισιν.

91. Οἱ δὲ ἀκούοντες τῷ μὲν Θεμιστοκλεῖ ἐπείθοντο διὰ φιλίαν αὐτοῦ· τῶν δὲ ἄλλων ἀφικνουμένων καὶ σαφῶς κατηγορούντων ὅτι τειχίζεταί τε καὶ ἤδη ὕψος λαμβάνει, οὐκ εἶχον ὅπως χρὴ ἀπιστῆσαι. Γνοὺς δὲ ἐκεῖνος κελεύει αὐτοὺς μὴ λόγοις μᾶλλον παράγεσθαι ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας οἵτινες χρηστοὶ καὶ πιστῶς ἀπαγγελοῦσι σκεψάμενοι. Ἀποστέλλουσιν οὖν, καὶ περὶ αὐτῶν ὁ Θεμιστοκλῆς

p. 205. ad Greg. Cor. p. 217. Reisig. Conj. in Aristoph. t. i. p. 143.

ὡς δὲ τοῦ—ἔχοντος] i. e. 'under the pretext that,' etc. Mox ἀναχώρησις et ἀφορμὴ videntur esse 'the place of refuge' et 'the place of attack,' sedes belli, et quo se reciperent, et unde procurrentes hostem invaderent.

ὥστε ἀπομάχεσθαι] i. e. 'idoneum, ex quo pugnaretur,' ut ὥστε pendeat ex ἱκανόν. Non igitur est 'idoneum ad pugnandum.' Neque post adjectiva, Popp. Prol. t. i. p. 147. ait, ὥστε sine sensus mutatione additur, quod sentiet, qui vernaculum 'in order to' post adjectiva discernere didicerit. Mox διῆγε dictum pro ἐβράδυνε. Locum laudat Thom. M. in διάγω, item Ulpian. ad Dem. Or. d. Cherson. p. 58. Cum h. c. conferri juvabit C. Nep. V. Them. c. 6.

91. λαμβάνει] Constructio ἀπὸ κοινοῦ, qua substantivum repetendum est e verbo τειχίζεται, ut cap. proxime præc. ἠξίουν αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον, ὅσοις ξυνειστήκει (sc. τείχη) ξυγκαθελεῖν—τοὺς περιβόλους. Mox verba κελεύει—ἀπαγγελοῦσι habet Suidas in παράγεσθαι.

τοῖς Ἀθηναίοις κρύφα πέμπει κελεύων ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν καὶ μὴ ἀφεῖναι πρὶν ἂν αὐτοὶ πάλιν κομισθῶσιν· ἤδη γὰρ καὶ ἧκον αὐτῷ οἱ ξυμπρέσβεις Ἀβρώνιχός τε ὁ Λυσικλέους καὶ Ἀριστείδης ὁ Λυσιμάχου ἀγγέλλοντες ἔχειν ἱκανῶς τὸ τεῖχος· ἐφοβεῖτο γὰρ μὴ οἱ Λακεδαιμόνιοι σφᾶς, ὁπότε σαφῶς ἀκούσειαν, οὐκέτι ἀφῶσιν. Οἵ τε οὖν Ἀθηναῖοι τοὺς πρέσβεις ὥσπερ ἐπεστάλη κατεῖχον, καὶ Θεμιστοκλῆς ἐπελθὼν τοῖς Λακεδαιμονίοις ἐνταῦθα δὴ φανερῶς εἶπεν ὅτι ἡ μὲν πόλις σφῶν τετείχισται ἤδη ὥστε ἱκανὴ εἶναι σώζειν τοὺς ἐνοικοῦντας· εἰ δέ τι βούλονται Λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι πρεσβεύεσθαι παρὰ σφᾶς, ὡς πρὸς διαγιγνώσκοντας τὸ λοιπὸν ἰέναι τά τε σφίσιν αὐτοῖς ξύμφορα καὶ τὰ κοινά. Τήν τε γὰρ πόλιν ὅτε ἐδόκει ἐκλιπεῖν ἄμεινον εἶναι καὶ ἐς τὰς ναῦς ἐσβῆναι, ἄνευ ἐκείνων ἔφασαν γνόντες τολμῆσαι, καὶ ὅσα αὖ μετ᾽ ἐκείνων βουλεύεσθαι, οὐδενὸς ὕστεροι γνώμῃ φανῆναι. Δοκεῖν οὖν σφίσι καὶ νῦν ἄμεινον εἶναι τὴν ἑαυτῶν πόλιν τεῖχος ἔχειν, καὶ ἰδίᾳ τοῖς πολίταις καὶ ἐς τοὺς πάντας ξυμμάχους ὠφελιμώτερον ἔσεσθαι. Οὐ γὰρ οἷόν τε εἶναι μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς ὁμοῖόν τι ἢ ἴσον ἐς τὸ κοινὸν βουλεύεσθαι. Ἢ πάντας οὖν ἀτειχίστους ἔφη χρῆναι ξυμμαχεῖν ἢ καὶ τάδε νομίζειν ὀρθῶς ἔχειν.

92. Οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες ὀργὴν μὲν φανερὰν οὐκ ἐποιοῦντο τοῖς Ἀθηναίοις· οὐδὲ γὰρ ἐπὶ κωλύμῃ, ἀλλὰ γνώμης παραινέσει δῆθεν τῷ κοινῷ ἐπρεσβεύσαντο· ἅμα δὲ

πόλις σφῶν] Plerique libri π. αὐτῶν. Sed quia pronomen ad sententiæ præcipuæ subjectum, Athenienses et Themistoclem redit, et per totum h. l. iidem ubique per σφᾶς et ἑαυτοὺς indicantur, σφῶν prætuli. Mox, post ἐνοικοῦντας quæ verba vulgo leguntur, ἐν αὐτῇ, omisi cum optimis plurimisque codd. Denique quod Themistocles cum collegis hæc omnia dixisse refertur, scriptor modo singulari εἶπεν et ἔφη, modo plurali ἔφασαν utitur.

ὅσα—βουλεύεσθαι] Græci in oratione indirecta accusativum cum infinitivo etiam post relativa ὃς, ὅσα, οἷα, post conjunctiones εἰ, ἐπεὶ, ὡς, etc. usurpant. V. Matth. Gr. § 538. conf. Herodot. iv, 9. 10. 11. Plat. Phædon. c. 16. extr. Coraem ad Heliodor. p. 185. Heilm. ad h. l., de Latinis ad Dionys. de C. V. p. 76. Jen.

μὴ ἀπὸ ἴσον] Bredovius: 'For it was not possible that men not starting from the same, i. e. without equality of external power, could arrive at a concordant and equal (i. e. the same) resolution for the common welfare.' Velut, si hostium impetus ingruat, necesse esse, qui sine mœnibus degant, eos se dedere hostibus; quorum urbes mœnibus circumdatæ sint, eos se defensuros.

92. κωλύμῃ] Dionys. p. 794. hoc vocabulum tanquam poëticum notat; citatur e Thucydide a Photio, Suida, Zonara. Suidæ verba reddit Phavorin. Conf. Hesych. s. v., ibique Albert. Conf. Thucyd. iv, 27. 63. Et ipse Dionys. Art. Rhet. p. 794. hac voce utitur.

δῆθεν] ut Latinorum vox, 'scilicet,' ironiam habet. Schol. ὁ δῆθεν προσποίησιν μὲν ἔχει ἀληθείας, δύναμιν δὲ ψεύδους.

καὶ προσφιλεῖς ὄντες ἐν τῷ τότε διὰ τὴν ἐς τὸν Μῆδον προθυμίαν τὰ μάλιστα αὐτοῖς ἐτύγχανον· τῆς μέντοι βουλήσεως ἁμαρτάνοντες ἀδήλως ἤχθοντο. Οἵ τε πρέσβεις ἑκατέρων ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως.

93. Τούτῳ τῷ τρόπῳ οἱ Ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν ὀλίγῳ χρόνῳ. Καὶ δήλη ἡ οἰκοδομία ἔτι καὶ νῦν ἐστιν ὅτι κατὰ σπουδὴν ἐγένετο. Οἱ γὰρ θεμέλιοι παντοίων λίθων ὑπόκεινται καὶ οὐ ξυνειργασμένων ἔστιν ᾗ, ἀλλ' ὡς ἕκαστοί ποτε προσέφερον· πολλαί τε στῆλαι ἀπὸ σημάτων καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν. Μείζων γὰρ ὁ περίβολος πανταχῇ ἐξήχθη τῆς πόλεως, καὶ διὰ τοῦτο πάντα ὁμοίως κινοῦντες ἠπείγοντο. Ἔπεισε δὲ καὶ τοῦ Πειραιῶς τὰ λοιπὰ ὁ Θεμιστοκλῆς οἰκοδομεῖν. Ὑπῆρκτο δ' αὐτοῦ πρότερον ἐπὶ τῆς ἐκείνου ἀρχῆς ἧς κατ' ἐνιαυτὸν Ἀθηναίοις ἦρξε· νομίζων τό τε χωρίον καλὸν εἶναι, λιμένας ἔχον τρεῖς αὐτοφυεῖς, καὶ αὐτοὺς ναυτικοὺς γεγενημένους μέγα προφέρειν ἐς τὸ κτήσασθαι δύναμιν. Τῆς γὰρ δὴ θαλάσσης πρῶτος ἐτόλμησεν εἰπεῖν ὡς ἀνθεκτέα ἐστὶ, καὶ τὴν ἀρχὴν εὐθὺς ξυγκατεσκεύαζε. Καὶ ᾠκοδόμησαν τῇ ἐκείνου γνώμῃ τὸ πάχος τοῦ τείχους ὅπερ νῦν ἔτι δῆλόν ἐστι περὶ τὸν Πειραιᾶ· δύο γὰρ ἅμαξαι ἐναντίαι ἀλλήλαις τοὺς λίθους ἐπῆγον. Ἐντὸς δὲ οὔτε χάλιξ οὔτε πηλὸς ἦν, ἀλλὰ ξυνῳκοδομημένοι μεγάλοι λίθοι καὶ ἐντομῇ ἐγγώνιοι σιδήρῳ πρὸς ἀλλήλους τὰ ἔξωθεν καὶ μολύβδῳ δεδεμένοι. Τὸ δὲ ὕψος ἥμισυ μάλιστα ἐτελέσθη οὗ διενοεῖτο. Ἐβούλετο γὰρ τῷ μεγέθει καὶ τῷ πάχει ἀφιστάναι τὰς τῶν πολεμίων ἐπιβουλάς· ἀνθρώπων τε ἐνό-

Conf. schol. ad iii, 111., quem utroque loco exscripsit Suidas in v. et Zonaras, collato Xenoph. Cyrop. iv, 6, 3. Mox, vocem *προσφιλεῖς* affert ex h. l. Pollux iii, 63., ubi v. Jungerm. coll. Hesych. s. v.

ἀδήλως] i. e. 'graviter ferebant, ita ut dolorem tamen occultarent.' Mox, *ἀνεπικλήτως* citat Pollux viii, 69. conf. Hesych. Verba *οἵ τε πρέσβεις—ἀνεπικλήτως* adscripsit Suidas in v. Schol. explicat per *ἀκατηγορήτως, μηδὲν ἐγκληθέντες*. Lindav. Spicil. p. 2. sensum vocis *δῆθεν* prætervidens inutili conjectura legit *ἀνεπικωλύτως*.

93. *εἰργασμένοι*] V. Matth. Gr. § 493. Itidem *κεκτημένος* medium passivo sensu usurpatum, vii, 70. fin. Sed id Græcis licet tantum in perfectis et aoristis. Dionys. p. 2061. *ἡ κτηθεῖσα ἡγεμονία*. Statim verbum *ἐγκατελέγησαν* e Thucydide excitavit Zonar. in v. bis, ubi qui locus additur, extat ap. Homer. Od. *σ*, 358.

ἧς—ἦρξε] i. e. quo anno Archon fuit, Ol. 71, 4. Dativum verbo jungit exemplo Homeri Il. *π*, 65. *ἄρχε δὲ Μυρμιδόνεσσι*.

ἐντομῇ] Vulgo *ἐν τομῇ*. Correxit Wyttenb. ad Ecl. Hist. p. 363. e cod. Lugdun.

σιδήρῳ] Herodot. i, 186. *οἰκοδόμεε γέφυραν, δέουσα τοὺς λίθους σιδήρῳ καὶ μολίβδῳ*. De scriptura vocis *μόλυβδος* dixit post Fischer. ad Veller. i. p. 167. interpp. ad Mœr. p. 257. et post Wessel. ad Diod. t. ii. p. 125. Argent. Heyn. ad Hom. Il. t. vi. p. 161. Mox, *ἐπιβουλὰς* contra variam scripturam *ἐπιβολὰς* bene tuetur Haack.

μιζεν ὀλίγων καὶ τῶν ἀχρειοτάτων ἀρκέσειν τὴν φυλακὴν, τοὺς δ' ἄλλους ἐς τὰς ναῦς ἐσβήσεσθαι. Ταῖς γὰρ ναυσὶ μάλιστα προσέκειτο, ἰδὼν ὡς ἐμοὶ δοκεῖ τῆς βασιλέως στρατιᾶς τὴν κατὰ θάλασσαν ἔφοδον εὐπορωτέραν τῆς κατὰ γῆν οὖσαν· τόν τε Πειραιᾶ ὠφελιμώτερον ἐνόμιζε τῆς ἄνω πόλεως, καὶ πολλάκις τοῖς Ἀθηναίοις παρῄνει, ἢν ἄρα ποτὲ κατὰ γῆν βιασθῶσι, καταβάντας ἐς αὐτὸν ταῖς ναυσὶ πρὸς ἅπαντας ἀνθίστασθαι. Ἀθηναῖοι μὲν οὖν οὕτως ἐτειχίσθησαν καὶ τἄλλα κατεσκευάζοντο εὐθὺς μετὰ τὴν Μήδων ἀναχώρησιν.

94. Παυσανίας δὲ ὁ Κλεομβρότου ἐκ Λακεδαίμονος στρατηγὸς τῶν Ἑλλήνων ἐξεπέμφθη μετὰ εἴκοσι νεῶν ἀπὸ Πελοποννήσου· ξυνέπλεον δὲ καὶ Ἀθηναῖοι τριάκοντα ναυσὶ καὶ τῶν ἄλλων ξυμμάχων πλῆθος. Καὶ ἐστράτευσαν ἐς Κύπρον καὶ αὐτῆς τὰ πολλὰ κατεστρέψαντο, καὶ ὕστερον ἐς Βυζάντιον Μήδων ἐχόντων καὶ ἐξεπολιόρκησαν.

95. Ἐν τῇδε τῇ ἡγεμονίᾳ ἤδη βιαίου ὄντος αὐτοῦ οἵ τε ἄλλοι Ἕλληνες ἤχθοντο καὶ οὐχ ἥκιστα οἱ Ἴωνες καὶ ὅσοι ἀπὸ βασιλέως νεωστὶ ἠλευθέρωντο· φοιτῶντές τε πρὸς τοὺς Ἀθηναίους ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν γενέσθαι κατὰ τὸ ξυγγενὲς καὶ Παυσανίᾳ μὴ ἐπιτρέπειν ἤν που βιάζηται. Οἱ δὲ Ἀθηναῖοι ἐδέξαντό τε τοὺς λόγους καὶ προσεῖχον τὴν γνώμην ὡς οὐ περιοψόμενοι τἄλλα τε καταστησόμενοι ᾗ

προσέκειτο] Phot. et Suidas. Sensus: 'nam in rem nauticam maxime incumbebat.' Hinc apparet, non probari posse conjecturam Hermanni indice Phot. s. v. legentis *προσείχετο*.

94. A fine hujus cap. verba *ἐν τῇδε τῇ ἡγεμονίᾳ* transtuli ad seq. cap., deleta particula *δὲ*, quæ vulgo est post *ἤδη*, quæ abest a cod. g. Quæ autem olim legebatur vocula *καὶ* ante *βιαίου*, eam plurimi codd. omittunt. Cod. Dan. sic habet, *ἐν τῇδε τῇ ἡγεμονίᾳ δὲ βιαίου ὄντος αὐτοῦ* sine distinctione post *αὐτοῦ*. Cum dixerit antea, classem e Peloponneso missam duce Pausania serius Byzantium expugnasse; hanc rem ejus ductu gestam esse, sponte intelligitur, neque opus erat adjicere, in hoc imperio Græcos ea urbe potitos esse. Sed multo aptius scripserit, *ἐν τῇδε τῇ ἡγεμονίᾳ ἤδη βιαίου ὄντος αὐτοῦ*. Nam ob id ipsum, quod cum imperio erat, fastum atque imperiosum animum in Græcos sibi parentes exserere poterat, cujus exserendi in homines alioquin jussa ejus exsequi non obstrictos copia nulla fuit. Quod autem *ἤδη* omittit Danic., equidem deleri nolim, quia ejus quoque voculæ additæ ratio in aperto est. Nam sic Pausanias jam antea impotenti animo fuisse et altiora meditatus dicitur; nunc primum arcana animi consilia paulatim prodidisse, et hominibus, proxime quidem, qui circa eum erant, militibus patefecisse. Conf. Bened.

95. *νεωστὶ*] Hæc vox non semper de proximo tempore accipienda, ut ne formula *ἐχθὲς καὶ πρώην* quidem, et Latinorum vocabula 'modo' et 'nuper.' Certe ad hoc usque tempus inde a Græcis jugo Persarum liberatis viginti ferme anni effluxerant, ut ubi Hom. Il. ii, 303. simili voce utitur, anni ferme novem. Conf. Thuc. iv, 102. Herodot. v, 11. 124. Sardes cum Ionibus ceperunt Athenienses Ol. 69. De voce 'nuper' v. interpp. ad Cic. de N. D. ii, 50. Adde Weisk. de Hyperb. in Hist. Phil. t. iii. p. 38. not.

τὴν γνώμην] C. G. I. K. L. O. P. e.

φαίνοιτο ἄριστα αὐτοῖς. Ἐν τούτῳ δὲ οἱ Λακεδαιμόνιοι μετεπέμποντο Παυσανίαν ἀνακρινοῦντες ὧν πέρι ἐπυνθάνοντο· καὶ γὰρ ἀδικία πολλὴ κατηγορεῖτο αὐτοῦ ὑπὸ τῶν Ἑλλήνων τῶν ἀφικνουμένων, καὶ τυραννίδος μᾶλλον ἐφαίνετο μίμησις ἢ στρατηγία. Ξυνέβη τε αὐτῷ καλεῖσθαί τε ἅμα καὶ τοὺς ξυμμάχους τῷ ἐκείνου ἔχθει παρ' Ἀθηναίους μετατάξασθαι πλὴν τῶν ἀπὸ Πελοποννήσου στρατιωτῶν. Ἐλθὼν δὲ ἐς Λακεδαίμονα τῶν μὲν ἰδίᾳ πρός τινα ἀδικημάτων εὐθύνθη, τὰ δὲ μέγιστα ἀπολύεται μὴ ἀδικεῖν· κατηγορεῖτο δὲ αὐτοῦ οὐχ ἥκιστα Μηδισμὸς καὶ ἐδόκει σαφέστατον εἶναι. Καὶ ἐκεῖνον μὲν οὐκέτι ἐκπέμπουσιν ἄρχοντα, Δόρκιν δὲ καὶ ἄλλους τινὰς μετ' αὐτοῦ στρατιὰν ἔχοντας οὐ πολλήν· οἷς οὐκέτι ἐφίεσαν οἱ ξύμμαχοι τὴν ἡγεμονίαν· οἱ δὲ αἰσθόμενοι ἀπῆλθον· καὶ ἄλλους οὐκέτι ὕστερον ἐξέπεμψαν οἱ Λακεδαιμόνιοι, φοβούμενοι μὴ σφίσιν οἱ ἐξιόντες χείρους γίγνωνται, ὅπερ καὶ ἐν τῷ Παυσανίᾳ ἐνεῖδον· ἀπαλλαξείοντες δὲ καὶ τοῦ Μηδικοῦ πολέμου καὶ τοὺς Ἀθηναίους νομίζοντες ἱκανοὺς ἐξηγεῖσθαι καὶ σφίσιν ἐν τῷ τότε παρόντι ἐπιτηδείους.

96. Παραλαβόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ ἑκόντων τῶν ξυμμάχων διὰ τὸ Παυσανίου μῖσος, ἔταξαν ἅς τε ἔδει παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον καὶ ἃς ναῦς. Πρόσχημα γὰρ ἦν ἀμύνασθαι ὧν ἔπαθον δῃοῦντας τὴν βασιλέως χώραν. Καὶ Ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις κατέστη ἀρχὴ, οἳ ἐδέχοντο τὸν φόρον. Οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων ἡ φορά. Ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς τετρακόσια τάλαντα καὶ ἑξήκοντα. Ταμιεῖόν τε Δῆλος ἦν αὐτοῖς καὶ αἱ ξύνοδοι ἐς τὸ ἱερὸν ἐγίγνοντο.

97. Ἡγούμενοι δὲ αὐτονόμων τὸ πρῶτον τῶν ξυμμάχων

τῇ γνώμῃ. Sed accusativus reponendus, ubicunque hæc formula reperitur. Iteratur autem ii, 11. vii, 15. sine ulla variatione scripturæ, et v, 26. duo tantum d. e. dativum præbent. Quod autem vii, 23. in verbis καὶ τῇ ναυμαχίᾳ τὴν γνώμην προσεχόντων aliquot deterioris notæ codd. K. N. O. P. d. e. k. dativum præferunt, vel alter dativus ναυμαχίᾳ suadet, ut sequamur analogiam locorum priore loco adscriptorum. Mox, μετατάξασθαι ex h. l. citat Suidas, qui exscripsit scholiasten.

ἀπαλλαξείοντες] Zonar. et Suid. in v., affert hunc ipsum locum Thom. M. p. 90. Infinitivum ἀπαλλαξείειν pro vulgata ἀπαλλάξειν restitui, viii, 89. sic enim ibi sensus flagitat.

96. Ἑλληνοταμίαι] Verba παραλαβόντες — ἀρχὴ paululum immutata descripsit Suidas in v. Quoniam φόρον nomen grave et odiosum Græcis erat, pro eo deinde cœpit dici σύνταξις. V. Spanhem. ad Julian. Or. i. p. 166. et Harpocr. in σύνταξις, qui meminit et ipse hujus magistratus in v., de quo vid. Boeckh. Staatsh. d. Ath. t. i. p. 189. 432. Ad proxime

καὶ ἀπὸ κοινῶν ξυνόδων βουλευόντων τοσάδε ἐπῆλθον πολέμῳ τε καὶ διαχειρίσει πραγμάτων μεταξὺ τοῦδε τοῦ πολέμου καὶ τοῦ Μηδικοῦ, ἃ ἐγένετο πρός τε τὸν βάρβαρον αὐτοῖς καὶ πρὸς τοὺς σφετέρους ξυμμάχους νεωτερίζοντας καὶ Πελοποννησίων τοὺς ἀεὶ προστυγχάνοντες ἐν ἑκάστῳ. Ἔγραψα δὲ αὐτὰ καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην διὰ τόδε ὅτι τοῖς πρὸ ἐμοῦ ἅπασιν ἐκλιπὲς τοῦτο ἦν τὸ χωρίον καὶ ἢ τὰ πρὸ τῶν Μηδικῶν Ἑλληνικὰ ξυνετίθεσαν ἢ αὐτὰ τὰ Μηδικά· τούτων δὲ ὅσπερ καὶ ἥψατο ἐν τῇ Ἀττικῇ ξυγγραφῇ Ἑλλάνικος, βραχέως τε καὶ τοῖς χρόνοις οὐκ ἀκριβῶς ἐπεμνήσθη. Ἅμα δὲ καὶ τῆς ἀρχῆς ἀπόδειξιν ἔχει τῆς τῶν Ἀθηναίων ἐν οἵῳ τρόπῳ κατέστη.

98. Πρῶτον μὲν Ἠϊόνα τὴν ἐπὶ Στρυμόνι Μήδων ἐχόντων πολιορκίᾳ εἷλον καὶ ἠνδραπόδισαν Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος. Ἔπειτα Σκῦρον τὴν ἐν τῷ Αἰγαίῳ νῆσον, ἣν ᾤκουν Δόλοπες, ἠνδραπόδισαν καὶ ᾤκισαν αὐτοί. Πρὸς δὲ Καρυστίους αὐτοῖς ἄνευ τῶν ἄλλων Εὐβοέων πόλεμος ἐγένετο, καὶ χρόνῳ ξυνέβησαν καθ᾽ ὁμολογίαν. Ναξίοις δὲ ἀποστᾶσι μετὰ ταῦτα ἐπολέμησαν καὶ πολιορκίᾳ παρεστήσαντο. Πρώτη τε αὕτη πόλις ξυμμαχὶς παρὰ τὸ καθεστηκὸς ἐδουλώθη, ἔπειτα δὲ καὶ τῶν ἄλλων ὡς ἑκάστη ξυνέβη.

99. Αἰτίαι δὲ ἄλλαι τε ἦσαν τῶν ἀποστάσεων καὶ μέγισται αἱ τῶν φόρων καὶ νεῶν ἔκδειαι καὶ λειποστράτιον εἴ

sequentia puto pertinere verba Etym. M. in *σύνοδος*, quæ citat e scriptore nostro, atque ex Etym. repetit Phavorin.: *ἀεὶ σύνοδοι ἐπὶ τὸ ἱερὸν ἠγέροντο.*

97. *πολέμῳ—πραγμάτων*] Thom. M. p. 224. Pollux v, 156. Verte, 'in war and in the management of other affairs.'

ἐκβολὴν] Thom. M. p. 280. citat verba *καὶ τὴν—ἐποιησάμην.* Phavorin. *ἐκβολή· παρέκβασις, μετάβασις.* Cic. Ep. ad Att. vii, 1. 'Sed hæc fuerit, ut ait Thucydides, *ἐκβολὴ λόγου* non inutilis.' Latine est 'digressio.' Pro eodem vocabulo Dionys. p. 787. habet *παρεκβολὰς* ex emendatione Valckenarii ad Herodot. iv, 167., at Polyb. iii, 9, 6. *παρέκβασις.*

ἔγραψα—κατέστη] Dionys. p. 836. conf. Marx. ad Ephor. p. 66. Creuzer. Art. Hist. p. 78. 80. 96. not. 124. Hellanic. Fragm. p. 51. Sturz. Perperam post *ἐπεμνήσθη* vulgo colon ponunt, ac si post hoc verbum sequentia ad Hellanicum pertineant: verbum enim *ἔχει* referendum ad præc. *αὐτὰ* et *τούτων*, h. e. ad ea quæ Thucydides conscripsit, ut monuit Sturz. l. l. p. 12. Verba autem *ἅμα δὲ* alteram causam continent, cur hanc digressionem auctor fecerit.

98. *Ἠϊόνα*] Eustath. ad Hom. Il. p. 287. Rom. *ἑνικῶς δὲ Ἠϊὼν λέγεται πόλις Χεῤῥονησία παρὰ Θουκυδίδῃ· ἔστι δὲ καὶ Στρυμονική· λέγεται δὲ καὶ ἑτέρα Ἠϊὼν Πιερική.* Idem, p. 179. *ὅτι δὲ Ἠϊὼν δισσυλλάβως καὶ τόπος ἐστὶ Στρυμόνος καὶ Ἠϊὼν τρισυλλάβως, πόλις ἐν Χεῤῥονήσῳ παρὰ Θουκυδίδῃ, καὶ ἄλλη πρὸς τῇ Πιερίᾳ, ὧν οἱ πολῖται Ἠϊονεὺς καὶ Ἠϊονίτης, δηλοῦσιν οἱ παλαιοί,* quem locum exscripsit Phavorin. in v. Harpocr. *Ἠϊών, πόλις Θρᾴκης, Μενδαίων ἀποικία, ὡς Θουκυδίδης.* Eionis nomen nostro scriptori semper femininum est, secus ac statuit regula ap. Matth. Gr. § 93. Obs. 1. b. Conf. iv, 7. 50. Mox de Scyro v. Heyn. ad Il. t. v. p. 683.

99. *ἔκδειαι*] i. e. 'the arrears in the taxes to be paid, and in the ships to be

τῳ ἐγένετο. Οἱ γὰρ Ἀθηναῖοι ἀκριβῶς ἔπρασσον καὶ λυπηροὶ ἦσαν οὐκ εἰωθόσιν οὐδὲ βουλομένοις ταλαιπωρεῖν προσάγοντες τὰς ἀνάγκας· ἦσαν δέ πως καὶ ἄλλως οἱ Ἀθηναῖοι οὐκέτι ὁμοίως ἐν ἡδονῇ ἄρχοντες, καὶ οὔτε ξυνεστράτευον ἀπὸ τοῦ ἴσου ῥᾴδιόν τε προσάγεσθαι ἦν αὐτοῖς τοὺς ἀφισταμένους. Ὧν αὐτοὶ αἴτιοι ἐγένοντο οἱ ξύμμαχοι· διὰ γὰρ τὴν ἀπόκνησιν ταύτην τῶν στρατειῶν οἱ πλείους αὐτῶν, ἵνα μὴ ἄπ' οἴκου ὦσι, χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν τὸ ἱκνούμενον ἀνάλωμα φέρειν, καὶ τοῖς μὲν Ἀθηναίοις ηὔξετο τὸ ναυτικὸν ἀπὸ τῆς δαπάνης ἣν ἐκεῖνοι ξυμφέροιεν, αὐτοὶ δὲ ὁπότε ἀποσταῖεν, ἀπαράσκευοι καὶ ἄπειροι ἐς τὸν πόλεμον καθίσταντο.

100. Ἐγένετο δὲ μετὰ ταῦτα καὶ ἡ ἐπ' Εὐρυμέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους, καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφότερα Ἀθηναῖοι Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος, καὶ εἷλον τριήρεις Φοινίκων καὶ διέφθειραν τὰς πάσας ἐς τὰς διακοσίας. Χρόνῳ δὲ ὕστερον ξυνέβη Θασίους αὐτῶν ἀποστῆναι διενεχθέντας περὶ τῶν ἐν τῇ ἀντιπέρας Θρᾴκῃ ἐμπορίων καὶ τοῦ μετάλλου ἃ ἐνέμοντο. Καὶ ναυσὶ μὲν ἐπὶ Θάσον πλεύσαντες οἱ Ἀθηναῖοι ναυμαχίᾳ ἐκράτησαν καὶ ἐς τὴν γῆν ἀπέβησαν, ἐπὶ δὲ Στρυμόνα πέμψαντες μυρίους οἰκήτορας αὐτῶν καὶ τῶν ξυμμάχων ὑπὸ τοὺς αὐτοὺς χρόνους, ὡς οἰκιοῦντες τὰς τότε καλουμένας Ἐννέα ὁδοὺς νῦν δὲ Ἀμφίπολιν, τῶν μὲν Ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν, ἃς εἶχον Ἠδωνοί, προελθόντες δὲ τῆς Θρᾴκης ἐς μεσόγειαν διεφθάρησαν ἐν Δρα-

furnished.' Aliud est ἔνδειαι, 'inopia:' quare Schol. dicit ἔκδειαι ἑκούσιον, ἔνδειαι ἀκούσιον, et Zonar. ἔκδεια, ἡ κεχρεωστημένη λοιπὰς καὶ ἡ ἑκούσιος στέρησις τῶν χρημάτων· ἔνδεια δὲ ἡ ἀκούσιος. Eadem Suidas in v. Conf. Harpocr. s. v., ibiq. Vales. p. 54. Salmas. d. Mod. Usur. p. 713.

λειποστράτιον] Phavorin. in v. Hæc verba usque ad ἐγένετο adscripsit Thom. M. p. 572., qui jungit hanc vocem cum λειποτάξιον. Nostram vocem interpreteris, 'retirement from the liability to do military service, either entirely or in part,' quem sensum Schoemann. et Meier. d. Att. Proz. p. 364. inesse aiunt in v. ἀστρατεία. Hic certe nihil aliud, quam quod dixi, significatur, quia non desertio signorum in causa erat, ut socii imbelles forent, sed totius militiæ detrectatio. Mox, ἄπ' οἴκου scripsi pro ἀπ' οἴκου: v. Herm. ad Vig. p. 749.

100. ἐγένετο—διακοσίας] Dionys. p. 840. Meminit ex h. l. pugnæ ad Eurymedontem Harpocr. in v., quem exscripsit Phavorin. Mox τὰς πάσας verte 'in all,' 'altogether:' v. Herm. ad Vig. p. 727. De proximis v. Steph. Byz. in Δραβήσκος. Paulo inferius, nominativum πέμψαντες Haack. putat positum esse pro πεμψάντων, quia aliud subjectum est in hoc nominativo, aliud in προελθόντες. Sed interdum οἱ μὲν universos spectat, οἱ δὲ partem eorum; ita h. l. πέμψαντες universos spectat Athenienses, προελθόντες δὲ eorum colonos. V. Matth. Gr. § 562. not.

βήσκῳ τῇ Ἠδωνικῇ ὑπὸ τῶν Θρᾳκῶν ξυμπάντων, οἷς πολέμιον ἦν τὸ χωρίον αἱ Ἐννέα ὁδοὶ κτιζόμενον.

101. Θάσιοι δὲ νικηθέντες μάχαις καὶ πολιορκούμενοι Λακεδαιμονίους ἐπεκαλοῦντο καὶ ἐπαμῦναι ἐκέλευον ἐσβαλόντας ἐς τὴν Ἀττικήν. Οἱ δὲ ὑπέσχοντο μὲν κρύφα τῶν Ἀθηναίων καὶ ἔμελλον, διεκωλύθησαν δὲ ὑπὸ τοῦ γενομένου σεισμοῦ, ἐν ᾧ καὶ οἱ Εἵλωτες αὐτοῖς καὶ τῶν περιοίκων Θουριᾶταί τε καὶ Αἰθαιῆς ἐς Ἰθώμην ἀπέστησαν. Πλεῖστοι δὲ τῶν Εἱλώτων ἐγένοντο οἱ τῶν παλαιῶν Μεσσηνίων τότε δουλωθέντων ἀπόγονοι. Ἧι καὶ Μεσσήνιοι ἐκλήθησαν οἱ πάντες. Πρὸς μὲν οὖν τοὺς ἐν Ἰθώμῃ πόλεμος καθειστήκει Λακεδαιμονίοις· Θάσιοι δὲ τρίτῳ ἔτει πολιορκούμενοι ὡμολόγησαν Ἀθηναίοις τεῖχός τε καθελόντες καὶ ναῦς παραδόντες χρήματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα ταξάμενοι καὶ τὸ λοιπὸν φέρειν, τήν τε ἤπειρον καὶ τὸ μέταλλον ἀφέντες.

102. Λακεδαιμόνιοι δέ, ὡς αὐτοῖς πρὸς τοὺς ἐν Ἰθώμῃ ἐμηκύνετο ὁ πόλεμος, ἄλλους τε ἐπεκαλέσαντο ξυμμάχους καὶ Ἀθηναίους· οἱ δ᾽ ἦλθον Κίμωνος στρατηγοῦντος πλήθει οὐκ ὀλίγῳ. Μάλιστα δ᾽ αὐτοὺς ἐπεκαλέσαντο ὅτι τειχομαχεῖν ἐδόκουν δυνατοὶ εἶναι, τοῖς δὲ πολιορκίας μακρᾶς καθεστηκυίας τούτου ἐνδεᾶ ἐφαίνετο· βίᾳ γὰρ ἂν εἷλον τὸ χωρίον. Καὶ διαφορὰ ἐκ ταύτης τῆς στρατείας πρῶτον

ξυμπάντων] Heilm. conjecit ξυστάντων. Quod autem ap. Diodorum, xi, 70. legitur, αὐτῶν ἀναβάντων εἰς Θρᾴκην, συνέβη πάντας τοὺς εἰσβαλόντας εἰς τὴν χώραν τῶν Θρᾳκῶν ὑπὸ τῶν Ἠδωνῶν καλουμένων διαφθαρῆναι, Popp. Obs. p. 224. legi posse existimat, ξύμπαντες, cui conjecturæ favere dicit Vallam: ‘sed progressi in mediterranea Thraciæ, ab ipsis Thracibus, quibus infestum erat id oppidum, si incoleretur, apud Drabescum Edonicam omnes sunt interemti.’ E qua versione, Poppo ait, simul colligas αἱ Ἐννέα ὁδοί, cum ab interprete non expressum sit, interpretibus deberi. Thucydides, addit, ubi iterum horum Atheniensium meminit, iv, 102., simpliciter scribit ἐφθάρησαν ἐν Δραβήσκῳ ὑπὸ Θρᾳκῶν. Conf. Diod. xii, 68. De vocibus αἱ Ἐννέα ὁδοί, a Valla omissis, dicam ad i, 144. Vocem ξυμπάντων, si pro corrupta haberem, potius legerem ξυμβάντων, quam ξύμπαντες, ‘interemti sunt a Thracibus illis, quibus infestum erat, si incoleretur, id oppidum, quique propterea coierunt.’ Sed idem dicitur vulgata ξυμπάντων, quo illud οἷς referendum: ‘a Thracibus omnibus, quibus infestum erat,’ i. e. a Thracibus cunctis, qui fœdere jungebantur propterea quod infestum iis, si incoleretur, erat hoc oppidum.

101. Θουριᾶται] Male Bredovius hoc nomen in Θυρεᾶται mutatum vult, qui in Laconiæ et Argolidis finibus habitabant, neque Ithomen fugere poterant. De urbe Thuria v. Pausan. iv, 31. Eandem memorat Strab. p. 552. Alm. Mox ex Steph. Byz. recepi Αἰθαιῆς. V. Paralipom. Glossar. s. v. Θέα. Vulgo Αἰθεεῖς. Zonar. Αἴθες καὶ Αἶνες ἐθνικά. Paulo inferius, Μεσσηνίων ποτὲ ex conj. Steph. legi vult Odofr. Mueller. d. Dor. P. ii. p. 48. not. Restitui τότε, ‘quod accipiendum ‘illo tempore,’ h. e. ‘insigni, noto omnibus,’ ne quis ποτὲ emendet.’ Wolf. ad Dem. Lept. p. 264. Conf. ad viii, 23.

102. τειχομαχεῖν] i. e. ‘urbes munire et munitas aggredi didicerant, bellum obsidionale callebant.’ Mox, verba τοῖς δὲ—τὸ χωρίον interpretor: ‘Lacedæmo-

Λακεδαιμονίοις καὶ Ἀθηναίοις φανερὰ ἐγένετο. Οἱ γὰρ Λακεδαιμόνιοι, ἐπειδὴ τὸ χωρίον βίᾳ οὐχ ἡλίσκετο, δείσαντες τῶν Ἀθηναίων τὸ τολμηρὸν καὶ τὴν νεωτεροποιΐαν καὶ ἀλλοφύλους ἅμα ἡγησάμενοι μή τι ἢν παραμείνωσιν ὑπὸ τῶν ἐν Ἰθώμῃ πεισθέντες νεωτερίσωσι, μόνους τῶν ξυμμάχων ἀπέπεμψαν τὴν μὲν ὑποψίαν οὐ δηλοῦντες, εἰπόντες δὲ ὅτι οὐδὲν προσδέονται αὐτῶν ἔτι. Οἱ δ' Ἀθηναῖοι ἔγνωσαν οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ ἀποπεμπόμενοι, ἀλλά τινος ὑπόπτου γενομένου, καὶ δεινὸν ποιησάμενοι καὶ οὐκ ἀξιώσαντες ὑπὸ Λακεδαιμονίων τοῦτο παθεῖν, εὐθὺς ἐπειδὴ ἀνεχώρησαν, ἀφέντες τὴν γενομένην ἐπὶ τῷ Μήδῳ ξυμμαχίαν πρὸς αὐτοὺς Ἀργείοις τοῖς ἐκείνων πολεμίοις ξύμμαχοι ἐγένοντο, καὶ πρὸς Θεσσαλοὺς ἅμα ἀμφοτέροις οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία κατέστη.

103. Οἱ δ' ἐν Ἰθώμῃ δεκάτῳ ἔτει, ὡς οὐκέτι ἐδύναντο ἀντέχειν, ξυνέβησαν πρὸς τοὺς Λακεδαιμονίους ἐφ' ᾧ τε ἐξίασιν ἐκ Πελοποννήσου ὑπόσπονδοι καὶ μηδέποτε ἐπιβήσονται αὐτῆς· ἢν δέ τις ἁλίσκηται, τοῦ λαβόντος εἶναι δοῦλον· ἦν δέ τι καὶ χρηστήριον τοῖς Λακεδαιμονίοις Πυθικὸν πρὸ τοῦ τὸν ἱκέτην τοῦ Διὸς τοῦ Ἰθωμήτα ἀφιέναι. Ἐξῆλθον δὲ αὐτοὶ καὶ παῖδες καὶ γυναῖκες, καὶ αὐτοὺς Ἀθηναῖοι δεξάμενοι κατὰ ἔχθος ἤδη τὸ Λακεδαιμονίων ἐς Ναύπακτον κατῴκισαν, ἣν ἔτυχον ᾑρηκότες νεωστὶ Λοκρῶν τῶν Ὀζολῶν ἐχόντων. Προσεχώρησαν δὲ καὶ Μεγαρῆς Ἀθηναίοις ἐς ξυμμαχίαν Λακεδαιμονίων ἀποστάντες, ὅτι αὐτοὺς Κορίνθιοι περὶ γῆς ὅρων πολέμῳ κατεῖχον. Καὶ ἔσχον Ἀθηναῖοι Μέγαρα καὶ Πηγάς, καὶ τὰ μακρὰ τείχη ᾠκοδόμησαν Μεγαρεῦσι τὰ ἀπὸ τῆς πόλεως ἐς Νίσαιαν καὶ ἐφρούρουν αὐτοί. Καὶ Κορινθίοις μὲν οὐχ ἥκιστα ἀπὸ τοῦδε τὸ σφοδρὸν μῖσος ἤρξατο πρῶτον ἐς Ἀθηναίους γενέσθαι.

niis vero, cum in longum traheretur obsidio, arte obsidionali opus esse videbatur; per vim enim si stetisset, oppidum cepissent.' Ad τούτου igitur suppleo τοῦ τειχομαχεῖν. Schol. τοῦ τειχομαχεῖν τῆς τέχνης δηλονότι. Pluralis ἐνδεᾶ pro singulari ἐνδεὴς, quo firmatur conjectura Bekkeri legentis φαίνεται—ὑποδεέστερα, pro ὑποδεεστέρα, supr. c. 10. Ad initium hujus cap. Schol. adnotavit: ἀρχὴ τῆς διαφορᾶς τῶν Λακεδαιμονίων καὶ Ἀθηναίων, κατὰ τὸν Ἀριστείδην, Or. Leuctr. ii. p. 148. Jebb. Deinde ἀνεχώρησαν iterum aor. vice fungitur plusquamperfecti. V. Matth. Gr. § 497. Obs. Schæfer. ad Long. p. 397.

103. πρὸ τοῦ] V. Reiz. d. Accent. Inclin. p. 15. Wolf. et de re Pausan. i. p. 542. Fac. Mox ἐφ' ᾧ τε est 'hac lege, ut:' v. Vig. p. 618. 869., 395. et Zonar. in ἐφ' ᾧ, qui citat iv, 30. coll. Schol. ad h. l. et Thuc. i, 113., quem locum adscripsit Phavorin. in v., qui sua habet e Thom. M. p. 400.

104. Ἰνάρως δὲ ὁ Ψαμμητίχου Λίβυς βασιλεὺς Λιβύων τῶν πρὸς Αἰγύπτῳ ὁρμώμενος ἐκ Μαρείας τῆς ὑπὲρ Φάρου πόλεως ἀπέστησεν Αἰγύπτου τὰ πλέω ἀπὸ βασιλέως Ἀρτοξέρξου, καὶ αὐτὸς ἄρχων γενόμενος Ἀθηναίους ἐπηγάγετο. Οἱ δὲ, ἔτυχον γὰρ ἐς Κύπρον στρατευόμενοι ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων, ἦλθον ἀπολιπόντες τὴν Κύπρον, καὶ ἀναπλεύσαντες ἀπὸ θαλάσσης ἐς τὸν Νεῖλον, τοῦ τε ποταμοῦ κρατοῦντες καὶ τῆς Μέμφιδος τῶν δύο μερῶν πρὸς τὸ τρίτον μέρος ὃ καλεῖται Λευκὸν τεῖχος ἐπολέμουν. Ἐνῆσαν δὲ αὐτόθι Περσῶν καὶ Μήδων οἱ καταφυγόντες καὶ Αἰγυπτίων οἱ μὴ ξυναποστάντες.

105. Ἀθηναίοις δὲ ναυσὶν ἀποβᾶσιν ἐς Ἁλιὰς πρὸς Κορινθίους καὶ Ἐπιδαυρίους μάχη ἐγένετο, καὶ ἐνίκων Κορίνθιοι καὶ ὕστερον Ἀθηναῖοι ἐναυμάχησαν ἐπὶ Κεκρυφαλείᾳ Πελοποννησίων ναυσὶ, καὶ ἐνίκων Ἀθηναῖοι. Πολέμου δὲ καταστάντος πρὸς Αἰγινήτας Ἀθηναίοις μετὰ ταῦτα ναυμαχία γίγνεται ἐπ᾽ Αἰγίνῃ μεγάλη Ἀθηναίων καὶ Αἰγινητῶν, καὶ οἱ ξύμμαχοι ἑκατέροις παρῆσαν, καὶ ἐνίκων Ἀθηναῖοι καὶ ναῦς ἑβδομήκοντα λαβόντες αὐτῶν ἐς τὴν γῆν ἀπέβησαν καὶ ἐπολιόρκουν Λεωκράτους τοῦ Στροίβου στρατηγοῦντος. Ἔπειτα Πελοποννήσιοι ἀμύνειν βουλόμενοι Αἰγινήταις ἐς μὲν τὴν Αἴγιναν τριακοσίους ὁπλίτας πρότερον Κορινθίων καὶ Ἐπιδαυρίων ἐπικούρους διεβίβασαν, τὰ δὲ ἄκρα τῆς Γερανείας κατέλαβον καὶ ἐς τὴν Μεγαρίδα κατέβησαν Κορίνθιοι μετὰ τῶν ξυμμάχων, νομίζοντες ἀδυνάτους ἔσεσθαι Ἀθηναίους βοηθεῖν τοῖς Μεγαρεῦσιν ἔν τε Αἰγίνῃ ἀπούσης στρατιᾶς πολλῆς καὶ ἐν Αἰγύπτῳ· ἢν δὲ καὶ βοηθῶσιν, ἀπ᾽ Αἰγίνης ἀναστήσεσθαι αὐτούς. Οἱ δὲ Ἀθηναῖοι τὸ μὲν πρὸς Αἰγίνῃ στράτευμα οὐκ ἐκίνησαν, τῶν δ᾽ ἐκ τῆς πόλεως ὑπολοίπων οἵ τε πρεσβύτατοι καὶ οἱ νεώτατοι ἀφικνοῦνται ἐς τὰ Μέγαρα Μυρωνίδου στρατηγοῦντος. Καὶ μάχης γενομένης ἰσορρόπου πρὸς Κορινθίους διεκρίθησαν ἀπ᾽ ἀλλήλων καὶ ἐνόμισαν αὐτοὶ ἑκάτεροι οὐκ ἔλασσον ἔχειν ἐν τῷ ἔργῳ. Καὶ οἱ μὲν Ἀθηναῖοι, ἐκράτησαν γὰρ ὅμως μᾶλλον, ἀπελθόντων τῶν Κορινθίων τροπαῖον ἔστησαν· οἱ δὲ Κορίνθιοι κακι-

104. Ἀρτοξέρξου] Dedi pro Ἀρταξέρξου e codd. C. c. nam ita solent Græci hoc nomen efferre. V. vel Plut. V. Artax. Infra c. 137. eandem formam habent A. B. C., at iv, 50. c. viii, 5. C.

ζόμενοι ὑπὸ τῶν ἐν τῇ πόλει πρεσβυτέρων καὶ παρασκευασάμενοι ἡμέρας ὕστερον δώδεκα μάλιστα ἐλθόντες ἀνθίστασαν τροπαῖον καὶ αὐτοὶ ὡς νικήσαντες. Καὶ οἱ Ἀθηναῖοι ἐκβοηθήσαντες ἐκ τῶν Μεγάρων τούς τε τὸ τροπαῖον ἱστάντας διαφθείρουσι καὶ τοῖς ἄλλοις ξυμβαλόντες ἐκράτησαν.

106. Οἱ δὲ νικώμενοι ὑπεχώρουν, καί τι αὐτῶν μέρος οὐκ ὀλίγον προσβιασθὲν καὶ διαμαρτὸν τῆς ὁδοῦ ἐσέπεσεν ἔς του χωρίον ἰδιώτου ᾧ ἔτυχεν ὄρυγμα μέγα περιεῖργον καὶ οὐκ ἦν ἔξοδος. Οἱ δὲ Ἀθηναῖοι γνόντες κατὰ πρόσωπόν τε εἶργον τοῖς ὁπλίταις καὶ περιστήσαντες κύκλῳ τοὺς ψιλοὺς κατέλευσαν πάντας τοὺς ἐσελθόντας, καὶ πάθος μέγα τοῦτο Κορινθίοις ἐγένετο. Τὸ δὲ πλῆθος ἀπεχώρησεν αὐτοῖς τῆς στρατιᾶς ἐπ' οἴκου.

107. Ἤρξαντο δὲ κατὰ τοὺς χρόνους τούτους καὶ τὰ μακρὰ τείχη ἐς θάλασσαν Ἀθηναῖοι οἰκοδομεῖν, τό τε Φαληρόνδε καὶ τὸ ἐς Πειραιᾶ. Καὶ Φωκέων στρατευσάντων ἐς Δωριᾶς τὴν Λακεδαιμονίων μητρόπολιν Βοιὸν καὶ Κυτίνιον καὶ Ἐρινεὸν καὶ ἑλόντων ἓν τῶν πολισμάτων τούτων, οἱ Λακεδαιμόνιοι Νικομήδους τοῦ Κλεομβρότου ὑπὲρ Πλειστοάνακτος τοῦ Παυσανίου βασιλέως νέου ὄντος ἔτι ἡγουμένου ἐβοήθησαν τοῖς Δωριεῦσιν ἑαυτῶν τε πεντακοσίοις καὶ χιλίοις ὁπλίταις καὶ τῶν ξυμμάχων μυρίοις, καὶ τοὺς Φωκέας ὁμολογίᾳ ἀναγκάσαντες ἀποδοῦναι τὴν πόλιν ἀπεχώρουν πάλιν. Καὶ κατὰ θάλασσαν μὲν αὐτούς, διὰ τοῦ Κρισαίου κόλπου εἰ βούλοιντο περαιοῦσθαι, Ἀθηναῖοι ναυσὶ περιπλεύσαντες ἔμελλον κωλύσειν· διὰ δὲ τῆς Γερανείας οὐκ ἀσφαλὲς ἐφαίνετο αὐτοῖς Ἀθηναίων ἐχόντων Μέγαρα καὶ Πηγὰς πορεύεσθαι. Δύσοδός τε γὰρ ἡ Γεράνεια καὶ ἐφρουρεῖτο ἀεὶ ὑπὸ Ἀθηναίων· καὶ τότε ᾐσθάνοντο αὐτοὺς μέλλοντας καὶ ταύτῃ κωλύσειν. Ἔδοξε δ' αὐτοῖς ἐν Βοιωτοῖς περιμείνασι σκέψασθαι ὅτῳ τρόπῳ ἀσφαλέστατα διαπορεύσονται. Τὸ δέ τι καὶ ἄνδρες τῶν Ἀθηναίων ἐπῆγον αὐτοὺς κρύφα ἐλπίσαντες δῆμόν τε καταπαύσειν καὶ τὰ μακρὰ τείχη οἰκοδομούμενα. Ἐβοήθησαν δὲ ἐπ' αὐτοὺς οἱ Ἀθηναῖοι πανδημεὶ

107. *ὁμολογίᾳ—τὴν πόλιν*] Thom. M. p. 160.

εἰ βούλοιντο] sequitur præsens post optativum in sententia conditionali. Conf. i, 121. *εἰ ἀντίσχοιεν, μελετήσομεν καὶ ἡμεῖς.* Dionys. de C. V. *ἁπάντων τὰ ὀνόματα εἰ βουλοίμην λέγειν, ἐπιλείψει με ὁ τῆς ἡμέρας χρόνος.* V. Matth. Gr. § 524. n. 3. Herm. ad Vig. p. 831. 909.

δύσοδος] Thom. M. p. 255.

καὶ Ἀργείων χίλιοι καὶ τῶν ἄλλων ξυμμάχων ὡς ἕκαστοι· ξύμπαντες δὲ ἐγένοντο τετρακισχίλιοι καὶ μύριοι. Νομίσαντες δὲ ἀπορεῖν ὅπῃ διέλθωσιν ἐπεστράτευσαν αὐτοῖς καί τι καὶ τοῦ δήμου καταλύσεως ὑποψίᾳ. Ἦλθον δὲ καὶ Θεσσαλῶν ἱππῆς τοῖς Ἀθηναίοις κατὰ τὸ ξυμμαχικὸν, οἳ μετέστησαν ἐν τῷ ἔργῳ παρὰ τοὺς Λακεδαιμονίους.

108. Γενομένης δὲ μάχης ἐν Τανάγρᾳ τῆς Βοιωτίας ἐνίκων Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι, καὶ φόνος ἐγένετο ἀμφοτέρων πολύς. Καὶ Λακεδαιμόνιοι μὲν ἐς τὴν Μεγαρίδα ἐλθόντες καὶ δενδροτομήσαντες πάλιν ἀπῆλθον ἐπ' οἴκου διὰ Γερανείας καὶ ἰσθμοῦ· Ἀθηναῖοι δὲ δευτέρᾳ καὶ ἑξηκοστῇ ἡμέρᾳ μετὰ τὴν μάχην ἐστράτευσαν ἐς Βοιωτοὺς Μυρωνίδου στρατηγοῦντος, καὶ μάχῃ ἐν Οἰνοφύτοις τοὺς Βοιωτοὺς νικήσαντες τῆς τε χώρας ἐκράτησαν τῆς Βοιωτίας καὶ Φωκίδος, καὶ Ταναγραίων τὸ τεῖχος περιεῖλον, καὶ Λοκρῶν τῶν Ὀπουντίων ἑκατὸν ἄνδρας ὁμήρους τοὺς πλουσιωτάτους ἔλαβον, τά τε τείχη τὰ ἑαυτῶν τὰ μακρὰ ἐπετέλεσαν. Ὡμολόγησαν δὲ καὶ Αἰγινῆται μετὰ ταῦτα τοῖς Ἀθηναίοις τείχη τε περιελόντες καὶ ναῦς παραδόντες φόρον τε ταξάμενοι ἐς τὸν ἔπειτα χρόνον. Καὶ Πελοπόννησον περιέπλευσαν Ἀθηναῖοι Τολμίδου τοῦ Τολμαίου στρατηγοῦντος· καὶ τὸ νεώριον τὸ Λακεδαιμονίων ἐνέπρησαν καὶ Χαλκίδα Κορινθίων πόλιν εἷλον καὶ Σικυωνίους ἐν ἀποβάσει τῆς γῆς μάχῃ ἐκράτησαν.

109. Οἱ δὲ ἐν τῇ Αἰγύπτῳ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι ἐπέμενον καὶ αὐτοῖς πολλαὶ ἰδέαι πολέμων κατέστησαν. Τὸ μὲν γὰρ πρῶτον ἐκράτουν τῆς Αἰγύπτου Ἀθηναῖοι, καὶ

νομίσαντες—ὑποψίᾳ] Vulgo *ὑποψία ἦν*. Dedi dativum ex emendatione Benedicti: etenim ubi duæ causæ cur aliquid factum sit, indicantur, alteram substantivo, alteram participio, vel particula *ὅτι* cum verbo exprimit, ut i, 121. init. Conf. supr. ad c. 80. De particulis *καί τι καὶ* v. Popp. Obs. p. 106. not. De temporibus rei hic narratæ v. Meier. d. Bon. Damn. p. 4. not. 11. Ceterum eodem modo oratio variatur etiam a Tacito Sallustioque: Cat. 16. 'incerta pro certis, bellum quam pacem malebant.' Jug. 7. 'neque per vim, neque insidiis.' 14. 'prohibere injuriam, neque cujusquam regnum per injuriam cresceret.' 25. 'quod in invidia res erat, simul et ab Numidis obsecrati.' Tacit. Ann. i, 56. et 52. 'sed quod largiendis pecuniis favorem militum quæsivisset, bellica quoque Germanici gloria angebatur.'

108. *γενομένης—μάχης*] Pertinet ad hæc tempora fragm. Theopompi ap. Marx. in Ephor. p. 224., de quo v. Creuzer. Præf. ad hunc lib. p. xxviii. Spectat huc etiam Plat. Menex. c. 13., ubi v. Gottl. et in Alcib. i. c. 8. conf. Wessel. ad Diod. xi, 80.

Λοκρῶν—ἑκατὸν ἄνδρας] v. Boeckh. Explic. Pind. p. 188.

109. *ἰδέαι*] Vox Herodoto quoque, postea Platoni usitata. Imitatur Thucy-

βασιλεὺς πέμπει ἐς Λακεδαίμονα Μεγάβαζον ἄνδρα Πέρσην χρήματα ἔχοντα, ὅπως ἐς τὴν Ἀττικὴν ἐσβαλεῖν πεισθέντων τῶν Πελοποννησίων ἀπ᾽ Αἰγύπτου ἀπαγάγοι Ἀθηναίους. Ὡς δὲ αὐτῷ οὐ προὐχώρει καὶ τὰ χρήματα ἄλλως ἀναλοῦτο, ὁ μὲν Μεγάβαζος καὶ τὰ λοιπὰ τῶν χρημάτων πάλιν ἐς τὴν Ἀσίαν ἐκομίσθη, Μεγάβυζον δὲ τὸν Ζωπύρου πέμπει ἄνδρα Πέρσην μετὰ στρατιᾶς πολλῆς· ὃς ἀφικόμενος κατὰ γῆν τούς τε Αἰγυπτίους καὶ τοὺς ξυμμάχους μάχῃ ἐκράτησε καὶ ἐκ τῆς Μέμφιδος ἐξήλασε τοὺς Ἕλληνας καὶ τέλος ἐς Προσωπίτιδα τὴν νῆσον κατέκλησε, καὶ ἐπολιόρκει ἐν αὐτῇ ἐνιαυτὸν καὶ μῆνας ἓξ μέχρι οὗ ξηράνας τὴν διώρυχα καὶ παρατρέψας ἄλλῃ τὸ ὕδωρ τάς τε ναῦς ἐπὶ τοῦ ξηροῦ ἐποίησε καὶ τῆς νήσου τὰ πολλὰ ἤπειρον, καὶ διαβὰς εἷλε τὴν νῆσον πεζῇ.

110. Οὕτω μὲν τὰ τῶν Ἑλλήνων πράγματα ἐφθάρη, ἓξ ἔτη πολεμήσαντα· καὶ ὀλίγοι ἀπὸ πολλῶν πορευόμενοι διὰ τῆς Λιβύης ἐς Κυρήνην ἐσώθησαν, οἱ δὲ πλεῖστοι ἀπώλοντο. Αἴγυπτος δὲ πάλιν ὑπὸ βασιλέα ἐγένετο πλὴν Ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι βασιλέως· τοῦτον δὲ διὰ μέγεθός τε τοῦ ἕλους οὐκ ἐδύναντο ἑλεῖν, καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν Αἰγυπτίων οἱ ἕλειοι. Ἰνάρως δὲ ὁ Λιβύων βασιλεύς, ὃς τὰ πάντα ἔπραξε περὶ τῆς Αἰγύπτου, προδοσίᾳ ληφθεὶς ἀνεσταυρώθη. Ἐκ δὲ τῶν Ἀθηνῶν καὶ τῆς ἄλλης ξυμμαχί-

didem Dio Cass. v. p. 1220. *καὶ πᾶσα ἄλλη κακῶν ἰδέα.* Mox, de augmento in verbo *ἀναλοῦτο* v. Herm. ad Soph. Aj. 1028.

Μεγάβυζον] Vulgo *Μεγάβαζον δὲ τὸν Ζωπύρου.* Emendavit Bekk. ex A. B. C. H. K. Accedunt schol. ad Aristoph. Av. 484., Aristophanes ipse, Diodor. et Photius in Excerptis Ctesiæ. Photius lexicographus: *Μεγάβυζος, στρατηγὸς βασιλέως, ἀναπεμφθεὶς εἰς Αἴγυπτον, ὑφ᾽ οὗ ἐνικήθησαν Ἀθηναῖοι.* Phavorin. *Μεγάβυζος, στρατηλάτης πορθήσας Μέμφιδα. Οὗτος σατράπης Δαρείου τὴν Αἴγυπτον εἷλεν, οὗ μνημονεύει Θουκυδίδης ἐν τῷ πρώτῳ.* Conf. Wessel. ad Herodot. iv, 143.

πεζῇ] Schol. *διὰ πεζομαχίας.* Male; trajectio verborum est pro *διαβὰς πεζῇ εἷλε*, etc., ut viii, 100. cum codd. A. B. F. H. f. videtur ordinandum esse *ὑστερήσας δὲ—ἐφώρμει ἐλθών*, pro *ἐλθὼν ἐφώρμει.* Conf. Krueger. Comm. Thuc. p. 318. not.

110. *πράγματα—πολεμήσαντα*] Dictum est per periphrasin: *τὰ τῶν Ἑλλήνων πράγματα*, pro *οἱ Ἕλληνες*, ut jam Abreschius monuerat. In ejusmodi autem circumlocutione structura accommodari solet rei quæ circumscribitur, atque hic quidem voci *Ἑλλήνων* debebat, ut esset *πολεμησάντων* pro *πολεμήσαντα.* At nonnunquam accommodatur vocabulo, quod periphrasi inservit, i. e. hoc loco quidem voci *πράγματα.* Exempla dedit ille, e Thucydide hoc: *ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ ἐφυστερίζοντά που—πολὺ ἐπέφερε τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας*, i. e. *καὶ αἱ ἐφυστερίζουσαί που—ἐπέφερον*, etc. iii, 82. Nostris simillima Popp. Prol. t. i. p. 109. addidit verba Pind. Pyth. i, 139. *ὁ Τυρσανῶν τ᾽ ἀλαλατὸς ναυσίστονον ὕβριν ἰδὼν τῶν ἀπὸ Κύμας*, i. e. *ἰδόντων.* Mox *ὑπὸ βασιλέα* dedi ex A. B. C. F. G. H. I. g. *βασιλέως* habent K. L. N. O. c. Vulgo *βασιλεῖ.* V. Hemsterh. ad Arist. Plut. 267., ubi quæ adnotavit Schol. ad v. 178., ex hoc loco petita sunt.

δος πεντήκοντα τριήρεις διάδοχοι πλέουσαι ἐς Αἴγυπτον ἔσχον κατὰ τὸ Μενδήσιον κέρας, οὐκ εἰδότες τῶν γεγενημένων οὐδέν. Καὶ αὐτοῖς ἔκ τε γῆς ἐπιπεσόντες πεζοὶ καὶ ἐκ θαλάσσης Φοινίκων ναυτικὸν διέφθειραν τὰς πολλὰς τῶν νεῶν, αἱ δ' ἐλάσσους διέφυγον πάλιν. Τὰ μὲν κατὰ τὴν μεγάλην στρατείαν Ἀθηναίων καὶ τῶν ξυμμάχων ἐς Αἴγυπτον οὕτως ἐτελεύτησεν.

111. Ἐκ δὲ Θεσσαλίας Ὀρέστης ὁ Ἐχεκρατίδου υἱὸς τοῦ Θεσσαλῶν βασιλέως φεύγων ἔπεισεν Ἀθηναίους ἑαυτὸν κατάγειν· καὶ παραλαβόντες Βοιωτοὺς καὶ Φωκέας ὄντας ξυμμάχους Ἀθηναῖοι ἐστράτευσαν τῆς Θεσσαλίας ἐπὶ Φάρσαλον. Καὶ τῆς μὲν γῆς ἐκράτουν ὅσα μὴ προϊόντες πολὺ ἐκ τῶν ὅπλων, οἱ γὰρ ἱππῆς τῶν Θεσσαλῶν εἶργον, τὴν δὲ πόλιν οὐχ εἷλον, οὐδ' ἄλλο προὐχώρει αὐτοῖς οὐδὲν ὧν ἕνεκα ἐστράτευσαν, ἀλλ' ἀπεχώρησαν πάλιν Ὀρέστην ἔχοντες ἄπρακτοι. Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον χίλιοι Ἀθηναίων ἐπὶ τὰς ναῦς τὰς ἐν Πηγαῖς ἐπιβάντες, εἶχον δ' αὐτοὶ τὰς Πηγάς, παρέπλευσαν ἐς Σικυῶνα Περικλέους τοῦ Ξανθίππου στρατηγοῦντος, καὶ ἀποβάντες Σικυωνίων τοὺς προσμίξαντας μάχῃ ἐκράτησαν. Καὶ εὐθὺς παραλαβόντες Ἀχαιοὺς καὶ διαπλεύσαντες πέραν, τῆς Ἀκαρνανίας ἐς Οἰνιάδας ἐστράτευσαν καὶ ἐπολιόρκουν, οὐ μέντοι εἷλόν γε, ἀλλὰ ἀπεχώρησαν ἐπ' οἴκου.

112. Ὕστερον δὲ διαλιπόντων ἐτῶν τριῶν σπονδαὶ γίγνονται Πελοποννησίοις καὶ Ἀθηναίοις πενταετεῖς. Καὶ Ἑλληνικοῦ μὲν πολέμου ἔσχον οἱ Ἀθηναῖοι, ἐς δὲ Κύπρον ἐστρατεύοντο ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων Κίμωνος στρατηγοῦντος, καὶ ἑξήκοντα μὲν νῆες ἐς Αἴγυπτον ἀπ' αὐτῶν ἔπλευσαν, Ἀμυρταίου μεταπέμποντος τοῦ ἐν τοῖς ἕλεσι βασιλέως, αἱ δὲ ἄλλαι Κίτιον ἐπολιόρκουν. Κίμωνος

ἔσχον] i. e. προσωρμίσαντο, ut explicat Thom. M. p. 748. allato h. l. Adferunt hæc eadem verba paulum immutata Zonar. et Suid. in ἔσχε, et Thom. M. iterum p. 339. eandem vocem explicat e Thucyd. ii, 33. Mox, οὐκ εἰδότες constructione ad sensum facta positum. V. supr. ad c. 31. et Porson. ad Hom. Od. p. 130. Tauchn.

112. ἔσχον οἱ Ἀθηναῖοι] Thom. M. p. 339. Conf. Elmsl. ad Eur. Heracl. 924. Statim post hæc vulgo extat, Φοίνιξι καὶ Κίλιξι καὶ Κυπρίοις, quorum postrema duo verba omittunt A. B. F. G. H. K. L. c. f. g. h. i. Bened. Cum bellum contra Cyprios suscepissent Athenienses, sponte intelligitur, huic duplici prœlio, quod socii Cypriorum, Phœnices et Cilices, qui auxilio veniebant contra Athenienses, commiserunt, etiam Cyprios interfuisse; id quod etiam vocabulum adjectum, ἅμα, 'simul præter Cyprios cum Phœnicibus et Cilicibus,' aperte indicat.

δὲ ἀποθανόντος καὶ λιμοῦ γενομένου ἀπεχώρησαν ἀπὸ Κιτίου· καὶ πλεύσαντες ὑπὲρ Σαλαμῖνος τῆς ἐν Κύπρῳ Φοίνιξι καὶ Κίλιξιν ἐναυμάχησαν καὶ ἐπεζομάχησαν ἅμα, καὶ νικήσαντες ἀμφότερα ἀπεχώρησαν ἐπ' οἴκου, καὶ αἱ ἐξ Αἰγύπτου νῆες πάλιν αἱ ἐλθοῦσαι μετ' αὐτῶν. Λακεδαιμόνιοι δὲ μετὰ ταῦτα τὸν ἱερὸν καλούμενον πόλεμον ἐστράτευσαν, καὶ κρατήσαντες τοῦ ἐν Δελφοῖς ἱεροῦ παρέδοσαν Δελφοῖς· καὶ αὖθις ὕστερον Ἀθηναῖοι ἀποχωρησάντων αὐτῶν στρατεύσαντες καὶ κρατήσαντες παρέδοσαν Φωκεῦσι.

113. Καὶ χρόνου ἐγγενομένου μετὰ ταῦτα Ἀθηναῖοι, Βοιωτῶν τῶν φευγόντων ἐχόντων Ὀρχομενὸν καὶ Χαιρώνειαν καὶ ἄλλ' ἄττα χωρία τῆς Βοιωτίας, ἐστράτευσαν ἑαυτῶν μὲν χιλίοις ὁπλίταις τῶν δὲ ξυμμάχων ὡς ἑκάστοις ἐπὶ τὰ χωρία ταῦτα πολέμια ὄντα Τολμίδου τοῦ Τολμαίου στρατηγοῦντος. Καὶ Χαιρώνειαν ἑλόντες ἀπεχώρουν φυλακὴν καταστήσαντες. Πορευομένοις δὲ αὐτοῖς ἐν Κορωνείᾳ ἐπιτίθενται οἵ τε ἐκ τῆς Ὀρχομενοῦ φυγάδες Βοιωτῶν καὶ Λοκροὶ μετ' αὐτῶν καὶ Εὐβοέων φυγάδες καὶ ὅσοι τῆς αὐτῆς γνώμης ἦσαν· καὶ μάχῃ κρατήσαντες τοὺς μὲν διέφθειραν τῶν Ἀθηναίων τοὺς δὲ ζῶντας ἔλαβον. Καὶ τὴν Βοιωτίαν ἐξέλιπον Ἀθηναῖοι πᾶσαν, σπονδὰς ποιησάμενοι ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. Καὶ οἱ φεύγοντες Βοιωτῶν κατελθόντες καὶ οἱ ἄλλοι πάντες αὐτόνομοι πάλιν ἐγένοντο.

114. Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον Εὔβοια ἀπέστη ἀπὸ Ἀθηναίων· καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη Περικλέους στρατιᾷ Ἀθηναίων ἠγγέλθη αὐτῷ ὅτι Μέγαρα ἀφέστηκε, καὶ Πελοποννήσιοι μέλλουσιν ἐσβαλεῖν ἐς τὴν Ἀττικήν, καὶ

113. *ἑλόντες καὶ ἀνδραποδίσαντες*] Verba, quæ vulgo hic leguntur, *καὶ ἀνδραποδίσαντες*, obliteravi, secutus auctoritatem codicum A. B. H. K. N. d. f. h. Citantur e Thuc. a Polluc. iii, 77., sed aliis quoque locis reperiuntur. Nimirum urbi militum præsidium impositum esse dicitur, quod non facile in urbe direpta et civibus spoliata locum habebit, ut Bened. adnotavit: nam aliud est *δουλοῦσθαι*, aliud *ἀνδραποδίζειν*, quorum illud est 'in servitutem redigere,' hoc 'in servitutem abductos venundare.'

τῆς Ὀρχομενοῦ] Buttm. Gr. Max. § 32. n. 6. hoc nomen semper masculini generis esse contendit; at Thucydides distinguit Arcadiæ et Bœotiæ urbem hujus nominis; illa masculini, hæc feminini generis est. V. Popp. Prol. t. i. p. 103.

ἐφ' ᾧ—κομιοῦνται] Thom. p. 400. Phavorin. in ἐφ' ᾧ.

114. *διαβεβηκότος—αὐτῷ*] genit. absolutus pro dat. partic. V. ad vi, 82. et Matth. Gr. § 362.

οἱ φρουροὶ Ἀθηναίων διεφθαρμένοι εἰσὶν ὑπὸ Μεγαρέων πλὴν ὅσοι ἐς Νίσαιαν ἀπέφυγον. Ἐπαγαγόμενοι δὲ Κορινθίους καὶ Σικυωνίους καὶ Ἐπιδαυρίους ἀπέστησαν οἱ Μεγαρῆς. Ὁ δὲ Περικλῆς πάλιν κατὰ τάχος ἐκόμιζε τὴν στρατιὰν ἐκ τῆς Εὐβοίας. Καὶ μετὰ τοῦτο οἱ Πελοποννήσιοι τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θρίωζε ἐσβαλόντες ἐδῄωσαν Πλειστοάνακτος τοῦ Παυσανίου βασιλέως Λακεδαιμονίων ἡγουμένου, καὶ τὸ πλέον οὐκέτι προελθόντες ἀπεχώρησαν ἐπ' οἴκου. Καὶ Ἀθηναῖοι πάλιν ἐς Εὔβοιαν διαβάντες Περικλέους στρατηγοῦντος κατεστρέψαντο πᾶσαν. Καὶ τὴν μὲν ἄλλην ὁμολογίᾳ κατεστήσαντο, Ἑστιαιᾶς δὲ ἐξοικίσαντες αὐτοὶ τὴν γῆν ἔσχον.

115. Ἀναχωρήσαντες δὲ ἀπὸ Εὐβοίας οὐ πολλῷ ὕστερον σπονδὰς ἐποιήσαντο πρὸς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους τριακοντούτεις, ἀποδόντες Νίσαιαν καὶ Πηγὰς καὶ Τροιζῆνα καὶ Ἀχαΐαν· ταῦτα γὰρ εἶχον Ἀθηναῖοι Πελοποννησίων. Ἕκτῳ δὲ ἔτει Σαμίοις καὶ Μιλησίοις πόλεμος ἐγένετο περὶ Πριήνης· καὶ οἱ Μιλήσιοι ἐλασσούμενοι τῷ πολέμῳ παρ' Ἀθηναίους ἐλθόντες κατεβόων τῶν Σαμίων. Ξυνεπελαμβάνοντο δὲ καὶ ἐξ αὐτῆς τῆς Σάμου ἄνδρες ἰδιῶται νεωτερίσαι βουλόμενοι τὴν πολιτείαν. Πλεύσαντες

· καὶ Ἀθηναῖοι—ἔσχον] Dionys. p. 845., ubi est κατέστησαν. At κατεστήσαντο habent omnes libri præter O., ubi est παρεστήσαντο. Exponit schol. per ἀτάραχον, εἰρηνικὴν ἐποίησαν, hic et ad iii, 35. Notus est lusus Aristophanis, Nub. 213., quo Periclem et Athenienses hac expeditione dicit Eubœam tributis exigendis admodum vexasse, his verbis: ὑπὸ γὰρ ὑμῶν παρετάθη καὶ Περικλέους. Antea enim dixerat, παρατέταται μακρὰ πόῤῥω πάνυ, 'distracta est in longitudinem situ suo.' Respondet rusticus Strepsiades: οἶδα, παρετάθη, etc. i. e. ut schol. explicat, εἰς φόρον ἐξετάθη, qui simul rei mentionem facit ex Philochoro: Περικλέους στρατηγοῦντος, καταστρέψασθαι πᾶσάν φησι Φιλόχορος, καὶ τὴν μὲν ἄλλην ἐπὶ ὁμολογίᾳ καταστοθῆναι, ubi Herm. post στρατηγοῦντος addidit Ἀθηναίους, et cum Ernestio reposuit παρασταθῆναι pro κατασταθῆναι; quam mutationem hic ipse Thucydidis locus refellit. Nimirum si quid video, aut nomen Philochori male schol. edidit, ubi Thucydides nominandus erat, aut Philochorus ipsa nostri scriptoris verba in narratione sua posuerat. Prius mihi quidem probabilius videtur. Post παρασταθῆναι ap. Schol. Arist. lacuna est, nulla igitur mutatione verborum μὲν ἄλλην opus est, quam tentavit Reizius, conjectans Οἰχαλίαν vel Πεταλίαν. Lacunam autem jam ex Thucydidis verbis explere licet, Ἑστιαιᾶς δὲ ἐξοικίσαντας αὐτοὺς τὴν γῆν σχεῖν. De accus. Ἑστιαιᾶς v. Matth. Gr. § 83. Obs. 1. De re conf. Diod. xii, 7. 22. Plut. Pericl. c. 23. Valck. ad Herodot. viii, 23. Verba extrema vitiose effert Schol. Aristid. Pericl. t. iii. p. 226. ap. Valcken. t. viii. p. 98. Schw. ὁ Θουκυδίδης· ἐξοικήσαντες Ἱστιαίας—ἔσχον.

115. Ἀχαΐαν] Achaiam regionem intelligit Haack. Sed quamquam Athenienses, i, 111. Achæos ad bellum contra Œniadas secum duxisse narrantur, tamen universam Achaiam tunc ab iis in potestatem redactam, ejusque possessionem per plures annos retentam esse, recte negat Popp. Prol. t. ii. p. 175. not. Steph. Byz., addit, plura loca nomine Achaiæ esse scribit, nihil tamen amplius adjicit, et quæ ab aliis nominantur, Achaia Cretæ et Asiæ, huc non pertinent.

οὖν Ἀθηναῖοι ἐς Σάμον ναυσὶ τεσσαράκοντα δημοκρατίαν κατέστησαν καὶ ὁμήρους ἔλαβον τῶν Σαμίων πεντήκοντα μὲν παῖδας, ἴσους δὲ ἄνδρας, καὶ κατέθεντο ἐς Λῆμνον, καὶ φρουρὰν ἐγκαταλιπόντες ἀνεχώρησαν. Τῶν δὲ Σαμίων, ἦσαν γάρ τινες οἳ οὐχ ὑπέμενον, ἀλλ' ἔφυγον ἐς τὴν ἤπειρον, ξυνθέμενοι τῶν ἐν τῇ πόλει τοῖς δυνατωτάτοις καὶ Πισσούθνῃ τῷ Ὑστάσπου ξυμμαχίαν, ὃς εἶχε Σάρδεις τότε, ἐπικούρους τε ξυλλέξαντες ἐς ἑπτακοσίους διέβησαν ὑπὸ νύκτα ἐς τὴν Σάμον. Καὶ πρῶτον μὲν τῷ δήμῳ ἐπανέστησαν καὶ ἐκράτησαν τῶν πλείστων, ἔπειτα τοὺς ὁμήρους ἐκκλέψαντες ἐκ Λήμνου τοὺς αὑτῶν ἀπέστησαν καὶ τοὺς φρουροὺς τοὺς Ἀθηναίων καὶ τοὺς ἄρχοντας οἳ ἦσαν παρὰ σφίσιν ἐξέδοσαν Πισσούθνῃ, ἐπί τε Μίλητον εὐθὺς παρεσκευάζοντο στρατεύειν. Ξυναπέστησαν δὲ αὐτοῖς καὶ Βυζάντιοι.

116. Ἀθηναῖοι δὲ ὡς ᾔσθοντο, πλεύσαντες ναυσὶν ἑξήκοντα ἐπὶ Σάμου ταῖς μὲν ἑκκαίδεκα τῶν νεῶν οὐκ ἐχρήσαντο· ἔτυχον γὰρ αἱ μὲν ἐπὶ Καρίας ἐς προσκοπὴν τῶν Φοινισσῶν νεῶν οἰχόμεναι, αἱ δ' ἐπὶ Χίου καὶ Λέσβου περιαγγέλλουσαι βοηθεῖν. Τεσσαράκοντα δὲ ναυσὶ καὶ τέσσαρσι Περικλέους δεκάτου αὐτοῦ στρατηγοῦντος ἐναυμάχησαν πρὸς Τραγίᾳ τῇ νήσῳ Σαμίων ναυσὶν ἑβδομήκοντα, ὧν ἦσαν αἱ εἴκοσι στρατιώτιδες· ἔτυχον δὲ αἱ πᾶσαι ἀπὸ Μιλήτου πλέουσαι. Καὶ ἐνίκων Ἀθηναῖοι. Ὕστερον δὲ αὐτοῖς ἐβοήθησαν ἐκ τῶν Ἀθηνῶν νῆες τεσσαράκοντα καὶ Χίων καὶ Λεσβίων πέντε καὶ εἴκοσι, καὶ ἀποβάντες καὶ κρατοῦντες τῷ πεζῷ ἐπολιόρκουν τρισὶ τείχεσι τὴν πόλιν καὶ ἐκ θαλάσσης ἅμα. Περικλῆς

τῶν δὲ Σαμίων] explicatur h. l. supr. ad c. 72. Adde Herm. ad Vig. p. 941. Mox *ἐκκλέψαντες* restitui pro *κλέψαντες*, quod Diod. xii. p. 495., qui h. l. ante oculos habuit, ita scripsit, et Plut. V. Pericl. p. 641. *ἐκκλέψαντες αὐτοῖς τοὺς ὁμήρους*, quibus accedit bonorum codd. auctoritas. Probatur hæc scriptura etiam Wesselingio p. 490., ut adnotavit Gottl.

116. *ταῖς μὲν ἑκκαίδεκα*] Numeralibus subinde additur articulus, ubi de majore numero minor nominatim additur; interdum ita, ubi Græco sermoni cum nostro convenit, velut ap. Xenoph. H. Gr. iii, 2, 4. *ἀμφὶ τοὺς πεντεκαίδεκα*, nos, 'about fifteen' (an die funfzehn). Prius autem h. l. ita obtinet, ut major numerus sexaginta navium antecedat, minor adjecto articulo, scilicet sedecim naves post illas nominentur. Sed Græci dicunt etiam *ἐλάττους τῶν ὀγδοήκοντα*, velut Xen. l. l. vii, 2, 9., quod nostro sermone imitari non licet. Conf. Popp. Prol. t. i. p. 200. Krueger. ad Dionys. p. 303.

τρισὶ τείχεσι] i. e. 'tribus castris obsident oppidum,' ait Casaub. ad Polyb. p. 178. Schol. explicat per *τρισὶ τάγμασιν*, unde eum suspiceris legisse *τρισὶ τέλεσιν*. Casauboni rationi hoc adversatur, quod nusquam castra *τείχη* appellantur. Exercitus pedestris, puto, tres uno tempore circumvallationis partes continuato labore inter se jungendas struxit, ut factum est in oppugnatione Syracusarum.

δὲ λαβὼν ἑξήκοντα ναῦς ἀπὸ τῶν ἐφορμουσῶν ᾤχετο κατὰ τάχος ἐπὶ Καύνου καὶ Καρίας, ἐσαγγελθέντων ὅτι Φοίνισσαι νῆες, ἐπ' αὐτοὺς πλέουσιν· ᾤχετο γὰρ καὶ ἐκ τῆς Σάμου πέντε ναυσὶ Στησαγόρας καὶ ἄλλοι ἐπὶ τὰς Φοινίσσας.

117. Ἐν τούτῳ δὲ οἱ Σάμιοι ἐξαπιναίως ἔκπλουν ποιησάμενοι ἀφράκτῳ τῷ στρατοπέδῳ ἐπιπεσόντες τάς τε προφυλακίδας ναῦς διέφθειραν καὶ ναυμαχοῦντες τὰς ἀνταναγομένας ἐνίκησαν καὶ τῆς θαλάσσης τῆς καθ' ἑαυτοὺς ἐκράτησαν ἡμέρας περὶ τεσσαρασκαίδεκα καὶ ἐσεκομίσαντο καὶ ἐξεκομίσαντο ἃ ἐβούλοντο. Ἐλθόντος δὲ Περικλέους πάλιν ταῖς ναυσὶ κατεκλήσθησαν. Καὶ ἐκ τῶν Ἀθηνῶν ὕστερον προσεβοήθησαν τεσσαράκοντα μὲν αἱ μετὰ Θουκυδίδου καὶ Ἅγνωνος καὶ Φορμίωνος νῆες, εἴκοσι δὲ αἱ μετὰ Τληπολέμου καὶ Ἀντικλέους, ἐκ δὲ Χίου καὶ Λέσβου τριάκοντα. Καὶ ναυμαχίαν μέν τινα βραχεῖαν ἐποιήσαντο οἱ Σάμιοι, ἀδύνατοι δὲ ὄντες ἀντισχεῖν ἐξεπολιορκήθησαν ἐνάτῳ μηνὶ καὶ προσεχώρησαν ὁμολογίᾳ τεῖχός τε καθελόντες καὶ ὁμήρους δόντες καὶ ναῦς παραδόντες καὶ χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι. Ξυνέβησαν δὲ καὶ Βυζάντιοι ὥσπερ καὶ πρότερον ὑπήκοοι εἶναι.

118. Μετὰ ταῦτα δὲ ἤδη γίγνεται οὐ πολλοῖς ἔτεσιν ὕστερον τὰ προειρημένα, τά τε Κερκυραϊκὰ καὶ τὰ Ποτιδαιατικὰ καὶ ὅσα πρόφασις τοῦδε τοῦ πολέμου κατέστη. Ταῦτα δὲ ξύμπαντα ὅσα ἔπραξαν οἱ Ἕλληνες πρός τε ἀλλήλους καὶ τὸν βάρβαρον ἐγένετο ἐν ἔτεσι πεντήκοντα μάλιστα μεταξὺ τῆς Ξέρξου ἀναχωρήσεως καὶ τῆς ἀρχῆς τοῦδε

ἐπὶ Καύνου καὶ Καρίας] Quia Caunus in Caria sita fuit, hendiadys est pro *ἐπὶ Καύνου ἐν Καρίᾳ*. Schema Homericum, ut Il. viii, 47. *Ἴδην δ' ἵκανεν—Γάργαρον*, ubi v. interpp. Disserit de hac figura Strab. p. 68. B., ubi v. Xylandr. Adde ad Dionys. de C. V. p. 150. Jen.

ἐσαγγελθέντων] V. Matth. Gr. § 563. Conf. ad i, 3.

117. *στρατοπέδῳ*] Gottl. interpretatur 'navibus firmo præsidio destitutis:' nam de navibus, non de castris, hæc verba esse, docet etiam Plutarch. V. Pericl. p. 642. Mox qui nominatur Thucydides, is Milesiæ filius, Periclis æmulus erat. Ejus collega in imperio erat Sophocles, poëta tragicus. V. Lessing. V. Soph. p. 137. et Seidler. in Dissert. præmissa Antigonæ editæ ab Erf. Add. Strab. xiv. p. 906. Cic. d. Off. i, 40.

ταξάμενοι ἀποδοῦναι] Thom. Mag. p. 164.

118. *μετὰ ταῦτα—πόλεμον*] Dionys. p. 835.

πρόφασις μεταξὺ τοῦδε] Ita vulgo: sed *μεταξὺ* non est apud Dionysium, neque in codd. plerisque. Sunt qui tueantur tanquam adverbialiter positum, ut iii, 21. et ap. Herodot. iv, 55., ut sit 'in the mean time.' Videtur a librariis ex mox sequentibus verbis huc tracta esse hæc vox, quare Dionysii cum tot codd. consensum potiorem habendum esse duxi. Abest ab A. B. C. F. G. H. I. K. L. N. O. P. c. g. h. i. S. et ab interpretatione Vallæ. Lindav. Spicil. p. 2. conjecit *μεγίστη*, coll. i, 126. *ὅπως σφίσιν ὅτι μεγίστη πρόφασις εἴη τοῦ πολεμεῖν*.

τοῦ πολέμου· ἐν οἷς Ἀθηναῖοι τήν τε ἀρχὴν ἐγκρατεστέραν κατεστήσαντο καὶ αὐτοὶ ἐπὶ μέγα ἐχώρησαν δυνάμεως. Οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι οὔτε ἐκώλυον εἰ μὴ ἐπὶ βραχὺ, ἡσύχαζόν τε τὸ πλέον τοῦ χρόνου, ὄντες μὲν καὶ πρὸ τοῦ μὴ ταχεῖς ἰέναι ἐς τοὺς πολέμους, εἰ μὴ ἀναγκάζοιντο, τὸ δέ τι καὶ πολέμοις οἰκείοις ἐξειργόμενοι, πρὶν δὴ ἡ δύναμις τῶν Ἀθηναίων σαφῶς ἤρετο καὶ τῆς ξυμμαχίας αὐτῶν ἥπτοντο. Τότε δὲ οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' ἐπιχειρητέα ἐδόκει εἶναι πάσῃ προθυμίᾳ καὶ καθαιρετέα ἡ ἰσχὺς ἢν δύνωνται ἀραμένοις τόνδε τὸν πόλεμον. Αὐτοῖς μὲν οὖν τοῖς Λακεδαιμονίοις διέγνωστο λελύσθαι τε τὰς σπονδὰς καὶ τοὺς Ἀθηναίους ἀδικεῖν· πέμψαντες δὲ ἐς Δελφοὺς ἐπηρώτων τὸν θεὸν εἰ πολεμοῦσιν ἄμεινον ἔσται. Ὁ δὲ ἀνεῖλεν αὐτοῖς, ὡς λέγεται, κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι καὶ παρακαλούμενος καὶ ἄκλητος.

119. Αὖθις δὲ τοὺς ξυμμάχους παρακαλέσαντες ψῆφον ἐβούλοντο ἐπαγαγεῖν εἰ χρὴ πολεμεῖν. Καὶ ἐλθόντων τῶν πρέσβεων ἀπὸ τῆς ξυμμαχίας καὶ ξυνόδου γενομένης οἵ τε ἄλλοι εἶπον ἃ ἐβούλοντο κατηγοροῦντες οἱ πλείους τῶν Ἀθηναίων καὶ τὸν πόλεμον ἀξιοῦντες γενέσθαι, καὶ οἱ Κορίνθιοι δεηθέντες μὲν καὶ κατὰ πόλεις πρότερον ἑκάστων ἰδίᾳ ὥστε ψηφίσασθαι τὸν πόλεμον, δεδιότες περὶ τῇ Ποτιδαίᾳ μὴ προδιαφθαρῇ, παρόντες δὲ καὶ τότε καὶ τελευταῖοι ἐπελθόντες ἔλεγον τοιάδε.

120. Τοὺς μὲν Λακεδαιμονίους, ὦ ἄνδρες ξύμμαχοι, οὐκ ἂν ἔτι αἰτιασαίμεθα ὡς οὐ καὶ αὐτοὶ ἐψηφισμένοι τὸν πό-

τήν τε ἀρχὴν—ἐχώρησαν] Suidas in *ἐγκρατέστερος*, additis verbis *ἐποίησαν καὶ* ante *κατεστήσαντο*. Mox, pluralem pro singulari positum observant Suid. et Zonaras in *ἐπιχειρητέα*.

ἄμεινον] i. e. 'an conducibile sit.' Solennis comparativus in oraculorum consultationibus et responsis, ut sexcenties ap. Herodotum, *ὡς γὰρ ἄμεινον*. V. Matth. Gr. § 457.

ἀνεῖλεν] Hujus loci meminit Plut. d. Pyth. Orac. t. vii. p. 586. Mox, ad *ἔφη* Phavorin. hæc: *φημὶ ἀεὶ πρὸς μέλλοντα καὶ ἐνεστῶτα συντάσσεται. Θουκυδίδης ἐν τῇ δευτέρᾳ· καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι, καὶ ἐν τῇ τετάρτῃ· ταῦτα δὲ ἔχων ἔφην ἢ ἄξειν Λακεδαιμονίους ζῶντας, ἢ αὐτοῦ ἀποκτείνειν*, iv, 28.

120. Corinthii bellum et necessarium, satisque ad id apparatus, et communi sociorum studio, quandoquidem ejus movendi justissimæ caussæ subsint, gerendum esse; postremo, sic tantum Græciam a jugo Atheniensium liberatum iri, monent.

ὡς οὐ—ξυνήγαγον] Thiersch. in Act. Phil. Monac. t. iii. p. 283. putans pendere verbum *ξυνήγαγον* a particulis *ὡς οὐ*, corrigi vult, *ὡς οὐ καὶ αὐτοὶ ἐψηφισμένοι τὸν πόλεμόν εἰσι, εἰ καὶ ἡμᾶς ἐς τοῦτο νῦν ξυνήγαγον*. Non vidit, mutata structura, novam sententiam incipere inde a verbis *καὶ ἡμᾶς—ξυνήγαγον*, 'de Lacedæmoniis jam non queri possumus, quasi non et

λεμόν εἰσι καὶ ἡμᾶς ἐς τοῦτο νῦν ξυνήγαγον. Χρὴ γὰρ τοὺς ἡγεμόνας τὰ ἴδια ἐξ ἴσου νέμοντας τὰ κοινὰ προσκοπεῖν, ὥσπερ καὶ ἐν ἄλλοις ἐκ πάντων προτιμῶνται. Ἡμῶν δὲ ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλάγησαν οὐχὶ διδαχῆς δέονται ὥστε φυλάξασθαι αὐτούς· τοὺς δὲ τὴν μεσόγειαν μᾶλλον καὶ μὴ ἐν πόρῳ κατῳκημένους εἰδέναι χρὴ ὅτι τοῖς κάτω ἢν μὴ ἀμύνωσι, χαλεπωτέραν ἕξουσι τὴν κατακομιδὴν τῶν ὡραίων καὶ πάλιν ἀντίληψιν ὧν ἡ θάλασσα τῇ ἠπείρῳ δίδωσι, καὶ τῶν νῦν λεγομένων μὴ κακοὺς κριτὰς ὡς μὴ προσηκόντων εἶναι, προσδέχεσθαι δέ ποτε, εἰ τὰ κάτω πρόοιντο, κἂν μέχρι σφῶν τὸ δεινὸν προελθεῖν, καὶ περὶ αὐτῶν οὐχ ἧσσον νῦν βουλεύεσθαι. Διόπερ καὶ μὴ ὀκνεῖν δεῖ αὐτοὺς τὸν πόλεμον ἀντ᾽ εἰρήνης μεταλαμβάνειν. Ἀνδρῶν γὰρ σωφρόνων μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν, ἀγαθῶν δὲ ἀδικουμένους ἐκ μὲν εἰρήνης πολεμεῖν, εὖ δὲ παρασχὸν ἐκ πολέμου πάλιν ξυμβῆναι, καὶ μήτε τῇ κατὰ πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι μήτε τῷ ἡσυχίῳ τῆς εἰρήνης ἡδόμενον ἀδικεῖσθαι. Ὅ τε γὰρ διὰ τὴν ἡδονὴν ὀκνῶν τάχιστ᾽ ἂν ἀφαιρεθείη τῆς ῥᾳστώνης τὸ τερπνὸν δι᾽ ὅπερ ὀκνεῖ, εἰ ἡσυχάζοι, ὅ τε ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ ἐπαιρόμενος. Πολλὰ γὰρ κακῶς γνωσθέντα ἀβουλοτέρων τῶν

ipsi bellum decreverint, et nos nunc ad hoc ipsum convocarunt.'

χρὴ γὰρ—προτιμῶνται] Alludit ad Sarpedonis orationem ap. Hom. Il. xii, 310. Schol. *οὐ χρὴ, φησὶν, ἐν τοῖς ἰδιωτικοῖς πράγμασι τοὺς ἡγεμόνας προέχειν, ἀλλ' ἐν τοῖς κοινοῖς*, et *ἐκ πάντων· ἀντὶ τοῦ ὑπὲρ πάντων. Τὸ δέ· ἐν ἄλλοις, ἐν προεδρίᾳ καὶ τοῖς τοιούτοις.* V. Abresch. Diluc. p. 118. 'Qui præsunt aliis, hos non decet in rebus suis præ aliis sibi quidquam tribuere, sed rem publicam inprimis curare, prout præstant reliquis honore et insignibus.' Sententia autem ista per *γὰρ* incipiens exigit, ut aliquid suppleatur quod suppressum est: præcedere autem debebat fere tale quid, 'et hoc recte,' sive 'hac re officio suo functi sunt, nam qui præsunt,' etc. Neque aliter se habent loca ubi *γὰρ* per 'alioqui' solent interpretari, ut i, 11. 68. iv, 126. Monuit Bauerus.

ἡμῶν δὲ — ἐνηλλάγησαν] Dionys. p. 797., ubi dicit, verba *ἐνηλλάγησαν* et *κατῳκημένους* pro activis dicta esse. Sed v. Krueger. ad Dionys. p. 229. et Popp. Prol. t. i. p. 192. Thom. M. p. 238. *Θουκυδίδης δὲ καὶ*, ait, *ἐνηλλάγη, ἀντὶ τοῦ διηλλάγη λέγει*, et adscripsit verba *ὅσοι—ἐνηλλάγησαν*. Male; nam nostrum verbum significat 'commercium habere,' alterum 'in gratiam redire.' De voce *πόρος* Dindorf.: 'Schneider. Lexic. v. *πόρος*, tuitus est et explicuit comparatis vi, 48. *ἐν πόρῳ γὰρ μάλιστα καὶ προσβολῇ εἶναι αὐτοὺς τῆς Σικελίας.* Sed apud schol. corrige *παραθαλασσίων* pro *περιθαλασσίων*, eo ipso loco, quo uno repertum est, inepto.' Apud eundem schol. ad i, 105. in verbis *Κεκρυφαλείᾳ· νῆσος αὕτη περὶ τὰ δυτικὰ τῆς Πελοποννήσου*, corrige *τῆς Αἰγίνης*. De situ insulæ v. Popp. Prol. t. ii. p. 222.

σωφρόνων] Stobæus tit. 49. p. 351. usque ad finem huj. cap. De singulari *ἡδόμενον* post pluralem *ἀδικουμένους* v. Popp. l. l. t. i. p. 92. Paulo ante, nostrum locum in mente habuit Photius, scribens *εὖ παρασχόν· ἀντὶ τοῦ παρασχόντος.* Mox, verba *εἰ ἡσυχάζοι* additititia videntur Lehnero in Act. Phil. Mon. t. iii. p. 17. Immerito, opinor.

ἐναντίων τυχόντα κατωρθώθη, καὶ ἔτι πλέω ἃ καλῶς δοκοῦντα βουλευθῆναι ἐς τοὐναντίον αἰσχρῶς περιέστη. Ἐνθυμεῖται γὰρ οὐδεὶς ὁμοῖα τῇ πίστει καὶ ἔργῳ ἐπεξέρχεται, ἀλλὰ μετὰ ἀσφαλείας μὲν δοξάζομεν, μετὰ δέους δὲ ἐν τῷ ἔργῳ ἐλλείπομεν.

121. Ἡμεῖς δὲ νῦν καὶ ἀδικούμενοι τὸν πόλεμον ἐγείρομεν καὶ ἱκανὰ ἔχοντες ἐγκλήματα, καὶ ὅταν ἀμυνώμεθα Ἀθηναίους, καταθησόμεθα αὐτὸν ἐν καιρῷ. Κατὰ πολλὰ δὲ ἡμᾶς εἰκὸς ἐπικρατῆσαι, πρῶτον μὲν πλήθει προύχοντας καὶ ἐμπειρίᾳ πολεμικῇ, ἔπειτα ὁμοίως πάντας ἐς τὰ παραγγελλόμενα ἰόντας. Ναυτικόν τε, ᾧ ἰσχύουσιν, ἀπὸ τῆς ὑπαρχούσης τε ἑκάστοις οὐσίας ἐξαρτυσόμεθα καὶ ἀπὸ τῶν ἐν Δελφοῖς καὶ Ὀλυμπίᾳ χρημάτων. Δάνεισμα γὰρ ποιησάμενοι ὑπολαβεῖν οἷοί τε ἐσμὲν μισθῷ μείζονι τοὺς ξένους αὐτῶν ναυβάτας. Ὠνητὴ γὰρ Ἀθηναίων ἡ δύναμις μᾶλλον ἢ οἰκεία· ἡ δὲ ἡμετέρα ἧσσον ἂν τοῦτο πάθοι, τοῖς σώμασι τὸ πλέον ἰσχύουσα ἢ τοῖς χρήμασι. Μιᾷ τε νίκῃ ναυμαχίας κατὰ τὸ εἰκὸς ἁλίσκονται· εἰ δ' ἀντίσχοιεν, μελετήσομεν καὶ ἡμεῖς ἐν πλέονι χρόνῳ τὰ ναυτικά. Καὶ ὅταν τὴν ἐπιστήμην ἐς τὸ ἴσον καταστήσωμεν, τῇ γε εὐψυχίᾳ δήπου περιεσόμεθα. Ὃ γὰρ ἡμεῖς ἔχομεν φύσει ἀγαθὸν, ἐκείνοις οὐκ ἂν γένοιτο διδαχῇ. Ὃ δὲ ἐκεῖνοι ἐπιστήμῃ προύχουσι, καθαιρετέον ἡμῖν ἐστι μελέτῃ. Χρήματα δ' ὥστ' ἔχειν ἐς αὐτὰ, οἴσομεν· ἢ δεινὸν ἂν εἴη εἰ οἱ μὲν ἐκείνων ξύμμαχοι ἐπὶ δουλείᾳ τῇ αὐτῶν φέροντες οὐκ ἀπεροῦσιν, ἡμεῖς δ' ἐπὶ τῷ τιμωρούμενοι τοὺς ἐχθροὺς καὶ αὐτοὶ ἅμα σώζεσθαι οὐκ ἄρα

καὶ ἔτι πλέω—περιέστη] Supple *καὶ ἔτι πλέω ἐστί*. Stobæus pro *ἃ* exhibet *τὰ*; plerique libri prorsus ignorant *ἅ*. Probabilis est conjectura Thierschii in Act. Phil. Mon. t. iii. p. 284. *καὶ ἔτι πλέω ἄττα καλῶς—περιέστη*. Istud *ἄττα*, inquit, limitat sententiam: 'Many plans (or things) badly contrived were brought to a lucky end; and more, perhaps, that were well concerted, turned out unfortunate.' Conf. ii, 100. *καὶ ἄλλα ἄττα χωρία*. Tametsi in supplendo *ἐστὶ* nulla difficultas est: v. ad i, 25.

ἐνθυμεῖται γὰρ—ἐλλείπομεν] Parisosis in his est, qua sibi respondent *τῇ πίστει* et *ἔργῳ*, *ἐνθυμεῖται* et *ἐπεξέρχεται*. Sententia est: 'nemo eodem animi impetu res gerendas exsequitur, quo in ipsa consultatione de his deliberat, fiducia fretus, sed cum securitate quidem decernimus, at in ipsa rerum administratione deficimus;' et *καὶ* referendum ad *ὁμοῖα*, i. e. 'in a like manner as.' Dativus autem *τῇ πίστει* significat 'propter fiduciam.' Alio loco in eadem sententia pro *πίστει* dixit *ὀργῇ*, i, 140. init. *καίπερ εἰδὼς τοὺς ἀνθρώπους οὐ τῇ αὐτῇ ὀργῇ ἀναπειθομένους τε πολεμεῖν καὶ ἐν τῷ ἔργῳ πράσσοντας, πρὸς δὲ τὰς ξυμφορὰς καὶ τὰς γνώμας τρεπομένους.*

121. *καθαιρετέον*] Dindorf. scribendum putat *καθαιρετόν*. Non enim quid oporteat se facere, docere oratorem, sed confirmandis sociorum animis, quid possint ostendere. Nihil muto; nam quod addiscendo superandum dicit, intelligitur sponte idem superari posse.

εἰ—οὐκ ἄρα δαπανήσομεν] De *εἰ οὐ* v. Herm. ad Vig. p. 833, 309.

δαπανήσομεν καὶ ἐπὶ τῷ μὴ ὑπ' ἐκείνων αὐτὰ ἀφαιρεθέντες αὐτοῖς τούτοις κακῶς πάσχειν.

122. Ὑπάρχουσι δὲ καὶ ἄλλαι ὁδοὶ πολέμου ἡμῖν, ξυμμάχων τε ἀπόστασις, μάλιστα παραίρεσις οὖσα τῶν προσόδων αἷς ἰσχύουσι, καὶ ἐπιτειχισμὸς τῇ χώρᾳ, ἄλλα τε ὅσα οὐκ ἄν τις νῦν προΐδοι. Ἥκιστα γὰρ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ, αὐτὸς δὲ ἀφ' αὐτοῦ τὰ πολλὰ τεχνᾶται πρὸς τὸ παρατυγχάνον. Ἐν ᾧ ὁ μὲν εὐοργήτως αὐτῷ προσομιλήσας βεβαιότερος, ὁ δὲ ὀργισθεὶς περὶ αὐτὸν οὐκ ἐλάσσω πταίει. Ἐνθυμώμεθα δὲ καὶ ὅτι εἰ μὲν ἦσαν ἡμῶν ἑκάστοις πρὸς ἀντιπάλους περὶ γῆς ὅρων διαφοραὶ, οἰστὸν ἂν ἦν· νῦν δὲ πρὸς ξύμπαντάς τε ἡμᾶς Ἀθηναῖοι ἱκανοὶ, καὶ κατὰ πόλιν ἔτι δυνατώτεροι· ὥστε εἰ μὴ καὶ ἀθρόοι καὶ κατὰ ἔθνη καὶ ἕκαστον ἄστυ μιᾷ γνώμῃ ἀμυνούμεθα αὐτοὺς, δίχα γε ὄντας ἡμᾶς ἀπόνως χειρώσονται. Καὶ τὴν ἧσσαν, εἰ καὶ δεινόν τῳ ἀκοῦσαι, ἴστω οὐκ ἄλλο τι φέρουσαν ἢ ἄντικρυς δουλείαν· ὃ, καὶ λόγῳ ἐνδοιασθῆναι αἰσχρὸν τῇ Πελοποννήσῳ καὶ πόλεις τοσάσδε ὑπὸ μιᾶς κακοπαθεῖν. Ἐν ᾧ ἢ δικαίως δοκοῖμεν ἂν πάσχειν ἢ διὰ δειλίαν ἀνέχεσθαι καὶ τῶν πατέρων χείρους φαίνεσθαι οἳ τὴν Ἑλλάδα ἠλευθέρωσαν· ἡμεῖς δὲ οὐδ' ἡμῖν αὐτοῖς βεβαιοῦμεν αὐτὸ, τύραννον δὲ ἐῶμεν ἐγκαθεστάναι

122. *ὁδοὶ πολέμου*] i. e. 'rationes bellum gerendi.' Male huc trahunt *πολέμοιο γεφύρας* Homeri: v. Heyn. ad Il. t. iv. p. 624. Tacitus 'tractare prœliorum vias' dixit Annal. ii, 5., ubi v. interpp. De statim sequentibus *ἐπὶ ῥητοῖς χωρεῖ* v. Reisk. App. Critic. in Dem. t. i. p. 212. Schæfer.

ἄλλα τε—πταίει] Stob. p. 372. Mox, vocab. *εὐοργήτως* interpretantur *εὐτρόπως* Suidas et Zonar., ex iisque Phavorin. Bredov.: 'for war is the least carried on by prescribed measures; it suggests a great many things by itself, according to accidental conjunctures; and he is then the strongest, who moves along with a temper in a proper command; but he who has lost his temper, is for that reason more liable to miscarry.'

μιᾷ γνώμῃ] sc. *ὄντας*. Conf. i, 105. *τριακοσίους ὁπλίτας, πρότερον Κορινθίων ἐπικούρους*. iii, 70. *οἱ δέ τινες τῆς αὐτῆς γνώμης τῷ Πειθίᾳ*. i, 49. *ἐνέπρησαν τὰς σκηνὰς ἐρήμους*. viii, 16. *ἑώρα τὰς ναῦς πολλὰς τὰς ἀπὸ τῆς Χίου*. V. Schæfer. ad L. Bos. p. 604.

ὃ καὶ λόγῳ—κακοπαθεῖν] i. e. ὃ *αἰσχρὸν τῇ Πελοποννήσῳ, καὶ λόγῳ ἐνδοιασθῆναι, καὶ πόλεις τοσάσδε ὑπὸ μιᾶς κακοπαθεῖν*, ut ὃ duplicem sententiam involvat, quæ deinde per appositionem verborum *ἐνδοιασθῆναι* et *κακοπαθεῖν* explanatur; quarum sententiarum in appositione positarum altera refertur ad superiora, *δίχα γε ὄντας ἡμᾶς χειρώσονται*, altera ad *καὶ τὴν ἧσσαν ἴστω—δουλείαν*. 'Quod quidem utrumque, et dubium consilium capi, et ab una tot urbes vexari, Peloponneso dedecori est.' Gemina plane structura extat ii, 40. ὃ *τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει*. De significatu verbi *ἐνδοιάζομαι* v. Thom. M. p. 307., qui usus est verbis Thucyd. vi, 10. et Valcken. Diatr. de Eur. Fragm. p. 109. c. Mox, pro *χείρους φαίνεσθαι* exspectes *χείρους φαινοίμεθα*, sed Græci, si quæ vocabula aliunde pendentia præcesserunt, interdum alia etiam iis annectunt quæ proprie per se stant, velut hic, quoniam præcessit *δοκοῖμεν ἂν πάσχειν ἢ—ἀνέχεσθαι*, sequi voluit *καὶ φαίνεσθαι*, non quod proprie debebat, *καὶ φαινοίμεθα*. V. ad i, 141. Paulo inferius, ad *βεβαιοῦμεν αὐτὸ* supple *τὸ ἐλευθεροῦσθαι*. Conf. supr. c. 59.

πόλιν, τοὺς δ' ἐν μιᾷ μονάρχους ἀξιοῦμεν καταλύειν. Καὶ οὐκ ἴσμεν ὅπως τάδε τριῶν τῶν μεγίστων ξυμφορῶν ἀπήλλακται, ἀξυνεσίας ἢ μαλακίας ἢ ἀμελείας. Οὐ γὰρ δὴ πεφευγότες ταῦτα ἐπὶ τὴν πλείστους δὴ βλάψασαν καταφρόνησιν κεχωρήκατε, ἣ ἐκ τοῦ πολλοὺς σφάλλειν τὸ ἐναντίον ὄνομα ἀφροσύνη μετωνόμασται.

123. Τὰ μὲν οὖν προγεγενημένα τί δεῖ μακρότερον ἢ ἐς ὅσον τοῖς νῦν ξυμφέρει αἰτιᾶσθαι; περὶ δὲ τῶν ἔπειτα μελλόντων τοῖς παροῦσι βοηθοῦντας χρὴ ἐπιταλαιπωρεῖν· πάτριον γὰρ ἡμῖν ἐκ τῶν πόνων τὰς ἀρετὰς κτᾶσθαι· καὶ μὴ μετα-

καὶ οὐκ ἴσμεν—ἢ ἀμελείας] Vulgo additur *οὐκ* ante *ἀπήλλακται*. Ea particula abest ab A. B. C. F. G. H. K. c. e. g. et ab interpretatione Vallæ, qui ita convertit, 'ignari quomodo ab his tribus maximis incommodis eximamur:' neque agnoscitur a schol. ad c. 1. 27. ubi hæc sunt: *καὶ ἐν τῇ δημηγορίᾳ 'καὶ οὐκ ἴσμεν, ὅπως τῶνδε τριῶν τῶν μεγίστων ξυμφορῶν ἀπήλλακται' ἤτοι κακῶν*. Vulgatam interpretatur ita vulgaris interpres, 'nec intelligimus, hæc tribus maximis vitiis non carere, imprudentia, et ignavia, et negligentia:' sed hæc interpretatio requirit ut pro *ὅπως* legeretur *ὅτι*. Hermann. particulam *οὐκ* tuetur loco Sophocl. Antig. 5. *οὐδὲν γὰρ οὔτ' ἀλγεινὸν, οὔτ' ἄτης ἄτερ οὔτ' αἰσχρὸν, οὔτ' ἄτιμον ἔσθ', ὁποῖον οὐ τῶν σῶν τε κἀμῶν οὐκ ὄπωπ' ἐγὼ κακῶν·* ubi Erfurdt. hæc adnotavit: 'Rarior hæc negationis repetitio. Æschyl. Ag. 1645. *ὃς οὐκ, ἐπειδὴ τῷδ' ἐβούλευσας μόρον δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως*. Supple 897. *ὁλκὴ γὰρ οὔτοι πλόκαμον οὐδάμ' ἄξεται*.' Hermann. addit Soph. Trach. 1010. *καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι οὐ πῦρ, οὐκ ἔγχος τις ὀνήσιμον οὐκ ἀποτρέψει*, et Thuc. h. l., et de Latinis adiri jubet Vossium d. Art. Gramm. vii, 61. Interest tamen aliquid inter locos tragicorum et Thucydidis: nam in illis mera repetitio est particulæ *οὐ*, ad unum idemque verbum pertinentis; in loco Thucydidis non sola repetitio est, neque particula ad unum idemque verbum spectat, sed prior particula ad *ἴσμεν*, ad *ἀπήλλακται* altera: unde hoc magnum discrimen inter hos locos oritur, quod apud tragicos nulla sensus mutatio repetita particula efficitur, apud Thucydidem efficitur; nam sensus, omissa particula, hic est: dum nos, adversus patrum exemplum, qui Græciam liberarunt, totam civitatem, tyrannos expellentes, tyrannidem in Græcia exercere sinimus, 'ignari sumus quomodo tale institutum a tribus maximis malis liberum sit, vel ab ignavia, vel ab inscitia, vel a socordia;' sed intelligimus, id necessario cum uno horum trium malorum conjunctum esse. Vulgata vero hunc sensum habet plane contrarium: 'we are not aware of the possibility, that this proceeding is not free from one of the three greatest evils.' Quare non dubitavi particulam *οὐκ* oblitterare.

οὐ γὰρ δὴ—μετωνόμασται] Popp. Obs. p. 122. ita explicat: hæc agendi ratio non potest non vel cum inscitia, vel cum ignavia, vel cum socordia conjuncta esse. 'Quæ summa dico mala,' (hanc enim sententiam supplet) 'quod cum ea non effugeritis, *καταφρόνησιν* ('presumption,' überklugheit) induistis, quæ tamen plurimis jam detrimento fuit, ideoque alio etiam et illi quidem contrario nomine *ἀφροσύνη* ('imprudence,' unklugheit) vocata est.' In his primum hoc displicet, quod convertit 'presumption' (überklugheit), quod potius 'neglect,' 'disregard,' (geringschätzung), vel, antitheseos ad *ἀφροσύνη* causa, 'carelessness' (leichtsinn) dicere debebat, nam alterum quidem est 'nonsense' (unsinn). Deinde non est, cur scriptor potius illud unum *μεγίστων ξυμφορῶν* explicet, quam totam, quæ præcessit, sententiam: quod enim dicit, eos uno illorum trium malorum laborare, id eo ipso probat, quod hostes despiciant minime contemnendos. Sic igitur hæc supplenda sunt, *οὐκ ἀπήλλακται, φημὶ, οὐ γὰρ δὴ πεφευγότες ταῦτα*, etc.; hæc autem sententia: non intelligimus, quomodo hæc agendi ratio vel ab inscitia, vel ab ignavia, vel socordia libera sit: certe enim non hæc tria summa mala effugistis, cum talem hostium contemtum induistis. Thiersch. scribi vult *οὐ γὰρ δὴ πεφευγότες ἂν ταῦτα—κεχωρήκατε*, quod si voluisset, scripter dixisset, *οὐ γὰρ δὴ πεφευγότες ταῦτα — βλάψασαν ἂν καταφρόνησιν ἐχωρήσατε*.—Ceterum scholia ad h. l. exscripsit Suidas in *καταφρόνησιν*.

βάλλειν τὸ ἔθος, εἰ ἄρα πλούτῳ τε νῦν καὶ ἐξουσίᾳ ὀλίγον προφέρετε· οὐ γὰρ δίκαιον ἃ τῇ ἀπορίᾳ ἐκτήθη τῇ περιουσίᾳ ἀπολέσθαι· ἀλλὰ θαρσοῦντας ἰέναι κατὰ πολλὰ ἐς τὸν πόλεμον, τοῦ τε θεοῦ χρήσαντος καὶ αὐτοῦ ὑποσχομένου ξυλλήψεσθαι καὶ τῆς ἄλλης Ἑλλάδος πάσης ξυναγωνιουμένης, τὰ μὲν φόβῳ, τὰ δὲ ὠφελείᾳ. Σπονδάς τε οὐ λύσετε πρότεροι, ἅς γε καὶ ὁ θεὸς κελεύων πολεμεῖν νομίζει παραβεβάσθαι, ἠδικημέναις δὲ μᾶλλον βοηθήσετε· λύουσι γὰρ οὐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ πρότεροι ἐπιόντες.

124. Ὥστε πανταχόθεν καλῶς ὑπάρχον ὑμῖν πολεμεῖν καὶ ἡμῶν τάδε κοινῇ παραινούντων εἴπερ βεβαιότατον τὸ ταὐτὰ ξυμφέροντα καὶ πόλεσι καὶ ἰδιώταις εἶναι, μὴ μέλλετε Ποτιδαιάταις τε ποιεῖσθαι τιμωρίαν οὖσι Δωριεῦσι καὶ ὑπὸ Ἰώνων πολιορκουμένοις, οὗ πρότερον ἦν τοὐναντίον, καὶ τῶν ἄλλων μετελθεῖν τὴν ἐλευθερίαν. Ὡς οὐκέτι ἐνδέχεται περιμένοντας τοὺς μὲν ἤδη βλάπτεσθαι, τοὺς δ', εἰ γνωσθησόμεθα ξυνελθόντες μὲν, ἀμύνεσθαι δὲ οὐ τολμῶντες, μὴ πολὺ ὕστερον τὸ αὐτὸ πάσχειν. Ἀλλὰ νομίσαντες ἐπ' ἀνάγκην ἀφῖχθαι, ὦ ἄνδρες ξύμμαχοι, καὶ ἅμα τάδε ἄριστα λέγεσθαι, ψηφίσασθε τὸν πόλεμον, μὴ φοβηθέντες τὸ αὐτίκα δεινὸν, τῆς δ' ἀπ' αὐτοῦ διὰ πλείονος εἰρήνης ἐπιθυμήσαντες· ἐκ πολέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται, ἀφ' ἡσυχίας δὲ μὴ πολεμῆσαι οὐχ ὁμοίως ἀκίνδυνον. Καὶ τὴν καθεστηκυῖαν ἐν τῇ Ἑλλάδι πόλιν τύραννον ἡγησάμενοι ἐπὶ πᾶσιν

123. *ἐκτήθη*] Raro passivi vim habent aoristi verborum, quorum aoristus activus nullus est, medius autem habet sensum proprie activum. V. Elmsl. ad Eur. Heracl. 757. Mox, verba *παραβεβάσθαι τὰς σπονδὰς* adscripserunt Suidas et Phot. in v., ubi legendum est *ἀνακολούθως* cum Abreschio Misc. Obs. vol. iii. p. 148.

124. *τὸ ταὐτὰ ξυμφέροντα*] Vulgo, *τὸ ταῦτα.* Correxi *ταὐτὰ*, qua mutatione facta sententia fit universalis, neque ad solos Peloponnesios pertinet. Notum illud Sallustianum, 'idem velle, idem nolle, ea demum firma amicitia est, et vobis eadem mihi bona malaque intellexi;' ubi 'eadem mihi' per Græcismum dictum, ut *ταὐτὰ ἐμοί.* Huc spectant glossæ Suidæ, Photii, Zonaræ in *ἰδιώτας* et *ἰδιῶται, ἀντὶ τοῦ πολῖται, οὕτω Θουκυδίδης.* Conf. ii, 60. 65. viii, 1, 144. init. et alib. His locis omnibus *ἰδιῶται* opponuntur *τῇ πόλει.* V. Etym. M. p. 466. schol. Demosth. t. ii. p. 87. Abresch. Diluc. p. 126. Misc. Obs. vol. iii. p. 148.

περιμένοντας] Schol. dicit, hoc partic. in accusativo positum esse pro *περιμενόντων ἡμῶν*; scriptorem initio verbum *ἐᾶν* addere voluisse, sed deinde orationem mutasse, opinor, existimans. Facilius est, *περιμένοντας* referre ad Potidæatas eorumque socios, ut sit sensus, 'exspectantes vestrum auxilium.'

ἐκ πολέμου—ἀκίνδυνον] Stob. p. 358. In hanc sententiam Cic. Phil. vii, 6. 'si pace frui volumus, bellum gerendum est; si bellum omittimus, pace nunquam fruemur.' Eadem sententia supra, c. 71. 120.

πόλιν τύραννον] hic accusativus pertinet ad tria verba *ἡγησάμενοι, παραστησόμεθα,* et *ἐπελθόντες.* Conf. c. 128. *ἀναστήσαντές ποτε—ἱκέτας ἀπαγαγόντες διέφθειραν.* vii, 1. *ἔπεισαν—τοῖς—ναύταις—ὅπλα παρασχεῖν.* V. Heind. ad Plat. Phædon. p. 99. n.

ὁμοίως καθεστάναι, ὥστε τῶν μὲν ἤδη ἄρχειν, τῶν δὲ διανοεῖσθαι, παραστησώμεθα ἐπελθόντες, καὶ αὐτοὶ ἀκινδύνως τὸ λοιπὸν οἰκῶμεν καὶ τοὺς νῦν δεδουλωμένους Ἕλληνας ἐλευθερώσωμεν. Τοιαῦτα οἱ Κορίνθιοι εἶπον.

125. Οἱ δὲ Λακεδαιμόνιοι ἐπειδὴ ἀφ' ἁπάντων ἤκουσαν γνώμην, ψῆφον ἐπήγαγον τοῖς ξυμμάχοις ἅπασιν ὅσοι παρῆσαν ἑξῆς καὶ μείζονι καὶ ἐλάσσονι πόλει· καὶ τὸ πλῆθος ἐψηφίσαντο πολεμεῖν. Δεδογμένον δὲ αὐτοῖς εὐθὺς μὲν ἀδύνατα ἦν ἐπιχειρεῖν ἀπαρασκεύοις οὖσιν, ἐκπορίζεσθαι δὲ ἐδόκει ἑκάστοις ἃ πρόσφορα ἦν καὶ μὴ εἶναι μέλλησιν. Ὅμως δὲ καθισταμένοις ὧν ἔδει ἐνιαυτὸς μὲν οὐ διετρίβη, ἔλασσον δὲ, πρὶν ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν καὶ τὸν πόλεμον ἄρασθαι φανερῶς.

126. Ἐν τούτῳ δὲ ἐπρεσβεύοντο τῷ χρόνῳ πρὸς τοὺς Ἀθηναίους ἐγκλήματα ποιούμενοι, ὅπως σφίσιν ὅτι μεγίστη πρόφασις εἴη τοῦ πολεμεῖν, ἢν μή τι ἐσακούωσι. Καὶ πρῶτον μὲν πρέσβεις πέμψαντες οἱ Λακεδαιμόνιοι ἐκέλευον τοὺς Ἀθηναίους τὸ ἄγος ἐλαύνειν τῆς θεοῦ· τὸ δὲ ἄγος ἦν τοιόνδε. Κύλων ἦν Ὀλυμπιονίκης ἀνὴρ Ἀθηναῖος τῶν πάλαι εὐγενής τε καὶ δυνατός· ἐγεγαμήκει δὲ θυγατέρα Θεαγένους Μεγαρέως ἀνδρὸς, ὃς κατ' ἐκεῖνον τὸν χρόνον ἐτυράννει Μεγάρων. Χρωμένῳ δὲ τῷ Κύλωνι ἐν Δελφοῖς ἀνεῖλεν ὁ θεὸς ἐν τῇ τοῦ Διὸς τῇ μεγίστῃ ἑορτῇ καταλαβεῖν τὴν Ἀθηναίων ἀκρόπολιν. Ὁ δὲ παρά τε τοῦ Θεαγένους δύναμιν λαβὼν καὶ τοὺς φίλους ἀναπείσας, ἐπειδὴ ἐπῆλθον

126. Sequuntur digressiones de Cylone, Pausania, et Themistocle nobilissimæ. Ac primæ quidem crebro mentionem faciunt veteres, et leonem hic risisse dicunt, quia in his narrationibus scriptor aliquid severitatis remisit. Schol. *τὸ διήγημα τὸ κατὰ τὸν Κύλωνα θαυμάζει σφόδρα ὁ τεχνογράφος* (Theo Sophist. Progymn. p. 15. 20. 50. Lugd.) *καὶ συμβουλεύει ἐπιμελέστατα αὐτὸ ἐκμαθεῖν τοὺς νέους, ἵνα μιμήσωνται. Ὅτι τοῦ διηγήματος τοῦ κατὰ τὸν Κύλωνα τὴν σαφήνειάν τινες θαυμάσαντες εἶπον, ὅτι λέων ἐγέλασεν ἐνταῦθα, λέγοντες περὶ Θουκυδίδου.* Conf. Ruhnk. ad Muret. Opp. t. ii. p. 14. Add. Thuc. ii, 29. ibiq. schol. et ii, 102. Scribit Theon l. l. *τὸ γοῦν Κυλώνειον ἄγος μᾶλλον τοῦ Ἡροδότου.* v, 71. *καὶ Εὐφρονος* (fort. *Ἐφόρου*) *ἐξείργασθαι Θουκυδίδῃ.* V. Marx. ad Ephor. p. 8. Hesych. *Κυλώνιον ἄγος, ἀπὸ ἱστορίας. Τοῦτο δὲ λέγει σαφῶς Θουκυδίδης.* Narravit Cylonis conatum præter alios etiam Plut. V. Sol. p. 84. A. Wech. Conf. Suid. in *ἄγος*, et Menag. ad Diog. Laërt. i, 110. De schol. ad Thuc., quod adscripsi, conf. Valck. ad Herodot. v. p. 407.—Turbæ Cylonis cadunt in Ol. 42. v. Herodot. l. l. Victoriam reportaverat Ol. 30. conf. Plat. d. Leg. i, 11. p. 642. E., ubi v. quos laudat Ast. p. 69. Cic. d. Leg. ii, 11. Meurs. Solon. c. 9. Disputavit de his Corsin. F. A. iii. p. 64. 72. Errat schol. ad h. l. dicens *ὅτι τὰ κατὰ Κύλωνα ἐπράχθη σχεδὸν ἐπὶ τῆς ἐν Μαραθῶνι μάχης*, errat Suidas in *Περικλῆς*.

πέμψαντες — θεοῦ] Suidas verbotenus in *ἄγος*, sequentibus post *θεοῦ* in brevius contractis.

ἐπειδὴ ἐπῆλθον — Πελοποννήσῳ] Fuerunt etiam Olympia in Macedonia, de quibus dixi in Prol. ad Dem. Or. de Rep.

Ὀλύμπια τὰ ἐν Πελοποννήσῳ, κατέλαβε τὴν ἀκρόπολιν ὡς ἐπὶ τυραννίδι, νομίσας ἑορτήν τε τοῦ Διὸς μεγίστην εἶναι καὶ ἑαυτῷ τι προσήκειν Ὀλύμπια νενικηκότι. Εἰ δὲ ἐν τῇ Ἀττικῇ ἢ ἄλλοθί που ἡ μεγίστη ἑορτὴ εἴρητο οὔτε ἐκεῖνος ἔτι κατενόησε τό τε μαντεῖον οὐκ ἐδήλου. Ἔστι γὰρ καὶ Ἀθηναίοις Διάσια, ἃ καλεῖται Διὸς ἑορτὴ Μειλιχίου μεγίστη, ἔξω τῆς πόλεως, ἐν ᾗ πανδημεὶ θύουσι, πολλοὶ οὐχ ἱερεῖα ἀλλὰ θύματα ἐπιχώρια· δοκῶν δὲ ὀρθῶς γιγνώσκειν ἐπεχείρησε τῷ ἔργῳ. Οἱ δ' Ἀθηναῖοι αἰσθόμενοι ἐβοήθησάν τε πανδημεὶ ἐκ τῶν ἀγρῶν ἐπ' αὐτοὺς καὶ προσκαθεζόμενοι ἐπολιόρκουν. Χρόνου δὲ ἐπιγιγνομένου οἱ Ἀθηναῖοι τρυχόμενοι τῇ προσεδρείᾳ ἀπῆλθον οἱ πολλοὶ, ἐπιτρέψαντες τοῖς ἐννέα ἄρχουσι τήν φυλακὴν καὶ τὸ πᾶν αὐτοκράτορσι διαθεῖναι ᾗ ἂν ἄριστα διαγιγνώσκωσι· τότε δὲ τὰ πολλὰ τῶν πολιτικῶν οἱ ἐννέα ἄρχοντες ἔπρασσον. Οἱ δὲ μετὰ τοῦ

habitas, i. p. 32. et Athenis. De scriptura ἐπῆλθεν controversiam movit Popp. Prol. t. i. p. 97. Apud Atticos, ait, ibi tantum plurale neutrum cum verbo plurali jungi, ubi personæ nomine neutro indicentur, monuit Porson. addend. ad sec. ed. Hec. Eur. p. 99. et Matth. Gr. § 300. Cui quidem regulæ aliquot Thucydidis loci repugnare videntur: sed ex his plures corrupti sunt. H. l. pro vulgata ἐπῆλθεν Ὀλύμπια, F. H. cum aliis codd. exhibent ἐπῆλθον. Jam si omnia, pergit, Thucydidis loca, quibus plurale verbum pro singulari nomini neutri junctum est, conjungimus, suspicari licet, ubi nomini neutrius generis aliud masculini vel feminini generis facile cogitatione substituatur, etiam ab Atticis structuram per pluralem admissam esse, velut h. l. facile substituas Ὀλύμπιοι ἀγῶνες. Itaque pluralem numerum verbi retinendum putat, viii, 10. τὰ Ἴσθμια ἐγίγνετο καὶ οἱ Ἀθηναῖοι (ἐπηγγέλθησαν γὰρ) ἐθεώρουν ἐς αὐτά· ubi, inquit, cum comparaveris v, 49. λέγοντες μὴ ἐπηγγέλθαι πω ἐς Λακεδαίμονα τὰς σπονδὰς, sane intelliges, sensum ab iis recte expressum esse, qui ἐπηγγέλθησαν ad τὰ Ἴσθμια retulerunt. Cum tamen Græci, addit, etiam dicant ἐπαγγέλλομαι τὰ Ἴσθμια, h. l. nihil probat. Tum comparat ii, 8., ubi quod vulgo legitur, πολλὰ μὲν λόγια ἐλέγετο, πολλὰ δὲ χρησμολόγοι ᾖδον, pro ἐλέγετο optimi codd. vel ἐλέγοντο suppeditant, vel ἔλεγον. Accedit locus v, 26. ubi ἀμφοτέροις ἁμαρτήματα ἐγένοντο scribitur in codd. longe plurimis; recepitque Bekker. ἐγένοντο. — Et de hoc et de reliquis locis consentio, quia hic facile cogitando substituuntur nomina Ἴσθμιοι ἀγῶνες et ἁμαρτίαι. Sed de loco ii, 8. aliter sentio.—Mox, Διάσια ex Thuc. memorant Anecd. Bekker. i. p. 91.

ἐν ᾗ—ἐπιχώρια] Pollux i, 26. et schol. aliter legisse videntur Hemsterhusio ad Lucian. Tim. 7. ἐν ᾗ πανδημεὶ ἑορτάζουσι, θύουσι δὲ πολλοὶ οὐχ ἱερεῖα, ἁγνὰ δὲ θύματα ἐπιχώρια· v. t. i. p. 350. Lucian. ed. Bip. Loqui enim Lucianum de Diasiis, quasi victimas eo die festo Jovi immolassent, quod negare videatur Thucydides. Pollux: τὰ δὲ ἀρώματα καὶ θυμιάματα καλεῖται. Θουκυδίδης δ' αὐτὰ εἴρηκεν ἁγνὰ θύματα, πρὸς τὰ αἱμάσσοντα καὶ σφαττόμενα ἀνατιθεὶς (fort. ἀντιτιθεὶς) σμύρναν, λιβανωτόν. Ex h. l. nihil efficitur contra tot librorum scriptorum auctoritatem, et Hemsterh. vulgata hujus loci distinctione deceptus est, ἐν ᾗ πανδημεὶ θύουσι πολλοὶ, οὐχ ἱερεῖα, ἀλλὰ, etc., quam correxi. In vulgata enim vel conjunctio verborum πανδημεὶ et πολλοὶ absurda est. Victimas Jovi Milichio crematas esse, non solum e Luciano, sed etiam ex Xenoph. Anab. vii, 8, 5. et Arist. Nub. 407. patet. Loci hic sensus, 'quo die omnis civitas sacrificant, multi non victimas, sed liba apud eos usitata:' recte enim θύματα schol. explicat per πέμματα εἰς ζώων μορφὰς τετυπωμένα. Etenim tenuiores, de plebe homines, pro victimis in formam victimarum figurata popana offerebant: v. Suid. in βοῦς. Vocab. ἐπιχώρια hoc significat 'what is customary in a country,' non 'native, indigenous.'

ἐννέα ἄρχουσι] v. Boeckh. Staatsh. d. Ath. t. i. p. 274.

Κύλωνος πολιορκούμενοι φλαύρως εἶχον σίτου τε καὶ ὕδατος ἀπορίᾳ. Ὁ μὲν οὖν Κύλων καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐκδιδράσκουσιν· οἱ δ' ἄλλοι ὡς ἐπιέζοντο καί τινες καὶ ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ, καθίζουσιν ἐπὶ τὸν βωμὸν ἱκέται τὸν ἐν τῇ ἀκροπόλει. Ἀναστήσαντες δὲ αὐτοὺς οἱ τῶν Ἀθηναίων ἐπιτετραμμένοι τὴν φυλακήν, ὡς ἑώρων ἀποθνήσκοντας ἐν τῷ ἱερῷ, ἐφ' ᾧ μηδὲν κακὸν ποιήσουσιν, ἀπαγαγόντες ἀπέκτειναν· καθεζομένους δέ τινας καὶ ἐπὶ τῶν σεμνῶν θεῶν ἐν τοῖς βωμοῖς ἐν τῇ παρόδῳ διεχρήσαντο. Καὶ ἀπὸ τούτου ἐναγεῖς καὶ ἀλιτήριοι τῆς θεοῦ ἐκεῖνοί τε ἐκαλοῦντο καὶ τὸ γένος τὸ ἀπ' ἐκείνων. Ἤλασαν μὲν οὖν καὶ οἱ Ἀθηναῖοι τοὺς ἐναγεῖς τούτους, ἤλασε δὲ καὶ Κλεομένης ὁ Λακεδαιμόνιος ὕστερον μετὰ Ἀθηναίων στασιαζόντων, τούς τε ζῶντας ἐλαύνοντες καὶ τῶν τεθνεώτων τὰ ὀστᾶ ἀνελόντες ἐξέβαλον· κατῆλθον μέντοι ὕστερον, καὶ τὸ γένος αὐτῶν ἔστιν ἔτι ἐν τῇ πόλει.

127. Τοῦτο δὴ τὸ ἄγος οἱ Λακεδαιμόνιοι ἐλαύνειν ἐκέλευον δῆθεν τοῖς θεοῖς πρῶτον τιμωροῦντες, εἰδότες δὲ Περικλέα τὸν Ξανθίππου προσεχόμενον αὐτῷ κατὰ τὴν μητέρα, καὶ νομίζοντες ἐκπεσόντος αὐτοῦ ῥᾷον σφίσι προχωρεῖν τὰ ἀπὸ τῶν Ἀθηναίων. Οὐ μέντοι τοσοῦτον ἤλπιζον παθεῖν ἂν αὐτὸν τοῦτο ὅσον διαβολὴν οἴσειν αὐτῷ πρὸς τὴν πόλιν ὡς καὶ διὰ τὴν ἐκείνου ξυμφορὰν τὸ μέρος ἔσται ὁ πόλεμος. Ὢν γὰρ δυνατώτατος τῶν καθ' ἑαυτὸν καὶ ἄγων τὴν πολιτείαν ἠναντιοῦτο πάντα τοῖς Λακεδαιμονίοις, καὶ οὐκ εἴα ὑπείκειν, ἀλλ' ἐς τὸν πόλεμον ὥρμα τοὺς Ἀθηναίους.

128. Ἀντεκέλευον δὲ καὶ οἱ Ἀθηναῖοι τοὺς Λακεδαιμονίους τὸ ἀπὸ Ταινάρου ἄγος ἐλαύνειν. Οἱ γὰρ Λακεδαι-

ἐκδιδράσκουσιν] Suidas in *ἄγος Κυλώνειον* narrat, Cylonem, cum in Furiarum templum fugisset, inde abstractum et interfectum esse. Cum Thucydide facit schol. ad Arist. Eq. 443. Herodot. quoque, v, 71. alia aliter narrat, ubi v. Valck. p. 407. Adde interpp. ad Harpocr. p. 250. Leopard. Emend. vii, 19. in Thes. Gronov. t. iii. p. 144. Boeckh. l. l.—Zonar. Anecd. Bekk. t. i. p. 399. Hesych. Suid. Phavorin. et Pollux, ix, 158. hanc glossam habent: *ἀνεχρήσαντο, διέφθειραν· οὕτω Θουκυδίδης.* Atqui hic hoc sensu illa voce nusquam utitur. Hemsterhusio ad Polluc. ex his grammaticis Thucydides h. l. videtur corrigendus esse, notoque verbo minus notum substituendum. Tittmann. ad Zonaram adnotavit, *ἀναχράομαι* sensu ab illis prodito usurpari a Dione Cass. p. 514, 95. Vestigium veræ scripturæ remansit in C. e., qui habent *ἀπεχρήσαντο.*

Κλεομένης] V. Herodot. v, 72. Mox, verba *τῶν τεθνεώτων—ἐξέβαλον* adscripsit Thom. M. p. 66.

127. *προχωρεῖν*] Vulgo, *προχωρήσειν.* V. Popp. Obs. p. 149. not. Prol. t. i. p. 154. Mox, Gottl. secutus judicium Valckenarii ad Eur. Hipp. p. 299. post *οὐ μέντοι τοσοῦτον* intulit *γε.* Sed hanc particulam non semper cum *οὐ μέντοι* jungi monuit Popp. Obs. p. 190. Addit, ea adjecta Thucydidem verba ita collocaturum fuisse, *οὐ μέντοι παθεῖν γ' ἂν*, etc.

μόνιοι ἀναστήσαντές ποτε ἐκ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος ἀπὸ Ταινάρου τῶν Εἱλώτων ἱκέτας, ἀπαγαγόντες διέφθειραν· δι' ὃ δὴ καὶ σφίσιν αὐτοῖς νομίζουσι τὸν μέγαν σεισμὸν γενέσθαι ἐν Σπάρτῃ. Ἐκέλευον δὲ καὶ τὸ τῆς Χαλκιοίκου ἄγος ἐλαύνειν αὐτούς· ἐγένετο δὲ τοιόνδε. Ἐπειδὴ Παυσανίας ὁ Λακεδαιμόνιος τὸ πρῶτον μεταπεμφθεὶς ὑπὸ Σπαρτιατῶν ἀπὸ τῆς ἀρχῆς τῆς ἐν Ἑλλησπόντῳ καὶ κριθεὶς ὑπ' αὐτῶν ἀπελύθη μὴ ἀδικεῖν, δημοσίᾳ μὲν οὐκέτι ἐξεπέμφθη, ἰδίᾳ δὲ αὐτὸς τριήρη λαβὼν Ἑρμιονίδα, ἄνευ Λακεδαιμονίων, ἀφικνεῖται ἐς Ἑλλήσποντον· τῷ μὲν λόγῳ ἐπὶ τὸν Ἑλληνικὸν πόλεμον, τῷ δὲ ἔργῳ τὰ πρὸς βασιλέα πράγματα πράσσειν, ὥσπερ καὶ τὸ πρῶτον ἐπεχείρησεν, ἐφιέμενος Ἑλληνικῆς ἀρχῆς. Εὐεργεσίαν δὲ ἀπὸ τοῦδε πρῶτον ἐς βασιλέα κατέθετο καὶ τοῦ παντὸς πράγματος ἀρχὴν ἐποιήσατο· Βυζάντιον

128. ἀναστήσαντες] Conf. schol. ad Arist. Ach. 509. Χαλκίοικον et templum et deam dictam esse, quod ei dicatum inesset æneum templum, affirmat Gottl. Sed templum nunquam eo nomine appellatum esse, docuit Perizon. ad Ælian. ix, 41. Quare ap. C. Nepot. V. Paus. c. 5. in verbis 'in ædem Minervæ, quæ Chalciœcus vocatur,' pronomen 'quæ' ad deam pertinet. Pseudo-themistocl. Ep. p. 15. Ἀθηνᾶς εἰς τὸ ἱερὸν τῆς Χαλκιοίκου. Polyæn. viii, 51. Ἀθηνᾶς τῆς Χαλκιοίκου. Schol. ad h. l. Χαλκίοικος ἡ Ἀθηνᾶ ἐν Σπάρτῃ. V. Pausan. iii, 17, 3. Apud Livium tamen legitur, xxxv, 36. 'Ætoli circa Chalciœcon (Minervæ est templum æreum) congregati cæduntur.' Sed notus veterum usus est, deam pro deæ templo ponere, quem Dorvill. explicat in Siculis. Letronn. Topogr. d. Syrac. p. 40. 'Τύχη, a tutelar genius of the town, was used for Τύχειον, the temple of this genius (or goddess), and even for τὸ τοῦ Τυχείου προάστειον. By a similar metonymy the famous temple of Diana at Ephesus was simply called ἡ Ἄρτεμις, that of Jupiter Ammon ὁ Ἄμμων, a metonymy which has passed into several modern languages.' V. Xenoph. H. Gr. i, 2, 6. Arrian. Exp. Al. M. iii, 3. Q. Curt. iv, 8, 1. x, 5, 4. Idem, in indice s. v. Ἄρτεμις, addit: 'so ὁ Ἀπόλλων stands perhaps for τὸ ἱερὸν τοῦ Ἀπόλλωνος ἐν Δελφοῖς, ap. Dem. de Cor. p. 279. Reisk.' Adde de Sit. et Orig. Syracus. p. 60.

Παυσανίας] Conf. Pausan. t. i. p. 406., ubi observanda nostri scriptoris imitatio in verbis, τὰ δὲ ἐς Παυσανίαν ὁποῖα ἐγένετο, εἰδόσιν οὐ διηγήσομαι· τὰ γάρ τοι πρότερον συγγραφέντα ἐπ' ἀκριβὲς ἀποχρῶντα ἦν ἐπεξελθεῖν σφισιν. Conf. supr. c. 21. Mox, ἄνευ Λακεδαιμονίων est 'injussu Lacedæmoniorum,' vel 'invitis Lacedæmoniis.' Hoc ἄνευ infr. c. 131. explicatur verbis οὐ κελευσάντων αὐτῶν, verba autem ipsa ἄνευ Λ. epexegesis sunt verborum ἰδίᾳ αὐτός. Conf. iv, 78. ἄνευ τοῦ πάντων κοινοῦ, i. e. 'sine voluntate et consensu' Thessalorum. Sic jam antea Hom. Il. ο, 213. ἄνευ ἐμέθεν καὶ Ἀθηναίης. Od. ο, 530. οὔ τοι ἄνευ θεοῦ, cui simile illud Horatianum, 'non sine dis animosus infans.' Thuc. ii, 72. ἄνευ Ἀθηναίων, ubi schol. τῆς γνώμης δηλονότι. Recte, ait Gottl., nam id ipsum vocabulum addunt Xen. Mem. iv. extr. et Plut. V. Lyc. Rhet. ἄνευ τῆς τοῦ προτέρου δεσπότου γνώμης.

πράγματα πράσσειν] Vulgo addunt βουλόμενος, quæ vox partim omittitur in libris, partim alio loco legitur, et videtur a Valla ignorata esse, cum vertat, 'cum rege transigendi causa.' Itaque ab edd. omissa est. Variatur oratio, ut supr. c. 72., verbis δηλῶσαι δὲ, et passim.

εὐεργεσίαν—κατέθετο] i. e. 'regem beneficio obstrinxit:' conf. supr. c. 33. Metaphora est, translata a pecunia apud aliquem deposita.—Mox, verba Βυζάντιον—παρουσίᾳ adscripserunt Suid. et Phot. in παρουσία, ubi leg. Πλάτωνος Φαίδωνι. (c. 12. p. 22. v. Porson. ad Eur. Med. 140.) Conf. Duker. ad vi, 86. Deinde pronomen οἳ in verbis οἳ ἑάλωσαν Bekker. melius abesse putat. Denique, τότε post partic. infertur ἑλὼν, de more: neque secus Latini, ut Sallust. Cat. 61. 'confecto prœlio, tum vero cerneres;' et alibi.

γὰρ ἑλὼν τῇ προτέρᾳ παρουσίᾳ μετὰ τὴν ἐκ Κύπρου ἀναχώρησιν, εἶχον δὲ Μῆδοι αὐτὸ καὶ βασιλέως προσήκοντές τινες καὶ ξυγγενεῖς, οἳ ἑάλωσαν ἐν αὐτῷ, τότε τούτους οὓς ἔλαβεν ἀποπέμπει βασιλεῖ κρύφα τῶν ἄλλων ξυμμάχων, τῷ δὲ λόγῳ ἀπέδρασαν αὐτόν. Ἔπρασσε δὲ ταῦτα μετὰ Γογγύλου τοῦ Ἐρετριέως, ᾧπερ ἐπέτρεψε τό τε Βυζάντιον καὶ τοὺς αἰχμαλώτους. Ἔπεμψε δὲ καὶ ἐπιστολὴν τὸν Γόγγυλον φέροντα αὐτῷ· ἐνεγέγραπτο δὲ τάδε ἐν αὐτῇ, ὡς ὕστερον ἀνευρέθη. Παυσανίας ὁ ἡγεμὼν τῆς Σπάρτης τούσδε τέ σοι χαρίζεσθαι βουλόμενος ἀποπέμπει δορὶ ἑλὼν, καὶ γνώμην ποιοῦμαι, εἰ καὶ σοὶ δοκεῖ, θυγατέρα τε τὴν σὴν γῆμαι καί σοι Σπάρτην τε καὶ τὴν ἄλλην Ἑλλάδα ὑποχείριον ποιῆσαι. Δυνατὸς δὲ δοκῶ εἶναι ταῦτα πρᾶξαι μετὰ σοῦ βουλευόμενος. Εἰ οὖν τί σε τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλασσαν δι' οὗ τὸ λοιπὸν τοὺς λόγους ποιησόμεθα.

129. Τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου, Ξέρξης δὲ ἥσθη τε τῇ ἐπιστολῇ καὶ ἀποστέλλει Ἀρτάβαζον τὸν Φαρνάκου ἐπὶ θάλασσαν καὶ κελεύει αὐτὸν τήν τε Δασκυλῖτιν σατραπείαν παραλαβεῖν Μεγαβάτην ἀπαλλάξαντα, ὃς πρότερον ἦρχε, καὶ παρὰ Παυσανίαν ἐς Βυζάντιον ἐπιστολὴν ἀντεπετίθει αὐτῷ ὡς τάχιστα διαπέμψαι καὶ τὴν σφραγῖδα ἀποδεῖξαι, καὶ ἤν τι αὐτῷ Παυσανίας παραγγέλλῃ περὶ τῶν ἑαυτοῦ πραγμάτων, πράσσειν ὡς ἄριστα καὶ πιστότατα. Ὁ δὲ

δορὶ] Conf. iv, 98. Forma vocabuli poëtica. Dionys. p. 1908. dixit δόρατι. Mox, de verbis σε ἀρέσκει Phavorin. (ex schol. Arist. Plut. 69.) dicit, dativum pro accus. ponendum fuisse. Sed v. Matth. Gr. § 393, 5. et § 411, 5. Obs. 2. Schol. Ἀττικὴ καὶ ἀρχαία ἡ φράσις. Conf. Bergler. ad Alciphr. iii, 51. p. 392.

ἄνδρα πιστὸν] C. Nep. V. Paus. c. 2. 'certum hominem ad eum mittas face.' Is totum locum inde a verbis Βυζάντιον γὰρ ἑλὼν in Latinum sermonem convertit: 'Nam quum Byzantio expugnato cepisset complures Persarum nobiles, atque in his nonnullos regis propinquos, hos clam Xerxi remisit, simulans ex vinculis publicis effugisse; et cum his Gongylum Eretriensem, qui literas regi redderet, in quibus hæc fuisse scripta Thucydides memoriæ prodidit: Pausanias dux Spartæ, quos Byzantii ceperat, postquam propinquos tuos cognovit, tibi muneri misit, seque tecum adfinitate conjungi cupit; quare, si tibi videtur, des ei filiam tuam nuptum. Id si feceris, et Spartam et ceteram Græciam sub tuam potestatem, se adjuvante, te redacturum, pollicetur. His de rebus si quid geri volueris, certum hominem ad eum mittas face, cum quo conloquatur. Rex tot hominum salute, tam sibi necessariorum magnopere gavisus, confestim cum epistola Artabazum ad Pausaniam mittit; in qua eum conlaudat ac petit, ne cui rei parcat ad ea perficienda quæ polliceatur. Si fecerit, nullius rei a se repulsam laturum,' etc. V. Wessel. ad Herodot. v, 32.

129. Δασκυλῖτιν] V. Strab. p. 861. Heeren. Ideen, vol. i. P. i. p. 166. Græcarum civitatum in Asia Hellespontus Dascylitidi satrapiæ, Ionia et Doris Lydiæ a Persis accensebantur. Hellespontus autem Bithynia et Phrygia constabat; præerat Pharnabazus. Fines satrapiæ circa Antandrum.

σφραγῖδα] V. Brisson. d. Regn. Pers. p. 301. Verbum ἀντεπετίθει (i. e. 'epistolam responsoriam dedit') Harpocr. p. 43.

ἀφικόμενος τά τε ἄλλα ἐποίησεν ὥσπερ εἴρητο καὶ τὴν ἐπιστολὴν διέπεμψεν· ἀντεγέγραπτο δὲ τάδε· Ὧδε λέγει βασιλεὺς Ξέρξης Παυσανίᾳ, καὶ τῶν ἀνδρῶν οὕς μοι πέραν θαλάσσης ἐκ Βυζαντίου ἔσωσας κεῖταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ ἐσαεὶ ἀνάγραπτος καὶ τοῖς λόγοις τοῖς ἀπὸ σοῦ ἀρέσκομαι. Καί σε μήτε νὺξ μήτε ἡμέρα ἐπισχέτω ὥστε ἀνεῖναι πράσσειν τι ὧν ἐμοὶ ὑπισχνῇ, μηδὲ χρυσοῦ καὶ ἀργύρου δαπάνῃ κεκωλύσθω, μηδὲ στρατιᾶς πλήθει, εἴ ποι δεῖ παραγίγνεσθαι· ἀλλὰ μετ' Ἀρταβάζου ἀνδρὸς ἀγαθοῦ, ὅν σοι ἔπεμψα, πρᾶσσε θαρσῶν καὶ τὰ ἐμὰ καὶ τὰ σὰ ὅπη κάλλιστα καὶ ἄριστα ἕξει ἀμφοτέροις.

130. Ταῦτα λαβὼν ὁ Παυσανίας τὰ γράμματα, ὢν καὶ πρότερον ἐν μεγάλῳ ἀξιώματι ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν

et Suidas explicant per *ἀντεπέστειλεν.* Thom. M. *ἀντεπιτίθησιν ὁ ἀντὶ τῆς κομισθείσης αὐτῷ ἐπιστολῆς ἑτέραν διδούς.*

κεῖταί σοι—ἀνάγραπτος] Qui de rege et regno Persarum (*οἴκῳ*) bene meriti erant, *Ὀροσάγγαι* ab iis dicebantur: *εὐεργέται* Græci verterunt, eorumque nomina codicibus regiis inferebantur. Hic liber regius fortasse pars erat *διφθερῶν βασιλικῶν,* quas memorat Diod. ii, 32. Ad hunc morem non semel respicitur a veteribus, ut ab Herodoto, viii, 85. *εὐεργέτης βασιλῆος ἀνεγράφη.* Diodor. xv, 12. Estheræ lib. c. vi. v. 1. a Charit. vii, 5. *ἀναγράφω σε εὐεργέτην εἰς τὸν οἶκον τὸν ἐμόν.* viii, 5. *πρῶτος εὐεργέτης εἰς οἶκον βασιλέως ἀναγραφήσῃ.* ii, 7. *ἐγκεχαραγμένον μεγάλως, ὃν βασιλεὺς ὁ Περσῶν θαυμάζει καὶ φιλεῖ.* V. Dorv. ad Charit. p. 317. D. Herald. Animadv. i, 9. Lys. p. 365. 259. Steph. *ἀναγραφῆναι εὐεργέτης.* Lucian. Contempl. e Thucydide, *εὐεργέτης ἀεὶ ἀναγεγράψῃ·* v. interpp. ad ipsum, t. iii. p. 413. et Dorv. l. l. p. 624. Lucian. d. Gymn. t. vii. p. 171. *ὥστε εὐεργέτης ὑμῶν ὁ ἀνὴρ ἀναγεγράφθω.* Plat. Gorg. p. 506. c. (p. 205. Heind.) *μέγιστος εὐεργέτης ἐμοὶ ἀναγεγράψῃ.* Philo de Vit. Mos. t. ii. p. 151. Mang. de vero sacrificio, quod inest in animi sanctimonia: *ἧς τὸ εὐχάριστον ἀθανατίζεται καὶ ἀνάγραπτον στηλιτεύεται παρὰ τῷ θεῷ.* V. Valcken. ad Herodot. viii, 85. Hanc formulam ad Atheniensium populum transtulit Xenoph. d. Redit. *εὐεργέτας τοῦ δήμου γραφῆναι.* Conf. Suid. in *στήλη.* Cuper. ad Marmor Antiq. pone Homer. Apotheos. p. 284. Verbo *ἀποκεῖμαι* eodem sensu, quo Thuc., utitur Charit. v, 1. *χάριν ἀποκειμένην,* quasi thesaurum aliquem, ait Dorv. p. 466., et depositum, quod suo tempore repetere et in usum revocare posset. Aristot. ap. Demetr. Phal. s. 233. *οἱ γὰρ θεοὶ ἐν ἀμφοτέραις ἴσοι· ὥστ' ἐπεὶ αἱ χάριτες θεαὶ ἴσαι ἀποκείσονταί σοι παρ' ἀμφοτέραις.* Ita thesauri, addit Dorv., et pecuniæ *κεῖσθαι* passim dicuntur. Vopisc. Caro, c. 5. 'tantum apud milites amoris locavit.' Ita Charit. ii, 7. *προηνεχυριασμένην* Callirrhoën dicit *ταῖς εὐεργεσίαις,* i. e. 'pignori datam benefactis,' ubi v. Dorv. p. 320. Atque sic accepit idem illud Herodoteum, viii, 109. *ὑποθήκην μέλλων ποιήσεσθαι εἰς τὸν Πέρσεα,* quasi *προενεχυριασόμενος* regem. Sed v. de h. l. in lib. de Sit. et Orig. Syrac. p. 175. ad fragm. Philist. 59. quod habent etiam Suid. in v. *ἀποθήκη,* et Anecd. Bekk. i. p. 428. Porro apud Charitonem, qui multus est in hac metaphora usurpanda, p. 97, 12. legitur, *εὐεργεσίαν κατατίθεσθαι εἰς αὐτὸν,* plane ut ap. Thuc. sup. c. 33. et 128. Varie, ait Dorv. p. 448., hæc locutio effertur, sed semper denotat 'gratiam inire apud aliquem,' ut is vicissim et suo tempore tibi rem gratam faciat. Dem. d. Rhod. Lib. p. 145. B. *εὐεργεσίαν καταθέσθαι πρός τινα.* De Fals. Leg. p. 330. B. *χάριν τινί.* Xenoph. Cyrop. viii. p. 216. Eurip. Iphig. T. 602. *τίθεσθαι χάριν.* Plat. Symp. p. 208. c. *κλέος ἐς τὸν ἀεὶ χρόνον ἀθάνατον καταθέσθαι.*—Adde Wessel. ad Diod. iv, 1. Heind. ad Plat. Cratyl. p. 28. Nostrum locum expressit Achill. Tat. v, 18. p. 462. Bod. *κεῖταί σοι χάρις* et iii, 22. p. 304. *ἀποκείσεταί σοι παρ' αὐτῷ ἡ χάρις.* Adscripsit verba *κεῖται—ἀνάγραπτος* Thom. M. p. 14. in *ἀεὶ,* quocum conf. interpretes ad Greg. Cor. p. 346.

Πλαταιᾶσιν ἡγεμονίαν, πολλῷ τότε μᾶλλον ἦρτο καὶ οὐκέτι ἠδύνατο ἐν τῷ καθεστηκότι τρόπῳ βιοτεύειν, ἀλλὰ σκευάς τε Μηδικὰς ἐνδυόμενος ἐκ τοῦ Βυζαντίου ἐξῄει καὶ διὰ τῆς Θρᾴκης πορευόμενον αὐτὸν Μῆδοι καὶ Αἰγύπτιοι ἐδορυφόρουν, τράπεζάν τε Περσικὴν παρετίθετο καὶ κατέχειν τὴν διάνοιαν οὐκ ἠδύνατο, ἀλλ᾽ ἔργοις βραχέσι προὐδήλου ἃ τῇ γνώμῃ μειζόνως ἐσέπειτα ἔμελλε πράξειν. Δυσπρόσοδόν τε αὑτὸν παρεῖχε καὶ τῇ ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ἐς πάντας ὁμοίως ὥστε μηδένα δύνασθαι προσιέναι· διόπερ καὶ πρὸς τοὺς Ἀθηναίους οὐχ ἥκιστα ἡ ξυμμαχία μετέστη.

131. Οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι τό τε πρῶτον δι᾽ αὐτὰ ταῦτα ἀνεκάλεσαν αὐτὸν, καὶ ἐπειδὴ τῇ Ἑρμιονίδι νηῒ τὸ δεύτερον ἐκπλεύσας οὐ κελευσάντων αὐτῶν τοιαῦτα ἐφαίνετο ποιῶν, καὶ ἐκ τοῦ Βυζαντίου βίᾳ ὑπ᾽ Ἀθηναίων ἐκπολιορκηθεὶς ἐς μὲν τὴν Σπάρτην οὐκ ἐπανεχώρει, ἐς δὲ Κολωνὰς τὰς Τρῳάδας ἱδρυθεὶς πράσσων τε ἐσηγγέλλετο αὐτοῖς πρὸς τοὺς βαρβάρους καὶ οὐκ ἐπ᾽ ἀγαθῷ τὴν μονὴν ποιούμενος,

130. Πλαταιᾶσιν] Vulgo acutum ponunt in ασ. Sed v. Matth. Gr. § 258. Buttm. p. 374. et ad Plat. Alcib. i. c. 40., ex quorum præcepto scripsi etiam Ὀλυμπίασι, Θήβησι, etc., ut adverbium a nomine proprio factum, quoad fieri potest, tonum nominis sui retineat.

ἐδορυφόρουν] V. Matth. Gr. § 412, 2. Mox, verba δυσπρόσοδον—ἐς πάντας adscripsit Thom. M. p. 254.

ὀργῇ] Suidas: ὀργῇ παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ διανοίᾳ, τρόπῳ, σκοπῷ. Zonar. ὀργὴ, τρόπος· οὕτω Θουκυδίδης. Conf. eosdem in εὐοργήτως, Suidam in ὀργᾷν. Verte, 'moribus tam difficilibus utebatur.' V. Erfurdt. ad Soph. Antig. 354. Werfer. in Act. Phil. Monac. t. i. p. 77. Casaub. ad Arist. Eq. 41. Hesych. s. v. δίχολοι, ὀργὴ, ibiq. Albert. Ὀργαὶ pro tumultu civitatis fame afflictæ legitur ap. Philostratum, i. p. 17. extr.; apud Plat. p. 972. Steph. pro pœna a judice irrogata. Ita ὀργίζεσθαι punientis est apud Lysiam, at ὀργὴ pro τιμωρία ap. Polyb. ii, 58. et Dionysium passim. Eodem sensu ὀργὴν judicibus tribuit Aristid. t. ii. p. 43. Jebb. et νόμοις καὶ ὀργαῖς καὶ δικαστηρίοις jungit Lucian. t. i. p. 827. D. Reitz., sicut ἀνδραγαθίης καὶ ὀργῆς καὶ παιδεύσιός τε καὶ τρόπου Herodot. vi, 128. Senecæ Herc. Fur. 174. 'iræ' sunt quam dicunt δεινότητα rhetoricam: 'illum populi favor attonitum, fluctuque magis mobile vulgus aura timidum tollit inani: hic clamosi rabiosa fori jurgia vendens improbus iras et verba locat.' Thuc. iii, 82. ὁ δὲ πόλεμος—βίαιος διδάσκαλος, καὶ πρὸς τὰ παρόντα τὰς ὀργὰς τῶν πολλῶν ὁμοιοῖ, i. e. 'affectiones hominum vulgarium efformat ad tempora.' i, 140. καίπερ εἰδὼς τοὺς ἀνθρώπους οὐ τῇ αὐτῇ ὀργῇ ἀναπειθομένους καὶ ἐν τῷ ἔργῳ πράσσοντας. V. ad h. l. Wassium, et Abresch. Auct. p. 260. et scholia, et Coraëm ad nostrum locum.

131. οἱ δὲ Λακεδαιμόνιοι—αὐτὸν] Thom. M. p. 52. De scytala schol. ἦν ἡ σκυτάλη ξύλον στρογγύλον ἐξεσμένον, ἐπίμηκες· δύο δὲ παρὰ Λακεδαιμονίοις ὑπῆρχον σκυτάλαι· καὶ τὴν μὲν μίαν κατεῖχον οἱ Ἔφοροι τῶν Λακεδαιμονίων, τὴν δὲ ἑτέραν τῷ ἐκπεμπομένῳ τῶν στρατηγῶν παρεῖχον· καὶ ὁπότε ἐβούλοντο ἐπιστεῖλαί τι αὐτῷ, φέροντες ἱμάντα λευκὸν περιείλιττον τὴν σκυτάλην, καὶ ἐπὶ τοῦ ἱμάντος ἔγραφον καὶ ἀνελίττοντες παρεῖχον τὸν ἱμάντα τῷ ἀποφέροντι· τοῦτο δὲ ἐποίουν, ἵνα μὴ μάθωσιν οἱ ἀποφέροντες τὰ ἐν τῷ ἱμάντι γεγραμμένα· ὁ δὲ στρατηγὸς λαβὼν τὸν ἱμάντα, τῇ ἑαυτοῦ σκυτάλῃ περιείλιττε, καὶ ἐγίγνωσκε τὴν τῶν γραμμάτων περιοχήν. Addit opus esse, ut Pausanias scytalam inde a priori imperio retinuerit. Ceterum hæc exscripsit e Plut. V. Lysandr., eademque habet A. Gell. N. A. xvii, 9. Conf. scholia ad Pind. Ol. 6., ibiq. interpp.

οὕτω δὴ οὐκέτι ἐπέσχον, ἀλλὰ πέμψαντες κήρυκα οἱ ἔφοροι καὶ σκυτάλην εἶπον τοῦ κήρυκος μὴ λείπεσθαι, εἰ δὲ μή, πόλεμον αὐτῷ Σπαρτιάτας προαγορεύειν. Ὁ δὲ βουλόμενος ὡς ἥκιστα ὕποπτος εἶναι καὶ πιστεύων χρήμασι διαλύσειν τὴν διαβολὴν ἀνεχώρει τὸ δεύτερον ἐς Σπάρτην. Καὶ ἐς μὲν τὴν εἱρκτὴν ἐσπίπτει τὸ πρῶτον ὑπὸ τῶν ἐφόρων· ἔξεστι δὲ τοῖς ἐφόροις τὸν βασιλέα δρᾶσαι τοῦτο· ἔπειτα διαπραξάμενος ὕστερον ἐξῆλθε, καὶ καθίστησιν ἑαυτὸν ἐς κρίσιν τοῖς βουλομένοις περὶ αὐτὸν ἐλέγχειν.

132. Καὶ φανερὸν μὲν εἶχον οὐδὲν οἱ Σπαρτιᾶται σημεῖον, οὔτε οἱ ἐχθροὶ οὔτε ἡ πᾶσα πόλις, ὅτῳ ἂν πιστεύσαντες βεβαίως ἐτιμωροῦντο ἄνδρα γένους τε τοῦ βασιλείου ὄντα καὶ ἐν τῷ παρόντι τιμὴν ἔχοντα· Πλείσταρχον γὰρ τὸν Λεωνίδου ὄντα βασιλέα καὶ νέον ἔτι ἀνεψιὸς ὢν ἐπετρόπευεν· ὑποψίας δὲ πολλὰς παρεῖχε τῇ τε παρανομίᾳ καὶ ζηλώσει τῶν βαρβάρων μὴ ἴσος βούλεσθαι εἶναι τοῖς παροῦσι, τά τε ἄλλα αὐτοῦ ἀνεσκόπουν εἴ τι που ἐξεδεδιῄτητο τῶν καθεστώτων νομίμων καὶ ὅτι ἐπὶ τὸν τρίποδά ποτε τὸν ἐν Δελφοῖς, ὃν ἀνέθεσαν οἱ Ἕλληνες ἀπὸ τῶν Μήδων ἀκροθίνιον, ἠξίωσεν ἐπιγράψασθαι αὐτὸς ἰδίᾳ τὸ ἐλεγεῖον τόδε,

Ἑλλήνων ἀρχηγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων,
Παυσανίας Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε.

τὸ μὲν οὖν ἐλεγεῖον οἱ Λακεδαιμόνιοι ἐξεκόλαψαν εὐθὺς τότε ἀπὸ τοῦ τρίποδος τοῦτο, καὶ ἐπέγραψαν ὀνομαστὶ τὰς πόλεις ὅσαι ξυγκαθελοῦσαι τὸν βάρβαρον ἔστησαν τὸ ἀνάθημα· τοῦ μέντοι Παυσανίου ἀδίκημα καὶ τοῦτο ἐδόκει εἶναι, καὶ ἐπειδὴ ἐν τούτῳ καθειστήκει, πολλῷ μᾶλλον παρόμοιον πραχθῆναι ἐφαίνετο τῇ παρούσῃ διανοίᾳ. Ἐπυνθάνοντο δὲ καὶ

132. Cum hinc sequente narratione conf. Dem. in Neær. p. 1378. et C. Nep. V. Pausan. Versus, quos Græci tripodi inscripserunt, reperiuntur ap. Diodor. xi, 33. ubi v. Wessel. Alterius inscriptionis Simonidem auctorem appellat Pausan. i. p. 360. Conf. Diod. xvi, 26. Athen. xii, 9. Plut. d. Malign. Herodot. t. ix. p. 464. Pseudothemistocl. Ep. ii. p. 12. Suid. s. v. Παυσανίας.

ἐπετρόπευεν] V. Pierson. ad Mœr. s. v. et interpp. ad Thom. M. p. 360.

ἐξεκόλαψαν] V. Eustath. ad Il. ξ. p. 990, 17. et Valcken. ad Herodot. viii. p. 657. Wessel. ad Diod. ii. p. 100. Mox, vulgatam olim ἐστήσαντο ἀνάθημα correxit Valcken. ad Herodot. viii. p. 657.

τοῦ μέντοι—διανοίᾳ] C. L. Struvio in Bibl. Cr. Seebodii, ii, 9. p. 772. opus visum in his legi καὶ τότ' ἐδόκει pro καὶ τοῦτ' ἐδόκει. Sed, illo admisso, ἐδόκει non habet subjectum quo referatur, nam ἀδίκημα prædicati loco est. Nihil mutatione opus est; τοῦτο ad infinitivum ἐπιγράψασθαι redit, qui in prægressis extat, idemque τοῦτο subjectum est verbi ἐφαίνετο. 'Injustum Pausaniæ hæc inscriptio quoque videbatur, et postquam in hoc statu res ejus esse cœperunt, multo magis præsenti ejus consilio consenta-

ἐς τοὺς Εἵλωτας πράσσειν τι αὐτὸν, καὶ ἦν δὲ οὕτως· ἐλευθέρωσίν τε γὰρ ὑπισχνεῖτο αὐτοῖς καὶ πολιτείαν, ἢν ξυνεπαναστῶσι καὶ τὸ πᾶν ξυγκατεργάσωνται. Ἀλλ' οὐδ' ὣς οὐδὲ τῶν Εἱλώτων μηνυταῖς τισι πιστεύσαντες ἠξίωσαν νεώτερόν τι ποιεῖν εἰς αὐτὸν, χρώμενοι τῷ τρόπῳ ᾧπερ εἰώθασιν ἐς σφᾶς αὐτοὺς, μὴ ταχεῖς εἶναι περὶ ἀνδρὸς Σπαρτιάτου ἄνευ ἀναμφισβητήτων τεκμηρίων βουλεῦσαί τι ἀνήκεστον, πρίν γε δὴ αὐτοῖς, ὡς λέγεται, ὁ μέλλων τὰς τελευταίας βασιλεῖ ἐπιστολὰς πρὸς Ἀρτάβαζον κομιεῖν ἀνὴρ Ἀργίλιος, παιδικά ποτε ὢν αὐτοῦ καὶ πιστότατος ἐκείνῳ, μηνυτὴς γίγνεται, δείσας κατὰ ἐνθύμησίν τινα ὅτι οὐδείς πω τῶν πρὸ ἑαυτοῦ ἀγγέλων πάλιν ἀφίκετο, καὶ παραποιησάμενος σφραγῖδα, ἵνα ἢν ψευσθῇ τῆς δόξης ἢ καὶ ἐκεῖνός τι μεταγράψαι αἰτήσῃ, μὴ ἐπιγνῷ, λύει τὰς ἐπιστολὰς, ἐν αἷς ὑπονοήσας τι τοιοῦτο προσεπεστάλθαι καὶ αὐτὸν εὗρεν ἐγγεγραμμένον κτείνειν.

133. Τότε δὲ οἱ ἔφοροι δείξαντος αὐτοῦ τὰ γράμματα μᾶλλον μὲν ἐπίστευσαν, αὐτήκοοι δὲ βουληθέντες ἔτι γενέσθαι αὐτοῦ Παυσανίου τι λέγοντος, ἀπὸ παρασκευῆς τοῦ ἀνθρώπου ἐπὶ Ταίναρον ἱκέτου οἰχομένου καὶ σκηνησαμένου διπλῆν διαφράγματι καλύβην, ἐς ἣν τῶν τε ἐφόρων ἐντός τινας ἔκρυψε, καὶ Παυσανίου ὡς αὐτὸν ἐλθόντος καὶ ἐρωτῶντος τὴν πρόφασιν τῆς ἱκετείας ᾔσθοντο πάντα σαφῶς, αἰτιωμένου τοῦ ἀνθρώπου τά τε περὶ αὐτοῦ γραφέντα καὶ

neum esse apparebat facinus.' Quod primum ἐδόκει non satis certa hominum persuasione, id eadem posthac confirmata ἐφαίνετο.

Ἀργίλιος] nomen gentile, non proprium. C. Nep. V. Paus. c. 4. 'Argilius quidam, quem puerum Pausanias amore venereo dilexerat.' Id apparet ex apposito ἀνήρ. Sic ἀνὴρ Πέρσης, Ἀβδηρίτης dicitur. Ortus igitur hic homo fuit Argilo Thraciæ oppido. Schol. τινὲς κύριον, τινὲς ἐθνικὸν, ἀπὸ πόλεως Θρᾴκης, ὅπερ ἄμεινον.

ἐνθύμησιν] i. e. timor ejus animum, re diligentius examinata, occupaverat. Vocem e Thuc. excitat Pollux, ii, 231. Idem, viii, 27. scribit, Thucydidem παρασημηνάμενος dixisse ἐπὶ τῷ παρατυπώσασθαι τὴν σφραγῖδα, ubi interpp. suspicantur eum memoriæ vitio lapsum.

133. αὐτήκοοι—ᾔσθοντο] In his verba σκηνησαμένου καλύβην ad structuram comparari possunt cum Eur. Suppl. 1012. τί ποτ' αἰθερίαν ἕστηκε πέτραν; verte, 'consedit, assedit in tugurio, duplice pariete instructo.' Verbum ἐντὸς epexegetice additum. Affert similia Lobeck. ad Soph. Aj. 740. Verba autem αὐτήκοοι βουληθέντες cum tempore finito careant, Popp. Obs. p. 224. delet particulam τε in verbis τῶν τε Ἐφόρων, quo facto utique omnia commode procedunt. Jam enim hic est verborum ordo: αὐτήκοοι δὲ βουληθέντες γενέσθαι, τοῦ ἀνθρώπου οἰχομένου καὶ σκηνησαμένου, καὶ Παυσανίου ἐλθόντος καὶ ἐρωτῶντος, ᾔσθοντο, etc. Anacoluthon esse statuit Censor in Ephem. Jenens. a. 1816. m. Jan. nr. 13., voluisse scriptorem, ἐς ἣν τῶν τε ἐφόρων τινὰς ἔκρυψε, καὶ Παυσανίας ὡς αὐτὸν ἦλθεν, ἐρωτῶντος ᾔσθοντο πάντα, dixisse autem brevitatis studio non ita, sed καὶ Παυσανίου ἐλθόντος κ. ἐρ. Non placet.

τἆλλα ἀποφαίνοντος καθ' ἕκαστον ὡς οὐδὲν πώποτε αὐτὸν ἐν ταῖς πρὸς βασιλέα διακονίαις παραβάλοιτο, προτιμηθείη δ' ἐν ἴσῳ τοῖς πολλοῖς τῶν διακόνων ἀποθανεῖν, κἀκείνου αὐτὰ ταῦτα ξυνομολογοῦντος καὶ περὶ τοῦ παρόντος οὐκ ἐῶντος ὀργίζεσθαι, ἀλλὰ πίστιν ἐκ τοῦ ἱεροῦ διδόντος τῆς ἀναστάσεως καὶ ἀξιοῦντος ὡς τάχιστα πορεύεσθαι καὶ μὴ τὰ πρασσόμενα διακωλύειν.

134. Ἀκούσαντες δὲ ἀκριβῶς τότε μὲν ἀπῆλθον οἱ ἔφοροι, βεβαίως δὲ ἤδη εἰδότες ἐν τῇ πόλει τὴν ξύλληψιν ἐποιοῦντο. Λέγεται δ' αὐτὸν μέλλοντα ξυλληφθήσεσθαι ἐν τῇ ὁδῷ ἑνὸς μὲν τῶν ἐφόρων τὸ πρόσωπον προσιόντος ὡς εἶδε, γνῶναι ἐφ' ᾧ ἐχώρει, ἄλλου δὲ νεύματι ἀφανεῖ χρησαμένου καὶ δηλώσαντος εὐνοίᾳ, πρὸς τὸ ἱερὸν τῆς Χαλκιοίκου χωρῆσαι δρόμῳ καὶ προκαταφυγεῖν· ἦν δὲ ἐγγὺς τὸ τέμενος. Καὶ ἐς οἴκημα οὐ μέγα ὃ ἦν τοῦ ἱεροῦ ἐσελθὼν, ἵνα μὴ ὑπαίθριος ταλαιπωροίη, ἡσύχαζεν. Οἱ δὲ τὸ παραυτίκα μὲν ὑστέρησαν τῇ διώξει, μετὰ δὲ τοῦτο τοῦ τε οἰκήματος τὸν ὄροφον ἀφεῖλον καὶ τὰς θύρας ἔνδον ὄντα τηρήσαντες αὐτὸν καὶ ἀπολαβόντες εἴσω ἀπῳκοδόμησαν, προσκαθεζόμενοί τε ἐξεπολιόρκησαν λιμῷ. Καὶ μέλλοντος αὐτοῦ ἀποψύχειν ὥσπερ εἶχεν ἐν τῷ οἰκήματι, αἰσθόμενοί τε ἐξάγουσιν ἐκ τοῦ ἱεροῦ ἔτι ἔμπνουν ὄντα, καὶ ἐξαχθεὶς ἀπέθανε παραχρῆμα. Καὶ αὐτὸν ἐμέλλησαν μὲν ἐς τὸν Καιάδαν, οὗπερ τοὺς κακούργους ἐμβάλλειν εἰώθασιν· ἔπειτα ἔδοξε πλησίον που κατορύξαι. Ὁ δὲ

παραβάλοιτο] i. e. 'quod nunquam in ministerio apud regem obeundo ipsum in periculum adduxisset,' ut convertit Wyttenb. Ecl. Hist. Aliter Thom. M. p. 680. παραβάλλεσθαι καὶ τὸ ἐξαπατῆσαι, ὡς Θουκυδίδης, etenim παραβάλλεσθαι est 'fraude in discrimen adducere.' Eadem Suid. et Phot. Hom. Il. ix, 322. αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν, ubi v. Heyn. Dicitur etiam παραβάλλεσθαι κίνδυνον, 'aleam jacere,' 'to put at the stake,' a Thuc. iii, 14. Xen. Cyrop. ii, 3. et aliis. Mox, in προτιμηθείη acerba ironia est a Gottlebero his reddita, 'that he, like many of his servants, should now have the distinguished honour of being killed.'

134. μετὰ δὲ τοῦτο] Has res memorat etiam Lycurg. contr. Leocrat. p. 226. Reisk. Mox, ὄροφον e Thuc. citavit Pollux vii, 120. Ex proximis Thom. M. p. 277. adscripsit verba ἐντὸς (non εἴσω) αὐτὸν ἀπολαβόντες, nisi quæ in medio sunt omisit, nam præcedit ἐντὸς nostro loco. Deinde ἐξεπολιόρκησαν figurate dictum, ut apud Heliodor. Æth. p. 97. Bourd. Mox, ἀποψύχειν explicant Suid. Zonar. Anecd. Bekk. i. p. 440. laudato h. l. De verbis ὃ ἦν τοῦ ἱεροῦ, i. e. 'a little house belonging to the sacred enclosure, or to the sanctuary,' v. Manson. Spart. vol. i. P. ii. p. 21.

καὶ αὐτὸν — κατορύξαι] De Ceada v. Pausan. i. p. 521. Lexic. in Bibl. Coisl. p. 491. βάραθρον—Ἀθήνησιν—ἦν ὄρυγμά τι ἐν Κεραΐδων δήμῳ τῆς Οἰνηΐδος φυλῆς, εἰς ὃ τοὺς ἐπὶ θανάτῳ καταγνωσθέντας ἐνέβαλον, ὥσπερ οἱ Λακεδαιμόνιοι εἰς τὸν Κεάδαν ἐνέβαλον. Conf. Ammon. d. Diff. Voc. p. 29. Suidas in βάραθρον, Καιάδας, et Κεάδας, Eustath. in Il. β. p. 294. in Od. δ. 1. Strab. p. 564. B., ibiq. Casaub. De etymo vocis, ut alios taceam, hæc Heyn. ad Il. t. iv. p. 329. 'Nomine καί-

θεὸς ὁ ἐν Δελφοῖς τόν τε τάφον ὕστερον ἔχρησε τοῖς Λακεδαιμονίοις μετενεγκεῖν οὗπερ ἀπέθανε, καὶ νῦν κεῖται ἐν τῷ προτεμενίσματι, ὃ γραφῇ στῆλαι δηλοῦσι, καὶ ὡς ἄγος αὐτοῖς ὂν τὸ πεπραγμένον δύο σώματα ἀνθ' ἑνὸς τῇ Χαλκιοίκῳ ἀποδοῦναι. Οἱ δὲ ποιησάμενοι χαλκοῦς ἀνδριάντας δύο ὡς ἀντὶ Παυσανίου ἀνέθεσαν.

135. Οἱ δὲ Ἀθηναῖοι, ὡς καὶ τοῦ θεοῦ ἄγος κρίναντος, ἀντεπέταξαν τοῖς Λακεδαιμονίοις ἐλαύνειν αὐτό. Τοῦ δὲ Μηδισμοῦ τοῦ Παυσανίου Λακεδαιμόνιοι, πρέσβεις πέμψαντες παρὰ τοὺς Ἀθηναίους ξυνεπῃτιῶντο καὶ τὸν Θεμιστοκλέα, ὡς εὕρισκον ἐκ τῶν περὶ Παυσανίαν ἐλέγχων, ἠξίουν τε τοῖς αὐτοῖς κολάζεσθαι αὐτόν. Οἱ δὲ πεισθέντες, ἔτυχε γὰρ ὠστρακισμένος καὶ ἔχων δίαιταν μὲν ἐν Ἄργει, ἐπιφοιτῶν δὲ καὶ ἐς τὴν ἄλλην Πελοπόννησον, πέμπουσι μετὰ τῶν Λακεδαιμονίων ἑτοίμων ὄντων ξυνδιώκειν ἄνδρας οἷς εἴρητο ἄγειν ὅπου ἂν περιτύχωσιν.

136. Ὁ δὲ Θεμιστοκλῆς προαισθόμενος φεύγει ἐκ Πελοποννήσου ἐς Κέρκυραν, ὢν αὐτῶν εὐεργέτης· δεδιέναι δὲ φασκόντων Κερκυραίων ἔχειν αὐτὸν ὥστε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἀπέχθεσθαι, διακομίζεται ὑπ' αὐτῶν ἐς τὴν ἤπειρον τὴν καταντικρύ. Καὶ διωκόμενος ὑπὸ τῶν προστε-

ετος appellati hiatus et cavernæ ex terræ motu, quo Laconicam infestam fuisse constat, unde et *Καιάδας* seu *Κεάδας*, nam a *κέω*, 'findo,' ductum videtur, de fossa quæ Spartæ pro carcere erat.' De scriptura valde fluctuant libri, nam *Καιάδαν* habent A. B. S. b. c. d. e. f. g. *Χαιάδαν* h. *Κεάδαν* reliqui; *εἰώθασιν ἐμβάλλειν* G. K. d. *εἰώθεσαν ἐμβάλλειν* F. H. c. f. *ἐμβάλλειν εἰώθασιν* L. O. *ἐσβάλλειν εἰώθασιν* C. I. P. *εἰώθεσαν ἐσβάλλειν* S. suprascripto *γρ. ἐμβ.* Item *ἐμβάλλειν* B. g. inter versus posito ille *εἰώθεισαν*, hic *εἰώθεσαν*. Bredov. et Bekk., commate post *κακούργους* posito, verbum *εἰώθεσαν* delent, contra quos disputat Popp. Obs. p. 97., qui mihi *εἰώθασιν* jure prætulisse videtur, quoniam Thucydidis ævo institutum hoc Lacedæmoniorum adhuc vigebat. Infinitivum vero post *εἰώθασιν* collocat, ut pendeat ab utroque verbo finito *ἐμέλλησαν* et *εἰώθασιν*. Quam viam sane facillimam inire vetat ipse librorum in tam diversa abiens dissensus, qui, ni fallor, explicari potest ex structura *ἀπὸ κοινοῦ* non satis intellecta, de qua monuit Herm. ad Viger. p. 892. Is igitur *εἰώθασιν* collocat post *ἐμβάλλειν*, et cogitando eundem infinitivum supplet post *ἐμέλλησαν*. Comparat locum Plat. Phædr. c. 10. *ὥσπερ γὰρ οἱ τὰ πεινῶντα θρέμματα θαλλὸν ἤ τινα καρπὸν προσείοντες ἄγουσι*, ubi non jungendum *οἱ προσείοντες*, sed omissum est participium *ἄγοντες* propter verbum finitum quod sequitur, ut plena oratio hæc futura sit: *ὥσπερ οἱ τὰ πεινῶντα θρέμματα ἄγοντες θαλλὸν ἤ τινα καρπὸν προσείοντες ἄγουσι.*

135. Sequitur de Themistoclis obitu digressio. Noli putare, nunc demum paulo ante bellum Peloponnesiacum Themistoclis accusationem a Spartanis postulatam esse; nam is multo ante jam obierat. Morte Pausaniæ narrata scriptor adjecit Themistoclis fata, utpote rebus Pausaniæ innexa. V. omnino Dahlmann. Herodot. p. 224. Marx. ad Ephor. p. 222.—Mox, Thom. M. p. 660. exscripsit verba *ἔτυχε*—*Ἄργει.*

136. *αὐτῶν εὐεργέτης*] sc. Corcyræorum. Præcessit *Κέρκυραν*. Themistocles dissuaserat Græcis, ne Corcyræos aliasque civitates ob negatum contra Persas auxilium pro hostibus haberent. V. schol. Mox, *κατά τι ἄπορον* displicuit Thierschio, Act. Phil. Mon. t. iii. p. 456., quia apertum sit, non aliqua necessitate, sed ipsa

ταγμένων κατὰ πύστιν ᾗ χωροίη, ἀναγκάζεται κατά τι ἄπορον παρὰ Ἄδμητον τὸν Μολοσσῶν βασιλέα ὄντα αὐτῷ οὐ φίλον καταλῦσαι. Καὶ ὁ μὲν οὐκ ἔτυχεν ἐπιδημῶν, ὁ δὲ τῆς γυναικὸς ἱκέτης γενόμενος διδάσκεται ὑπ' αὐτῆς τὸν παῖδα σφῶν λαβὼν καθίζεσθαι ἐπὶ τὴν ἑστίαν. Καὶ ἐλθόντος οὐ πολὺ ὕστερον τοῦ Ἀδμήτου δηλοῖ τε ὅς ἐστι, καὶ οὐκ ἀξιοῖ, εἴ τι ἄρα αὐτὸς ἀντεῖπεν αὐτῷ Ἀθηναίων δεομένῳ, φεύγοντα τιμωρεῖσθαι. Καὶ γὰρ ἂν ὑπ' ἐκείνου πολλῷ ἀσθενέστερος ἐν τῷ παρόντι κακῶς πάσχειν, γενναῖον δὲ εἶναι τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμωρεῖσθαι. Καὶ ἅμα αὐτὸς μὲν ἐκείνῳ χρείας τινὸς καὶ οὐκ ἐς τὸ σῶμα σώζεσθαι ἐναντιωθῆναι, ἐκεῖνον δ' ἂν εἰ ἐκδοίη αὐτὸν, εἰπὼν ὑφ' ὧν καὶ ἐφ' ᾧ διώκεται, σωτηρίας ἂν τῆς ψυχῆς ἀποστερῆσαι.

137. Ὁ δὲ ἀκούσας ἀνίστησί τε αὐτὸν μετὰ τοῦ ἑαυτοῦ υἱέος, (ὥσπερ καὶ ἔχων αὐτὸν ἐκαθέζετο, καὶ μέγιστον ἦν ἱκέτευμα τοῦτο,) καὶ ὕστερον οὐ πολλῷ τοῖς Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἐλθοῦσι καὶ πολλὰ εἰποῦσιν οὐκ ἐκδίδωσιν, ἀλλ' ἀποστέλλει βουλόμενον ὡς βασιλέα πορευθῆναι ἐπὶ τὴν ἑτέραν θάλασσαν πεζῇ ἐς Πύδναν τὴν Ἀλεξάνδρου. Ἐν ᾗ ὁλκάδος τυχὼν ἀναγομένης ἐπ' Ἰωνίας καὶ ἐπιβὰς καταφέρεται χειμῶνι ἐς τὸ Ἀθηναίων στρατόπεδον ὃ ἐπολιόρκει Νάξον. Καὶ, ἦν γὰρ ἀγνὼς τοῖς ἐν τῇ νηῒ, δείσας φράζει τῷ ναυκλήρῳ ὅστις ἐστὶ καὶ δι' ἃ φεύγει, καὶ εἰ μὴ σώσει αὐτὸν, ἔφη ἐρεῖν ὅτι χρήμασι πεισθεὶς αὐτὸν ἄγει· τὴν δὲ

necessitate coactum ad Admetum fugisse: itaque legit τό pro τι. Nihil muto. Ipsa necessitate coactus fugam capessivit, sed aliqua necessitate, quam scriptor narrare supersedit, coactus, ad regem illum inimicum sibi potius, quam ad alium quemcunque confugit. Causa poterat esse (ut unum pro multis, quæ accidere poterant, ponam) tempestas, qua in has oras deferretur. Schol. narrat, Themistoclem, cum rex Molossorum auxilium Atheniensium implorasset, ne ferretur, vetuisse. In proxime sequentibus a Thucydide recedit C. Nepos V. Them. c. 8. scribens, 'filiam ejus parvulam arripuit.' Cum nostro scriptore consentit Plutarchus.

ἀσθενέστερος] Ita scripsi, flagitante et nexu orationis et ratione grammatica. Vulgatam ἀσθενεστέρου ita explicant: 'nunc quidem se malo affici posse ab iis qui multo imbecilliores sint illo,' Admeto sc. Ad quæ: durior est structura, Bauer. respondet, quam quæ se probet: ecquis enim ferat Latine dictum, 'ab illo multo inferiore,' quod sit, ab homine qui sit illo inferior?—Addo: non idcirco, si voluisset, rex supplicem malo affecisset, ut potentiam suam ostentaret, sed ut inimicum ulcisceretur. Hoc igitur dicit: ignobilis viri esse, bonis rebus suis hominem in fortuna adversa positum lædere; generosi, parem pari conditione aggredi. Ἀσθενέστερον g. cum Tusano, quod solœcum est.

ἐς τὸ σῶμα] Articulus bis cogitandus. V. Herm. ad Vig. p. 702, 20. Paulo superius ad καταλῦσαι spectat glossa Suidæ et Phavorin. καταλῦσαι παρὰ Θουκυδίδῃ ἐπὶ τῶν ὀχουμένων ἐπὶ ἅρματος, κατάγειν δὲ ἐπὶ νηός. Mox, verbis μέγιστον—τοῦτο usus est Thom. M. p. 470. Anecd. Bekker. i. p. 100. ἱκετείαν, ἀντὶ τοῦ ἱκεσίαν Θουκυδίδης τρίτῳ.

ἀσφάλειαν εἶναι μηδένα ἐκβῆναι ἐκ τῆς νεὼς μέχρι πλοῦς γένηται· πειθομένῳ δ' αὐτῷ χάριν ἀπομνήσεσθαι ἀξίαν. Ὁ δὲ ναύκληρος ποιεῖ τε ταῦτα καὶ ἀποσαλεύσας ἡμέραν καὶ νύκτα ὑπὲρ τοῦ στρατοπέδου ὕστερον ἀφικνεῖται ἐς Ἔφεσον. Καὶ ὁ Θεμιστοκλῆς ἐκεῖνόν τε ἐθεράπευσε χρημάτων δόσει, ἦλθε γὰρ αὐτῷ ὕστερον ἔκ τε Ἀθηνῶν παρὰ τῶν φίλων καὶ ἐξ Ἄργους ἃ ὑπεξέκειτο, καὶ μετά τῶν κάτω Περσῶν τινος πορευθεὶς ἄνω ἐσπέμπει γράμματα ὡς βασιλέα Ἀρτοξέρξην τὸν Ξέρξου νεωστὶ βασιλεύοντα. Ἐδήλου δὲ ἡ γραφὴ ὅτι Θεμιστοκλῆς ἥκω παρὰ σὲ, ὃς κακὰ μὲν πλεῖστα Ἑλλήνων εἴργασμαι τὸν ὑμέτερον οἶκον, ὅσον χρόνον τὸν σὸν πατέρα ἐπιόντα ἐμοὶ ἀνάγκῃ ἠμυνόμην, πολὺ δ' ἔτι πλείω ἀγαθὰ, ἐπειδὴ ἐν τῷ ἀσφαλεῖ μὲν ἐμοὶ, ἐκείνῳ δὲ ἐν ἐπικινδύνῳ πάλιν ἡ ἀποκομιδὴ ἐγίγνετο. Καί μοι εὐεργεσία ὀφείλεται, (γράψας τὴν ἐκ Σαλαμῖνος προάγγελσιν τῆς ἀναχωρήσεως καὶ τὴν τῶν γεφυρῶν, ἣν ψευδῶς προσεποιήσατο, τότε δι' αὐτὸν οὐ διάλυσιν,) καὶ νῦν ἔχων σε μεγάλα ἀγαθὰ

137. *μέχρι—γένηται*] non addito ἄν. V. Popp. Obs. p. 143. Mox, *ἀποσαλεύσας* Suidas explicat, *παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ ἀποφυγὼν ἐκ τοῦ λιμένος καὶ σάλῳ ὁμιλήσας, τουτέστι τῷ ἀλιμένῳ τόπῳ, ἔνθα σάλος γίνεται.* Eadem Zonar. bis in v. ex scholiis.

Περσῶν τινος] cum Lysithide, de quo v. Diod. xi, 56. Idem Ephorum secutus scribit, Xerxen ipsum a Themistocle aditum, non per literas. V. Ephor. Fr. 115.

ὅτι ἥκω] De usu hoc conjunctionis v. Viger. p. 548. Citat hæc verba Priscian. p. 1071. Conf. Plut. V. Them. c. 28. C. Nep. V. Them. c. 9. 'Scio plerosque ita scripsisse, Themistoclem Xerxe regnante in Asiam transiisse. Sed ego potissimum Thucydidi credo, quod ætate proximus erat de iis qui illorum temporum historiam reliquerunt et ejusdem civitatis fuit: is autem ait, ad Artaxerxem eum venisse, atque his verbis epistolam misisse: Themistocles veni ad te, qui plurima mala omnium Græcorum in domum tuam' (*οἶκον*, debebat dicere 'regnum') 'intuli, quum mihi necesse fuit adversus patrem tuum bellare, patriamque meam defendere. Idem multo plura bona feci, postquam in tuto ipse et ille in periculo esse cœpit:' (*ἐπειδὴ ἐν τῷ ἀσφαλεῖ μὲν ἐμοὶ, ἐκείνῳ δὲ ἐν ἐπικινδύνῳ πάλιν ἡ ἀποκομιδὴ ἐγένετο*, ubi *πάλιν* non est 'vicissim,' 'contra,' ut voluit Abresch. Diluc. p. 142. sed synchysis est pro *ἡ πάλιν ἀποκ.* i. e. 'reversio:') 'nam quum in Asiam reverti vellet, prœlio apud Salamina facto, literis eum certiorem feci, id agi, ut pons, quem in Hellesponto fecerat, dissolveretur, atque ab hostibus circumiretur. Quo nuntio ille periculo est liberatus. Nunc confugi ad te, exagitatus a cuncta Græcia, tuam petens amicitiam: quam si ero adeptus, non minus me bonum amicum habebis, quam fortem inimicum ille expertus est. Ea autem rogo, ut de his rebus, de quibus tecum conloqui volo, annuum mihi tempus des, eoque transacto, me ad te venire patiaris.' Adde c. 10. In verbis *γράψας—διάλυσιν* participium eodem modo positum, quo supr. c. 136. *εἰπὼν ὑφ' ὧν καὶ ἐφ' ᾧ διώκεται.* In loco distinguendo secutus sum Wyttenbachium, qui comma ponens post *προσεποιήσατο*, particulam *τότε* junxit cum sequentibus, quamquam ad sensum nihil refert utrum præferas: nam potest auctor etiam hoc significare, Themistoclem non hoc tempore neque in epistola ea, cujus argumentum hoc est, hoc simulasse, sed in illa epistola quam tunc scripsit, cum rex ad Hellespontum recedebat. Eam epistolam habet Herodot. viii, 110. Sed quum etiamnum hoc simulet, prætuli comma ante *τότε* positum. Deinde revocavi scripturam *δι' αὐτὸν*, pro *δι' αὑτὸν*, quod ex unico F. Gottl. recepit. Verba *τὴν*

δρᾶσαι πάρειμι διωκόμενος ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν σὴν φιλίαν. Βούλομαι δ' ἐνιαυτὸν ἐπισχὼν αὐτός σοι περὶ ὧν ἥκω δηλῶσαι.

138. Βασιλεὺς δὲ, ὡς λέγεται, ἐθαύμασέ τε αὐτοῦ τὴν διάνοιαν καὶ ἐκέλευε ποιεῖν οὕτως. Ὁ δ' ἐν τῷ χρόνῳ ὃν ἐπέσχε τῆς Περσίδος γλώσσης ὅσα ἠδύνατο κατενόησε καὶ τῶν ἐπιτηδευμάτων τῆς χώρας· ἀφικόμενος δὲ μετὰ τὸν ἐνιαυτὸν γίγνεται παρ' αὐτῷ μέγας καὶ ὅσος οὐδείς πω Ἑλλήνων διά τε τὴν προϋπάρχουσαν ἀξίωσιν καὶ τοῦ Ἑλληνικοῦ ἐλπίδα, ἣν ὑπετίθει αὐτῷ δουλώσειν, μάλιστα δὲ ἀπὸ τοῦ πεῖραν διδοὺς ξυνετὸς φαίνεσθαι. Ἦν γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι. Οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδὲν οὔτ' ἐπιμαθὼν,

τότε—οὐ διάλυσιν verte, 'that he was the cause, that the bridge had not been destroyed at that time:' (literally: 'the then sparing of the bridge, of which he had been the cause, or the author.') Verba *προάγγελσιν τῆς ἀναχωρήσεως* non referenda sunt ad Xerxis fugam; potius his dicit eadem, quæ C. Nep. c. 4. 'noctu de servis suis quem habuit fidelissimum, ad regem misit, ut ei nuntiaret suis verbis, adversarios ejus in fuga esse; qui si discessissent, majore cum labore et longinquiore tempore bellum confecturum, quum singulos consectari cogeretur; quos, si statim aggrederetur, brevi universos oppressurum.' Duo igitur Xerxi in memoriam revocat; alterum quod ante pugnam Salaminiam, quare dicit *ἐκ Σαλαμῖνος*, certiorem fecerit regem, Græcos in fuga esse; conf. Herodot. viii, 75.: alterum, quod regi fugienti non dissolvendi pontis auctor fuerit. C. Nep. V. Them. c. 5. 'nam Themistocles, verens ne bellare perseveraret, certiorem eum facit id agi, ut pons, quem ille in Hellesponto fecerat, dissolveretur, ac reditu in Asiam excluderetur, id quod ei persuasit.' Conf. Herodot. viii, 109. Verbum *προάγγελσις* non significat 'a message sent to caution one,' ut Bredov. vertit, sed 'nuntium ante missum.' Usum particulæ *οὐ* cum subst. copulatæ ex Thucydide memorat Eustath. ad Il. i. p. 111. Rom. Conf. Greg. Cor. p. 98., ibiq. interpp. Adde iii, 95. *διὰ τῆς Λευκάδος τὴν οὐ περιτείχισιν*, quem locum fortasse in mente habuit Dionys. p. 795., ubi scribit, *ταύτης δέ ἐστι τῆς ἰδέας ἥ τε οὐκ ἀποτείχισις τοῦ Πλημμυρίου*; addit *ἣν ἐν τῇ ἑβδόμῃ βίβλῳ τέθεικεν ἐν δημηγορίᾳ*. Sed verba ab eo allata frustra quæras, neque unquam Plemmyrium ab Atheniensibus communitum est. v, 50. *ἡ οὐκ ἐξουσία*. Quem autem Greg. l. l. affert locum, iii, 10. is huc non pertinet. V. Valck. ad Eur. Hipp. 184. Casaub. ad Dionys. A. R. x, 43. Matth. Gr. § 608. Popp. Prol. t. i. p. 166. Dionysium putat confundere *τὴν τοῦ Πλημμυρίου ἅλωσιν*, sive *λῆψιν*, quæ lib. viii. aliquoties legitur, cum *τῇ τῆς Λευκάδος οὐ περιτειχίσει*, quæ ap. Thuc. est.

138. *ἀπὸ τοῦ—φαίνεσθαι*] Participium *διδοὺς* schol. putat pro infin. positum esse: *διδοὺς ἀντὶ τοῦ διδόναι*. Male, nam sensus est, *καὶ ἀπὸ τοῦ ξυνετὸς φαίνεσθαι, οὗ πεῖραν ἐδίδου*. Conf. i, 121. *ἡμεῖς δὲ ἐπὶ τῷ τιμωρούμενοι τοὺς ἐχθροὺς καὶ αὐτοὶ ἅμα σώζεσθαι οὐκ ἄρα δαπανήσομεν*; ubi structura hæc est: *ἐπὶ τῷ σώζεσθαι, τιμωρούμενοι τ. ἐχθρ.*, i. e. 'ad salutem nostram ipsorum, dum hostes propulsamus.'

ἦν γὰρ ὁ Θεμιστ.—θαυμάσαι] Dionys. p. 794. et rursus usque ad *δέοντα ἐγένετο* p. 807. et schol. ad Hermog. Ad verba *ἐς αὐτὸ* supple *ἐς τὸ τῆς φύσεως ἰσχὺν δηλοῦν*. De verbis *ἄξιος θαυμάσαι* (i. e. *θαυμασθῆναι*. v. Dorv. ad Char. p. 435. 469. 526.) v. Matth. Gr. § 535. Obs. Hemsterh. ad Lucian. t. i. p. 308. Mox, voc. *οἰκείᾳ* (i. e. *φυσικῇ*, ut schol. explicat) explanatur participiis *οὔτε προμαθὼν οὔτε ἐπιμαθὼν*, quorum prius est, 'cum nihil didicisset, priusquam rempublicam capesseret,' alterum, 'nihil post publica negotia addidicisset, omnia innata quadam ingenii felicitate præditus perageret.' Verba *τῶν τε παραχρῆμα—εἰκαστὴς* laudat Cic. Ep. ad Att. x, 8. paulum immutata; convertit C. Nep. V. Them. c. 1. 'neque minus in rebus gerendis promtus, quam

τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστος γνώμων καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής. Καὶ ἃ μὲν μετὰ χεῖρας ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε· ὧν δὲ ἄπειρος εἴη, κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο. Τό τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι προεώρα μάλιστα. Καὶ τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βρα-

excogitandis erat; quod et de instantibus (ut ait Thucydides) verissime judicabat, et de futuro callidissime conjiciebat.' Plerumque, Popp. ait, Prol. t. i. p. 198., a Thucydide eadem notio aliis verbis iteratur, cum in aliis verbis, tum in nominibus, ut h. l. τῶν μελλόντων—εἰκαστής.—Sed in his verbis pleonasmus non est, si jungas τῶν μελλόντων ἄριστος εἰκαστὴς ἐπὶ πλεῖστον τοῦ γενησομένου. Imitatur Dionys. A. R. vii, 57. p. 1445. συνενέγκοι μὲν ταῦτα ὑμῖν καὶ γενοίμην ἐγὼ κακὸς εἰκαστὴς τῶν ἐσομένων. V. Hemsterh. ad Lucian. t. i. p. 190., ubi plura hujus imitationis exempla. Adde interpp. ad Dionys. p. 449. Verba μελέτης—ἐγένετο sic expressit C. Nep. l. l. 'celeriterque quæ opus erant reperiebat.' Verba κρῖναι—οὐκ ἀπήλλακτο explicanda sunt ex supradictis ad c. 74. Supple articulum τοῦ ad κρῖναι. 'Μέλλοντα sunt universe 'futurum tempus;' γενησόμενα tanquam forma generis μελλόντων, 'ea quæ revera fient:' hæc differentia jam tum in sermonis consuetudine observabatur, et magis explicita est postea philosophorum disputationibus de fato. Μετὰ χεῖρας ἔχοι opponitur proximo ὧν δὲ ἄπειρος εἴη, ergo accipiendum pro μεταχειρίζοιτο, 'quæ frequenti usu tractare soleret.' 'Ἐξηγεῖσθαι, 'efficere quid suo ductu, res gerere,' ut reddidit Nepos .... Porro μελέτης βραχύτητι, 'meditationis brevitate,' 'brevissima ad agendum præparatione,' 'naturali ingenii facultate subito expediebat' τὰ δέοντα, 'quod opus erat,' 'quod quærebatur,' 'quod ex re esset.' Igitur αὐτοσχεδιάζειν non cum schol. de extemporali dicendi facultate accipiendum, sed item ut ἐξηγεῖσθαι de actione.' Verba sunt Wyttenbachii Ecl. Hist. p. 365. Μετὰ χεῖρας ἔχειν est 'tractare,' 'exsequi:' est igitur, 'quæ tractaret,' non 'quæ frequenti usu tractare soleret.' De illis μελλόντων et γενησομένων jam supra dixi. 'Ἐξηγεῖσθαι autem ut interpreter, 'oratione exponere,' 'facundia pollere,' adducor locis veterum, ubi summa in laude ponunt agendi cum eloquendi facultate conjunctam solertiam, vel ut Horat. Ep. i, 4, 8. 'Quid voveat dulci nutricula majus alumno, Qui sapere et fari possit, quæ sentiat?' Αὐτοσχεδιάζειν est subito, i. e. non meditato, 'reperire quod in rem sit,' neque aut solam actionem aut solam orationem spectat. Quod ad Nepotem provocat Wyttenb., is expressit Thucydidis locum, sed, ut Latini solent, non ad verbum: itaque liberior versio ejus est in verbis, 'neque minus in rebus gerendis promptus, quam excogitandis erat.' Quod autem ad ἐξηγεῖσθαι spectat, præterea confer quæ in laudem summorum virorum Periclis et Antiphontis protulit, eos et res cognitas habuisse, et cogitata facunde effari didicisse: ὅ τε γὰρ γνοὺς (Periclis verba sunt, ii, 60.) καὶ μὴ σαφῶς διδάξας ἐν ἴσῳ καὶ εἰ μὴ ἐνεθυμήθη, ὅ τ' ἔχων ἀμφότερα, τῇ δὲ πόλει δύσνους, οὐκ ἂν ὁμοίως τι οἰκείως φράζοι, et καίτοι ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε, ὃς οὐδενὸς ἥσσων οἴομαι εἶναι γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι ταῦτα. Similiter Xenoph. Mem. ii, 32. μόνους δὲ φάσκειν αὐτὸν ἀξίους εἶναι τιμῆς τοὺς εἰδότας τὰ δέοντα καὶ ἑρμηνεῦσαι δυναμένους. Polyb. iv, 8. de Arato: καὶ γὰρ εἰπεῖν καὶ διανοηθῆναι καὶ στέξαι τὸ κριθὲν δυνατός. Dionys. A. R. p. 2086. de Siccio Dentato: καὶ φρονῆσαι τὰ δέοντα ἱκανὸς, εἰπεῖν τε ὡς στρατιώτης οὐκ ἀδύνατος. Lucian. d. Saltat. t. v. p. 146. καὶ ὅπερ ὁ Θουκυδίδης περὶ τοῦ Περικλέους ἔφη, ἐπαινῶν τὸν ἄνδρα, τοῦτο καὶ τὸ τοῦ ὀρχηστοῦ ἀκρότατον ἂν ἐγκώμιον εἴη, γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι αὐτά. Abresch. Misc. Obs. vol. iii. p. 151. 'Lucianus legit αὐτὰ, quomodo et alibi adlatum me invenisse scio.' V. interpp. Lucian. t. v. p. 464. t. vii. p. 221. Laudat Periclis verba etiam schol. Hermog. p. 75. imitatur Dem. pro Cor. p. 355. Genev. v. Abresch. Diluc. p. 245. Philo p. 312. καὶ ἐνθυμεῖσθαι τὰ βέλτιστα καὶ ἐξαγγέλλειν τὰ νοηθέντα, et p. 747. πυκνὸς ἦν—καὶ ὀξὺς νοῆσαι καὶ βουλευθέντα πρᾶξαι. Adde de Pericle verba inf. c. 139. extr. ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον πρῶτος 'Αθηναίων, λέγειν τε καὶ πράσσειν δυνατώτατος, et viii, 68. 'Αντιφῶν, ἀνὴρ 'Αθηναίων τῶν καθ' ἑαυτὸν ἀρετῇ τε οὐδενὸς ὕστερος καὶ κράτιστος ἐνθυμηθῆναι γενόμενος καὶ ἃ ἂν γνοίη, εἰπεῖν. Denique ad verba τό τε ἄμεινον—ἀφανεῖ ἔτι supple ὄν. V. supr. ad c. 122. Anecd. Bekk. i. p. 83. αὐτοσχεδιάζειν, οὐ σχεδιάζειν, ὡς οἴονται. 'Ισοκράτης Εὐαγόρᾳ, Θουκυδίδης πρώτῳ.

χύτητι, κράτιστος δὴ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο. Νοσήσας δὲ τελευτᾷ τὸν βίον· λέγουσι δέ τινες καὶ ἑκούσιον φαρμάκῳ ἀποθανεῖν αὐτὸν ἀδύνατον νομίσαντα εἶναι ἐπιτελέσαι βασιλεῖ ἃ ὑπέσχετο. Μνημεῖον μὲν οὖν αὐτοῦ ἐν Μαγνησίᾳ ἐστὶ τῇ Ἀσιανῇ ἐν τῇ ἀγορᾷ· ταύτης γὰρ ἦρχε τῆς χώρας, δόντος βασιλέως αὐτῷ Μαγνησίαν μὲν ἄρτον, ἣ προσέφερε πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ, Λάμψακον δὲ οἶνον· ἐδόκει γὰρ πολυοινότατον τῶν τότε εἶναι· Μυοῦντα δὲ ὄψον. Τὰ δὲ ὀστᾶ φασι κομισθῆναι αὐτοῦ οἱ προσήκοντες οἴκαδε κελεύσαντος ἐκείνου καὶ τεθῆναι κρύφα Ἀθηναίων ἐν τῇ Ἀττικῇ· οὐ γὰρ ἐξῆν θάπτειν ὡς ἐπὶ προδοσίᾳ φεύγοντος. Τὰ μὲν κατὰ Παυσανίαν τὸν Λακεδαιμόνιον καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον λαμπροτάτους γενομένους τῶν καθ' ἑαυτοὺς Ἑλλήνων οὕτως ἐτελεύτησεν.

139. Λακεδαιμόνιοι δὲ ἐπὶ μὲν τῆς πρώτης πρεσβείας τοιαῦτα ἐπέταξάν τε καὶ ἀντεκελεύσθησαν περὶ τῶν ἐναγῶν τῆς ἐλάσεως· ὕστερον δὲ φοιτῶντες παρὰ Ἀθηναίους Ποτιδαίας τε ἀπανίστασθαι ἐκέλευον καὶ Αἴγιναν αὐτόνομον ἀφιέναι, καὶ μάλιστά γε πάντων καὶ ἐνδηλότατα προὔλεγον τὸ περὶ Μεγαρέων ψήφισμα καθελοῦσι μὴ ἂν γίγνεσθαι πόλεμον, ἐν ᾧ εἴρητο αὐτοὺς μὴ χρῆσθαι τοῖς λιμέσι τοῖς ἐν τῇ Ἀθηναίων

τελευτᾷ] De obitu hujus viri varia prodita sunt. Schol. *αἷμα ταύρειον πιὼν ἀπέθανεν.* V. Wessel. ad Diod. xi. p. 447. Plut. V. Them. p. 499. Reisk. Cic. Brut. 11. fictum hoc putat: 'hanc enim mortem,' inquit, 'rhetorice et tragice exornare potuerunt: illa mors vulgaris nullam præbebat materiam ad ornatum.' Symmachus, vetus interpres Aristophanis, fabulam e male intellectis Sophoclis versibus in Helena ortam dicit, apud schol. Arist. Eq. 84., ubi v. Kuster., et schol. h. l. Thucydidis memorat. Monuit Duker.

μνημεῖον] V. Brisson. d. Regn. Pers. p. 211. De urbibus hic memoratis v. Strab. p. 879. 957. 943. De more regum Persarum, oppida et regiones ad victum assignandi, (ut h. l. *ἄρτον, οἶνον, ὄψον*, i. e. *εἰς ἄρτον*, etc.) v. Heeren. Ideen, vol. i. P. i. p. 522. Phot. *μνῆμα μὲν ὁ τάφος, μνημεῖον δὲ πᾶν μνημόσυνον. Οὕτω Θουκυδίδης.* Pollux ix, 15. *παρὰ δὲ Θουκυδίδῃ μόνῳ τῷ κεκριμένῳ μνημεῖα ἄν τις εἰρημένα εὕροι*, i. e. 'apud unum hunc e probatis scriptoribus.' Vocem *πολυοινότατον* e Thucydide idem excitat, vi, 22. Conf. de Lampsaco Creuzer. ad Fragm. Hist. Gr. p. 120. not.

τὰ δὲ ὀστᾶ—οἴκαδε] Cod. f. *ὑπὸ τῶν προσηκόντων*, pro *οἱ προσήκοντες*. Speciosa sane scriptura, quacum facit etiam Them. Vita C. Nep. c. 10. 'ossa ejus ab amicis esse sepulta,' et Pausan. i. p. 4. non tamen recipienda. Sensus est: 'ossa ejus reportata domum esse dicunt propinqui ejus ipsius jussu, et clam Atheniensibus in agro Attico humata.'

139. *μὴ ἂν γίγνεσθαι*] i. e. *μὴ ἂν γενήσεσθαι.* V. supr. ad c. 127. conf. ii, 27. *ἀσφαλέστερον ἂν ἐφαίνοντο—ἔχειν.* i, 2. *τῆς τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν.* vii, 28. extr. *πλέω ἂν νομίζοντές σφισι χρήματα οὕτω προσιέναι.* i, 140. *μηδεὶς νομίσῃ περὶ βραχέος ἂν πολεμεῖν.* Sic etiam præsentis et aoristi infinitivi sine *ἂν* pro futuro in usu sunt: v. Heind. ad Plat. Sophist. p. 329. ad Phædon. p. 48. ad Protag. p. 478. Lobeck. ad Phryn. p. 751. Herm. ad Soph. Aj. 1061. Vulgo, *γενέσθαι.* Præsens boni codd. obtulerunt.

ἀρχῇ μηδὲ τῇ Ἀττικῇ ἀγορᾷ. Οἱ δὲ Ἀθηναῖοι οὔτε τἄλλα ὑπήκουον οὔτε τὸ ψήφισμα καθῄρουν, ἐπικαλοῦντες ἐπεργασίαν Μεγαρεῦσι τῆς γῆς τῆς ἱερᾶς καὶ τῆς ἀορίστου, καὶ ἀνδραπόδων ὑποδοχὴν τῶν ἀφισταμένων. Τέλος δὲ ἀφικομένων τῶν τελευταίων πρέσβεων ἐκ Λακεδαίμονος Ῥαμφίου τε καὶ Μελησίππου καὶ Ἀγησάνδρου καὶ λεγόντων ἄλλο μὲν οὐδὲν ὧν πρότερον εἰώθεσαν, αὐτὰ δὲ τάδε ὅτι Λακεδαιμόνιοι βούλονται τὴν εἰρήνην εἶναι, εἴη δ' ἂν εἰ τοὺς Ἕλληνας αὐτονόμους ἀφεῖτε, ποιήσαντες ἐκκλησίαν οἱ Ἀθηναῖοι γνώμας σφίσιν αὐτοῖς προὐτίθεσαν, καὶ ἐδόκει ἅπαξ περὶ ἁπάντων βουλευσαμένους ἀποκρίνασθαι. Καὶ παριόντες ἄλλοι τε πολλοὶ ἔλεγον, ἐπ' ἀμφότερα γιγνόμενοι ταῖς γνώμαις καὶ ὡς χρὴ πολεμεῖν καὶ ὡς μὴ ἐμπόδιον εἶναι τὸ ψήφισμα εἰρήνης, ἀλλὰ καθελεῖν, καὶ παρελθὼν Περικλῆς ὁ Ξανθίππου, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον πρῶτος Ἀθηναίων, λέγειν τε καὶ πράσσειν δυνατώτατος, παρῄνει τοιάδε.

140. Τῆς μὲν γνώμης, ὦ Ἀθηναῖοι, ἀεὶ τῆς αὐτῆς ἔχομαι μὴ εἴκειν Πελοποννησίοις, καίπερ εἰδὼς τοὺς ἀνθρώπους οὐ τῇ αὐτῇ ὀργῇ ἀναπειθομένους τε πολεμεῖν καὶ ἐν τῷ ἔργῳ πράσσοντας, πρὸς δὲ τὰς ξυμφορὰς καὶ τὰς γνώμας τρεπομένους. Ὁρῶ δὲ καὶ νῦν ὁμοῖα καὶ παραπλήσια ξυμβουλευτέα μοι ὄντα καὶ τοὺς ἀναπειθομένους ὑμῶν δικαιῶ τοῖς κοινῇ δόξασιν,

ἐπικαλοῦντες—ἀορίστου] Verba *ἐπικαλοῦντες—γῆς* vitiose adscripsit Phavorin. in *ἐγκαλῶ*, qui exscripsit Thomam M. p. 262. Schol. *ἀόριστός ἐστιν ἡ μὴ ἔχουσα ὅρους, μηδὲ σπειρομένη· ἡ γὰρ σπειρομένη ὅρους ἔχει, ἅτε οὖσα μεμερισμένη, ἕως οὗ ἐστὶν ἑκάστῳ τὸ δίκαιον τῆς διακρατήσεως.* Quibus verbis male intellectis, Lindav. Spicil. p. 3. conjecit *ἀναρότου* pro *ἀορίστου.* Quippe terra sacra nullos habebat terminos, quia sine dominis erat, jacebatque inculta, quemadmodum ager publicus Romanorum sine limitibus erat antequam jussu populi transibat ad colonos, quibus assignari solebat, ita ut suus cuique jugerum numerus admeteretur, limites describerentur et inaugurarentur; igitur terra *ἀόριστος* dicitur, non quasi in immensum pertinuisset, sed quia nulli in ea limites partes a singulis possessoribus aratas definiebant. Licet etiam alio modo hanc vocem explicare, si cogites, illum agrum non certis limitibus inclusum, ideoque controversum fuisse. V. Popp. Prol. t. ii. p. 256.

ἀνδραπόδων] servorum Aspasiæ. V. Athen. xiii. p. 570. A. coll. Arist. Ach. 525., ibiq. schol.

ἀφεῖτε] Boni codd. *ἀφῆτε*, quod ferri potest si pro *εἰ* simul *ἣν* legatur. V. Matth. Gr. § 524, 4. At nihil offensionis est in vulgata, qua transitus fit ex oratione obliqua ad rectam: v. Heind. ad Plat. Protag. p. 510.

ψήφισμα] sc. *τὸ περὶ Μεγαρέων.* Id negabant esse debere impedimentum pacis. Schol. *τὸ ψήφισμα φησὶν οὐ τὸ Μεγαρέων, ἀλλὰ τὸ μὴ εἶναι αὐτονόμους τοὺς Ἕλληνας.* At quonam tandem populiscito socii vel Græci libertate privati sunt?

140. Pericles postulationes Lacedæmoniorum injustas esse, arguit; Athenienses quanto hostibus præstent, quamque mancus Peloponnesiorum apparatus, qua ratione bellum gerendum, quid legatis Spartanis respondendum sit, demonstrat. Dignis laudibus orationem extollunt Dionys. p. 920. et Aristid. t. iii. p. 226.

τὰς γνώμας] Accusativus non pendet ex *πρὸς*, sed ex *τρεπομένους*; licet enim

ἢν ἄρα τι καὶ σφαλλώμεθα, βοηθεῖν, ἢ μηδὲ κατορθοῦντας τῆς ξυνέσεως μεταποιεῖσθαι. Ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι ἢ καὶ τὰς διανοίας τοῦ ἀνθρώπου· διόπερ καὶ τὴν τύχην ὅσα ἂν παρὰ λόγον ξυμβῇ εἰώθαμεν αἰτιᾶσθαι. Λακεδαιμόνιοι δὲ πρότερόν τε δῆλοι ἦσαν ἐπιβουλεύοντες ἡμῖν καὶ νῦν οὐχ ἥκιστα. Εἰρημένον γὰρ δίκας μὲν τῶν διαφόρων ἀλλήλοις διδόναι καὶ δέχεσθαι, ἔχειν δὲ ἑκατέρους ἃ ἔχομεν, οὔτε αὐτοὶ δίκας πω ᾔτησαν οὔτε ἡμῶν διδόντων δέχονται, βούλονται δὲ πολέμῳ μᾶλλον ἢ λόγοις τὰ ἐγκλήματα διαλύεσθαι καὶ ἐπιτάσσοντες ἤδη καὶ οὐκέτι αἰτιώμενοι πάρεισι. Ποτιδαίας τε γὰρ ἀπανίστασθαι κελεύουσι καὶ Αἴγιναν αὐτόνομον ἀφιέναι καὶ τὸ Μεγαρέων ψήφισμα καθαιρεῖν· οἱ δὲ τελευταῖοι οἵδε ἥκοντες καὶ τοὺς Ἕλληνας προαγορεύουσιν αὐτονόμους ἀφιέναι. Ὑμῶν δὲ μηδεὶς νομίσῃ περὶ βραχέος ἂν πολεμεῖν, εἰ τὸ Μεγαρέων ψήφισμα μὴ καθέλοιμεν, ὅπερ μάλιστα προύχονται, εἰ καθαιρεθείη, μὴ ἂν γίγνεσθαι τὸν πόλεμον· μηδ' ἐν ὑμῖν αὐτοῖς αἰτίαν ὑπολίπησθε ὡς διὰ μικρὸν ἐπολεμήσατε. Τὸ γὰρ βραχύ τι τοῦτο πᾶσαν ὑμῶν ἔχει τὴν βεβαίωσιν καὶ πεῖραν τῆς γνώμης, οἷς εἰ ξυγχωρήσετε καὶ ἄλλο τι μεῖζον εὐθὺς ἐπιταχθήσεσθε, ὡς

Græce dicere, *τρέπομαι τὴν γνώμην*, i. e. 'sententia mea mutatur.'

κατορθοῦντας] Schol. *ἀντὶ τοῦ, ἢ μηδὲ κατορθούντων*. Male; nam non minus recte homines *κατορθοῦν* dicuntur, quam res. Aut manete, dicit, in sententia, aut, si defueritis, vel pace præoptanda, vel bello segnius juvando, ne tum quidem prudentiam jactate, cum recte cesserit, neve vobis tribuite successum consiliorum, quæ minime juveritis, quia sic felices tantum vos recte dicetis, non prudentes. Jam sequentibus *ἐνδέχεται — αἰτιᾶσθαι*, quæ adscripsit Suid. in *ξυμφορὰν*, causa continetur, cur qui sententias temere mutent, etiamsi bene iis succedat, prudentiæ laudem sibi vindicare non debeant: posse enim etiam imperita consilia fortuna adjuvari; quare ab iis, quorum exspectationi prosper eventus non responderit, non sua consilia, sed fortunæ ludos incusari. 'Fieri potest, ut casus fortuiti non minus imperite eveniant quam consilia hominum,' i. e. ut casus fortuiti eveniant ita, ut vel prudentissimus eos non prævideat, sicut consilia hominum usu venire imperita possunt. 'For the various occurrences in the course of events may sometimes happen as suddenly and unseasonably as the thoughts and ideas of men.' Mox, verbum *διδόντων* prægnanti sensu positum, 'nobis dare volentibus,' ut ap. Cic. Cat. i, 5, 13. De sententia conf. supr. c. 120. *πολλὰ γὰρ κακῶς γνωσθέντα ἀβουλοτέρων τῶν ἐναντίων τυχόντα κατωρθώθη, καὶ ἔτι πλέω, ἃ καλῶς δοκοῦντα βουλευθῆναι ἐς τοὐναντίον αἰσχρῶς περιέστη*. Verba *δίκας μὲν—δέχεσθαι* habet Thom. M. p. 227.

Μεγαρέων ψήφισμα] i. e. *περὶ Μεγαρέων*. V. Toll. Excurs. 2. ad Apollon. Lex. Hom. p. 751. Conf. Il. iii, 206. *σεῦ ἕνεκ' ἀγγελίης*, i. e. 'propter legationem tua causa susceptam.' V. Taylor. ad Lys. p. 122. Perizon. ad Sanct. Min. ii, 1, 15. Burm. ad Phædr. iii, 8, 2. Mox, verba *ὅπερ— προύχονται* explicant Thom. M. p. 740. et Suidas v. *προύχοντο*, qui adscripsit verba *εἰ τὸ Μεγ.—προύχονται*.

οἷς εἰ ξυγχωρήσετε] Imitatur Dionys. A. R. p. 1180. *ὥστ' εἰ τὰ πρῶτα συγχωρήσετε, ἕτερόν τι χεῖρον εὐθὺς ἐπιταχθήσεσθε, ὡς φόβῳ ὑπακούσαντες καὶ τὰ πρῶτα*. Idem expressit quæ sequuntur, *πρὶν βλαβῆναί τι*, et *οἷς οὔτ' ἴδια οὔτ' ἐν κοινῷ*

φόβῳ καὶ τοῦτο ὑπακούσαντες· ἀπισχυρισάμενοι δὲ σαφὲς ἂν καταστήσετε αὐτοῖς ἀπὸ τοῦ ἴσου ὑμῖν μᾶλλον προσφέρεσθαι.

141. Αὐτόθεν δὴ διανοήθητε ἢ ὑπακούειν πρίν τι βλαβῆναι, ἢ εἰ πολεμήσομεν, ὡς ἔμοιγε ἄμεινον δοκεῖ εἶναι, καὶ ἐπὶ μεγάλῃ καὶ ἐπὶ βραχείᾳ ὁμοίως προφάσει μὴ εἴξοντες μηδὲ ξὺν φόβῳ ἕξοντες ἃ κεκτήμεθα. Τὴν γὰρ αὐτὴν δύναται δούλωσιν ἥ τε μεγίστη καὶ ἐλαχίστη δικαίωσις ἀπὸ τῶν ὁμοίων πρὸ δίκης τοῖς πέλας ἐπιτασσομένη. Τὰ δὲ τοῦ πολέμου καὶ τῶν ἑκατέροις ὑπαρχόντων ὡς οὐκ ἀσθενέστερα ἕξομεν γνῶτε καθ' ἕκαστον ἀκούοντες. Αὐτουργοί τε γάρ εἰσι Πελοποννήσιοι καὶ οὔτε ἰδίᾳ οὔτε ἐν κοινῷ χρήματά ἐστιν αὐτοῖς, ἔπειτα χρονίων πολέμων καὶ διαποντίων ἄπειροι διὰ τὸ βραχέως αὐτοὶ ἐπ' ἀλλήλους ὑπὸ πενίας ἐπιφέρειν. Καὶ οἱ τοιοῦτοι οὔτε ναῦς πληροῦντες οὔτε πεζὰς στρατιὰς πολλάκις ἐκπέμπειν δύνανται, ἀπὸ τῶν ἰδίων τε ἅμα ἀπόντες καὶ ἀπὸ τῶν αὐτῶν δαπανῶντες καὶ προσέτι καὶ θαλάσσης εἰργόμενοι· αἱ δὲ περιουσίαι τοὺς πολέμους μᾶλλον ἢ αἱ βίαιοι ἐσφοραὶ ἀνέχουσι. Σώμασί τε ἑτοιμότεροι οἱ αὐτουργοὶ τῶν ἀνθρώπων ἢ χρήμασι πολεμεῖν, τὸ μὲν πιστὸν ἔχοντες ἐκ τῶν κινδύνων κἂν περιγενέσθαι, τὸ δὲ οὐ βέβαιον μὴ οὐ

χρήματά ἐστιν, et leviter mutata verba e cap. 141. *αἱ περιουσίαι τοὺς πολέμους μᾶλλον ἀνέχουσι*, quæ sic effert, *οἱ πόλεμοι ταῖς περιουσίαις τῶν χρημάτων ὡς τὰ πολλὰ ἀντέχουσιν*. In his *ἐπιταχθήσεσθε* est dictum pro *ἐπιταχθήσεται ὑμῖν*. V. Matth. Gr. § 424, 2. et initio enuntiati *οἷς εἰ* pro *εἰ γὰρ αὐτοῖς*. Denique, *τοῦτο ὑπακούσαντες* non ad *ἄλλο τι μεῖζον* spectat, sed ad *τὸ βραχύ τε τοῦτο*, 'aliud majus vobis imperabunt, quasi metu percussi in hoc morem iis gesseritis.'

καταστήσετε] V. Popp. Prol. t. i. p. 138.

141. *αὐτόθεν*] i. e. *ἐκ τούτων*, 'ex his igitur.'

διανοήθητε—κεκτήμεθα] Haack. secutus Kistenmakerum, qui *εἰ* exponit per 'an,' statuit, scriptorem variata oratione dicere *εἰ πολεμήσομεν*, 'deliberate, an bellum gesturi sumus,' pro *πολεμεῖν*, quod antecedenti *ὑπακούειν* magis conveniret. Gail. et Popp. Obs. p. 98. structuram *ἀπὸ κοινοῦ* esse putantes, ex *πολεμήσομεν* repetunt infinitivum *πολεμεῖν*, supplendum ad participia *εἴξοντες* et *ἕξοντες*. Comparat Poppo verba iii, 2. *τῶν λιμένων τὴν χῶσιν καὶ τειχῶν οἰκοδόμησιν καὶ νεῶν ποίησιν ἐπέμενον τελεσθῆναι καὶ ὅσα ἐκ τοῦ Πόντου ἔδει ἀφικέσθαι*, i. e. *καὶ ἀφικέσθαι ὅσα ἔδει ἀφικέσθαι*. Quibus similis est locus Plat. Phædon. c. 62. *οἳ δὲ δὴ ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι*, ubi *βιῶναι* bis cogitandum. Nostro tamen loco verbum quod supplendum est, alio modo effertur, quam verbum unde suppletur. Similiora igitur verba Dem. Ol. i. p. 15. *οὔτε γάρ, ὡς δοκεῖ, καὶ φήσειέ τις ἂν μὴ σκοπῶν ἀκριβῶς, εὐπρεπῶς, οὐδ' ὡς ἂν κάλλιστ' αὐτῷ τὰ παρόντ' ἔχοι*, i. e. *οὐδ' οὕτως ἔχει, ὡς ἂν κάλλιστα ἔχοι*. Paulo aliter se habent verba Thuc. ii, 89. *οὐκ ἂν ἡγοῦνται, μὴ μέλλοντάς τι ἄξιον τοῦ παραπολὺ πράξειν, ἀνθίστασθαι ἡμᾶς*, ubi ad *παραπολὺ* ex prægressis verbum *προνενικηκέναι* non mutata forma repetendum est: 'that we are going to do something as glorious as our former complete victory.'—Mihi quidem h. l. facilius videtur, *εἰ* pro 'an' accipere.

τὰ δὲ τοῦ πολέμου—ὑπαρχόντων] i. e. *τὰ δὲ τοῦ πολέμου καὶ τὰ ἑκατέροις ὑπάρχοντα*, ut supr. explicatum est ad c. 122. Mox *ἀνέχουσι* est, 'sustinent:' v. Herm. ad Soph. Œd. C. 680.

μὴ οὐ προαναλώσειν] i. e. 'nam corpora

προαναλώσειν, ἄλλως τε κἂν παρὰ δόξαν ὅπερ εἰκὸς ὁ πόλεμος αὐτοῖς μηκύνηται. Μάχῃ μὲν γὰρ μιᾷ πρὸς ἅπαντας Ἕλληνας δυνατοὶ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἀντισχεῖν, πολεμεῖν δὲ μὴ πρὸς ὁμοίαν ἀντιπαρασκευὴν ἀδύνατοι, ὅταν μήτε βουλευτηρίῳ ἑνὶ χρώμενοι παραχρῆμά τι ὀξέως ἐπιτελῶσι, πάντες τε ἰσόψηφοι ὄντες καὶ οὐχ ὁμόφυλοι τὸ ἐφ' ἑαυτῶν ἕκαστος σπεύδει· ἐξ ὧν φιλεῖ μηδὲν ἐπιτελὲς γίγνεσθαι. Καὶ γὰρ οἱ μὲν ὡς μάλιστα τιμωρήσασθαί τινα βούλονται, οἱ δὲ ὡς ἥκιστα τὰ οἰκεῖα φθεῖραι. Χρόνιοί τε ξυνιόντες ἐν βραχεῖ μὲν μορίῳ σκοποῦσί τι τῶν κοινῶν, τῷ δὲ πλέονι τὰ οἰκεῖα πράσσουσι. Καὶ ἕκαστος οὐ παρὰ τὴν ἑαυτοῦ ἀμέλειαν οἴεται βλάψειν, μέλειν δέ τινι καὶ ἄλλῳ ὑπὲρ ἑαυτοῦ τι προϊδεῖν, ὥστε τῷ αὐτῷ ὑπὸ ἁπάντων ἰδίᾳ δοξάσματι λανθάνειν τὸ κοινὸν ἀθρόον φθειρόμενον.

142. Μέγιστον δὲ τῇ τῶν χρημάτων σπάνει κωλύσονται, ὅταν σχολῇ αὐτὰ ποριζόμενοι διαμέλλωσι· τοῦ δὲ πολέμου οἱ καιροὶ οὐ μενετοί. Καὶ μὴν οὐδ' ἡ ἐπιτείχισις οὐδὲ τὸ ναυτικὸν αὐτῶν ἄξιον φοβηθῆναι. Τὴν μὲν γὰρ χαλεπὸν καὶ ἐν εἰρήνῃ πόλιν ἀντίπαλον παρασκευάσασθαι, ἧπου δὴ ἐν πολεμίᾳ τε καὶ οὐχ ἧσσον ἐκείνοις ἡμῶν ἀντεπιτετειχισμέ-

quidem ex periculis evasura sperant, pecunias autem non persuasum habent non ante belli finem absumtum iri:' v. Herm. ad Vig. p. 796, 265.

μήτε βουλευτηρίῳ—ἐπιτελῶσι] i. e. *μὴ χρώμενοι μὴ ἐπιτελῶσι*. V. supr. ad c. 12. Similia his Livius, qui postquam xxxiv, 34. Quintium loquentem induxit, hæc addit: 'hæc oratio primum animos omnium ad respicienda domestica mala convertit, segnitiem et invidiam et obtrectationem domi manentium adversus militiam, libertatem difficilem ad consensum, inopiam publicam, malignitatem conferendi ex privatis.' Paulo ante, verba *μὴ πρὸς ὁμοίαν ἀντιπαρασκευὴν* dicta pro *πρὸς παρασκευὴν μὴ ὁμοίαν*, sive *ἀνομοίαν*, ut i, 91. *μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς*. iii, 57. *μὴ τὰ εἰκότα*. 67. *οὐκ ἐκ προσηκόντων*. Mox, *ἰσόψηφοι* ex h. l. citat Pollux viii, 15. Ad *ὁμόφυλοι* schol. cod. F. adnotavit *οἱ μὲν γὰρ Δωριεῖς, οἱ δὲ Αἰολεῖς, οἱ δὲ Βοιωτοί*.

ἐφ' ἑαυτῶν] K. L. O. Vulg. *ἐφ' ἑαυτόν*. Conf. i, 17. *τὸ ἐφ' ἑαυτῶν μόνον προορώμενοι*. ii, 63. *ἐπὶ σφῶν αὐτῶν—οἰκεῖν*. V. Matth. Gr. § 584. θ. Mox, *σπεύδει* scripsi ex plerisque codd. pro *σπεύδῃ*. Variatur, ut solet, structura. V. supr. ad c. 38.

παρὰ—ἀμέλειαν] i. e. 'propter incuriam.' V. Viger. p. 645. Valcken. ad Argum. Eur. Phœn. p. xxi. Matth. Gr. § 588. Conf. Lucian. d. Conscr. Hist. c. 11. Deinde, *ὑπὲρ ἑαυτοῦ* est, 'in his stead, or place.'

142. *κωλύσονται*] i. e. *κωλυθήσονται*. V. Hemsterh. ad Thom. M. p. 852. Abresch. Auct. p. 294. Matth. Gr. § 496. Buttm. § 123, 3. De v. *διαμέλλειν* v. Zonar., ibiq. Tittm. Verbis *τοῦ δὲ πολέμου—μενετοὶ* usus est Thom. M. p. 608.

καὶ μὴν οὐδ' ἡ ἐπιτείχισις—ἀμύνεσθαι] "Apud alios scriptores ipsum *φρούριον* in hostili regione exstructum dicitur *ἐπιτειχίζεσθαι*, atque Thuc. ipse de Deceleæ castelli munitione usurpat nomen *ἐπιτείχισις*, vi, 90. At hic *φρούριον* quidem dicit fieri posse, sed *ἐπιτείχισμα* vix pacis tempore per urbem æqualem viribus et æmulam, ideoque alias urbes æmulas habentem, effici. An igitur *ἐπιτείχισιν ποιεῖσθαι* est 'mœnia continua in aliquam urbem exstruere?' Sed fac ita esse; quid sibi volunt hæc, *οὐχ ἧσσον ἐκείνοις ἡμῶν ἀντεπιτετειχισμένων*? Steph. in Thesaur. 'cum nos non minus contra ipsos munitiones vicissim excitarimus,' sive 'propugnaculis adversus eos excitatis vicissim nos munierimus.' Ibi ne urgeamus, activi participium requiri, (cum perfectum passivi medii vim habere possit,)

νων. Φρούριον δ᾽ εἰ ποιήσονται, τῆς μὲν γῆς βλάπτοιεν ἄν τι μέρος καταδρομαῖς καὶ αὐτομολίαις, οὐ μέντοι ἱκανόν γε ἔσται ἐπιτειχίζειν τε κωλύειν ἡμᾶς πλεύσαντας ἐς τὴν ἐκείνων καὶ ἧπερ ἰσχύομεν ταῖς ναυσὶν ἀμύνεσθαι. Πλέον γὰρ ἡμεῖς ἔχομεν τοῦ κατὰ γῆν ἐκ τοῦ ναυτικοῦ ἐμπειρίας ἢ ἐκεῖνοι ἐκ τοῦ κατ᾽ ἤπειρον ἐς τὰ ναυτικά. Τὸ δὲ τῆς θαλάσσης ἐπιστήμονας γενέσθαι οὐ ῥᾳδίως αὐτοῖς προσγενήσεται. Οὐδὲ γὰρ ὑμεῖς, μελετῶντες αὐτὸ εὐθὺς ἀπὸ τῶν Μηδικῶν, ἐξείργασθέ πω· πῶς δὴ ἄνδρες γεωργοὶ καὶ οὐ θαλάσσιοι καὶ προσέτι οὐδὲ μελετῆσαι ἐασόμενοι διὰ τὸ ὑφ᾽ ἡμῶν πολλαῖς ναυσὶν ἀεὶ ἐφορμεῖσθαι, ἄξιον ἄν τι δρῷεν; πρὸς μὲν γὰρ ὀλίγας ἐφορμούσας κἂν διακινδυνεύσειαν πλήθει τὴν ἀμαθίαν θρασύνοντες, πολλαῖς δὲ εἰργόμενοι ἡσυχάσουσι, καὶ ἐν τῷ μὴ μελετῶντι ἀξυνετώτεροι ἔσονται καὶ δι᾽ αὐτὸ καὶ ὀκνηρότεροι. Τὸ δὲ ναυτικὸν τέχνης ἐστὶν

quales sunt illæ munitiones, quas Athenienses tunc, bello nondum exorto, jam ædificarunt adversus Lacedæmonios et in agro quidem hostili? Num muri ad Potidæam obsidendam facti? At quomodo hanc ob causam difficile erat in ipsa Attica munimenta excitare? An ipsarum Athenarum muri, qui pacis tempore ægre exstructi erant? At quomodo in hos quadrat verbum ἐπιτειχίζεσθαι, præsertim cum ἐπιτείχισις Lacedæmoniorum aliter accipienda sit? Præterea unum καὶ, vel quod ante κωλύειν, vel quod ante ἧπερ vulgo reperitur, turbat structuram; prius igitur recte omittitur in H. c. atque apud Vallam. [adde in A. B. h.] Sed eo ejecto restant tamen difficultates, etc." Popp. Prol. t. i. p. 236.—Nihil in his difficultatis est. Ἐπιτείχισις Lacedæmoniorum est 'circumvallatio urbium Atticarum continuis operibus facta,' quæ ut magnæ molis vel in pace arduum est exstruere, licet exstruantur ab urbe pari opibus et arte muniendi, nedum a Lacedæmoniis hujus artis imperitis perficiantur, qui non callerent τὸ τειχομαχεῖν, ideoque Athenienses ad Ithomen expugnandam auxilio vocarunt. V. supr. c. 102. Ἀντεπιτείχισις autem Atheniensium non proprie vocatur, sed classes eorum intelligendæ, quibus oras Peloponnesi advecti Lacedæmonios terræ suæ obsessores ab obsessione avocant. His igitur classibus consilio Themistoclis exstructis sese ἀντεπιτετειχισμένους dicunt, i. e. viam muniisse qua obsessores in ipsorum terris contra obsidentes arceant. Jam φρούριον est castellum in hostili terra exstructum, quale postea Decelea fuit, quam, auctore Alcibiade, Spartani occuparunt, unde Atticam invasionibus infestabant, quo se transfugæ recipiebant, et Atheniensium cum finitimis commercium intutum reddebatur. Neque fuit hæc res minimum momentum ad bellum feliciter a Lacedæmoniis finiendum. Potuit autem illud oppidum communitum etiam ἐπιτείχισις appellari, quia non longe Athenis distans urbi quasi imminebat.—Mox, αὐτομολίαις intellige 'recipiendis transfugis.' V. supr. ad c. 71.

πλέον—τὰ ναυτικὰ] i. e. 'nam ex usu rerum nauticarum plus peritiæ ad prœlia terrestria habemus, quam illi ex usu militiæ terrestris ad pugnas navales.' Structura hæc: πλ. ἔχομεν ἐμπειρίας τοῦ κατὰ γῆν ἐξ ἐμπειρίας τοῦ ναυτικοῦ—ἐξ ἐμπειρίας τοῦ κατ᾽ ἤπειρον, etc. Marg. ed. Flor. Vim. emendat, non male, ἐκ τῆς τοῦ ναυτικοῦ.

μὴ μελετῶντι] His respicitur ad Or. Corinthiorum c. 121. μελετήσομεν τὰ ναυτικά. Hoc dicit, nihil adversarios in bello navali effecturos, cum ne hoc quidem sint consecuturi, ut se exerceant, quoniam Athenienses semper pluribus navibus eos sint observaturi. Mox, verbis ὅταν τύχῃ, etc. usus est Aristid. pr. Rhetor. p. 183. Canter. Ad verba ἀλλὰ μᾶλλον—γίγνεσθαι ex verbo ἐνδέχεται aliud cognatæ significationis repetendum est δεῖ, vel simile aliquid, ut ii, 13. ἀφίησιν αὐτὰ δημόσια εἶναι καὶ μηδεμίαν οἱ ὑποψίαν κατὰ ταῦτα (supple βούλεται) γίγνεσθαι, et ex composito simplex, iv, 76. ὅπως μὴ ξυμβοηθήσωσιν ἐπὶ τὸ Δήλιον οἱ Βοιωτοὶ ἀθρόοι, ἀλλ᾽ ἐπὶ τὰ σφέτερα αὐτῶν ἕκαστοι, sc. βοηθήσωσιν. De participio μελετῶντι v. Herm. ad Soph. Trach. 195.

ὥσπερ καὶ ἄλλο τι καὶ οὐκ ἐνδέχεται ὅταν τύχῃ ἐκ παρέργου μελετᾶσθαι, ἀλλὰ μᾶλλον μηδὲν ἐκείνῳ πάρεργον ἄλλο γίγνεσθαι.

143. Εἴ τε καὶ κινήσαντες τῶν Ὀλυμπίασιν ἢ Δελφοῖς χρημάτων μισθῷ μείζονι πειρῷντο ἡμῶν ὑπολαβεῖν τοὺς ξένους τῶν ναυτῶν, μὴ ὄντων μὲν ἡμῶν ἀντιπάλων ἐσβάντων αὐτῶν τε καὶ τῶν μετοίκων δεινὸν ἂν ἦν· νῦν δὲ τόδε τε ὑπάρχει καὶ ὅπερ κράτιστον κυβερνήτας ἔχομεν πολίτας καὶ τὴν ἄλλην ὑπηρεσίαν πλείους καὶ ἀμείνους ἢ πᾶσα ἡ ἄλλη Ἑλλάς. Καὶ ἐπὶ τῷ κινδύνῳ οὐδεὶς ἂν δέξαιτο τῶν ξένων τήν τε αὐτοῦ φεύγειν καὶ μετὰ τῆς ἥσσονος ἅμα ἐλπίδος ὀλίγων ἡμερῶν ἕνεκα μεγάλου μισθοῦ δόσεως ἐκείνοις ξυναγωνίζεσθαι. Καὶ τὰ μὲν Πελοποννησίων ἔμοιγε τοιαῦτα καὶ παραπλήσια δοκεῖ εἶναι, τὰ δὲ ἡμέτερα τούτων τε ὧνπερ ἐκείνοις ἐμεμψάμην ἀπηλλάχθαι καὶ ἄλλα οὐκ ἀπὸ τοῦ ἴσου μεγάλα ἔχειν. Ἤν τ' ἐπὶ τὴν χώραν ἡμῶν πεζῇ ἴωσιν, ἡμεῖς ἐπὶ τὴν ἐκείνων πλευσούμεθα, καὶ οὐκέτι ἐκ τοῦ ὁμοίου ἔσται Πελοποννήσου μέρος τι τμηθῆναι καὶ τὴν Ἀττικὴν ἅπασαν. Οἱ μὲν γὰρ οὐχ ἕξουσιν ἄλλην ἀντιλαβεῖν ἀμαχεί, ἡμῖν δέ ἐστι γῆ πολλὴ καὶ ἐν νήσοις καὶ κατ' ἤπειρον. Μέγα γὰρ τὸ τῆς θαλάσσης κράτος. Σκέψασθε δέ· εἰ γὰρ ἦμεν νησιῶται, τίνες ἂν ἀληπτότεροι ἦσαν; καὶ νῦν χρὴ ὅτι ἐγγύτατα τούτου διανοηθέντας τὴν μὲν γῆν καὶ οἰκίας ἀφεῖναι, τῆς δὲ θαλάσσης καὶ πόλεως φυλακὴν ἔχειν, καὶ Πελοποννησίοις ὑπὲρ αὐτῶν ὀργισθέντας πολλῷ πλείοσι μὴ διαμάχεσθαι· κρατήσαντές τε γὰρ αὖθις οὐκ ἐλάσσοσι μαχούμεθα καὶ ἢν σφαλῶμεν, τὰ τῶν ξυμμάχων ὅθεν ἰσχύομεν προσαπόλλυται· οὐ γὰρ ἡσυχάσουσι μὴ ἱκανῶν ἡμῶν ὄντων ἐπ' αὐτοὺς στρατεύειν· τήν τε ὀλόφυρσιν μὴ οἰκιῶν καὶ γῆς ποιεῖσθαι, ἀλλὰ τῶν σωμάτων· οὐ γὰρ τάδε τοὺς ἄνδρας, ἀλλ' οἱ ἄνδρες ταῦτα κτῶνται. Καὶ εἰ ᾤμην πείσειν ὑμᾶς, αὐτοὺς ἂν ἐξελθόντας ἐκέλευον αὐτὰ δῃῶσαι καὶ δεῖξαι Πελοποννησίοις ὅτι τούτων γε ἕνεκα οὐχ ὑπακούσεσθε.

144. Πολλὰ δὲ καὶ ἄλλα ἔχω ἐς ἐλπίδα τοῦ περιέ-

143. ὀλόφυρσιν] Dionys. xi. p. 795. ταύτης δ' ἐστὶ τῆς ἰδέας, et sequentia, in quibus aliquid excidit incuria librariorum, male huc traxit Krueger. ad ipsum p. 227. nam in mente Dionys. habuit locum, ii, 51., ubi vide.

σεσθαι, ἢν ἐθέλητε ἀρχήν τε μὴ ἐπικτᾶσθαι ἅμα πολεμοῦντες καὶ κινδύνους αὐθαιρέτους μὴ προστίθεσθαι. Μᾶλλον γὰρ πεφόβημαι τὰς οἰκείας ἡμῶν ἁμαρτίας ἢ τὰς τῶν ἐναντίων διανοίας. Ἀλλ᾽ ἐκεῖνα μὲν καὶ ἐν ἄλλῳ λόγῳ ἅμα τοῖς ἔργοις δηλωθήσεται· νῦν δὲ τούτοις ἀποκρινάμενοι ἀποπέμψωμεν Μεγαρέας μὲν ὅτι ἐάσομεν ἀγορᾷ καὶ λιμέσι χρῆσθαι, ἢν καὶ Λακεδαιμόνιοι ξενηλασίας μὴ ποιῶσι μήτε ἡμῶν μήτε τῶν ἡμετέρων ξυμμάχων· οὔτε γὰρ ἐκεῖνο κωλύει ἐν ταῖς σπονδαῖς οὔτε τόδε· τάς τε πόλεις ὅτι αὐτονόμους ἀφήσομεν, εἰ καὶ αὐτονόμους ἔχοντες ἐσπεισάμεθα καὶ ὅταν κἀκεῖνοι ταῖς αὑτῶν ἀποδῶσι πόλεσι μὴ σφίσι τοῖς Λακεδαιμονίοις ἐπιτηδείως αὐτονομεῖσθαι, ἀλλὰ αὐτοῖς ἑκάστοις ὡς βούλονται· δίκας δὲ ὅτι ἐθέλομεν δοῦναι κατὰ τὰς ξυνθήκας, πολέμου δὲ οὐκ ἄρξομεν, ἀρχομένους δὲ ἀμυνούμεθα. Ταῦτα

144. ἢν ἐθέλητε—προστίθεσθαι] "Vaticinio decepti orbis terrarum imperii spem conceperant. V. Aristoph. Eq. 961. 1010. 1086. Av. 978., ibiq. schol. Plut. V. Nic. c. 12. Boeckh. Staatsh. d. Ath. t. i. p. 314., quem nolim hoc consilium novum dixisse, invito Plut. Pericl. c. 20. Alcib. c. 17. et Thucydide. Stilbides clarus vates exercitum in Siciliam comitatus est: v. Philochor. ap. schol. Aristoph. Pac. 1031. Plut. V. Nic. c. 23." Krueger. Comm. Thuc. p. 272. not. Adde d. Sit. et Orig. Syrac. p. 36. not. 3.

ἀποπέμψωμεν] sc. αὐτούς. Conf. supr. c. 8. γνωσθέντες τῇ σκευῇ τῶν ὅπλων ξυντεθαμμένοι. c. 138. ἐλπίδα, ἣν ὑπετίθει αὐτῷ δουλώσειν, sc. αὐτό: et c. 20. τῷ Ἱππάρχῳ περιτυχόντες — διακοσμοῦντι, ἀπέκτειναν, sc. αὐτόν. Præterea trajectio verborum inest, nam justus ordo hic, νῦν δὲ ἀποπέμψωμεν τούτους ἀποκρινάμενοι, ὅτι, etc., ut ii, 12. τοσόνδε εἰπὼν ἐπορεύετο, ὅτι ἥδε ἡμέρα ἄρξει, etc., viii. 86. ἀποκρινάμενος αὐτοῖς ἀπέπεμπεν, ὅτι, etc. Mox de ξενηλασίαις Spartanorum v. Plut. Instit. Lac. t. vi. p. 88. Wessel. ad Pet. Leg. Att. p. 678. Cic. Off. iii, 11. schol. ad Thuc. i, 77. οὐδενὶ γὰρ ξένῳ μετεδίδοσαν τῶν παρ᾽ αὐτοῖς νομίμων, ἀλλὰ καὶ ἐξενηλάτουν. Meurs. Misc. Lacon. ii, 9. Crag. d. Rep. Lac. iii, 3. Xenoph. d. Rep. Lac. 14. Plut. V. Lyc. c. 27. Gail. Mém. p. 123. O. Mueller. d. Dorer, t. ii. p. 8. not. 121. 229. 411. not.

rios casus habeant, quid offensionis insit, equidem non intelligo. An forte varietate casuum vis oppositionis infringitur? Minime, opinor. Causa mutatæ scripturæ ἐλέγετο in ἔλεγον hæc fuisse videtur; quod qui vaticinia cecinissent, eosdem oracula edidisse putabant. Atqui oracula nullo certo auctore omnium ore circumferebantur, vaticinos in foris et plateis fictiunculas suas decantare cerneres. Alteri scripturæ ἐλέγοντο ipsum Popponis præceptum adversatur; nam ex eo ita tantum verbum plurale neutri substantivi junctum ferri potest, si facile a legentibus aliud substantivum aut masculini aut feminini generis neutri substituitur sine sensus dispendio. Jam quod substituatur, non aliud erit hoc loco, nisi χρησμοί, quod fieri nequit, quoniam sic in ambobus orationis membris idem diceretur. Itaque vulgatam tenui.—Mox, voc. τοιουτότροπον ex scriptore nostro memoratur in Anecd. Bekk. i. p. 114. V. Schæfer. ad Dionys. de C. V. p. 73.

ἡ δὲ εὔνοια—ἐλευθεροῦσιν] In his vulgo est ἐπῄει. At ἐποίει habent A. B. C. H. b. c. f. g. quod recepi, collatis iv, 12. vers. fin. ἐπὶ πολὺ γὰρ ἐποίει τῆς δόξης ἐν τῷ τότε τοῖς μὲν ἠπειρώταις μάλιστα εἶναι—τοῖς δὲ θαλασσίοις, etc. et Lucian. D. D. 6. καὶ τὸ αἰσχρὸν ἐπ' ἐμὲ ποιήσει διὰ τὴν ὁμοιότητα. Ποιεῖν his locis est 'effectum habere in aliquem.' Verte, 'studia hominum maxime in Lacedæmonios effectum habuerunt;' apud Lucianum, 'turpitudo facti effectum in me habebit,' i. e. 'benevolence of men particularly affected the Lacedæmonians,' et 'dishonour will affect me.' Tertium illum locum ita interpretatur Valla: 'nam fere eo tempore de utrisque talis opinio erat, ut hi mediterranei pedestribus copiis longe præstantissimi essent, illi inter maritimos plurimum re navali præcellerent,' qui id quod effectum est et quod effecit, inter se permutavit; nam non opinio hominum effecit, ut tales essent; sed quod tales erant utrique, id apud homines effecit opinionem. Ne dicam, ab eo prorsus omissam esse vocem ἐπὶ πολύ. Subjectum verbi ἐποίει sunt infinitivi εἶναι et προέχειν. Ad verbum hæc est interpretatio: 'ad multum existimationis differendum tum temporis effectum habuit illis quidem hoc, quod inter mediterraneos validissimi pedestribus copiis erant: his vero hoc quod inter maritimos rerum nauticarum peritia longe præstabant,' i. e. magna tum existimatio evaluerat, illos quidem inter mediterraneos pedestribus copiis maxime valere; hos inter maritimos rerum nauticarum peritia longe præstare.—De indicativo futuri ἐλευθεροῦσιν v. Herm. ad Vig. p. 900. d. Ellips. et Pleon. p. 193. 'studia hominum valde inclinabant in Lacedæmonios, cum præsertim ostendissent se Græciam liberaturos esse.' Eadem quæ h. l. varietas scripturæ extat iv, 12. ubi cod. L. item ἐπῄει pro ἐποίει habet.—Denique, genitivus προειπόντων positus est pro accusativo; nam præcessit Λακεδαιμονίους. Conf. v, 33. iii, 72. iv, 8. vii, 48. Ea enallage interdum locum habet, ubi alii genitivi absoluti sequuntur, ut iii, 22. προσέμιξαν τῷ τείχει τῶν πολεμίων λαθόντες τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν οὐ προϊδόντων αὐτῶν, ψόφῳ δὲ τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς ἀντιπαταγοῦντος τοῦ ἀνέμου οὐ κατακουσάντων. V. Popp. Prol. t. i. p. 121.

ξυνεπιλαμβάνειν] Usitatius hoc sensu medium est. V. Hemsterh. ad Lucian. Prom. p. 196. Verba καὶ λόγῳ—αὐτοῖς citat Thom. M. p. 816. ex eoque Phavorin. Mox, perfecto κεκωλῦσθαι persuasionem firmam, cui futura jam facta videantur, significari monuit Popp. l. l. p. 156. 'Every one thought the business already frustrated, where he could not hope to be present himself.' Eadem fere iterantur iv. 14. καὶ ἐν τούτῳ κεκωλῦσθαι ἐδόκει ἕκαστος ἐν ᾧ μή τινι καὶ αὐτὸς ἔργῳ παρῆν.

παρέσται. Οὕτως ὀργῇ εἶχον οἱ πλείους τοὺς Ἀθηναίους, οἱ μὲν τῆς ἀρχῆς ἀπολυθῆναι βουλόμενοι, οἱ δὲ μὴ ἀρχθῶσι φοβούμενοι. Παρασκευῇ μὲν οὖν τοιαύτῃ καὶ γνώμῃ ὥρμηντο.

9. Πόλεις δὲ ἑκάτεροι τάσδ' ἔχοντες ξυμμάχους ἐς τὸν πόλεμον καθίσταντο. Λακεδαιμονίων μὲν οἵδε ξύμμαχοι· Πελοποννήσιοι μὲν οἱ ἐντὸς ἰσθμοῦ πάντες πλὴν Ἀργείων καὶ Ἀχαιῶν· τούτοις δ' ἐς ἀμφοτέρους φιλία ἦν· Πελληνῆς δὲ Ἀχαιῶν μόνοι ξυνεπολέμουν τὸ πρῶτον, ἔπειτα δὲ ὕστερον καὶ ἅπαντες· ἔξω δὲ Πελοποννήσου Μεγαρῆς, Φωκῆς, Λοκροὶ, Βοιωτοὶ, Ἀμπρακιῶται, Λευκάδιοι, Ἀνακτόριοι. Τούτων ναυτικὸν παρείχοντο Κορίνθιοι, Μεγαρῆς, Σικυώνιοι, Πελληνῆς, Ἠλεῖοι, Ἀμπρακιῶται, Λευκάδιοι, ἱππέας δὲ Βοιωτοὶ, Φωκῆς, Λοκροί· αἱ δ' ἄλλαι πόλεις πεζὸν παρεῖχον. Αὕτη Λακεδαιμονίων ξυμμαχία· Ἀθηναίων δὲ Χῖοι, Λέσβιοι, Πλαταιῆς, Μεσσήνιοι οἱ ἐν Ναυπάκτῳ, Ἀκαρνάνων οἱ πλείους, Κερκυραῖοι, Ζακύνθιοι, καὶ ἄλλαι πόλεις αἱ ὑποτελεῖς οὖσαι ἐν ἔθνεσι τοσοῖσδε, Καρία ἡ ἐπὶ θαλάσσῃ, Δωριῆς Καρσὶ πρόσοικοι, Ἰωνία, Ἑλλήσποντος, τὰ ἐπὶ Θρᾴκης, νῆσοι ὅσαι ἐντὸς Πελοποννήσου καὶ Κρήτης πρὸς ἥλιον ἀνίσχοντα, πᾶσαι αἱ ἄλλαι Κυκλάδες πλὴν Μήλου καὶ Θήρας. Τούτων ναυτικὸν παρείχοντο Χῖοι, Λέσβιοι, Κερκυραῖοι, οἱ δ' ἄλλοι πεζὸν καὶ χρήματα. Ξυμμαχία μὲν αὕτη ἑκατέρων καὶ παρασκευὴ ἐς τὸν πόλεμον ἦν.

10. Οἱ δὲ Λακεδαιμόνιοι μετὰ τὰ ἐν Πλαταιαῖς εὐθὺς περιήγγελλον κατὰ τὴν Πελοπόννησον καὶ τὴν ἔξω ξυμμαχίαν στρατιὰν παρασκευάζεσθαι ταῖς πόλεσι τά τε ἐπιτήδεια οἷα εἰκὸς 'πὶ ἔξοδον ἔκδημον ἔχειν ὡς ἐσβαλοῦντες ἐς τὴν Ἀττικήν. Ἐπειδὴ δὲ ἑκάστοις ἑτοῖμα γίγνοιτο κατὰ τὸν χρόνον τὸν εἰρημένον, ξυνῄεσαν τὰ δύο μέρη ἀπὸ πόλεως

οὕτως ὀργῇ εἶχον] "Alias additur præp. *ἐν* in hac formula. Sic hujus lib. c. 21. *τὸν Περικλεᾶ ἐν ὀργῇ εἶχον*. Reisk. in Animadv. p. 17. legit cum Steph. *οὕτως ἐν ὀργῇ εἶχον*, aut *δι' ὀργῆς*, aut *οὕτως ὀργῆς*. In Diluc. Abresch. p. 167. idem malebat *δι' ὀργῆς*. Sic et Thuc. ii, 60. *δι' αἰτίας ἔχειν*, item *διὰ σπουδῆς ἔχειν*. V. Valck. ad Eur. Phœn. p. 177., qui ad Herodot. v. p. 412. præfert *οὕτως ὀργῆς εἶχον*. Sed h. l. nihil corrigere ausim, cum *ἐν* subintelligi possit, nec codices correctionem adjuvent. Est autem *οὕτως ὀργῇ* idem ac *οὕτω μεγάλῃ*, quæ vox additur alias. Comparabat Abresch. in Auct. p. 265. Plat. Lys. p. 112. *οἱ οὕτως ἄγνοιαν ἔχοντες*, et Sueton. V. Tit. 7. 'tam artifices' pro 'tantos.'" Gottl.—Male Abreschius, nam adv. *οὕτως* cum verbo jungendum, et 'artifices' adjectivum est.

10. *τὰ δύο μέρη*] Instante bellica expeditione, civitas principatum tenens circum

ἑκάστης ἐς τὸν ἰσθμόν. Καὶ ἐπειδὴ πᾶν τὸ στράτευμα ξυνειλεγμένον ἦν, Ἀρχίδαμος ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῆς ἐξόδου ταύτης, ξυγκαλέσας τοὺς στρατηγοὺς τῶν πόλεων πασῶν καὶ τοὺς μάλιστα ἐν τέλει καὶ ἀξιολογωτάτους παρεῖναι τοιάδε ἔλεξεν.

11. Ἄνδρες Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, καὶ οἱ πατέρες ἡμῶν πολλὰς στρατείας καὶ ἐν αὐτῇ Πελοποννήσῳ καὶ ἔξω ἐποιήσαντο, καὶ αὐτῶν ἡμῶν οἱ πρεσβύτεροι οὐκ ἄπειροι πολέμων εἰσίν· ὅμως δὲ τῆσδε οὔπω μείζονα παρασκευὴν ἔχοντες ἐξήλθομεν, ἀλλὰ καὶ ἐπὶ πόλιν δυνατωτάτην νῦν ἐρχόμεθα, καὶ αὐτοὶ πλεῖστοι καὶ ἄριστοι στρατεύοντες. Δίκαιον οὖν ἡμᾶς μήτε τῶν πατέρων χείρους φαίνεσθαι μήτε ἡμῶν αὐτῶν τῆς δόξης ἐνδεεστέρους. Ἡ γὰρ Ἑλλὰς πᾶσα τῇδε τῇ ὁρμῇ ἐπῇρται καὶ προσέχει τὴν γνώμην, εὔνοιαν ἔχουσα διὰ τὸ Ἀθηναίων ἔχθος πρᾶξαι ἡμᾶς ἃ ἐπινοοῦμεν. Οὔκουν χρή, εἴ τῳ καὶ δοκοῦμεν πλήθει ἐπιέναι καὶ ἀσφάλεια πολλὴ εἶναι μὴ ἂν ἐλθεῖν τοὺς ἐναντίους ἡμῖν διὰ

urbes socias misit, qui imperarent milites et commeatum. Sua cuique rata pars jam antea definita erat, ni fallor, summa, ultra quam nunquam contribuerent, neque nisi, quota pars in præsentia conferenda esset, indici opus erat. Una quantum pecuniæ, quantum commeatus apparatusque universi a singulis adferretur, descriptum est, ut cum toto apparatu exercitus uno edicto colligi posset. O. Mueller. D. Dorer, P. i. p. 180., cui binæ partes totius summæ singulis descriptæ usitatus modulus fuisse videntur, coll. iii, 15. id quod h. l. verbis *τὰ δύο μέρη* dicit. Sed fallitur Muellerus, jungens verba *ἡ ἔξω ξυμμαχὶς στρατιὰ*, vertensque, 'the contingent for military expeditions out of the Peloponnesus;' nam loquitur auctor de sociis intra et extra Peloponnesum. Pecuniam imperatam Thuc. ii, 7. dicit *ἀργύριον ῥητόν*.

παρεῖναι] Hic infinitivus pendet ex *ξυγκαλέσας*. V. Matth. Gr. § 420. Ad h. l. pertinet glossa Zonaræ: *ἐν τέλει, ἐν ἀρχῇ· τοὺς ἐν τέλει τιμῶν*. Suidas eadem habet sine loco. Fortassis eodem respexit Hesych. v. *ἐν τέλει* et *τοὺς ἐν τέλει*. Conf. iii, 36. v, 27. i, 58. Schol. brev. et Lips. Ms. ad Hom. Il. x, 56. *τέλος δὲ καὶ τὸ τάγμα· σημαίνει πολλὰ ἡ λέξις· ποτὲ μὲν γὰρ τὸ τάγμα—ποτὲ δὲ τὸ συμπεπληρωμένον πράγματος, ἢ ἔργου τέλος, ποτὲ δὲ τὴν ἐκ τῶν ἐπεισαγομένων ὠνίων φοιτῶσαν πρόσοδον, καὶ τὸ ἀξίωμα, ὡς παρὰ Θουκυδίδῃ καὶ Ξενοφῶντι*, etc. Eadem Phavorin. et Ulpian. ad Dem. Leptineam. Schol. Venet. ad Il. l. l. Conf. Thom. M. p. 839. Sex significatus voci tribuit Eustath. ad Hom. l. l. ut sit cohors sive manipulus, sive quæcunque pars exercitus, terminus alicujus rei, reditus, dignatio *ὡς παρὰ Θουκυδίδῃ καὶ Ξενοφ.*, impensæ in aliquam rem factæ, ut ap. Eurip. Polyidi fragm. viii. p. 470. Beck., denique initiatio mysteriorum, ut ap. Soph. El. 684. Conf. schol. Plat. p. 376. Bekk., qui hæc verba Thucydidis adscripsit, *παρελθὼν δὲ τοῖς τέλεσιν, ὡσεὶ ἔφη, τοῖς ἐν ἀρχῇ οὖσιν*.

11. *ἐν αὐτῇ Πελ.*] Vulgo articulum *τῇ* addunt post *αὐτῇ*, quem omittunt codices plerique; estque hæc omissio solennis in nominibus propriis, ubi additur pronomen *αὐτὸς*, quemadmodum omittitur in formula *αὐταῖς λέξεσιν*, 'ipsis verbis.' Vid. i, 31. iii, 98. vi, 30. 31. 46. Eundem articulum ita positum delevi, v, 62. auctoritate codicum nonnullorum.

προσέχει—ἐπινοοῦμεν] i. e. *προσέχει τὴν γνώμην, δι' εὔνοιαν ἐλπίζουσα καὶ ἐπιθυμοῦσα πρᾶξαι ἡμᾶς ἃ ἐπινοοῦμεν*.

μὴ ἂν ἐλθεῖν] Edd. Ald. Flor. Bas. codd. M. et g. (et hic quidem inter versus γρ.) *ἐθέλειν*. Mox, cod. G. *διὰ μάχης ἔχειν*. Nota marginalis in exemplo Thucydidis Johannis Camerarii, Joachimi filii, quod Bambergæ tractavi, *ἐθέλειν, λείπει ἰέναι*.—Imo, si vera scriptura, supplendum ex proximis *χωρεῖν*, i. e. 'fore, ut nolint hostes pugna nobis occurrere.' Non du-

μάχης, τούτου ἕνεκα ἀμελέστερόν τι παρεσκευασμένους χωρεῖν, ἀλλὰ καὶ πόλεως ἑκάστης ἡγεμόνα καὶ στρατιώτην τὸ καθ' αὐτὸν ἀεὶ προσδέχεσθαι ἐς κίνδυνόν τινα ἥξειν. Ἄδηλα γὰρ τὰ τῶν πολέμων καὶ ἐξ ὀλίγου τὰ πολλὰ καὶ δι' ὀργῆς αἱ ἐπιχειρήσεις γίγνονται· πολλάκις τε τὸ ἔλασσον πλῆθος δεδιὸς ἄμεινον ἠμύνατο τοὺς πλέονας διὰ τὸ καταφρονοῦντας ἀπαρασκεύους γενέσθαι. Χρὴ δὲ ἀεὶ ἐν τῇ πολεμίᾳ τῇ μὲν γνώμῃ θαρσαλέους στρατεύειν, τῷ δὲ ἔργῳ δεδιότας παρασκευάζεσθαι. Οὕτω γὰρ πρός τε τὸ ἐπιέναι τοῖς ἐναντίοις εὐψυχότατοι ἂν εἶεν, πρός τε τὸ ἐπιχειρεῖσθαι ἀσφαλέστατοι. Ἡμεῖς δὲ οὐδ' ἐπὶ ἀδύνατον ἀμύνεσθαι οὕτω πόλιν ἐρχόμεθα, ἀλλὰ τοῖς πᾶσιν ἄριστα παρεσκευασμένην, ὥστε χρὴ καὶ πάνυ ἐλπίζειν διὰ μάχης ἰέναι αὐτούς, εἰ μὴ καὶ νῦν ὥρμηνται ἐν ᾧ οὔπω πάρεσμεν, ἀλλ' ὅταν ἐν τῇ γῇ ὁρῶσιν ἡμᾶς δῃοῦντάς τε καὶ τἀκείνων φθείροντας. Πᾶσι γὰρ ἐν τοῖς ὄμμασι καὶ ἐν τῷ παραυτίκα ὁρᾶν πάσχοντάς τι ἄηθες ὀργὴ προσπίπτει· καὶ οἱ λογισμῷ ἐλάχιστα χρώμενοι θυμῷ πλεῖστα ἐς ἔργον καθίστανται. Ἀθηναίους δὲ καὶ πλέον τι τῶν ἄλλων εἰκὸς τοῦτο δρᾶσαι, οἳ ἄρχειν τε τῶν ἄλλων ἀξιοῦσι καὶ ἐπιόντες τὴν τῶν πέλας δῃοῦν μᾶλλον ἢ τὴν ἑαυτῶν ὁρᾶν. Ὡς οὖν ἐπὶ τοσαύτην πόλιν στρατεύοντες καὶ μεγίστην δόξαν οἰσόμενοι τοῖς τε προγόνοις καὶ ἡμῖν αὐτοῖς ἐπ' ἀμφότερα ἐκ τῶν ἀποβαινόντων, ἕπεσθε ὅπῃ ἄν τις ἡγῆται κόσμον καὶ φυλακὴν περὶ

bitarem id recipere, ante Dukerum vulgatum, si major pars codicum addiceret. V. de structura ἀπὸ κοινοῦ ad i, 184. 141. Certe aliquid hic turbatum esse videtur.

πολλάκις—γενέσθαι] Conf. locum Isocratis ex Areopagit., quo utitur Dionys. de C. V. p. 362. Schæf., quo egregie hæc illustrantur.

πᾶσι γὰρ—προσπίπτει] Nihil offensionis in accusativo πασχόντας est post πᾶσι. V. Matth. Gr. § 536. Nam Græci ibi quoque accusativo participiorum cum infinitivo utuntur, ubi genitivus vel dativus præcedit. Conf. iv, 2. εἶπον δὲ τούτοις καὶ Κερκυραίων ἅμα παραπλέοντας τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι, ubi v. Schol. iv, 30. τῶν δὲ στρατιωτῶν ἀναγκασθέντων διὰ τὴν στενοχωρίαν τῆς νήσου τοῖς ἐσχάτοις προσίσχοντας ἀριστοποιεῖσθαι. vii, 57. ξυνέβη δὲ τοῖς Κρησὶ, τὴν Γέλαν—ξυγκτίσαντας—ἄκοντας μετὰ μισθοῦ ἐλθεῖν. vi, 55. Ἱππάρχῳ δὲ ξυνέβη, τοῦ πάθους τῇ δυστυχίᾳ ὀνομασθέντα καὶ τὴν δόξαν τῆς τυραννίδος —προσλαβεῖν. vii, 40. οὐκ ἐδόκει τοῖς Ἀθηναίοις—διαμέλλοντας κόπῳ ἁλίσκεσθαι. Difficultas est in infinitivo ὁρᾶν. Sententia enim flagitat, ut diceretur, πᾶσιν ὀργὴ προσπίπτει ὁρῶσι, non ὁρᾶν. Sed constructio infinitivi Popponi, Obs. p. 200. videtur facta ad sensum, cum in ὀργὴ προσπίπτει idem sensus insit ac si dixisset φθονερόν ἐστι, vel simile quid. Hæc verba sine ulla scripturæ discrepantia extant in Anecd. Bekk. i. p. 169.

δῃοῦν—ὁρᾶν] Constructio ἀπὸ κοινοῦ; nam e verbo δῃοῦν participium ejusdem verbi δῃουμένην cogitando repetendum. Durius etiam vi, 79. dicitur ὅταν ὑπ' ἄλλων, καὶ μὴ αὐτοὶ τοὺς πέλας ἀδικῶσι, i. e. 'cum ab aliis lædantur, neque ipsi alios lædant.' Supplendum igitur ἄλλων ἀδικῶνται.—Mox, ἐπ' ἀμφότερα junge cum verbis μεγίστην δόξαν. Recte schol. ἐπ' ἀμφότερα· καὶ εὐκλείας καὶ δυσκλείας. Verte: 'consider that we are on the point either of greatly honouring or disgracing both our ancestors and ourselves.'

παντὸς ποιούμενοι καὶ τὰ παραγγελλόμενα ὀξέως δεχόμενοι· κάλλιστον γὰρ τόδε καὶ ἀσφαλέστατον πολλοὺς ὄντας ἑνὶ κόσμῳ χρωμένους φαίνεσθαι.

12. Τοσαῦτα εἰπὼν καὶ διαλύσας τὸν ξύλλογον ὁ Ἀρχίδαμος Μελήσιππον πρῶτον ἀποστέλλει ἐς τὰς Ἀθήνας τὸν Διακρίτου ἄνδρα Σπαρτιάτην, εἴ τι ἄρα μᾶλλον ἐνδοῖεν οἱ Ἀθηναῖοι ὁρῶντες ἤδη σφᾶς ἐν ὁδῷ ὄντας. Οἱ δὲ οὐ προσεδέξαντο αὐτὸν ἐς τὴν πόλιν οὐδ᾽ ἐπὶ τὸ κοινόν· ἦν γὰρ Περικλέους γνώμη πρότερον νενικηκυῖα κήρυκα καὶ πρεσβείαν μὴ προσδέχεσθαι Λακεδαιμονίων ἐξεστρατευμένων· ἀποπέμπουσιν οὖν αὐτὸν πρὶν ἀκοῦσαι καὶ ἐκέλευον ἐκτὸς ὅρων εἶναι αὐθημερὸν, τό τε λοιπὸν ἀναχωρήσαντας ἐπὶ τὰ σφέτερα αὐτῶν, ἤν τι βούλωνται, πρεσβεύεσθαι. Ξυμπέμπουσί τε τῷ Μελησίππῳ ἀγωγοὺς, ὅπως μηδενὶ ξυγγένηται. Ὁ δὲ ἐπειδὴ ἐπὶ τοῖς ὁρίοις ἐγένετο καὶ ἔμελλε διαλύσεσθαι, τοσόνδε εἰπὼν ἐπορεύετο ὅτι Ἥδε ἡ ἡμέρα τοῖς Ἕλλησι μεγάλων κακῶν ἄρξει. Ὡς δὲ ἀφίκετο ἐς τὸ στρατόπεδον καὶ ἔγνω ὁ Ἀρχίδαμος ὅτι οἱ Ἀθηναῖοι οὐδέν πω ἐνδώσουσιν, οὕτω δὴ ἄρας τῷ στρατῷ προὐχώρει ἐς τὴν γῆν αὐτῶν. Βοιωτοὶ δὲ μέρος μὲν τὸ σφέτερον καὶ τοὺς ἱππέας παρείχοντο Πελοποννησίοις ξυστρατεύειν, τοῖς δὲ λειπομένοις ἐς Πλάταιαν ἐλθόντες τὴν γῆν ἐδῄουν.

13. Ἔτι δὲ τῶν Πελοποννησίων ξυλλεγομένων τε ἐς τὸν ἰσθμὸν καὶ ἐν ὁδῷ ὄντων, πρὶν ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν Περικλῆς ὁ Ξανθίππου στρατηγὸς ὢν Ἀθηναίων δέκατος αὐτὸς ὡς ἔγνω τὴν ἐσβολὴν ἐσομένην, ὑποτοπήσας, ὅτι Ἀρχίδαμος αὐτῷ ξένος ὢν ἐτύγχανε, μὴ πολλάκις ἢ αὐτὸς ἰδίᾳ βουλόμενος χαρίζεσθαι τοὺς ἀγροὺς αὐτοῦ παραλίπῃ καὶ μὴ δῃώσῃ, ἢ καὶ Λακεδαιμονίων κελευσάντων ἐπὶ διαβολῇ τῇ αὐτοῦ γένηται

12. ἀγωγοὺς] Phavorin. ἀγωγοὺς, τοὺς προπόμπους, τάττεται τοὔνομα καὶ ἐπὶ τοῦ προηγημένου τινὰ ὁδὸν, ὡς οἱ παλαιοί· οὕτω καὶ Θουκυδίκης κέχρηται. Exscripsit Phrynichum p. 314., ubi v. Lobeck. Conf. Thuc. iv, 78. qui locus citatur a Thom. M. p. 10. Adde Polluc. iii, 95. x, 55. et Suid. in v.

ἥδε ἡ ἡμέρα] Virg. Æn. iv, 169. 'Ille dies primus leti, primusque malorum Causa fuit.' Hom. Il. v, 63. dixit ἡμέρα ἀρχέκακος. Conf. Herodot. v. p. 426. ibiq. Valck. Muret. V. L. xiii, 16. Laudat h. l. schol. Aristoph. Pac. 435. memoriter et omisso Thucydidis nomine, ostenditque, ab Aristophane ejus imitationem factam esse. V. Abresch. Diluc. p. 173. Mox, ad v. ἐνδώσουσι spectat glossa Zonaræ, ἐνδοῦναι, προδοῦναι, (παραδοῦναι,) ἢ καὶ εἶξαι, ubi v. Tittm.

13. μὴ πολλάκις] i. e. 'lest—after all, at last.' V. Wolf. ad Plat. Phædon. p. 25. Nihil simile inest in loco Virg. Æn. i, 148. 'Ac veluti magno in populo cum sæpe coorta est Seditio;' quem contulit Abresch. Diluc. p. 174. Auct. p. 267.

τοῦτο, ὥσπερ καὶ τὰ ἄγη ἐλαύνειν προεῖπον ἕνεκα ἐκείνου, προηγόρευε τοῖς Ἀθηναίοις ἐν τῇ ἐκκλησίᾳ ὅτι Ἀρχίδαμος μέν οἱ ξένος εἴη, οὐ μέντοι ἐπὶ κακῷ γε τῆς πόλεως γένοιτο, τοὺς δ' ἀγροὺς τοὺς ἑαυτοῦ καὶ οἰκίας ἢν ἄρα μὴ δῃώσωσιν οἱ πολέμιοι ὥσπερ καὶ τὰ τῶν ἄλλων, ἀφίησιν αὐτὰ δημόσια εἶναι καὶ μηδεμίαν οἱ ὑποψίαν κατὰ ταῦτα γίγνεσθαι. Παρῄνει δὲ καὶ περὶ τῶν παρόντων ἅπερ καὶ πρότερον, παρασκευάζεσθαί τε ἐς τὸν πόλεμον καὶ τὰ ἐκ τῶν ἀγρῶν ἐσκομίζεσθαι, ἔς τε μάχην μὴ ἐπεξιέναι, ἀλλὰ τὴν πόλιν ἐσελθόντας φυλάσσειν, καὶ τὸ ναυτικὸν ᾗπερ ἰσχύουσιν ἐξαρτύεσθαι, τά τε τῶν ξυμμάχων διὰ χειρὸς ἔχειν, λέγων τὴν ἰσχὺν αὐτοῖς ἀπὸ τούτων εἶναι τῶν χρημάτων τῆς προσόδου, τὰ δὲ πολλὰ τοῦ πολέμου γνώμῃ καὶ χρημάτων περιουσίᾳ κρατεῖσθαι. Θαρσεῖν τε ἐκέλευε προσιόντων μὲν ἑξακοσίων ταλάντων ὡς ἐπὶ τὸ πολὺ φόρου κατ' ἐνιαυτὸν ἀπὸ τῶν ξυμμάχων τῇ πόλει ἄνευ τῆς ἄλλης προσόδου, ὑπαρχόντων δὲ ἐν τῇ ἀκροπόλει ἔτι τότε ἀργυρίου ἐπισήμου ἑξακισχιλίων ταλάντων· τὰ γὰρ πλεῖστα τριακοσίων ἀποδέοντα μύρια ἐγένετο, ἀφ' ὧν ἔς τε τὰ προπύλαια τῆς ἀκροπόλεως καὶ τἄλλα οἰκοδομήματα καὶ ἐς Ποτίδαιαν ἀπανηλώθη· χωρὶς δὲ χρυσίου ἀσήμου καὶ ἀργυρίου ἔν τε ἀναθήμασιν ἰδίοις καὶ δημοσίοις καὶ ὅσα ἱερὰ σκεύη περί τε τὰς πομπὰς καὶ τοὺς ἀγῶνας καὶ σκῦλα Μηδικὰ καὶ εἴ τι τοιουτότροπον, οὐκ ἐλάσσονος [ἦν] ἢ πεντακοσίων ταλάντων. Ἔτι δὲ

ὑποψίαν—γίγνεσθαι] Repetendum ex verbo *ἀφίησιν* aliud verbum, velut *βούλεται, κελεύει*, supplendum ad infinitivum *γίγνεσθαι*. Quod autem hic legitur *οἱ* omittunt F. H. L. Q. i. Mox, articulum *τὴν* ante *μάχην* jubentibus libris ejeci. Conf. i, 64. ii, 23. iv, 44. 68. Laudat hanc Periclis fiduciam Aristides t. ii. p. 138. Jebb. Periclis enumerationem redituum Atticorum ex h. l. memorat Plut. V. Aristid. c. 24.

ὑπαρχόντων—ἀπανηλώθη] Schol. Arist. Plut. 1196., ubi v. Hemsterh. p. 473. Lips. Conf. Æschin. d. Fals. Leg. p. 336. et Andocid. d. Pac. p. 92., qui iisdem fere verbis de eadem re utuntur. Mox de propylæis v. Harpocr. in v. *προπύλαια ταῦτα*, Suid. in v. Plut. V. Pericl. c. 13. Cic. d. Offic. ii, 17.

ἱερὰ σκεύη] Duker. Præf. ad Thuc. p. xxvii. putavit huc spectare glossam Mœridis: *πομπεῖα, Ἀττικῶς τὰ θυμιατήρια καὶ τοὺς χέρνιβας, ὡς Θουκυδίδης*. Eandem Pierson. retulit ad verba Thuc. vi, 46. *ἀπέδειξαν τὰ ἀναθήματα—καὶ θυμιατήρια*, etc. At Valcken. ap. Pierson. p. 332. et Ruhnken. Hist. Cr. Or. Gr. p. 158. Thucydidis nomen in Andocidis mutandum esse viderunt. Idem nomen reponendum ap. Thom. M. in v. *πομπή*. Mox, vocab. *σκῦλα* ex h. l. memorat Phot. in v.

χωρὶς δὲ χρυσίου—ταλάντων] Non potest ferri quod vulgo legitur, *χρυσίου οὐκ ἐλάσσονος ἦν*, pro eo quod dicendum erat, *χρυσίου οὐκ ἔλασσον ἦν*. Atque ita habent K. O. a man. sec. et marg. Steph. Quod autem sic *ἢ* additur genitivo, quod omitti solet cum genitivus post comparativum ponitur, non caret exemplis. V. Herm. ad Viger. p. 787. et interpp. ad Greg. Cor. p. 89. Schol. et ipse scripturam illorum codicum agnoscit, ut qui dicat *τὸ ἢ περιττόν*. Sed præstat delere *ἦν*, quo facto hic verborum nexus est: *ὑπαρχόντων τα-*

καὶ τὰ ἐκ τῶν ἄλλων ἱερῶν προσετίθει χρήματα οὐκ ὀλίγα, οἷς χρήσεσθαι αὐτούς, καὶ ἢν πάνυ ἐξείργωνται πάντων, καὶ αὐτῆς τῆς θεοῦ τοῖς περικειμένοις χρυσίοις· ἀπέφαινε δ' ἔχον τὸ ἄγαλμα τεσσαράκοντα τάλαντα σταθμὸν χρυσίου ἀπέφθου καὶ περιαιρετὸν εἶναι ἅπαν. Χρησαμένους τε ἐπὶ σωτηρίᾳ ἔφη χρῆναι μὴ ἐλάσσω ἀντικαταστῆσαι πάλιν. Χρήμασι μὲν οὖν οὕτως ἐθάρσυνεν αὐτούς, ὁπλίτας δὲ τρισχιλίους καὶ μυρίους εἶναι ἄνευ τῶν ἐν τοῖς φρουρίοις καὶ τῶν παρ' ἔπαλξιν ἑξακισχιλίων καὶ μυρίων. Τοσοῦτοι γὰρ ἐφύλασσον τὸ πρῶτον ὁπότε οἱ πολέμιοι ἐσβάλοιεν, ἀπό τε τῶν πρεσβυτάτων καὶ τῶν νεωτάτων, καὶ μετοίκων ὅσοι ὁπλῖται ἦσαν. Τοῦ τε γὰρ Φαληρικοῦ τείχους στάδιοι ἦσαν πέντε καὶ τριάκοντα πρὸς τὸν κύκλον τοῦ ἄστεος καὶ αὐτοῦ τοῦ κύκλου τὸ φυλασσόμενον τρεῖς καὶ τεσσαράκοντα· ἔστι δὲ αὐτοῦ ὃ καὶ ἀφύλακτον ἦν, τὸ μεταξὺ τοῦ τε μακροῦ καὶ τοῦ Φαληρικοῦ. Τὰ δὲ μακρὰ τείχη πρὸς τὸν Πειραιᾶ τεσσαράκοντα σταδίων, ὧν τὸ ἔξωθεν ἐτηρεῖτο· καὶ τοῦ Πειραιῶς ξὺν Μουνυχίᾳ ἑξήκοντα μὲν σταδίων ὁ ἅπας περίβολος, τὸ δὲ ἐν φυλακῇ ὂν ἥμισυ τούτου. Ἱππέας δ' ἀπέφαινε διακοσίους καὶ χιλίους ξὺν ἱπποτοξόταις, ἑξακοσίους δὲ καὶ χιλίους τοξότας, καὶ τριήρεις τὰς πλοΐμους τριακοσίας. Ταῦτα γὰρ ὑπῆρχεν Ἀθηναίοις καὶ οὐκ ἐλάσσω ἕκαστα τούτων ὅτε ἡ ἐσβολὴ τὸ πρῶτον ἔμελλε Πελοποννησίων ἔσεσθαι καὶ ἐς τὸν πόλεμον καθίσταντο. Ἔλεγε δὲ καὶ ἄλλα οἷάπερ εἰώθει Περικλῆς ἐς ἀπόδειξιν τοῦ περιέσεσθαι τῷ πολέμῳ.

14. Οἱ δὲ Ἀθηναῖοι ἀκούσαντες ἀνεπείθοντό τε καὶ ἐσεκομίζοντο ἐκ τῶν ἀγρῶν παῖδας καὶ γυναῖκας καὶ τὴν ἄλλην κατασκευὴν ᾗ κατ' οἶκον ἐχρῶντο, καὶ αὐτῶν τῶν οἰκιῶν καθ-

λάντων, χωρὶς δὲ—οὐκ ἐλάσσονος ἢ πεντακοσίων ταλάντων. Krueger. ad Dionys. p. 287. not. conjecit οὐκ ἔλασσον ἃ ἦν ἢ πεντακοσίων ταλάντων, item repetito genitivo ὑπαρχόντων ad χρυσίου et reliqua; ubi ἔλασσον ita usurpatum foret, ut Latinorum 'minus,' 'amplius,' 'plus,' quæ non magis numeralibus addita declinantur. V. Herm. ad Vig. p. 787. Matth. Gr. § 450. not. 2. Malim acquiescere iis quæ a codicum scriptura propius absunt.

ἄγαλμα] V. Plin. H. N. xxxvi, 4, 4., Pausan. i, 24, 7. Manso Spart. ii. p. 396. Bredov. ad h. l. Mox, παρ' ἔπαλξιν interpretare 'qui ad tutelam collocati erant,' ut vii, 28. Manso tributa sociorum quotannis sexcenties trigesies mille imperialium; thesaurum in arce asservatum sexagies trecentum millium imperialium fuisse colligit. Quod vero Thucydides quadraginta talentum pondo τὰ περικείμενα Minervæ (quæ an fuerint idem quod Paus. dicit χιτῶνα ποδήρη, parum constat) fuisse dicit, ne argenti sed auri talenta intelligo, quæ, si aurum tredecuplo carius argento fuisse statuatur, æquant pretium quingenties quadragies sexies mille imperialium.

αἱροῦντες τὴν ξύλωσιν· πρόβατα δὲ καὶ ὑποζύγια ἐς τὴν Εὔβοιαν διεπέμψαντο καὶ ἐς τὰς νήσους τὰς ἐπικειμένας. Χαλεπῶς δὲ αὐτοῖς διὰ τὸ ἀεὶ εἰωθέναι τοὺς πολλοὺς ἐν τοῖς ἀγροῖς διαιτᾶσθαι ἡ ἀνάστασις ἐγίγνετο.

15. Ξυνεβεβήκει δὲ ἀπὸ τοῦ πάνυ ἀρχαίου ἑτέρων μᾶλλον Ἀθηναίοις τοῦτο. Ἐπὶ γὰρ Κέκροπος καὶ τῶν πρώτων βασιλέων ἡ Ἀττικὴ ἐς Θησέα ἀεὶ κατὰ πόλεις ᾠκεῖτο πρυτανεῖά τε ἔχουσα καὶ ἄρχοντας, καὶ ὁπότε μή τι δείσειαν, οὐ ξυνῄεσαν βουλευσόμενοι ὡς τὸν βασιλέα, ἀλλ' αὐτοὶ ἕκαστοι ἐπολιτεύοντο καὶ ἐβουλεύοντο· καί τινες καὶ ἐπολέμησάν ποτε αὐτῶν, ὥσπερ καὶ Ἐλευσίνιοι μετ' Εὐμόλπου πρὸς Ἐρεχθέα. Ἐπειδὴ δὲ Θησεὺς ἐβασίλευσε, γενόμενος μετὰ τοῦ ξυνετοῦ καὶ δυνατὸς τά τε ἄλλα διεκόσμησε τὴν χώραν καὶ καταλύσας τῶν ἄλλων πόλεων τά τε βουλευτήρια καὶ τὰς ἀρχὰς ἐς τὴν νῦν πόλιν οὖσαν ἓν βουλευτήριον ἀποδείξας καὶ πρυτανεῖον ξυνῴκισε πάντας, καὶ νεμομένους τὰ αὑτῶν ἑκάστους ἅπερ καὶ πρὸ τοῦ ἠνάγκασε μιᾷ πόλει ταύτῃ χρῆσθαι, ἣ ἁπάντων ἤδη ξυντελούντων ἐς αὐτὴν μεγάλη γενομένη παρεδόθη ὑπὸ Θησέως τοῖς ἔπειτα· καὶ ξυνοίκια ἐξ ἐκείνου Ἀθηναῖοι ἔτι καὶ νῦν τῇ θεῷ ἑορτὴν δημοτελῆ ποιοῦσι. Τὸ δὲ πρὸ τούτου ἡ ἀκρόπολις ἡ νῦν οὖσα πόλις ἦν, καὶ τὸ ὑπ' αὐτὴν πρὸς νότον μάλιστα τετραμμένον. Τεκμήριον δέ· τὰ γὰρ ἱερὰ ἐν αὐτῇ τῇ ἀκροπόλει καὶ ἄλλων θεῶν ἐστι καὶ τὰ ἔξω πρὸς τοῦτο τὸ μέρος τῆς πόλεως μᾶλλον ἵδρυται,

14. *ξύλωσιν*] 'materiationem' dicas cum Vitruvio. Memorat vocem ex h. l. Pollux vii, 124. *Ξυλισμὸς* autem, i. e. 'lignorum congestio,' quam vocem e Thuc. citat Thom. M. p. 641., nusquam apud eum comparet. Mox, adverbium *χαλεπῶς* non est pro adjectivo positum, nam sensus est, 'ægre iis perficiebatur migratio,' pro quibus supra, i, 2. dixit *χαλεπῶς ἀνανίσταντο*. Quare Erfurdt. ad Soph. Antig. 633. non debebat hunc locum exemplis verbi substantivi adverbiis juncti adnumerare, quia *γίγνεσθαι* hic non habet vim verbi substantivi. Cum autem Popp. Prol. t. i. p. 235. dicat, discrimen inter *ἀνάστασις* et *ἀπανάστασις* hic neglectum esse, non intelligo, cum non sponte migrarint ex agris in urbem, sed bello sedibus expulsi.

15. *Ἐλευσίνιοι*] V. Saintcroix de Myster. p. 88. vers. Lenz. Paus. t. i. p. 145. Fac.

πρὸς νότον] Valla legit *πρὸς ἄρκτον*, quem sequitur Palmerius. Sed male statuere eos qui Athenarum partem antiquissimam ad septentrionem ab arce collocandam esse putant, idque doceri ab iis qui recentius per Græciam itinera fecerunt, ut Wilkins et Hawkins, monuit Popp. Prol. t. ii. p. 240. not. Valde etiam erravit Bredov., qui verba *πρὸς νότον μάλιστα* contulit cum formula illa qua *μάλιστα* jungitur numeralibus, vertitque, 'mostly, nearly straight southward;' cum structura verborum hæc sit, *καὶ τὸ ὑπ' ἀκρόπολιν πρὸς νότον τετραμμένον μάλιστα πόλις ἦν*, id quod tum per se patet, tum ex sequentibus, *καὶ τὰ ἔξω πρὸς τοῦτο τὸ μέρος τῆς πόλεως μᾶλλον ἵδρυται*.

τό τε τοῦ Διὸς τοῦ Ὀλυμπίου καὶ τὸ Πύθιον καὶ τὸ τῆς Γῆς καὶ τὸ ἐν Λίμναις Διονύσου, ᾧ τὰ ἀρχαιότερα Διονύσια τῇ δωδεκάτῃ ποιεῖται ἐν μηνὶ Ἀνθεστηριῶνι, ὥσπερ καὶ οἱ ἀπ' Ἀθηναίων Ἴωνες ἔτι καὶ νῦν νομίζουσιν. Ἵδρυται δὲ καὶ ἄλλα ἱερὰ ταύτῃ ἀρχαῖα. Καὶ τῇ κρήνῃ τῇ νῦν μὲν τῶν τυράννων οὕτω σκευασάντων Ἐννεακρούνῳ καλουμένῃ, τὸ δὲ πάλαι φανερῶν τῶν πηγῶν οὐσῶν Καλλιῤῥόῃ ὠνομασμένῃ, ἐκείνῃ τε ἐγγὺς οὔσῃ τὰ πλείστου ἄξια ἐχρῶντο, καὶ νῦν ἔτι ἀπὸ τοῦ ἀρχαίου πρό τε γαμικῶν καὶ ἐς ἄλλα τῶν ἱερῶν νομίζεται τῷ ὕδατι χρῆσθαι. Καλεῖται δὲ διὰ τὴν παλαιὰν ταύτῃ κατοίκησιν καὶ ἡ ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπὸ Ἀθηναίων Πόλις.

Καλλιῤῥόῃ] Respiciunt huc Lucian. Tim. t. i. p. 125., ubi v. schol., Suidas et Zonar. in *δωδεκάκρουνος*, iidem et Hesych. in *ἐννεάκρουνος*, qui postremo loco nominatus partim ipsa verba Thucydidis affert. Conf. Pausan. t. i. p. 50. Alii hoc nomen scribunt per unam *ρ*, quam scripturam præfert Poppo. Conf. Dorv. ad Charit. p. 312. Loci hunc sensum esse dicit Hemsterh. ad Thom. M. p. 568. "fontem, qui olim, scaturiginibus adhuc apertis et conspicuis, Callirrhoë dicebatur, Ἐννεακρούνου nomen accepisse, postquam eum Pisistratidæ tali modo circumstruxerant, ut aqua collecta per novem fistulas emitteretur." Cum autem Thom. M. scribat, *ὅθεν καὶ λαμυρὰ πηγή, ἡ καθαρὰ καὶ ἡδεῖα, παρὰ Θουκυδίδῃ*, conjicit pro *φανερῶν* legendum esse *λαμυρῶν*.—Mihi quidem *λαμυρὰ πηγὴ* poëtæ esse videtur, idque ipse grammaticus docet: *οὐδεὶς μέντοι αὐτῶν ῥητορικῶν τῷ ὀνόματι τούτῳ ὅλως ἐχρήσατο·* et Thucydidis nomen librariorum errore illatum esse, frustraque Hemsterhusium quæsivisse in quem locum illud reponeret, recte monuit Lobeck. ad Phryn. p. 292. Compares Horatium, qui 'loquaces lymphæ' dicit. Adde Lobeck. l. l. p. 760. Epigr. Asclepiad. 17. Dioscorid. 26. Meleagr. 76. Citat locum Schol. Aphthonii ad ἔκφρασιν arcis Alexandrinæ, ubi est *καλεσάντων* pro *σκευασάντων*.

ἄξια] De hoc accusativo v. Matth. Gr. § 419. h. Rem explicat scriptor proxime sequentibus. Mox, *ταύτῃ κατοίκησιν* optimi codd. Vulgo *ταύτην*. Conf. ii, 80. 96. viii, 24.

Πόλις] scripsi litera majuscula, quia proprium nomen est.—Docuit Hemsterh. ad Aristoph. Plut. p. 260., nomen *πόλις* præsertim in actis publicis certe vetustissimis arci fere proprium esse, idque patere e Thuc. v, 18. 23. 47. In Plut. V. Pelop. c. 18., quo usus est, cod. Monac. nr. 85. prava confusione exhibet: *καὶ διὰ τοῦτο ὁ ἐκ πόλεως λόχος ἐκαλοῦντο· τὰς γὰρ πόλεις ἐπιεικῶς οἱ τότε πόλεις ὠνόμαζον*, pro *τὰς γὰρ ἀκροπόλεις*. Pausan. t. i. p. 99. *ἱερὰ μὲν τῆς Ἀθηνᾶς ἐστιν ἥτε ἄλλη πόλις καὶ ἡ πᾶσα ὁμοίως γῆ—τὸ δὲ ἁγιώτατον ἐν κοινῷ πολλοῖς πρότερον νομισθὲν ἔτεσιν ἢ συνῆλθον* (sic leg.) *ἀπὸ τῶν δήμων ἐστὶν Ἀθηνᾶς ἄγαλμα ἐν τῇ νῦν ἀκροπόλει, τότε δὲ ὀνομαζομένῃ Πόλει.*—Πόλις et Ἄστυ dicebantur *κατ' ἐξοχὴν* Athenæ et Alexandria, ut Roma 'Urbs' audit Romanis scriptoribus. V. Sturz. d. Dial. Alex. p. 39. et Eustath. ad Odyss. i. p. 1385, 5. Sic Lutetiæ Parisiorum antiquissima pars 'cité,' Londinii antiquissima etiamnum 'city.' Πόλεις etiam per abusum insulæ et peninsulæ dicebantur, ni fallit Steph. Byz. in Πάρος et Καλάθη, sed v. Seidler. ad Eur. Troad. 4. coll. Marx. ad Ephor. p. 144. ipsoque Ephoro p. 142. Creuzer. ad Fragm. Ant. Hist. Gr. p. 217. 'Arx' autem ab Ovidio Fast. iv, 227. urbs Syracusæ dicta esse falso putatur ab Heinsio. V. d. Sit. et Or. Syrac. p. 50. conf. Bentl. ad Hor. Carm. Secul. 65. Gessner. Thes. l. l. t. i. p. 471. Idem librarius, cujus errorem supra notavi, emendatum exhibet alium locum Plutarchi, qui etiamnum depravatus in editis legitur Vit. Marcell. 22. Legendum digito id monstrante ipso auctore, Εὔας (vulgo ὄβας) *γ' οὐ παρὰ τὸ εὔασμον, ὡς οἱ πολλοὶ νομίζουσιν, ὁ θρίαμβος οὗτος* (ovatio sc.) *ὀνομάζεται—ἀλλ' ὑφ' Ἑλλήνων εἰς τὸ σύνηθες αὐτοῖς παρῆκται τοὔνομα πεπεισμένων ἅμα καὶ Διονύσῳ τι τῆς τιμῆς προσήκειν, ὃν Εὔιον καὶ Θρίαμβον ὀνομάζομεν.* V. d. Sit. et Orig. Syr. p. 45. Apud Plut. V. Flaminin. 7. prætulerim scripturam codicis Monac. nr. 85. *Φιλίππου δὲ πρέσβεις*

16. Τῇ τε οὖν ἐπὶ πολὺ κατὰ τὴν χώραν αὐτονόμῳ οἰκήσει μετεῖχον οἱ Ἀθηναῖοι καὶ ἐπειδὴ ξυνῳκίσθησαν, διὰ τὸ ἔθος ἐν τοῖς ἀγροῖς ὅμως οἱ πλείους τῶν ἀρχαίων καὶ τῶν ὕστερον μέχρι τοῦδε τοῦ πολέμου πανοικησίᾳ γενόμενοί τε καὶ οἰκήσαντες οὐ ῥᾳδίως τὰς μεταναστάσεις ἐποιοῦντο, ἄλλως τε καὶ ἄρτι ἀνειληφότες τὰς κατασκευὰς μετὰ τὰ Μηδικά, ἐβαρύνοντο δὲ καὶ χαλεπῶς ἔφερον οἰκίας τε καταλιπόντες καὶ ἱερὰ ἃ διὰ παντὸς ἦν αὐτοῖς ἐκ τῆς κατὰ τὸ ἀρχαῖον πολιτείας πάτρια, δίαιτάν τε μέλλοντες μεταβάλλειν καὶ οὐδὲν ἄλλο ἢ πόλιν τὴν αὑτοῦ ἀπολείπων ἕκαστος.

17. Ἐπειδή τε ἀφίκοντο ἐς τὸ ἄστυ, ὀλίγοις μέν τισιν ὑπῆρχον οἰκήσεις καὶ παρὰ φίλων τινὰς ἢ οἰκείων καταφυγή, οἱ δὲ πολλοὶ τά τε ἔρημα τῆς πόλεως ᾤκησαν καὶ τὰ ἱερὰ καὶ τὰ ἡρῷα πάντα πλὴν τῆς ἀκροπόλεως καὶ τοῦ Ἐλευσινίου καὶ εἴ τι ἄλλο βεβαίως κληστὸν ἦν· τό τε Πελασγικὸν καλούμενον τὸ ὑπὸ τὴν ἀκρόπολιν, ὃ καὶ ἐπάρατόν τε ἦν μὴ οἰκεῖν καί τι καὶ Πυθικοῦ μαντείου ἀκροτελεύτιον τοιόνδε διεκώλυε, λέγον ὡς

τὸ Πελασγικὸν ἀργὸν ἄμεινον,

ὅμως ὑπὸ τῆς παραχρῆμα ἀνάγκης ἐξῳκήθη. Καί μοι δοκεῖ τὸ μαντεῖον τοὐναντίον ξυμβῆναι ἢ προσεδέχοντο· οὐ γὰρ διὰ τὴν παράνομον ἐνοίκησιν αἱ ξυμφοραὶ γενέσθαι τῇ πόλει, ἀλλὰ διὰ τὸν πόλεμον ἡ ἀνάγκη τῆς οἰκήσεως, ὃν οὐκ ὀνομάζον τὸ μαντεῖον προῄδει μὴ ἐπ' ἀγαθῷ ποτε αὐτὸ κατοικισθησόμενον. Κατεσκευάσαντο δὲ καὶ ἐν τοῖς πύργοις τῶν

πέμψαντος εἰς πόλιν, pro εἰς Ῥώμην. Adde Polluc. ix, 27. Propert. iii, 9 (7), 16. Verheyck. ad Antonin. Lib. p. 237., Casaub. ad Strab. viii. p. 346. interpp. ad Eur. Iph. T. 884. Cycl. 99. Spohn. d. Extr. Part. Od. p. 81. not. Meurs. Lectt. Att. vi, 33. p. 366. Cecrop. c. 3. p. 4.

16. οἰκήσει μετεῖχον] V. Matth. Gr. § 326, 3. Verba πανοικησίᾳ — οἰκήσαντες adscripsit Thom. M. p. 676.

17. κληστὸν] Vulgo κλειστόν. Suidas: κλῆδα, οὕτω καὶ οἱ τραγικοὶ καὶ Θουκυδίδης. Photius: κλῆσαι οἱ ἀρχαῖοι λέγουσιν, οὐ κλεῖσαι, καὶ κλῆδα, οὕτω καὶ οἱ τραγικοὶ καὶ Θουκυδίδης. Utroque loco legendum κλῇδα et κλῇσαι.

Πελασγικὸν] Huc respicit Lucian. t. iv. p. 176. V. Casaub. ad Strab. p. 616. Schol. Arist. Av. 833. Wilkins ap. Popp. Prol. t. ii. p. 245. not., cavendum, inquit, ut distinguamus inter Pelasgicum murum Herodoti et Pausaniæ, qui arcem circumdabat, et Pelasgicum seu agros, qui veteribus incolis arcis assignati erant, ubi ea cessere. Sed adnotavit Poppo: hoc tamen tempore regionem sub Hymetto iis habitandam datam esse narrat Herodot. vi, 137. Idem Wilkins collocat Pelasgicum ad meridiem ab arce, sed errasse eum, et ab Chandlero aliisque rectius illud ad septentrionem referri, docet Hawkins p. 503. Mox ἐξῳκήθη est, 'was entirely filled up with habitations;' dictumque est ad analogiam verbi ἐξοικοδομεῖν, ἐκπονεῖν. Vocem ἀκροτελεύτιον explicat Suidas in v., ex scholiis.

κατεσκευάσαντο] i. e. 'they settled.' Non igitur Palmerii conjecturam κατεσκηνώσαντο probare debebat Wyttenb. Ecl. Hist. p. 366. V. ad i, 10.

τειχῶν πολλοὶ καὶ ὡς ἕκαστός που ἐδύνατο· οὐ γὰρ ἐχώρησε ξυνελθόντας αὐτοὺς ἡ πόλις, ἀλλ' ὕστερον δὴ τά τε μακρὰ τείχη ᾤκησαν καταν ειμάμενοι καὶ τοῦ Πειραιῶς τὰ πολλά. Ἅμα δὲ καὶ τῶν πρὸς τὸν πόλεμον ἥπτοντο, ξυμμάχους τε ἀγείροντες καὶ τῇ Πελοποννήσῳ ἑκατὸν νεῶν ἐπίπλουν ἐξαρτύοντες. Καὶ οἱ μὲν ἐν τούτῳ παρασκευῆς ἦσαν.

18. Ὁ δὲ στρατὸς τῶν Πελοποννησίων προϊὼν ἀφίκετο τῆς Ἀττικῆς ἐς Οἰνόην πρῶτον, ἧπερ ἔμελλον ἐσβαλεῖν. Καὶ ὡς ἐκαθέζοντο, προσβολὰς παρεσκευάζοντο τῷ τείχει ποιησόμενοι μηχαναῖς τε καὶ ἄλλῳ τρόπῳ· ἡ γὰρ Οἰνόη οὖσα ἐν μεθορίοις τῆς Ἀττικῆς καὶ Βοιωτίας ἐτετείχιστο καὶ αὐτῷ φρουρίῳ οἱ Ἀθηναῖοι ἐχρῶντο ὁπότε πόλεμος καταλάβοι. Τάς τε οὖν προσβολὰς ηὐτρεπίζοντο καὶ ἄλλως ἐνδιέτριψαν χρόνον περὶ αὐτήν. Αἰτίαν τε οὐκ ἐλαχίστην Ἀρχίδαμος ἔλαβεν ἀπ' αὐτοῦ, δοκῶν καὶ ἐν τῇ ξυναγωγῇ τοῦ πολέμου μαλακὸς εἶναι καὶ τοῖς Ἀθηναίοις ἐπιτήδειος, οὐ παραινῶν προθύμως πολεμεῖν· ἐπειδή τε ξυνελέγετο ὁ στρατὸς, ἥ τε ἐν τῷ ἰσθμῷ ἐπιμονὴ γενομένη καὶ κατὰ τὴν ἄλλην πορείαν ἡ σχολαιότης διέβαλεν αὐτὸν, μάλιστα δὲ ἡ ἐν τῇ Οἰνόῃ ἐπίσχεσις. Οἱ γὰρ Ἀθηναῖοι ἐσεκομίζοντο ἐν τῷ χρόνῳ τούτῳ καὶ ἐδόκουν οἱ Πελοποννήσιοι ἐπελθόντες ἂν διὰ τάχους πάντα ἔτι ἔξω καταλαβεῖν, εἰ μὴ διὰ τὴν ἐκείνου μέλλησιν. Ἐν τοιαύτῃ μὲν ὀργῇ ὁ στρατὸς τὸν Ἀρχίδαμον ἐν τῇ καθέδρᾳ εἶχεν. Ὁ δὲ προσδεχόμενος ὡς λέγεται τοὺς Ἀθηναίους τῆς γῆς ἔτι ἀκεραίου οὔσης ἐνδώσειν τι καὶ κατοκνήσειν περιϊδεῖν αὐτὴν τμηθεῖσαν, ἀνεῖχεν.

19. Ἐπειδὴ μέντοι προσβαλόντες τῇ Οἰνόῃ καὶ πᾶσαν ἰδέαν πειράσαντες οὐκ ἐδύναντο ἑλεῖν, οἵ τε Ἀθηναῖοι οὐδὲν ἐπεκηρυκεύοντο, οὕτω δὴ ὁρμήσαντες ἀπ' αὐτῆς μετὰ τὰ ἐν Πλαταίᾳ τῶν ἐσελθόντων Θηβαίων γενόμενα ἡμέρᾳ ὀγδοηκοστῇ μάλιστα τοῦ θέρους καὶ τοῦ σίτου ἀκμάζοντος ἐσέβαλον

18. Ὁ δὲ *στρατὸς—ἐσβαλεῖν*] Suidas in *ἀφίκετο*, omissis nonnullis. Ad vocem *μαλακὸς* h. l. respiciunt Phot. in v. et Zonar. in *μαλακισθεὶς*, quocum conf. Schol. ad iii, 40. Paulo inferius, verbis *ἥ τε ἐν τῷ ἰσθμῷ—διέβαλεν αὐτὸν* adscripsit Suidas in *σχολαίτερον*, omisso ante *σχολαιότης* articulo; fortasse melius. Conf. Thom. M. p. 828. qui laudat verba ex iii, 29. Denique, vocem *καθέδρα* per *ἐπίσχεσις* interpretantur Suidas, Phot. et Phavorin. Pro *τμηθεῖσαν* exspectes *τεμνομένην*; similia tamen sunt verba c. 20. *οὐ περιόψεσθαι ἐδόκουν τὰ σφέτερα διαφθαρέντα.*

καὶ μὴ κατοκνήσειν—τμηθεῖσαν] Thom. M. p. 164. pro *καὶ κατ.*

19. *ἀκμάζοντος*] Utitur Thucydides ad significanda anni tempora his notis: *τοῦ θέρους καὶ τοῦ σίτου ἀκμάζοντος*, (conf. Schneider. ad Xen. Hist. Gr. i, 2, 4.)

ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου Λακεδαιμονίων βασιλεύς. Καὶ καθεζόμενοι ἔτεμνον πρῶτον μὲν Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον, καὶ τροπήν τινα τῶν Ἀθηναίων ἱππέων περὶ τοὺς Ῥείτους καλουμένους ἐποιήσαντο. Ἔπειτα προὐχώρουν ἐν δεξιᾷ ἔχοντες τὸ Αἰγάλεων ὄρος διὰ Κρωπειᾶς ἕως ἀφίκοντο ἐς Ἀχαρνάς, χωρίον μέγιστον τῆς Ἀττικῆς τῶν δήμων καλουμένων. Καὶ καθεζόμενοι ἐς αὐτὸ στρατόπεδόν τε ἐποιήσαντο χρόνον τε πολὺν ἐμμείναντες ἔτεμνον.

20. Γνώμῃ δὲ τοιᾷδε λέγεται τὸν Ἀρχίδαμον περί τε τὰς Ἀχαρνὰς ὡς ἐς μάχην ταξάμενον μεῖναι καὶ ἐς τὸ πεδίον ἐκείνῃ τῇ ἐσβολῇ οὐ καταβῆναι. Τοὺς γὰρ Ἀθηναίους ἤλπιζεν ἀκμάζοντάς τε νεότητι πολλῇ καὶ παρεσκευασμένους ἐς πόλεμον ὡς οὔπω πρότερον ἴσως ἂν ἐπεξελθεῖν καὶ τὴν γῆν οὐκ ἂν περιϊδεῖν τμηθῆναι. Ἐπειδὴ οὖν αὐτῷ ἐς Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον οὐκ ἀπήντησαν, πεῖραν ἐποιεῖτο περὶ τὰς Ἀχαρνὰς καθήμενος εἰ ἐπεξίασιν· ἅμα μὲν γὰρ αὐτῷ ὁ χῶρος ἐπιτήδειος ἐφαίνετο ἐνστρατοπεδεῦσαι, ἅμα δὲ καὶ οἱ Ἀχαρνῆς μέγα μέρος ὄντες τῆς πόλεως,

περὶ ἀρκτούρου ἐπιτολὰς, ii, 78. ἐν καρποῦ ξυγκομιδῇ, iii, 15. περὶ σίτου ἐκβολὴν, iv, 1. τοῦ ἦρος, πρὶν τὸν σῖτον ἐν ἐκβολῇ εἶναι (nostrates 'to shoot' dicunt), ii, 2. τοῦ σίτου ἔτι χλωροῦ ὄντος, ii, 6. (Ex his duobus locis satis, opinor, patet, vocabula ἀκμὴ et ἀκμάζειν non intelligi posse de eo tempore cum segetes pervenerint ad summam maturitatem, semen mox sparsuræ, ut visum est Weiskio ad Xenoph. H. Gr. i, 2, 4. tum enim non amplius virere possunt. Neque obstat Dionys. A. R. iii. p. 513, 8., cum προνομεύειν ibi non sit 'commeatus conferre,' sed 'pabulari.' Josephi locum ab eodem laudatum, A. Jud. v, 10. nunc excutere non possum: nec tamen dubito, quin σίτου ἀκμὴ ubique de eo, quo 'segetes florent,' tempore ['the bloom of the corn,'] dicantur.) Περὶ ἡλίου τροπὰς τὰς χειμερινὰς, vii, 16. viii, 39. Krueger. Præf. ad Dionys. p. xxxii. Conf. Popp. Prol. t. i. p. 70. Suidas: σίτου—ἐκβολὴν Θουκυδίδης, ὅταν ὁ σταχὺς τῆς κάλυκος ἐκφύηται, οὐχ ὅταν ἐκ τῆς γῆς ἀναδιδῶται τὰ σπέρματα. Eadem Photius. Glossa desumta est ex Eustath. Comm. ad Homer. p. 1405. Conf. Polluc. i, 61. Hoc anni tempus cum Tacito, Annal. ii, 23. 'æstatem adultam' dixeris.

Θριάσιον πεδίον] Ab I. K. cum πεδίον abest, Dukerus putavit delendum esse, sed mox c. 20. 21. iterum est Θριάσιον πεδίον. V. Bekker. Anecd. i. p. 265. Etym. M. p. 455., unde sua habet Thom. M. p. 454.

Κρωπειᾶς] Vulgo Κεκροπίας. A. B. F. H. K. N. c. f. g. h. Κρωπειᾶς. C. L. O. S. Κεκρωπείας. I. Κεκρωπίας. P. Κεκροπείας. Qualis sit illa Cecropia, non constat interpretibus. Gottl. illam urbem esse putat, quæ inter duodecim illas quibus Cecrops multitudinem incolarum Atticæ continebat, ne amplius a Caribus et Bœotis vexarentur, primo loco a Strabone p. 609. ponitur. Hanc enim non esse videri ἀκρόπολιν Cecropiam, quæ deinde nomen Athenarum accepit, sed aliam; Strabonem enim addere, πόλιν δ' ὕστερον εἰς μίαν συναγαγεῖν λέγεται τὴν νῦν τὰς δώδεκα Θησεύς. Sed inde, quod vult non sequitur: cum enim ex duodecim illis incolæ congregati, uniusque urbis cives facti sunt, convenerunt habitatum unam ex eodem numero, Athenas prius Cecropiam dictas. Imo intelligenda est Cropia sive Κρωπειὰ, δῆμος τῆς Λεοντίδος φυλῆς, ap. Steph. Byz. Et Κρωπίδας pro Κεκροπίδας apud eundem in Εὐπυρίδαι reponendum esse vidit Bredov. ad h. l.

τρισχίλιοι γὰρ ὁπλῖται ἐγένοντο, οὐ περιόψεσθαι ἐδόκουν τὰ σφέτερα διαφθαρέντα, ἀλλ' ὁρμήσειν καὶ τοὺς πάντας ἐς μάχην. Εἴ τε καὶ μὴ ἐπεξέλθοιεν ἐκείνῃ τῇ ἐσβολῇ οἱ Ἀθηναῖοι, ἀδεέστερον ἤδη ἐς τὸ ὕστερον τὸ πεδίον τεμεῖν καὶ πρὸς αὐτὴν τὴν πόλιν χωρήσεσθαι· τοὺς γὰρ Ἀχαρνέας ἐστερημένους τῶν σφετέρων οὐχ ὁμοίως προθύμους ἔσεσθαι ὑπὲρ τῆς τῶν ἄλλων κινδυνεύειν, στάσιν δὲ ἐνέσεσθαι τῇ γνώμῃ. Τοιαύτῃ μὲν διανοίᾳ ὁ Ἀρχίδαμος περὶ τὰς Ἀχαρνὰς ἦν.

21. Ἀθηναῖοι δὲ μέχρι μὲν οὗ περὶ Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον ὁ στρατὸς ἦν καί τινα ἐλπίδα εἶχον ἐς τὸ ἐγγυτέρω αὐτοὺς μὴ προϊέναι, μεμνημένοι καὶ Πλειστοάνακτα τὸν Παυσανίου Λακεδαιμονίων βασιλέα ὅτε ἐσβαλὼν τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θρίαζε στρατῷ Πελοποννησίων πρὸ τοῦδε τοῦ πολέμου τέσσαρσι καὶ δέκα ἔτεσιν ἀνεχώρησε πάλιν ἐς τὸ πλεῖον οὐκέτι προελθών· διὸ δὴ καὶ ἡ φυγὴ αὐτῷ ἐγένετο ἐκ Σπάρτης δόξαντι χρήμασι πεισθῆναι τὴν ἀναχώρησιν· ἐπειδὴ δὲ περὶ Ἀχαρνὰς εἶδον τὸν στρατὸν ἑξήκοντα σταδίους τῆς πόλεως ἀπέχοντα, οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' αὐτοῖς ὡς εἰκὸς γῆς τεμνομένης ἐν τῷ ἐμφανεῖ, ὃ οὔπω ἑωράκεσαν οἵ γε νεώτεροι, οὐδ' οἱ πρεσβύτεροι πλὴν τὰ Μηδικά, δεινὸν ἐφαίνετο καὶ ἐδόκει τοῖς τε ἄλλοις καὶ μάλιστα τῇ νεότητι ἐπεξιέναι καὶ μὴ περιορᾶν. Κατὰ ξυστάσεις τε γιγνόμενοι ἐν πολλῇ ἔριδι ἦσαν, οἱ μὲν κελεύοντες ἐξιέναι, οἱ δέ τινες οὐκ ἐῶντες. Χρησμολόγοι τε ᾖδον χρησμοὺς παντοίους, ὧν ἀκροᾶσθαι ὡς ἕκαστος ὥρμητο. Οἵ τε Ἀχαρνῆς οἰόμενοι παρὰ σφίσιν αὐτοῖς οὐκ ἐλαχίστην μοῖραν εἶναι Ἀθηναίων, ὡς αὐτῶν ἡ γῆ ἐτέμνετο, ἐνῆγον τὴν ἔξοδον μάλιστα. Παντί τε τρόπῳ ἀνηρέθιστο ἡ πόλις καὶ τὸν Περικλέα ἐν ὀργῇ εἶχον, καὶ ὧν παρῄνεσε πρότερον

21. Ἀθηναῖοι—ἐποιοῦντο] Apodosis verborum Ἀθηναῖοι—στρατὸς ἦν non incipit verbis καί τινα ἐλπίδα, etc. sed protasis est in verbis Ἀθηναῖοι—προελθὼν, quæ carent apodosi; supplenda autem est tali fere modo, Ἀθηναῖοι—προϊέναι, ἀνασχετὸν ἐποιοῦντο· quia in sententia quæ verbis ἐπειδὴ δὲ, etc. incipit, et illis verbis apodosi carentibus contraria continet, apodosis est in verbis οὐκέτι ἀνάσχετὸν ἐποιοῦντο. Conjunctio ὅτε non raro pro ὅτι ponitur post μεμνῆσθαι, ut solent Latini in eadem dictione, velut Cic. Brut. 22. ‘ memoria teneo—me audivisse, cum diceret.’ Ep. ad Fam. vii, 22. ‘ memini cum mihi desistere videbaris.’ V. Corte ad Ep. iii, 7, 7. Præiit Homer. Il. ο, 18. υ, 188. φ, 396. ω, 115. Verba οὐκ ἀνασχετὸν ex hoc loco enotavit Pollux iii, 130.

ἐμέμνηντο οὐδὲν, ἀλλ' ἐκάκιζον ὅτι στρατηγὸς ὢν οὐκ ἐπεξάγοι, αἴτιόν τε σφίσιν ἐνόμιζον πάντων ὧν ἔπασχον.

22. Περικλῆς δὲ ὁρῶν μὲν αὐτοὺς πρὸς τὸ παρὸν χαλεπαίνοντας καὶ οὐ τὰ ἄριστα φρονοῦντας, πιστεύων δὲ ὀρθῶς γιγνώσκειν περὶ τοῦ μὴ ἐπεξιέναι, ἐκκλησίαν τε οὐκ ἐποίει αὐτῶν οὐδὲ ξύλλογον οὐδένα, τοῦ μὴ ὀργῇ τι μᾶλλον ἢ γνώμῃ ξυνελθόντας ἐξαμαρτεῖν, τήν τε πόλιν ἐφύλασσε καὶ δι' ἡσυχίας μάλιστα ὅσον ἐδύνατο εἶχεν. Ἱππέας μέντοι ἐξέπεμπεν αἰεὶ τοῦ μὴ προδρόμους ἀπὸ τῆς στρατιᾶς ἐσπίπτοντας ἐς τοὺς ἀγροὺς τοὺς ἐγγὺς τῆς πόλεως κακουργεῖν· καὶ ἱππομαχία τις ἐνεγένετο βραχεῖα ἐν Φρυγίοις τῶν τε Ἀθηναίων τέλει ἑνὶ τῶν ἱππέων καὶ Θεσσαλοῖς μετ' αὐτῶν πρὸς τοὺς Βοιωτῶν ἱππέας, ἐν ᾗ οὐκ ἔλασσον ἔσχον οἱ Ἀθηναῖοι καὶ Θεσσαλοὶ, μέχρι οὗ προσβοηθησάντων τοῖς Βοιωτοῖς τῶν ὁπλιτῶν τροπὴ ἐγένετο αὐτῶν καὶ ἀπέθανον τῶν Θεσσαλῶν καὶ Ἀθηναίων οὐ πολλοί· ἀνείλοντο μέντοι αὐτοὺς αὐθημερὸν ἀσπόνδους. Καὶ οἱ Πελοποννήσιοι τροπαῖον τῇ ὑστεραίᾳ ἔστησαν. Ἡ δὲ βοήθεια αὕτη τῶν Θεσσαλῶν κατὰ τὸ παλαιὸν ξυμμαχικὸν ἐγένετο τοῖς Ἀθηναίοις· καὶ ἀφίκοντο παρ' αὐτοὺς Λαρισαῖοι, Φαρσάλιοι, [Παράσιοι,] Κραννώνιοι, Πυράσιοι, Γυρτώνιοι, Φεραῖοι. Ἡγοῦντο δὲ αὐτῶν

22. *τήν τε πόλιν—ἔστησαν*] Dionys. p. 850. In his *μάλιστα ὅσον* per trajectionem dictum pro *ὅσον μάλιστα*, ut i, 17. *Εἶχεν* autem est 'continuit.' Male Krueger. p. 107. locutionem *δι' ἡσυχίας ἔχειν* confert cum formulis *δι' ὀργῆς ἔχειν* et *ἐν ὀργῇ ἔχειν*, quia illud non sensum *ἡσυχάζειν* habet, cum tamen *δι' ὀργῆς ἔχειν τινὰ* idem sit quod *ὀργίζεσθαί τινι*. Mox, *βραχεῖαν* est idem quod *μικρὰν*, ut ap. Thuc. i, 78. *οὐ περὶ βραχέων*. 141. *ἐπὶ βραχείᾳ προφάσει*. Est etiam ubi pro *ὀλίγος* ponatur, ut a Thuc. ii, 88. Omnino longitudinis, magnitudinis, et multitudinis notiones non raro inter se permutari, monuit Krueger., laudato Valck. ad Eur. Hippol. 1. Adde ad Dionys. de C. V. p. 132. Jen. Verba *ἑνὶ τέλει* schol. explicat per *ἑνὶ τάγματι*. V. Wessel. ad Herodot. i, 104. et supra ad c. 10. Cum Thessalis juncti Athenienses pugnabant, nam *τοῖς Ἀθηναίοις ἀεί ποτε τὸ πλῆθος τῶν Θεσσαλῶν εὔνουν ὑπῆρχεν*, ut ipse Thuc. iv, 78. Conf. Boeckh. Staatsh. d. Ath. t. i. p. 277. Vocabulum *ἀσπόνδους* Suidas interpretatur *ἄνευ φιλίας, ἢ χωρὶς θυσίας, καὶ ἄσπονδοι ἐχθροὶ, ἀδιάλλακτοι*, adscriptis paulum mutatis verbis ex i, 63. *οἱ δὲ τοὺς νεκροὺς ἀσπόνδους ἀπέδοσαν*. Eadem schol. Qui *ἀσπόνδους* mortuos tollebant, non victos se confitebantur. Justin. vi, 4. 'corpora interfectorum ad sepulturam poscere (i. e. *ὑποσπόνδους*) est apud Græcos signum victoriæ traditæ.' V. Wessel. ad Herodot. ix, 27. Liv. xxxi, 38. 'caduceatore ad consulem misso, qui inducias ad sepeliendos equites peteret.' xxiii, 46. 'posterum diem induciis tacitis sepeliendo utrinque cæsos in acie consumserunt.' Adde Turneb. Adv. v, 7. Herald. Adv. i, 9. Kirchmann. d. Fun. Append. c. 4. interpp. ad Ælian. V. H. xii, 27.

Λαρισαῖοι—Φεραῖοι] In his omnes et editi et scripti habent *Παράσιοι*, qui nulli erant in Thessalia; quare *Παράλιοι* voluerunt alii contra libros. *Παράσιοι* nihil nisi varietas scripturæ mox sequentis nominis *Πυράσιοι*, quare seclusi: *Πυράσιοι* enim scribendum cum cod. H., non ut vulgo *Πειράσιοι*. Strabo p. 435. *πόλις εὐλίμενος ἡ Πύρασος, ἔχουσα Δήμητρος ἄλσος καὶ ἱερὸν ἅγιον, διέχουσα Θηβῶν*

ἐκ μὲν Λαρίσης Πολυμήδης καὶ Ἀριστόνους, ἀπὸ τῆς στάσεως ἑκατέρας, ἐκ δὲ Φαρσάλου Μένων· ἦσαν δὲ καὶ τῶν ἄλλων κατὰ πόλεις ἄρχοντες.

23. Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ οὐκ ἐπεξῄεσαν αὐτοῖς οἱ Ἀθηναῖοι ἐς μάχην, ἄραντες ἐκ τῶν Ἀχαρνῶν ἐδῄουν τῶν δήμων τινὰς ἄλλους τῶν μεταξὺ Πάρνηθος καὶ Βριλήσσου ὄρους. Ὄντων δὲ αὐτῶν ἐν τῇ γῇ οἱ Ἀθηναῖοι ἀπέστειλαν τὰς ἑκατὸν ναῦς περὶ Πελοπόννησον ὥσπερ παρεσκευάζοντο καὶ χιλίους ὁπλίτας ἐπ' αὐτῶν καὶ τοξότας τετρακοσίους· ἐστρατήγει δὲ Καρκῖνός τε ὁ Ξενοτίμου καὶ Πρωτέας ὁ Ἐπικλέους καὶ Σωκράτης ὁ Ἀντιγένους. Καὶ οἱ μὲν ἄραντες τῇ παρασκευῇ ταύτῃ περιέπλεον, οἱ δὲ Πελοποννήσιοι χρόνον ἐμμείναντες ἐν τῇ Ἀττικῇ ὅσου εἶχον τὰ ἐπιτήδεια ἀνεχώρησαν διὰ Βοιωτῶν οὐχ ᾗπερ ἐσέβαλον· παριόντες δὲ Ὠρωπὸν τὴν γῆν τὴν Γραϊκὴν καλουμένην, ἣν νέμονται Ὠρώπιοι Ἀθηναίων ὑπήκοοι, ἐδῄωσαν. Ἀφικόμενοι δὲ ἐς Πελοπόννησον διελύθησαν κατὰ πόλεις ἕκαστοι.

24. Ἀναχωρησάντων δὲ αὐτῶν οἱ Ἀθηναῖοι φυλακὰς κατεστήσαντο κατὰ γῆν καὶ κατὰ θάλασσαν, ὥσπερ δὴ ἔμελλον διὰ παντὸς τοῦ πολέμου φυλάξειν· καὶ χίλια τάλαντα ἀπὸ τῶν ἐν τῇ ἀκροπόλει χρημάτων ἔδοξεν αὐτοῖς ἐξαίρετα ποιησαμένοις χωρὶς θέσθαι καὶ μὴ ἀναλοῦν, ἀλλ'

(τῶν Φθιωτίδων) σταδίους εἴκοσι· ὑπέρκεινται δὲ Πυράσου Θῆβαι. Ipsa quatuor nomina, Pharsaliorum, Parasiorum, Cranoniorum, et Pyrasiorum, absunt ab I.

ἀπὸ—ἑκατέρας] Vulgo ἀπὸ—ἑκάτερος, 'diversæ uterque factionis.' Causam indicare voluit scriptor, cur Larissæis duo duces præfuerint. Sed verba vulgata eum sensum non habent. Schol. ἡ Λαρίσα ἐστασίασε πρὸς ἑαυτήν· διὸ ἑκατέρα μέρις ἄρχοντα εἶχε· λέγει δὲ, ὅτι ἑκατέρα στάσις δύναμιν Ἀθηναίοις ἀπέστειλε. Legit igitur, ut Popp. Obs. p. 28. animadvertit, ἑκατέρας, quod est etiam in g. a man. rec. et in marg. Steph. Articulum dicit conjunctum cum ἑκατέρας, ut iii, 23. τοῦ πύργου ἑκατέρου. iv, 93. ἐπὶ τῷ κέρᾳ ἑκατέρῳ, quæ verba alio ordine repetuntur c. 94. iv, 96. ἑκατέρων τῶν στρατοπέδων. Eodem modo articulus cum ἕκαστος jungitur: v. Matth. Gr. § 265, 5.

23. ὥσπερ παρεσκ.] Vulgo ὅσπερ παρεσκ., ex qua scriptura imperfectum pro plusquamperf. positum esse existimandum est: non enim potuerunt mittere naves quas adhuc parabant, sed quas jam paraverant. Quare Popp. Prol. t. i. p. 155., quem sequor, legit cum cod. K. ὥσπερ παρεσκ. nam ita extat iv, 2. τὰς τεσσαράκοντα ναῦς ἀπέστειλαν, ὥσπερ παρεσκευάζοντο, et iv, 129. ἐξέπλευσαν ἐπὶ τὴν Μένδην, ὥσπερ παρεσκευάζοντο. Mox, ad voc. ἄραντες spectat glossa Suidæ et Phavorin. ἄραντες παρὰ Θουκυδίδῃ ἐπὶ θαλάσσης εἴρηται· ἔστι δὲ ὅτι καὶ ἐπὶ γῆς.

Γραϊκὴν] Vulgo Πειραϊκήν. Sic legendum esse, patet ex Steph. Byz., qui locum Thucydidis descripsit in Ὠρωπὸς, monuitque jam Casaubon. ad Strab. p. 618. Steph. Byz. Ἀριστοτέλης γοῦν τὸν Ὠρωπὸν Γραϊκὴν φησι λέγεσθαι· ἡ δὲ Γραῖα τόπος τῆς Ὠρωπίας πρὸς τῇ θαλάσσῃ καὶ Ἐρετρίας καὶ Εὐβοίας κειμένη, ubi lego κατ'—Εὐβοίας κ.; in superioribus alii legunt Γραικὴν, alii Γραῖαν, alii Γραϊκήν. Mox, ad ἐδῄωσαν pertinet glossa Suidæ, ἐδῄουν, παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ διέκοπτον, διέφθειρον· 'ἅπασαν κατεδῄουν τὴν ἀνατολικὴν χώραν,' (quæ verba ex seriore scriptore petita sunt,) καὶ ἐδῄωσαν ὁμοίως.

ἀπὸ τῶν ἄλλων πολεμεῖν· ἢν δέ τις εἴπῃ ἢ ἐπιψηφίσῃ κινεῖν τὰ χρήματα ταῦτα ἐς ἄλλο τι, ἢν μὴ οἱ πολέμιοι νηΐτῃ στρατῷ ἐπιπλέωσι τῇ πόλει καὶ δέῃ ἀμύνασθαι, θάνατον ζημίαν ἐπέθεντο. Τριήρεις τε μετ' αὐτῶν ἑκατὸν ἐξαιρέτους ἐποιήσαντο, κατὰ τὸν ἐνιαυτὸν ἕκαστον τὰς βελτίστας, καὶ τριηράρχους αὐταῖς, ὧν μὴ χρῆσθαι μηδεμιᾷ ἐς ἄλλο τι ἢ μετὰ τῶν χρημάτων περὶ τοῦ αὐτοῦ κινδύνου, ἢν δέῃ.

25. Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶ περὶ Πελοπόννησον Ἀθηναῖοι καὶ Κερκυραῖοι μετ' αὐτῶν πεντήκοντα ναυσὶ προσβεβοηθηκότες καὶ ἄλλοι τινες τῶν ἐκεῖ ξυμμάχων ἄλλα τε ἐκάκουν περιπλέοντες καὶ ἐς Μεθώνην τῆς Λακωνικῆς ἀποβάντες τῷ τείχει προσέβαλον ὄντι ἀσθενεῖ καὶ ἀνθρώπων οὐκ ἐνόντων. Ἔτυχε δὲ περὶ τοὺς χώρους τούτους Βρασίδας ὁ Τέλλιδος ἀνὴρ Σπαρτιάτης φρουρὰν ἔχων· καὶ αἰσθόμενος ἐβοήθει τοῖς ἐν τῷ χωρίῳ μετὰ ὁπλιτῶν ἑκατόν. Διαδραμὼν δὲ τὸ τῶν Ἀθηναίων στρατόπεδον ἐσκεδασμένον κατὰ τὴν χώραν καὶ πρὸς τὸ τεῖχος τετραμμένον ἐσπίπτει ἐς τὴν Μεθώνην καὶ ὀλίγους τινὰς ἐν τῇ ἐσδρομῇ ἀπολέσας τῶν μεθ' ἑαυτοῦ τήν τε πόλιν περιεποίησε καὶ ἀπὸ τούτου τοῦ τολμήματος πρῶτος τῶν κατὰ τὸν πόλεμον ἐπῃνέθη ἐν Σπάρτῃ. Οἱ δὲ Ἀθηναῖοι ἄραντες παρέπλεον, καὶ σχόντες τῆς Ἠλείας ἐς Φειὰν ἐδῄουν τὴν γῆν ἐπὶ δύο ἡμέρας καὶ προσβοηθήσαντας τῶν ἐκ τῆς κοίλης Ἤλιδος τριακοσίους λογάδας καὶ τῶν αὐτόθεν ἐκ τῆς περιοικίδος Ἠλείων μάχῃ ἐκράτησαν. Ἀνέμου δὲ κατιόντος μεγάλου χειμαζόμενοι ἐν ἀλιμένῳ χωρίῳ, οἱ μὲν πολλοὶ

24. *ἣν μὴ—ἐπιπλέωσι*] Memorabilis cum doctrina, tum varietate scripturæ, extat glossa in Bibl. Coisl. p. 232. *ἐὰν ὁλοκλήρως οἱ περὶ Θουκυδίδην* (i. e. Thucydides) *τότε λέγουσιν, ὅτε προτέτακται ὁ η· ὅτε δὲ μὴ οὕτως ἔχει τάξεως, συνῃρημένως λέγει· ἐν δευτέρᾳ* (leg. *ἐν πρώτῃ*)· *ἢ ἐὰν οἱ πολέμιοι νηΐτῃ στρατῷ ἐπιπλέουσιν·—ἢ ἐὰν βιασθῇ, ὑπερέχει τοῖς ἀποστήσασι πολεμίοις.* Vestigium ejusdem scripturæ est in K., qui habet *ἢ μὴ οἱ πολ.* at cod. e. *εἰ μὴ οἱ πολ.*, quacum scriptura congruit quod in illa glossa est, *ἐπιπλέουσι.* Retinenda quidem vulgata, sed quod de usu formarum *ἢν* et *ἐὰν* dixit grammaticus, non videtur vanum esse.

τριήρεις τε—αὐταῖς] Vulgo *ἐξαιρέτους ἑκατόν.* Inversum ordinem habent A. B. G. K. c. d. f. g. h. i. Pro *κατὰ τὸν ἐνιαυτὸν ἕκαστον* I. habet *μετὰ τῶν ναυτῶν.* Porro, *τὸν* ante *ἐνιαυτὸν* omittunt L. O. P. *τριηράρχας* habent L. O. P., de qua substantivi forma v. Boeckh. Staatsh. d. Ath. t. ii. p. 113. Heilmann. opinatus est, centum quotannis naves ab Atheniensibus sepositas esse. Sed comma ponendum post *ἐποιήσαντο*, et jungenda sunt verba *κατὰ τὸν ἐνιαυτὸν ἕκαστον τὰς βελτίστας*, ut hic totius loci sensus sit: Athenienses decreverunt, ut navium, quas anno quoque habituri essent, centum seponerentur, ita ut non semper easdem sepositas vellent, sed novo quoque anno novæ eædemque optimæ substituerentur: nam verbis *ἐξαιρέτους ἐποιήσαντο* non hoc dicitur, centum eas naves jam tum selectas fuisse, sed tantum decretum esse ut in posterum secernerentur. Conf. Boeckh. l. l. t. i. p. 311. Infinitivus *χρῆσθαι* pendet ab *ἔδοξεν*.

25. *ἀνέμου κατιόντος*] i. e. 'ingruente

ἐπέβησαν ἐπὶ τὰς ναῦς καὶ περιέπλεον τὸν Ἰχθῦν καλούμενον τὴν ἄκραν ἐς τὸν ἐν τῇ Φειᾷ λιμένα· οἱ δὲ Μεσσήνιοι ἐν τούτῳ καὶ ἄλλοι τινὲς οἱ οὐ δυνάμενοι ἐπιβῆναι κατὰ γῆν χωρήσαντες τὴν Φειὰν αἱροῦσι. Καὶ ὕστερον αἵ τε νῆες περιπλεύσασαι ἀναλαμβάνουσιν αὐτοὺς καὶ ἐξανάγονται ἐκλιπόντες Φειὰν, καὶ τῶν Ἠλείων ἡ πολλὴ ἤδη στρατιὰ προσεβεβοηθήκει. Παραπλεύσαντες δὲ οἱ Ἀθηναῖοι ἐπὶ ἄλλα χωρία ἐδῄουν.

26. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον τοῦτον οἱ Ἀθηναῖοι τριάκοντα ναῦς ἐξέπεμψαν περὶ τὴν Λοκρίδα καὶ Εὐβοίας ἅμα φυλακήν· ἐστρατήγει δὲ αὐτῶν Κλεόπομπος ὁ Κλεινίου. Καὶ ἀποβάσεις ποιησάμενος τῆς τε παραθαλασσίου ἔστιν ἃ ἐδῄωσε καὶ Θρόνιον εἷλεν, ὁμήρους τε ἔλαβεν αὐτῶν, καὶ ἐν Ἀλόπῃ τοὺς βοηθήσαντας Λοκρῶν μάχῃ ἐκράτησεν.

27. Ἀνέστησαν δὲ καὶ Αἰγινήτας τῷ αὐτῷ θέρει τούτῳ ἐξ Αἰγίνης Ἀθηναῖοι αὐτούς τε καὶ παῖδας καὶ γυναῖκας, ἐπικαλέσαντες οὐχ ἥκιστα τοῦ πολέμου σφίσιν αἰτίους εἶναι· καὶ τὴν Αἴγιναν ἀσφαλέστερον ἐφαίνετο, τῇ Πελοποννήσῳ ἐπικειμένην, αὐτῶν πέμψαντας ἐποίκους ἔχειν. Καὶ ἐξέπεμ-

a terra vento:' v. Matth. ad Hom. H. Apoll. 433. Mox, Ἰχθῦν dedi, pro Ἰχθύν. V. Buttm. Gr. Max. p. 174. not.

26. περὶ τὴν Λοκρίδα] i. e. 'circum Locridem et Eubœæ simul observandæ causa.' Variatur oratio.

27. ἀνέστησαν—ἔχειν] Dionys. p. 846. V. Mueller. Æginet. p. 178.

χεῖρας καὶ πόδας, καὶ πολλοὶ στερισκόμενοι τούτων διέφευγον, εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν. Τοὺς δὲ καὶ λήθη ἐλάμβανε παραυτίκα ἀναστάντας τῶν πάντων ὁμοίως καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους.

50. Γενόμενον γὰρ κρεῖσσον λόγου τὸ εἶδος τῆς νόσου τά τε ἄλλα χαλεπωτέρως ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν προσέπιπτεν ἑκάστῳ καὶ ἐν τῷδε ἐδήλωσε μάλιστα ἄλλο τι ὂν ἢ τῶν ξυντρόφων τι· τὰ γὰρ ὄρνεα καὶ τετράποδα ὅσα ἀνθρώπων ἅπτεται πολλῶν ἀτάφων γιγνομένων ἢ οὐ προσῄει ἢ γευσάμενα διεφθείρετο. Τεκμήριον δὲ τῶν μὲν τοιούτων ὀρνίθων ἐπίλειψις σαφὴς ἐγένετο, καὶ οὐχ ἑωρῶντο οὔτε ἄλλως οὔτε περὶ τοιοῦτον οὐδέν· οἱ δὲ κύνες μᾶλλον αἴσθησιν παρεῖχον τοῦ ἀποβαίνοντος διὰ τὸ ξυνδιαιτᾶσθαι.

51. Τὸ μὲν οὖν νόσημα, πολλὰ καὶ ἄλλα παραλιπόντι ἀτοπίας, ὡς ἑκάστῳ ἐτύγχανέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον, τοιοῦτον ἦν ἐπὶ πᾶν τὴν ἰδέαν. Καὶ ἄλλο παρελύπει κατ' ἐκεῖνον τὸν χρόνον οὐδὲν τῶν εἰωθότων· ὃ δὲ καὶ γένοιτο, ἐς τοῦτο ἐτελεύτα. Ἔθνησκον δὲ οἱ μὲν ἀμελείᾳ, οἱ δὲ καὶ πάνυ θεραπευόμενοι. Ἕν τε οὐδὲν κατέστη

(τοῦ κακοῦ) τῶν ἀκρωτηρίων ἐπεσήμαινε, 'mali vis apprehendens extremas corporis partes se prodebat, manifestam faciebat.'" Wyttenb. Ecl. Hist. p. 367. V. Budæum Comm. L. Gr. p. 656. 768. Foës. Lex. Hippocr. s. v. Petav. ad Synes. p. 12.

καὶ πολλοὶ—διέφευγον] Lucret. vi, 1203. 'Profluvium porro qui tetri sanguinis acre Exierat, tamen in nervos huic morbus et artus Ibat et in partis genitalis corporis ipsas. Et graviter partim metuentes limina leti Vivebant ferro privati parte virili: Et manibus sine nonnulli pedibusque manebant In vita tamen, et perdebant lumina partim: Usque adeo mortis metus his incesserat acer.' Poëtam mentem historici non assecutum esse existimat Victor. V. L. xxxv, 8. Lucretium defendit Lambinus, verisimile esse perhibens, multos, dum paterentur virilia sibi amputari, mortis periculum effugisse.

50. *κρεῖσσον λόγου*] V. Valcken. ad Eur. Phœn. p. 333.

τὰ γὰρ ὄρνεα—διεφθείρετο] Lucret. vi, 1213. 'Multaque humi cum inhumata jacerent corpora supra Corporibus, tamen alituum genus atque ferarum Aut procul absiliebat, ut acrem exiret odorem: Aut, ubi gustarat, languebat morte propinqua. Nec tamen omnino temere illis solibus ulla Comparebat avis, nec noctibus secla ferarum Exibant silvis: languebant pleraque morbo Et moriebantur: cum primis fida canum vis Strata viis animam ponebat in omnibus ægram; Extorquebat enim vitam vis morbida membris.' Huc respicit Plut. Symp. ix. p. 733. ex citatione Wassii. Ἅπτεται est 'comedunt.' Cic. pr. Rosc. Amerin. c. 26. 'bestiæ, quæ tantum scelus attigissent:' v. Clav. Cic. Ernest. h. v. Horat. Serm. ii, 6, 87. 'tangentis male singula dente superbo.' Ovid. Metam. vii, 549. 'silvisque, agrisque viisque Corpora fœda jacent; vitiantur odoribus auræ. Mira loquor: non illa canes avidæque volucres, Non cani tetigere lupi: dilapsa liquescunt, Afflatuque nocent et agunt contagia late.' V. Abresch. Diluc. p. 230. Auct. p. 278.

51. *τοιοῦτον—ἰδέαν*] Phavorin. in *ἐπίπαν*.

καὶ ἄλλο—ἐτελεύτα] Hæc omisit Levesquius, interpretamentum arbitratus illorum quæ ab initio cap. 49. leguntur. Conf. Popp. ed. Thuc. ii, 1. p. 12.

ἔθνησκον—ὠφελεῖν] Greg. Cor. p. 55., ubi dicit *ἕν τε οὐδὲ ἓν* esse pro *οὐδὲν*, ubi v. interpp. et Viger. p. 468. Lucret. vi, 1224. 'Nec ratio remedi communis certa

ἴαμα ὡς εἰπεῖν ὅ,τι χρῆν προσφέροντας ὠφελεῖν· τὸ γάρ τῳ ξυνενεγκὸν ἄλλον τοῦτο ἔβλαπτε. Σῶμά τε αὔταρκες ὂν οὐδὲν διεφάνη πρὸς αὐτὸ ἰσχύος πέρι ἢ ἀσθενείας, ἀλλὰ πάντα ξυνῄρει καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα. Δεινότατον δὲ παντὸς ἦν τοῦ κακοῦ ἥ τε ἀθυμία ὁπότε τις αἴσθοιτο κάμνων, πρὸς γὰρ τὸ ἀνέλπιστον εὐθὺς τραπόμενοι τῇ γνώμῃ πολλῷ μᾶλλον προΐεντο σφᾶς αὐτοὺς καὶ οὐκ ἀντεῖχον, καὶ ὅτι ἕτερος ἀφ' ἑτέρου θεραπείας ἀναπιμπλάμενοι ὥσπερ τὰ πρόβατα ἔθνησκον· καὶ τὸν πλεῖστον φθόρον τοῦτο ἐνεποίει. Εἴτε γὰρ μὴ θέλοιεν δεδιότες ἀλλήλοις προσιέναι, ἀπώλλυντο ἔρημοι, καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν ἀπορίᾳ τοῦ θεραπεύσοντος· εἴτε προσίοιεν, διεφθείροντο, καὶ μάλιστα οἱ ἀρετῆς τι μεταποιούμενοι· αἰσχύνῃ γὰρ ἠφείδουν σφῶν αὐτῶν, ἐσιόντες παρὰ φίλους, ἐπεὶ καὶ τὰς ὀλοφύρσεις τῶν ἀπογιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον, ὑπὸ τοῦ πολλοῦ κακοῦ νικώμενοι. Ἐπὶ πλέον δὲ ὅμως οἱ διαπεφευ-

dabatur; Nam quod aliis dederat vitales aëris auras Volvere in ore licere et cœli templa tueri; Hoc aliis erat exitio letumque parabat.'

δεινότατον — κάμνων] Idem, v. 1228. 'Illud in his rebus miserandum et magnopere unum Ærumnabile erat, quod, ubi se quisque videbat Implicitum morbo, morti damnatus ut esset, Deficiens animo mœsto cum corde jacebat Funera respectans, animam et mittebat ibidem.'

ἀναπιμπλάμενοι] i. e. 'infected.' Liv. iii, 6., qui h. l. ante oculos habuit, 'ministeria invicem ac contagio ipsa vulgabant morbos.' Lucret. v. 1233. 'Idque vel inprimis cumulabat funere funus; Quippe etenim nullo cessabant tempore apisci Ex aliis alios avidi contagia morbi: Nam quicunque suos fugitabant visere ad ægros, Vitaï nimium cupidi, mortisque timentes, Pœnibat paulo post turpi morte malaque Desertos, opis expertes, incuria mactans, Lanigeras tanquam pecudes, et bucera secla,' i. e. *ὥσπερ τὰ πρόβατα*, quæ explicat Juvenal. Sat. ii, 78. 'dedit hanc contagio labem Et dabit in plures: sicut grex totus in agris Unius scabie cadit et porrigine porci.' Conf. Plut. Pericl. p. 311. Pericles, scribit, *ἐῶν ὥσπερ βοσκήματα καθειργμένους ἀναπίμπλασθαι φθορᾶς ἀπ' ἀλλήλων*.

ἐκενώθησαν] Hesych. *ἐκενώθησαν, ἐρημώθησαν* et *ἠφείδουν, οὐκ ἐποιοῦντο φροντίδα, οὐκ ἐφείδοντο*. Lucret. 1241. 'Qui fuerant autem præsto, contagibus ibant Atque labore, pudor quem tum cogebat obire, Blandaque lassorum vox mista voce querelæ, Et optimus hoc leti genus ergo quisque subibat,' i. e. *καὶ μάλιστα—μεταποιούμενοι*. Suidas, *μεταποιεῖσθαι, ἀντιποιεῖσθαι—Θουκυδίδης ἐν τῇ λοιμικῇ καταστάσει, καὶ μάλιστα — μεταποιούμενοι. Σημαίνει ἀντιποιούμενοι*. Eadem Photius. Tangit h. l. Plut. d. Mult. Amic. in fin., imitatur Procop. B. G. i, 8. extr. *καὶ μάλιστα οἷς δὴ ἀρετῆς τι μεταποιεῖσθαι ξυνέβαινε*.

ὀλοφύρσεις—ἐξέκαμνον] Dionys. p. 795. *ταύτης δ' ἐστὶ τῆς ἰδέας "ἥ τε οὐκ ἀποτείχισις τοῦ Πλημμυρίου," ἣν ἐν τῇ ἑβδόμῃ βίβλῳ τέθεικεν ἐν δημηγορίᾳ· τὸ γὰρ ἀποτειχίσαι καὶ ἀπολοφύρασθαι ῥηματικὰ ὄντα ὀνοματικῶς ἐσχημάτικεν "ἀποτείχισιν" καὶ "ὀλόφυρσιν."* Post *βίβλῳ* lacunæ originem dedit *ὁμοιοτέλευτον*. Post verbum igitur illud hæc fere verba interciderunt, *καὶ ἡ ὀλόφυρσις, ἣν ἐν τῇ πρώτῃ βίβλῳ*, ut adnotavit Krueger. p. 227. Quod autem addit, videri respici Thuc. i, 143., fallitur; nam respicitur h. l., cujus insolentiorem structuram rhetoricus in mente habuit, ubi verbum *ἐξέκαμνον* positum est prægnanter pro *οὐκέτι ἐποιοῦντο ὀλοφύρσεις ἐκκάμνοντες*. Lucret. v. 1246. 'lacrimis lassi luctuque redibant.' Liv. xxv, 26. 'postremo ita assuetudine mali efferaverant animos, ut non modo lacrimis justoque comploratu prosequerentur mortuos, sed ne efferrent quidem aut sepelirent.'

γότες τόν τε θνήσκοντα καὶ τὸν πονούμενον ᾠκτίζοντο διὰ τὸ προειδέναι τε καὶ αὐτοὶ ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι· δὶς γὰρ τὸν αὐτὸν ὥστε καὶ κτείνειν οὐκ ἐπελάμβανε. Καὶ ἐμακαρίζοντό τε ὑπὸ τῶν ἄλλων καὶ αὐτοὶ τῷ παραχρῆμά περιχαρεῖ καὶ ἐς τὸν ἔπειτα χρόνον ἐλπίδος τι εἶχον κούφης μηδ᾽ ἂν ὑπ᾽ ἄλλου νοσήματός ποτε ἔτι διαφθαρῆναι.

52. Ἐπίεσε δ᾽ αὐτοὺς μᾶλλον πρὸς τῷ ὑπάρχοντι πόνῳ καὶ ἡ ξυγκομιδὴ ἐκ τῶν ἀγρῶν ἐς τὸ ἄστυ, καὶ οὐχ ἧσσον τοὺς ἐπελθόντας. Οἰκιῶν γὰρ οὐχ ὑπαρχουσῶν, ἀλλ᾽ ἐν καλύβαις πνιγηραῖς ὥρᾳ ἔτους διαιτωμένων ὁ φθόρος ἐγίγνετο οὐδενὶ κόσμῳ, ἀλλὰ καὶ νεκροὶ ἐπ᾽ ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο καὶ ἐν ταῖς ὁδοῖς ἐκαλινδοῦντο καὶ περὶ τὰς κρήνας ἁπάσας ἡμιθνῆτες τοῦ ὕδατος ἐπιθυμίᾳ. Τά τε ἱερὰ ἐν οἷς ἐσκήνηντο νεκρῶν πλέα ἦν, αὐτοῦ ἐναποθνησκόντων· ὑπερβιαζομένου γὰρ τοῦ κακοῦ οἱ ἄνθρωποι οὐκ ἔχοντες ὅ,τι γένωνται ἐς ὀλιγωρίαν ἐτράποντο καὶ ἱερῶν καὶ ὁσίων ὁμοίως. Νόμοι τε πάντες ξυνεταράχθησαν οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς, ἔθαπτον δὲ ὡς ἕκαστος ἐδύνατο. Καὶ πολλοὶ ἐς ἀναισχύντους θήκας ἐτράποντο σπάνει τῶν ἐπιτηδείων διὰ τὸ συχνοὺς ἤδη προτεθνάναι σφίσιν· ἐπὶ πυρὰς γὰρ ἀλλοτρίας φθάσαντες τοὺς νήσαντας οἱ μὲν ἐπιθέντες τὸν ἑαυτῶν νεκρὸν

τόν τε—πονούμενον] Pollux iii, 104. citat *τὸν δὲ τεθνηκότα*. At *πονεῖν* pro *κάμνειν* haud infrequens: v. Hippocr. Aphorism. ii, 48. Arist. Pac. 820. Mox, *διαφθαρῆναι* ne verte 'se absumtum iri,' sed 'se afflictum iri.' V. ad i, 24.

52. *ὥρᾳ ἔτους*] Meurs. Lectt. Att. ii, 6. legit *ὥρᾳ θέρους* ex auctoritate Galeni, cujus hæc verba refert ex lib. *περὶ ἐπιφορᾶς πυρετῶν*, i, 5. *καθὰ ὁ Θουκυδίδης φησίν· ἀλλ᾽ ἐν καλύβαις πνιγηραῖς ὥρᾳ θέρους διαιτωμένων ὁ φθόρος κατὰ τὸ σῶμα ἐγίγνετο.* Sed Galenus locum memoriter protulit, sicut Plut. Pericl. p. 311. *θέρους ὥρᾳ πολλῶν ὁμοῦ χύδην ἐν οἰκήμασι μικροῖς καὶ σκηνώμασι πνιγηροῖς ἠναγκασμένων διαιτᾶσθαι.* Procop. p. ii, 19. fere singula verba descripsit hujus loci, et B. V. ii, 6. bis *θέρους ὥρᾳ* habet. Priore loco inquirit in causas pestilentiæ tempore Justiniani exortæ, et *ὥραν τοῦ ἔτους* in causa fuisse negat: nempe *ἔτους ὥραν ἰδίως τὸ θέρος Ἀττικοί*, ut ait Herodian. p. 465., ubi v. Pierson. et Bast. Ep. Crit. p. 108. Est igitur 'æstate.' Lucret. vi, 1262. 'Multa siti prostrata viam per, proque voluta Corpora silanos ad aquarum strata jacebant—Multaque per populi passim loca prompta viasque Languida semianimo tum corpore membra videres.' Mox, in formula *καὶ ἱερῶν καὶ ὁσίων* vocabulum *ὅσια* significat *τὰ ἰδιωτικὰ καὶ μὴ ἱερά*, velut sepulcra, quæ Latinis quoque dicuntur 'religiosa.' Hæc glossa apud Photium est et Timæum, ubi v. Ruhnk. Lucret. v. 1270. 'Omnia denique sancta deum delubra replerat Corporibus mors exanimis,' etc.

νόμοι—περὶ τὰς ταφὰς] V. Petit. Leg. Att. p. 53. 598. Wessel. Cic. d. Leg. ii, 26. Lucret. v. 1223. 'Incomitata rapi certabant funera vasta.' v. 1276. 'Nec mos ille sepulturæ remanebat in urbe, Ut prius hic populus semper consuerat humari. Perturbatus enim totus trepidabat et unus Quisque suum pro re consortem mœstus habebat.'

ἀναισχύντους θήκας] i. e. 'in aliena,' eoque 'pudenda sepulcra' vel rogos, ut Popp. Prol. t. i. p. 255. explicat. Schol. *ἀλλοτρίας, ξένας*. Haackio videtur in universum denotare modum et locum se-

ὑφῆπτον, οἱ δὲ καιομένου ἄλλου ἄνωθεν ἐπιβαλόντες ὃν φέροιεν ἀπῄεσαν.

53. Πρῶτόν τε ἦρξε καὶ ἐς τἆλλα τῇ πόλει ἐπὶ πλέον ἀνομίας τὸ νόσημα. Ῥᾷον γὰρ ἐτόλμα τις ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν, ἀγχίστροφον τὴν μεταβολὴν ὁρῶντες τῶν τ' εὐδαιμόνων καὶ αἰφνιδίως θνησκόντων καὶ τῶν οὐδὲν πρότερον κεκτημένων, εὐθὺς δὲ τἀκείνων ἐχόντων. Ὥστε ταχείας τὰς ἐπαυρέσεις καὶ πρὸς τὸ τερπνὸν ἠξίουν ποιεῖσθαι, ἐφήμερα τά τε σώματα καὶ τὰ χρήματα ὁμοίως ἡγούμενοι. Καὶ τὸ μὲν προσταλαιπωρεῖν τῷ δόξαντι καλῷ οὐδεὶς πρόθυμος ἦν, ἄδηλον νομίζων εἰ πρὶν ἐπ' αὐτὸ ἐλθεῖν διαφθαρήσεται· ὅ,τι δὲ ἤδη τε ἡδὺ καὶ πανταχόθεν τὸ ἐς αὐτὸ κερδαλέον, τοῦτο καὶ καλὸν καὶ χρήσιμον κατέστη. Θεῶν δὲ φόβος ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργε, τὸ μὲν κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν καὶ μὴ ἐκ τοῦ πάντας ὁρᾶν ἐν ἴσῳ ἀπολλυμένους, τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς ἂν τὴν τιμωρίαν ἀντιδοῦναι, πολὺ δὲ μείζω τὴν ἤδη κατεψηφισμένην σφῶν ἐπικρεμασθῆναι, ἣν πρὶν ἐμπεσεῖν εἰκὸς εἶναι τοῦ βίου τι ἀπολαῦσαι.

54. Τοιούτῳ μὲν πάθει οἱ Ἀθηναῖοι περιπεσόντες ἐπιέζοντο, ἀνθρώπων τε ἔνδον θνησκόντων καὶ γῆς ἔξω δῃουμένης. Ἐν δὲ τῷ κακῷ οἷα εἰκὸς ἀνεμνήσθησαν καὶ τοῦδε τοῦ ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι,

ἥξει Δωριακὸς πόλεμος καὶ λοιμὸς ἅμ' αὐτῷ.

peliendi inhonestum et turpem. Θήκη est 'locus in quem inferuntur mortui,' 'sepulcrum.' Procop. B. P. ii, 23. respiciens ad h. l. habet ἐς ἀλλοτρίας θήκας ἐρρίπτουν.

53. ῥᾷον ἐτόλμα τις—δρῶντες] Hanc structuram pluralis numeri post collectivum τις ex Thucydide et Æschylo illustrat Schol. B. hujus poëtæ Pers. v. 96. ed. Lang. et Pinzger.

ἐλθεῖν] F. H. N. Q. ἔλθῃ. V. Popp. l. l. p. 141.

ὅ,τι τε ἤδη] ἤδη A. F. H. Q. e. b. ἥδη B. Ceteri ἤδει. Quare possis conjicere, ἤδη scribendum esse: at in tertia persona hæc verbi forma ap. Thucydidem semper per ει effertur. Prima persona omnino non apud eum reperitur. V. Buttm. Gr. Max. § 97. not. 14—16. Ac cum quid jucundum sit, omnes mortales suapte natura sentiant, nullaque ad id percipiendum scientia opus sit, et cum verba ἤδη τε etc. hunc bonum sensum præbeant, 'quod et statim jucundum esset et ad voluptatem alicunde quæstuosum fore videretur,' i. e. 'what gave, and promised to give, pleasure;' non dubitavi ἥδη præferre. Phavorin. ex Eustath. in Od. ψ. p. 1946. (v. Duker. Præf. p. xxvii.) ᾔδειν καὶ ἐνενοήκειν, καὶ ἐπεποιήκειν διαλύσει τοῦ ᾔδεα καὶ ἐνενοήκεα καὶ ἐπεποιήκεα, ἀλλ' οὐ τὰ ἐξ αὐτῶν Ἀττικὰ τὰ διὰ τοῦ η· παραδίδωσι γὰρ Ἡρακλείδης, ὅτι οἱ Ἀττικοὶ τοὺς τοιούτους ὑπερσυντελίκους ἐν τῷ η μόνῳ περατοῦσιν, ᾔδη λέγοντες καὶ ἐνενοήκη καὶ ἐπεποιήκη. Καὶ οὕτω φησὶ Παναίτιος ἔχειν τὰς γραφὰς παρὰ Πλάτωνι καὶ Θουκυδίδῃ, ὃς κέχρηται τῷ τοιούτῳ ἔθει.

φόβος—κρίνοντες] Pro accusativo nominativus κρίνοντες, constructione ad sensum facta; est enim pro θεῶν φόβῳ ἢ ἀνθρώπων νόμῳ οὐδενὶ ἀπείργοντο. Τὸ μὲν junge cum σέβειν, refertur autem ad τὸ θεῖον, quod ad sensum inest in θεῶν φό-

Ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις μὴ λοιμὸν ὠνομάσθαι ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν, ἀλλὰ λιμὸν, ἐνίκησε δὲ ἐπὶ τοῦ παρόντος εἰκότως λοιμὸν εἰρῆσθαι· οἱ γὰρ ἄνθρωποι πρὸς ἃ ἔπασχον τὴν μνήμην ἐποιοῦντο. Ἢν δέ γε οἶμαί ποτε ἄλλος πόλεμος καταλάβῃ Δωρικὸς τοῦδε ὕστερος καὶ ξυμβῇ γενέσθαι λιμὸν, κατὰ τὸ εἰκὸς οὕτως ᾄσονται. Μνήμη δὲ ἐγένετο καὶ τοῦ Λακεδαιμονίων χρηστηρίου τοῖς εἰδόσιν, ὅτε ἐπερωτῶσιν αὐτοῖς τὸν θεὸν εἰ χρὴ πολεμεῖν ἀνεῖλε κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι. Περὶ μὲν οὖν τοῦ χρηστηρίου τὰ γιγνόμενα ἤκαζον ὁμοῖα εἶναι· ἐσβεβληκότων δὲ τῶν Πελοποννησίων ἡ νόσος ἤρξατο εὐθύς. Καὶ ἐς μὲν Πελοπόννησον οὐκ ἐσῆλθεν, ὅ,τι ἄξιον καὶ εἰπεῖν, ἐπενείματο δὲ Ἀθήνας μὲν μάλιστα, ἔπειτα δὲ καὶ τῶν ἄλλων χωρίων τὰ πολυανθρωπότατα. Ταῦτα μὲν τὰ κατὰ τὴν νόσον γενόμενα.

55. Οἱ δὲ Πελοποννήσιοι ἐπειδὴ ἔτεμον τὸ πεδίον, παρῆλθον ἐς τὴν Πάραλον γῆν καλουμένην μέχρι Λαυρίου, οὗ τὰ ἀργύρεια μέταλλά ἐστιν Ἀθηναίοις. Καὶ πρῶτον μὲν ἔτεμον ταύτην ᾗ πρὸς Πελοπόννησον ὁρᾷ, ἔπειτα δὲ τὴν πρὸς Εὔβοιάν τε καὶ Ἄνδρον τετραμμένην. Περικλῆς δὲ στρατηγὸς ὢν καὶ τότε περὶ μὲν τοῦ μὴ ἐπεξιέναι τοὺς Ἀθηναίους τὴν αὐτὴν γνώμην εἶχεν ὥσπερ καὶ ἐν τῇ προτέρᾳ ἐσβολῇ.

56. Ἔτι δ᾽ αὐτῶν ἐν τῷ πεδίῳ ὄντων πρὶν ἐς τὴν παραλίαν γῆν ἐλθεῖν ἑκατὸν νεῶν ἐπίπλουν τῇ Πελοποννήσῳ παρεσκευάζετο, καὶ ἐπειδὴ ἑτοῖμα ἦν, ἀνήγετο. Ἦγε δ᾽ ἐπὶ τῶν νεῶν ὁπλίτας Ἀθηναίων τετρακισχιλίους καὶ ἱππέας τριακοσίους ἐν ναυσὶν ἱππαγωγοῖς πρῶτον τότε ἐκ τῶν παλαιῶν νεῶν ποιηθείσαις· ξυνεστρατεύοντο δὲ καὶ Χῖοι καὶ Λέσβιοι πεντήκοντα ναυσίν. Ὅτε δὲ ἀνήγετο ἡ στρατιὰ αὕτη Ἀθηναίων, Πελοποννησίους κατέλιπον τῆς Ἀττικῆς ὄντας ἐν τῇ παραλίᾳ. Ἀφικόμενοι δὲ ἐς Ἐπίδαυρον τῆς Πελοποννήσου ἔτεμον τῆς γῆς τὴν πολλὴν, καὶ πρὸς τὴν πόλιν προσβαλόντες ἐς ἐλπίδα μὲν ἦλθον τοῦ ἑλεῖν, οὐ μέντοι προεχώρησέ γε. Ἀνα-

βος. Popp. l. l. p. 112. contulit Æsch. Pers. 33. ἄλλους δ᾽ ὁ μέγας καὶ πολυθρέμμων Νεῖλος ἔπεμψεν· Σουσισκάνης, Πηγαστάγων, Αἰγυπτογένης, etc.

54. καὶ—ξυλλήψεσθαι] Thom. M. p. 166.

55. Πάραλον] memorat Thom. M. p. 685. Verba μέχρι Λαυρίου—Ἀθηναίοις adscripsit Suidas in ἀργυροῦν. V. Boëckh. in Comm. Academ. Reg. Berol. a. 1815. et in Staatsh. d. Ath. t. i. p. 231.

γαγόμενοι δὲ ἐκ τῆς Ἐπιδαύρου ἔτεμον τήν τε Τροιζηνίδα γῆν καὶ τὴν Ἁλιάδα καὶ τὴν Ἑρμιονίδα· ἔστι δὲ πάντα ταῦτα ἐπιθαλάσσια τῆς Πελοποννήσου. Ἄραντες δὲ ἀπ' αὐτῶν ἀφίκοντο ἐς Πρασιὰς, τῆς Λακωνικῆς πόλισμα ἐπιθαλάσσιον, καὶ τῆς τε γῆς ἔτεμον καὶ αὐτὸ τὸ πόλισμα εἷλον καὶ ἐπόρθησαν. Ταῦτα δὲ ποιήσαντες ἐπ' οἴκου ἀνεχώρησαν. Τοὺς δὲ Πελοποννησίους οὐκέτι κατέλαβον ἐν τῇ Ἀττικῇ ὄντας, ἀλλ' ἀνακεχωρηκότας.

57. Ὅσον δὲ χρόνον οἵ τε Πελοποννήσιοι ἦσαν ἐν τῇ γῇ τῇ Ἀθηναίων καὶ οἱ Ἀθηναῖοι ἐστράτευον ἐπὶ τῶν νεῶν, ἡ νόσος ἔν τε τῇ στρατιᾷ τοὺς Ἀθηναίους ἔφθειρε καὶ ἐν τῇ πόλει, ὥστε καὶ ἐλέχθη τοὺς Πελοποννησίους δείσαντας τὸ νόσημα, ὡς ἐπυνθάνοντο τῶν αὐτομόλων ὅτι ἐν τῇ πόλει εἴη καὶ θάπτοντας ἅμα ᾐσθάνοντο, θᾶσσον ἐκ τῆς γῆς ἐξελθεῖν. Τῇ δὲ ἐσβολῇ ταύτῃ πλεῖστόν τε χρόνον ἐνέμειναν καὶ τὴν γῆν πᾶσαν ἔτεμον· ἡμέρας γὰρ τεσσαράκοντα μάλιστα ἐν τῇ γῇ τῇ Ἀττικῇ ἐγένοντο.

58. Τοῦ δ' αὐτοῦ θέρους Ἅγνων ὁ Νικίου καὶ Κλεόπομπος ὁ Κλεινίου ξυστράτηγοι ὄντες Περικλέους λαβόντες τὴν στρατιὰν ἥπερ ἐκεῖνος ἐχρήσατο ἐστράτευσαν εὐθὺς ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης καὶ Ποτίδαιαν ἔτι πολιορκουμένην, ἀφικόμενοι δὲ μηχανάς τε τῇ Ποτιδαίᾳ προσέφερον καὶ παντὶ τρόπῳ ἐπειρῶντο ἑλεῖν. Προὐχώρει δὲ αὐτοῖς οὔτε ἡ αἵρεσις τῆς πόλεως οὔτε τἄλλα τῆς παρασκευῆς ἀξίως· ἐπιγενομένη γὰρ ἡ νόσος ἐνταῦθα δὴ πάνυ ἐπίεσε τοὺς Ἀθηναίους, φθείρουσα τὴν στρατιὰν ὥστε καὶ τοὺς προτέρους στρατιώτας νοσῆσαι τῶν Ἀθηναίων ἀπὸ τῆς ξὺν Ἅγνωνι στρατιᾶς ἐν τῷ πρὸ τοῦ χρόνῳ ὑγιαίνοντας. Φορμίων δὲ καὶ οἱ ἑξακόσιοι καὶ χίλιοι οὐκέτι ἦσαν περὶ Χαλκιδέας. Ὁ μὲν οὖν Ἅγνων ταῖς ναυσὶν ἀνεχώρησεν ἐς τὰς Ἀθήνας, ἀπὸ τετρακισχιλίων ὁπλιτῶν χιλίους καὶ πεντήκοντα τῇ νόσῳ ἀπολέσας ἐν τεσσαράκοντα μάλιστα ἡμέραις· οἱ δὲ πρότεροι στρατιῶται κατὰ χώραν μένοντες ἐπολιόρκουν τὴν Ποτίδαιαν.

59. Μετὰ δὲ τὴν δευτέραν ἐσβολὴν τῶν Πελοποννησίων οἱ

58. ἐνταῦθα δὴ] post participium, ut i, 91. ii, 12. 18. 70. et alibi; etiam post ἐπεὶ et similes conjunctiones.

59. Μετὰ δὲ τὴν—ἄπρακτοι ἐγένοντο] Dionys. p. 843.

Ἀθηναῖοι ὡς ἥ τε γῆ αὐτῶν ἐτέτμητο τὸ δεύτερον καὶ ἡ νόσος ἐπέκειτο ἅμα καὶ ὁ πόλεμος, ἠλλοίωντο τὰς γνώμας, καὶ τὸν μὲν Περικλέα ἐν αἰτίᾳ εἶχον ὡς πείσαντα σφᾶς πολεμεῖν καὶ δι' ἐκεῖνον ταῖς ξυμφοραῖς περιπεπτωκότες, πρὸς δὲ τοὺς Λακεδαιμονίους ὥρμηντο ξυγχωρεῖν· καὶ πρέσβεις τινὰς πέμψαντες ὡς αὐτοὺς ἄπρακτοι ἐγένοντο. Πανταχόθεν τε τῇ γνώμῃ ἄποροι καθεστῶτες ἐνέκειντο τῷ Περικλεῖ. Ὁ δὲ ὁρῶν αὐτοὺς πρὸς τὰ παρόντα χαλεπαίνοντας καὶ πάντα ποιοῦντας ἅπερ αὐτὸς ἤλπιζε, ξύλλογον ποιήσας, ἔτι δ' ἐστρατήγει, ἐβούλετο θαρσῦναί τε καὶ ἀπαγαγὼν τὸ ὀργιζόμενον τῆς γνώμης πρὸς τὸ ἠπιώτερον καὶ ἀδεέστερον καταστῆσαι. Παρελθὼν δὲ ἔλεξε τοιάδε.

60. Καὶ προσδεχομένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν ἐς ἐμὲ γεγένηται, αἰσθάνομαι γὰρ τὰς αἰτίας, καὶ ἐκκλησίαν τούτου ἕνεκα ξυνήγαγον ὅπως ὑπομνήσω καὶ μέμψωμαι εἴ τι μὴ ὀρθῶς ἢ ἐμοὶ χαλεπαίνετε ἢ ταῖς ξυμφοραῖς εἴκετε. Ἐγὼ γὰρ ἡγοῦμαι πόλιν πλείω ξύμπασαν ὀρθουμένην ὠφελεῖν τοὺς ἰδιώτας ἢ καθ' ἕκαστον τῶν πολιτῶν εὐπραγοῦσαν, ἁθρόαν δὲ σφαλλομένην. Καλῶς μὲν γὰρ φερόμενος ἀνὴρ τὸ καθ' ἑαυτὸν διαφθειρομένης τῆς πατρίδος οὐδὲν ἧσσον ξυναπόλλυται, κακοτυχῶν δὲ ἐν εὐτυχούσῃ πολλῷ μᾶλλον διασώζεται. Ὁπότε οὖν πόλις μὲν τὰς ἰδίας ξυμφορὰς οἵα τε φέρειν, εἷς δὲ ἕκαστος τὰς ἐκείνης ἀδύνατος, πῶς οὐ χρὴ πάντας ἀμύνειν αὐτῇ, καὶ μὴ ὃ νῦν ὑμεῖς δρᾶτε, ταῖς κατ' οἶκον κακοπρα-

ἐστρατήγει] Convocandi enim populum in concionem jus penes prytanes, aut si quid subiti accidisset, de quo extra ordinem cum populo agi oporteret, etiam penes prætores erat. V. Schœmann. d. Comit. Athen. c. iv. p. 58.

60. Periclis oratio, qua Athenienses de inconstantia et animo demisso et proprii commodi inscitia objurgat; civium animos ad fortunam adversam fortiter ferendam excitat.

καὶ προσδεχομένῳ — εἴκετε] Dionys. p. 923. Meminit hujus orationis etiam Plut. in Præc. Reip. Ger. t. ix. p. 204., ut monuit jam schol. adde Aristid. t. iii. p. 950. Mox, *ἐς ἐμὲ* pro *ἔς με* recte editores dederunt, (v. Herm. d. Em. Rat. Gr. Gr. p. 75.) frustra obloquente Reisigio, Conj. in Aristoph. t. i. p. 56., qui quæ exempla dedit tuendæ vulgatæ causa, e poëtis desumta sunt, quos interdum numeri cogunt, ut talia admittant.

ἐγὼ γὰρ—διασώζεται] Dionys. p. 924. Hierocles ap. Stob. p. 229, 20.

ξυναπόλλυται] conf. Aristot. Polit. ii, 2, 16. coll. Morgenstern. d. Plat. Rep. p. 106. Sententiam a nostro scriptore mutuatus est Dio Cass. xxxviii, 36. *ἰδίᾳ μὲν γὰρ οὐδ' ἂν εἷς οὕτως εὖ πράξειεν, ὥστε μὴ οὐ τῷ κοινῷ πταίσαντι συναπολέσθαι· τὸ δὲ δημόσιον εὐτυχοῦν πάσας καὶ τὰς ἑκάστου συμφορὰς ἀναφέρει.* Ex h. l. Pollux iii, 99. citat voc. *κακοτυχεῖν*.

καὶ μὴ—δρᾶτε] i. e. *καὶ μὴ δρᾶν ὃ νῦν ὑμεῖς δρᾶτε*. V. Herm. ad Viger. p. 761. Res per verbum *δρᾶν* universe designata deinde non addito pronomine et pluribus explicatur: 'Quando igitur civitas privatas calamitates potest perferre, singuli autem civitatis detrimentum non possunt, quidni omnes ei opitulari oportet, nec facere quod nunc vos facitis? domesticis malis percussi publicam salutem deseritis, et pariter me, qui bellum suasi, vosque ipsos, qui decrevistis, incusatis.'

γίαις ἐκπεπληγμένοι τοῦ κοινοῦ τῆς σωτηρίας ἀφίεσθε, καὶ ἐμέ τε τὸν παραινέσαντα πολεμεῖν καὶ ὑμᾶς αὐτοὺς οἳ ξυνέγνωτε δι' αἰτίας ἔχετε. Καίτοι ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε ὃς οὐδενὸς οἴομαι ἥσσων εἶναι γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι ταῦτα, φιλόπολίς τε καὶ χρημάτων κρείσσων. Ὅ τε γὰρ γνοὺς καὶ μὴ σαφῶς διδάξας ἐν ἴσῳ καὶ εἰ μὴ ἐνεθυμήθη· ὅ τ' ἔχων ἀμφότερα, τῇ δὲ πόλει δύσνους, οὐκ ἂν ὁμοίως τι οἰκείως φράζοι· προσόντος δὲ καὶ τοῦδε, χρήμασι δὲ νικωμένου, τὰ ξύμπαντα τούτου ἑνὸς ἂν πωλοῖτο. Ὥστ' εἴ μοι καὶ μέσως ἡγούμενοι μᾶλλον ἑτέρων προσεῖναι αὐτὰ πολεμεῖν ἐπείσθητε, οὐκ ἂν εἰκότως νῦν τοῦ γε ἀδικεῖν αἰτίαν φεροίμην.

61. Καὶ γὰρ οἷς μὲν αἵρεσις γεγένηται τἄλλα εὐτυ-

καίτοι ἐμοὶ—πωλοῖτο] Dixi de h. l. ad collaudationem Themistoclis, i, 138. Adscripsit hæc Dionys. p. 925. usque ad *κρείσσων*. Mox, *φιλόπολις τὸ ἦθος* affert Pollux ix, 26. Ulpian. ad Dem. de Pac. p. 41. *ποιεῖται σύστασιν τοῦ οἰκείου προσώπου, ὁποίαν ὁ ῥήτωρ ὁ Περικλῆς παρὰ Θουκυδίδῃ ποιεῖται, ὅτι καθαρὸς παντὸς λήμματος καὶ ἀδωροδοκήτως δημηγορεῖ.* Laudat hæc etiam Plut. V. Pericl. c. 15. extr. *αἰτία δ' οὐχ ἡ τοῦ λόγου ψιλῶς δύναμις, ἀλλ' ὡς Θουκυδίδης φησὶν, ἡ περὶ τὸν βίον δόξα καὶ πίστις τοῦ ἀνδρὸς ἀδωροτάτου περιφανῶς γενομένου καὶ χρημάτων κρείττονος.* Conf. Thucyd. ii, 65.

ὅ τε γὰρ γνοὺς—πωλοῖτο] Dionys. p. 927. In his vulgo legebatur *εἰ καὶ μὴ ἐνεθυμήθη*. V. Herm. ad Vig. p. 832. Heyn. ad Il. t. vi. p. 429. Requiritur hic notio 'perinde ac si,' i. e. *ὁμοίως* sive *ἐν ἴσῳ καὶ εἰ*. At *εἰ καὶ* foret 'etsi.' Vera scriptura in codd. est, vitiosa ap. Dionys.

μᾶλλον ἑτέρων] i. e. *ἢ ἑτέροις*, quæ est rarior resolutio genitivi post comparativum, neque tamen exemplis caret aut apud Græcos aut Latinos. V. Matth. Gr. § 454. Hinc explicare volunt Horat. Od. iii, 23, 17. 'Immunis aram si tetigit manus, Non sumtuosa blandior hostia Mollivit aversos penates, Farre pio et saliente mica.' Quem locum ita intellexit Bentleius: '(etsi) immunis (vacua) manus aram tetigit; sumtuosa hostia non blandior quam far pium et saliens mica penates mollivit:' nam literæ *a* in 'sumtuosa' productionem excusari putat positione vocis 'blandior,' ut in illis, 'quid gladium demens Romana stringis in ora?' At qui vocari potest manus vacua, quæ far pium certe et salientem micam offert? nisi sumas cum Gessnero, Thes. l. l. 'immunis' positum pro 'innoxia.' Mitscherlichio sic placuit: 'si manus immunis (*ἁγνή*) aram tangit, illa non blandior (non magis) mollivit penates aversos sumtuosa hostia, (quam) farre pio et saliente mica,' ut eadem resolutio ablativi in ablativum cum 'quam' post comparativum locum habeat, quæ nostro loco in dativum cum *ἤ*. Sed id ne necesse quidem erit apud Horatium, si sic explices, 'quam far pium et saliens mica (mollivit).' Mihi vero Schneider. Gr. Lat. vol. i. P. ii. p. 693. not. recte prætulisse videtur Lambini interpretationem: "Manus tua placabit penates farre et mica salis, nihilo gratior iis futura per sumtuosam hostiam." Quodsi Bentleius commentarios Lambini diligentius inspexisset, aliis locis manum emendatricem abstinuisset, velut Carm. Secul. v. 25. 'vosque veraces cecinisse, Parcæ, Quod semel dictum est, stabilisque rerum Terminus servet, bona jam peractis Jungite fata;' quæ sic conjectura sua mutavit criticus Anglus, *quod semel dictum stabilis per ævum Terminus servet, bona,* etc. At recte Lambinus: "vosque, o Parcæ, veraces cecinisse, i. e. quæ vera cecinistis, vel quæ veraces estis in iis quæ cecinistis, jungite bona fata fatis jam peractis, i. e. præteritis ac transactis: quod quidem semel jam a vobis dictum est, et stabilis, i. e. ratus et fixus, atque immutabilis rerum terminus id servat, neque id ullo pacto potest immutari," nisi quod pro *servat* scribere debebat *servet*, nam sic legendum cum Servio, Pollione, atque aliquot libris Horatii. Scilicet significantur promissa Æneæ et Romanæ genti a Jove facta innumeræ posteritatis stabilisque imperii. V. Hom. Il. xx, 308. coll. Virg. Æn. i, 19.

61. *καὶ γὰρ—κακουμένοις*] Dionys. p. 930. In his ad *ὁ αὐτός εἰμι* supple *τῇ*

χοῦσι, πολλὴ ἄνοια πολεμῆσαι· εἰ δ' ἀναγκαῖον ἦν ἢ εἴξαντας εὐθὺς τοῖς πέλας ὑπακοῦσαι ἢ κινδυνεύσαντας περιγενέσθαι, ὁ φυγὼν τὸν κίνδυνον τοῦ ὑποστάντος μεμπτότερος. Καὶ ἐγὼ μὲν ὁ αὐτός εἰμι καὶ οὐκ ἐξίσταμαι· ὑμεῖς δὲ μεταβάλλετε, ἐπειδὴ ξυνέβη ὑμῖν πεισθῆναι μὲν ἀκεραίοις, μεταμέλειν δὲ κακουμένοις, καὶ τὸν ἐμὸν λόγον ἐν τῷ ὑμετέρῳ ἀσθενεῖ τῆς γνώμης μὴ ὀρθὸν φαίνεσθαι, διότι τὸ μὲν λυποῦν ἔχει ἤδη τὴν αἴσθησιν ἑκάστῳ, τῆς δὲ ὠφελείας ἄπεστιν ἔτι ἡ δήλωσις ἅπασι, καὶ μεταβολῆς μεγάλης, καὶ ταύτης ἐξ ὀλίγου, ἐμπεσούσης ταπεινὴ ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν ἃ ἔγνωτε. Δουλοῖ γὰρ φρόνημα τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον καὶ τὸ πλείστῳ παραλόγῳ ξυμβαῖνον· ὃ ὑμῖν πρὸς τοῖς ἄλλοις οὐχ ἥκιστα καὶ κατὰ τὴν νόσον γεγένηται. Ὅμως δὲ πόλιν μεγάλην οἰκοῦντας καὶ ἐν ἤθεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους χρεὼν καὶ ξυμφοραῖς ταῖς μεγίσταις ἐθέλειν ὑφίστασθαι καὶ τὴν ἀξίωσιν μὴ ἀφανίζειν· ἐν ἴσῳ γὰρ οἱ ἄνθρωποι δικαιοῦσι τῆς τε ὑπαρχούσης δόξης αἰτιᾶσθαι ὅστις μαλακίᾳ ἐλλείπει καὶ τῆς μὴ προσηκούσης μισεῖν τὸν θρασύτητι ὀρεγόμενον· ἀπαλγήσαντας δὲ τὰ ἴδια τοῦ κοινοῦ τῆς σωτηρίας ἀντιλαμβάνεσθαι.

62. Τὸν δὲ πόνον τὸν κατὰ τὸν πόλεμον, μὴ γένηταί τε πολὺς καὶ οὐδὲν μᾶλλον περιγενώμεθα, ἀρκείτω μὲν ὑμῖν καὶ ἐκεῖνα ἐν οἷς ἄλλοτε πολλάκις γε δὴ ἀπέδειξα οὐκ ὀρθῶς αὐτὸν ὑποπτευόμενον, δηλώσω δὲ καὶ τόδε ὅ μοι δοκεῖτε οὔτ' αὐτοὶ πώποτε ἐνθυμηθῆναι ὑπάρχον ὑμῖν μεγέθους πέρι ἐς τὴν ἀρχὴν οὔτ' ἐγὼ ἐν τοῖς πρὶν λόγοις· οὐδ' ἂν νῦν ἐχρησάμην κομπωδεστέραν ἔχοντι τὴν προσποίησιν, εἰ μὴ καταπε-

γνώμῃ, ut plenius dixit iii, 38. Proxima imitatus est Dio Cass. xxxviii, 44. ἐγὼ μὲν γὰρ καὶ τότε καὶ νῦν τὴν αὐτὴν γνώμην ἔχω καὶ οὐ μεταβάλλομαι, unde suspicatur Popp. Prol. t. i. p. 366. apud Thucydidem pro μεταβάλλετε legendum esse μεταβάλλεσθε. Certe F. habet μεταβέβλησθε.

ἔχει αἴσθησιν] i. e. 'sentitur.' Vid. ad ii, 41. adde Cic. de N. D. ii, 26. 65.

ταπεινὴ] V. Herm. ad Viger. p. 885.

δουλοῖ—ὀρεγόμενον] Dionys. p. 931. Hermog. de Method. c. 31. p. 559. Thom. M. p. 76. ἀντίπαλον καὶ τὸ ἐναντίον καὶ τὸ ἴσον. Ἀμφοτέρων παραδείγματα παρὰ Θουκυδίδῃ· τοῦ μὲν ἴσου ἐν τῇ δευτέρᾳ· πόλιν — τεθραμμένους. Alterius significatus exempla e Thucydide præbent Hesych. s. v. et Pollux i, 150. Verba χρεὼν—ὑφίστασθαι adscripsit grammaticus in Anecd. Bekker. i. p. 178. Imitatur h. l. Dio Cass. xlii, 1. ὅταν τι ἀπροσδοκήτως καὶ μετὰ πλείστου παραλόγου προσπέσῃ, τὸ φρόνημα αὐτοῦ ταπεινοῖ. Apud Dionys. bis est ξυμφορὰς τὰς μεγίστας, ut habent etiam K. f. Dativum reliqui confirmant: v. Matth. Gr. § 401, 4.

ἀπαλγήσαντας] Schol. ἀντὶ τοῦ παυσαμένους ἀλγεῖν, ὥσπερ τὸ ἀπολοφυράμενοι, ii, 46. Krueger. ad Dionys. p. 196. ita explicat, ἀλγήσαντας μὲν, παυσαμένους δὲ τοῦ ἀλγεῖν. Scholiasten exscripserunt Suidas et Zonaras.

62. τὸν δὲ πόνον—ὑποπτευόμενον] V. Matth. Gr. § 472. 1. a.

οὐδ' ἂν νῦν—προσποίησιν] Thom. M. p. 754.

πληγμένους ὑμᾶς παρὰ τὸ εἰκὸς ἑώρων. Οἴεσθε μὲν γὰρ τῶν ξυμμάχων μόνον ἄρχειν, ἐγὼ δὲ ἀποφαίνω δύο μερῶν τῶν ἐς χρῆσιν φανερῶν, γῆς καὶ θαλάσσης, τοῦ ἑτέρου ὑμᾶς παντὸς κυριωτάτους ὄντας, ἐφ' ὅσον τε νῦν νέμεσθε καὶ ἢν ἐπὶ πλέον βουληθῆτε· καὶ οὐκ ἔστιν ὅστις τῇ ὑπαρχούσῃ παρασκευῇ τοῦ ναυτικοῦ πλέοντας ὑμᾶς οὔτε βασιλεὺς κωλύσει οὔτε ἄλλο οὐδὲν ἔθνος τῶν ἐν τῷ παρόντι. Ὥστε οὐ κατὰ τὴν τῶν οἰκιῶν καὶ τῆς γῆς χρείαν, ὧν μεγάλων νομίζετε ἐστερῆσθαι, αὕτη ἡ δύναμις φαίνεται· οὐδ' εἰκὸς χαλεπῶς φέρειν αὐτῶν μᾶλλον ἢ οὐ κήπιον καὶ ἐγκαλλώπισμα πλούτου πρὸς ταύτην νομίσαντας ὀλιγωρῆσαι, καὶ γνῶναι ἐλευθερίαν μὲν, ἢν ἀντιλαμβανόμενοι αὐτῆς διασώσωμεν, ῥᾳδίως ταῦτα ἀναληψομένην, ἄλλων δ' ὑπακούσασι καὶ τὰ προσεκτημένα φιλεῖν ἐλασσοῦσθαι, τῶν τε πατέρων μὴ χείρους κατ' ἀμφότερα φανῆναι, οἳ μετὰ πόνων καὶ οὐ παρ' ἄλλων δεξάμενοι κατέσχον τε καὶ προσέτι διασώσαντες παρέδοσαν ἡμῖν αὐτὰ, αἴσχιον δὲ ἔχοντας ἀφαιρεθῆναι ἢ κτωμένους ἀτυχῆσαι, ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε μὴ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι. Αὔχημα μὲν γὰρ καὶ ἀπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινι ἐγγίγνεται, καταφρόνησις δὲ ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων προέχειν, ὃ ἡμῖν ὑπάρχει. Καὶ τὴν

οὐκ ἔστιν—κωλύσει] Proprie debebat ita scribere, *καὶ οὐκ ἔστιν ὅστις ὑμᾶς κωλύσει οὔτε βασ. οὔτε ἔθνος*, vel omittere *οὐκ ἔστιν ὅστις*. Igitur genus anacoluthi est. Hæc respicit Dionys. in iis quæ p. 930. scripsit. Mox, *φαίνεται κατὰ* est, 'apparet comparandum esse cum,' etc. V. Wolf. ad Dem. Leptin. 259. 267.

οὐδ' εἰκὸς—ὀλιγωρῆσαι] Verba *χαλεπῶς φέρειν* cum genitivo jam i, 77. adfuerunt. V. Matth. Gr. § 368. a. De formula *οὐ μᾶλλον ἢ οὐ* conf. iii, 36. *πόλιν ὅλην διαφθεῖραι μᾶλλον ἢ οὐ τοὺς αἰτίους.* Plura exempla dat Bast. ad Greg. Cor. p. 102. Infertur *ἢ οὐ* non post *μᾶλλον*, sed semper post *οὐ μᾶλλον*, ut quidem sententia est Hermanni ad Soph. Ajac. 1260. et ad Viger. p. 801. Ubi autem prior negatio videtur abesse, latet ea aut in interrogatione, ut apud Herodot. iv, 118., aut alio modo, ut apud Thucyd. iii, 36. Οὐ autem infertur, quia tum sententia, quæ sequitur post *μᾶλλον*, negativum sensum habet. Possis enim ita explicare, *οὐδ' εἰκὸς οὐκ ὀλιγωρῆσαι αὐτῶν, κήπιον καὶ ἐγκαλλώπισμα πλούτου πρὸς ταύτην νομίσαντας, ἀλλὰ μᾶλλον χαλεπῶς φέρειν αὐτῶν*, et *οὐ τοὺς αἰτίους διαφθεῖραι, ἀλλὰ μᾶλλον πόλιν ὅλην.* Conf. Matth. Gr. § 455. Obs. 3. d. Discedit ab Hermanni sententia Buttmann. Exc. 11. ad Dem. Or. Midian. p. 144. Eustath. ad Il. *μ.* p. 907., et ex eo Phavorin. *κῆπος δὲ οὐ μόνον εἰς γῆν φυταλία, ἀλλὰ καὶ καλλώπισμος κόμης κατὰ Αἴλιον Διονύσιον, καὶ κουρᾶς διάθεσις τῶν ἐν τῇ κεφαλῇ τριχῶν. Θουκυδίδης δὲ κήπιόν φησι.* Verba *καὶ τὰ —ἐλασσοῦσθαι* adscripsit Zonar. in *κέκτημαι*, ubi simul memorat verba *καὶ οὐδὲν τὸ πρότερον κεκτημένων* ex c. 53.

κατ' ἀμφότερα] i. e. *κατὰ τὸ κατέχειν τε καὶ διασώσαντες παραδιδόναι.* Sallust. in orat. Cæsaris, B. C. c. 51. 'Profecto virtus atque sapientia major in illis fuit, qui ex parvis opibus tantum imperium fecerunt, quam in nobis, qui ea bene parta vix retinemus.'

ἰέναι—ἡ πρόνοια] Dionys. p. 928. Aristides, t. iii. p. 652. memoriter laudat verba *ἰέναι—καταφρονήματι.* Parisoma in his verbis interpretatur Charit. p. 158. *καὶ καταφρονήσει μετ' ἀλαζονείας, οὐ φρονήματι μετ' εὐβουλίας χρώμενοι.* Procop. B. V. i, 19. *καταφρονήματι ἐπὶ τοὺς πολεμίους χωρεῖν.*

τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος ἐχυρωτέραν παρέχεται, ἐλπίδι τε ἧσσον πιστεύει, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχὺς, γνώμῃ δὲ ἀπὸ τῶν ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια.

63. Τῆς τε πόλεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ ἀπὸ τοῦ ἄρχειν, ᾧπερ ἅπαντες ἀγάλλεσθε, βοηθεῖν καὶ μὴ φεύγειν τοὺς πόνους ἢ μηδὲ τὰς τιμὰς διώκειν· μηδὲ νομίσαι περὶ ἑνὸς μόνου, δουλείας ἀντ' ἐλευθερίας, ἀγωνίζεσθαι, ἀλλὰ καὶ ἀρχῆς στερήσεως καὶ κινδύνου ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε. Ἧς οὐδ' ἐκστῆναι ἔτι ὑμῖν ἔστιν, εἴ τις καὶ τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται· ὡς τυραννίδα γὰρ ἤδη ἔχετε αὐτὴν, ἣν λαβεῖν μὲν ἄδικον δοκεῖ εἶναι, ἀφεῖναι δὲ ἐπικίνδυνον. Τάχιστ' ἄν τε πόλιν οἱ τοιοῦτοι ἑτέρους ποτὲ πείσαντες ἀπολέσειαν καὶ εἴ που ἐπὶ σφῶν

τόλμαν—ἰσχὺς] Verba *ἐκ τοῦ ὑπέρφρονος* ita accipe, quasi scriptum sit, *διὰ τὸ φρονήσει ὑπερέχειν τοῦ ἑτέρου*, 'propterea, quod sapientia alteri præstet, qui pariter audax parique in fortuna sit.' Ita recte, opinor, explicat Reisk. ad Dionys. Conf. Matth. Gr. § 574. Totum locum ita interpretatur Krueger. p. 195. 'hostibus occurrere oportet non solum fidentia, sed etiam contemtione. Confidentiam enim vel ignavus per felicem imperitiam (i. e. si fortuna adjuvetur, tametsi non consilio felicem successum meruerit) concipit; contemtio vero est, si quis etiam consilio adversariis se superiorem intelligit; id quod nobis contigit. Atque audaciam in pari fortuna (h. e. etiamsi fortuna, cujus favor potissimum fiduciam gignere solet, nobis non magis propitia sit, quam adversariis) firmiorem reddit prudentia, si subest elatus animus (sive illa hostium contemtio); eaque prudentia minus fidit spei, quæ in angustiis se efficacem præbet, (in quibus homines cum aliis auxiliis destituantur, ab illa opem exspectant. Conf. v, 103.) sed consilio ex iis quæ præsto sunt, cujus tutior est providentia.' Et *φρόνημα* et *αὔχημα* 'elatum animum' significant, sed ita tamen, ut prior in bonam partem accipiatur, posterior in malam. Cui discrimini, Krueger. ait, accommodatum est, quod illa ad Athenienses redit, hæc ad Lacedæmonios, qui *ἀμαθίας* nomine non semel notantur, velut i, 68. coll. 84. Quare *φρόνημα* 'fidentiam,' *αὔχημα* 'confidentiam' interpretatur, coll. Heind. ad Horat. Serm. i, 7, 7. In verbis *καταφρόνησις δὲ, ὃς ἂν—πιστεύῃ* eadem commixtio locutionum, quæ supra c. 44. Verba autem *ἐλπίδι—πιστεύει* non, ut Reisk. voluit, pendent ab isto *ὃς ἂν*, sed subjectum verbi *πιστεύει* est *ξύνεσις*. Cyrillus Lex. Msto ap. Abresch. Auctar. p. 288. *πρόνοιαν τὴν φροντίδα, τὴν κηδεμονικὴν τοῦ παντὸς δύναμιν, τὴν προαίρεσιν καὶ τὴν πρόγνωσιν*.

63. *τῆς τε πόλεως—ἐπικίνδυνον*] Dionys. p. 932. Verba *κινδύνου ὧν* ita interpretantur: *κινδύνου ἀπὸ τούτων, οἷς ἀπήχθεσθε*, 'de discrimine ab his exspectando, quos offendistis,' vel *ἀπὸ τούτων, δι' ἃ ἀπήχθ.*, 'discrimine ex illis offensionibus vestris pristinis et ex odio illinc collecto.' Krueger. l. l. p. 198. ita: *κινδύνου τούτων, ἃ ἀπήχθεσθε*, 'certamen est de periculo ex iis, quas contraxistis, offensis nascente.'

εἴ τις—ἀνδραγαθίζεται] *τόδε*, i. e. *τὸ ἐκστῆναι τῆς ἀρχῆς*, qui accusativus pendet ex *ἀνδραγαθίζεται*, in quo verbo breviloquentia est, *δι' ἀνδραγαθίας δῆθεν τόδε ἐπιτηδεύει*, 'ob virtutem scilicet imperio cedere vult,' quasi injustum sit tale imperium. Conf. iii, 40. ibiq. schol. vi, 79.

ἑτέρους ποτὲ] Vulgo *ἑτέρους* TE. Heilmannus: 'and people of such sentiments would, in case they could inspire others with them, soon overthrow the state; even if satisfied with their liberty, they would live for themselves:' qui videlicet particulam *τε* plane prætermisit, ac neque *ἑτέροις* est 'others,' sed 'the others,' 'the rest,' i. e. civibus a rebus gerendis nondum abhorrentibus, neque *αὐτόνομοι*, neque *οἰκήσειαν* recte expressa sunt. Haackii interpretatio intelligi non potest. *Οἱ τοιοῦτοι*, inquit, sunt *οἱ ἀπράγμονες*. Recte. —Verba autem, pergit, *εἴ που—οἰκήσειαν* ad socios refero. Qui ad socios, cum verbum *οἰκήσειαν* non possit aliud subjectum

αὐτῶν αὐτόνομοι οἰκήσειαν· τὸ γὰρ ἄπραγμον οὐ σώζεται μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον, οὐδὲ ἐν ἀρχούσῃ πόλει ξυμφέρει, ἀλλ' ἐν ὑπηκόῳ, ἀσφαλῶς δουλεύειν.

64. *Ὑμεῖς δὲ μήτε ὑπὸ τῶν τοιῶνδε πολιτῶν παράγεσθε μήτε ἐμὲ δι' ὀργῆς ἔχετε, ᾧ καὶ αὐτοὶ ξυνδιέγνωτε πολεμεῖν, εἰ καὶ ἐπελθόντες οἱ ἐναντίοι ἔδρασαν ἅπερ εἰκὸς ἦν μὴ ἐθελησάντων ὑμῶν ὑπακούειν, ἐπιγεγένηταί τε πέρα ὧν προσεδεχόμεθα ἡ νόσος ἥδε, πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος κρεῖσσον γεγενημένον. Καὶ δι' αὐτὴν οἶδ' ὅτι μέρος τι μᾶλλον ἔτι μισοῦμαι οὐ δικαίως, εἰ μὴ καὶ ὅταν παρὰ λόγον τι εὖ πράξητε ἐμοὶ ἀναθήσετε. Φέρειν τε χρὴ τά τε δαιμόνια ἀναγκαίως τά τε ἀπὸ τῶν πολεμίων ἀνδρείως· ταῦτα γὰρ ἐν ἔθει τῇδε τῇ πόλει πρότερόν τε ἦν νῦν τε μὴ ἐν ὑμῖν κωλυθῇ. Γνῶτε δὲ ὄνομα μέγιστον αὐτὴν ἔχουσαν ἐν πᾶσιν ἀνθρώποις διὰ τὸ ταῖς ξυμφοραῖς μὴ εἴκειν, πλεῖστα δὲ σώματα καὶ πόνους ἀναλωκέναι πολέμῳ καὶ δύναμιν μεγίστην δὴ μέχρι τοῦδε κεκτημένην, ἧς ἐς ἀΐδιον τοῖς ἐπιγιγνομένοις, ἢν καὶ νῦν ὑπενδῶμέν ποτε, πάντα γὰρ πέφυκε καὶ ἐλασσοῦσθαι, μνήμη καταλελείψεται, Ἑλλήνων τε ὅτι Ἕλληνες πλείστων δὴ ἤρξαμεν, καὶ πολέμοις μεγίστοις ἀντέσχομεν πρός τε ξύμπαντας καὶ καθ' ἑκάστους, πόλιν τε τοῖς πᾶσιν εὐπορωτάτην καὶ μεγίστην ᾠκήσαμεν. Καίτοι ταῦτα ὁ μὲν ἀπράγμων μέμψαιτ' ἄν, ὁ δὲ δρᾶν τι βουλόμενος καὶ αὐτὸς ζηλώσει· εἰ δέ τις μὴ κέκτηται, φθονήσει. Τὸ δὲ μισεῖσθαι καὶ λυπηροὺς εἶναι ἐν τῷ παρόντι πᾶσι μὲν*

habere, nisi *οἱ ἀπράγμονες*, tum qui persuadent, tum quibus persuadetur, i. e. *πόλις ἀπράγμων*. Quare si ex vulgata *ἑτέρους τε* respondet illis, *καὶ εἴ που*, etc., qui illis *ἑτέροις* opponantur, non liquet. Itaque *τε* illud, quod totam sententiam turbat, ex codd. B. g. mutavi in *ποτέ*. Sententia hæc est: ‘Ejusmodi homines, si cæteris quoque aliquando persuaderent, civitatem protinus perderent, etiam tum, si per se soli suis legibus viverent.’

τὸ γὰρ ἄπραγμον—τεταγμένον] Stob. p. 189. Schow. Dio Cass. xxxviii, 16. *δεῖ μὲν γὰρ ἐν τοῖς ἰδίοις δραστηρίους εἶναι· τὸ γὰρ ἐπιεικὲς οὐκ ἐθέλει μὴ καὶ ἐκ τούτου σώζεσθαι· οὐ μὴν ἀλλὰ ἀνὴρ μὲν, ὅστις ἀπραγμονέστατός ἐστι, καὶ ἀσφαλέστατος εἶναι δοκεῖ· πόλις δὲ, ἄλλως τε καὶ ἀρχὴν ἔχουσα, τάχιστα ἂν ὑπὸ τοιούτου καταλυθείη.* Conf. i, 71. Vocabulum *δραστήριος* ex h. l. enotavit grammaticus in Anecd. Bekk. i. p. 90.

δουλεύειν] Subjectum verbi *ξυμφέρει* intelligunt esse infinitivum *δουλεύειν*; sed neque imperanti, neque devictæ urbi servitus sive tuta, sive male tuta conducit. Et qui imperans urbs servire quocunque tandem modo dici possit? Imo jungendum *τὸ ἄπραγμον ξυμφέρει*, ‘et tranquillitas non imperanti urbi conducit, sed subjectæ, ut non vexatam servitutem agat:’ nam recte Schol. ad iv, 61. *ἀσφαλῶς* explicat per *εἰρηναίως, ἐπιτηδείως, ἀκινδύνως*.

64. *ἐπιγεγένηταί τε*] Hoc *τε* respondet illi *καί*, quod ante *ἐπελθόντες* est. Vulgo olim legebatur *ἐπεὶ γεγένηταί τε*, quod correxit jam Herm. ad Vig. p. 784. Veram scripturam præbent optimi libri, margo exempli Vimar. et Hermog. p. 267.

ἀναγκαίως] i. e. ‘oportet ferre casus divinitus immissos necessario;’ velut necessarios, neque evitandos. V. ad i, 21.

ὑπῆρξε δὴ ὅσοι ἕτεροι ἑτέρων ἠξίωσαν ἄρχειν· ὅστις δ' ἐπὶ μεγίστοις τὸ ἐπίφθονον λαμβάνει, ὀρθῶς βουλεύεται. Μῖσος μὲν γὰρ οὐκ ἐπὶ πολὺ ἀντέχει, ἡ δὲ παραυτίκα τε λαμπρότης καὶ ἐς τὸ ἔπειτα δόξα ἀείμνηστος καταλείπεται. Ὑμεῖς δὲ ἔς τε τὸ μέλλον καλὸν προγνόντες ἔς τε τὸ αὐτίκα μὴ αἰσχρὸν τῷ ἤδη προθύμῳ ἀμφότερα κτήσασθε, καὶ Λακεδαιμονίοις μήτε ἐπικηρυκεύεσθε μήτε ἔνδηλοι ἔστε τοῖς παροῦσι πόνοις βαρυνόμενοι, ὡς οἵτινες πρὸς τὰς ξυμφορὰς γνώμῃ μὲν ἥκιστα λυποῦνται, ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσιν.

65. Τοιαῦτα ὁ Περικλῆς λέγων ἐπειρᾶτο τοὺς Ἀθηναίους τῆς τε ἐπ' αὐτὸν ὀργῆς παραλύειν καὶ ἀπὸ τῶν παρόντων δεινῶν ἀπάγειν τὴν γνώμην. Οἱ δὲ δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο καὶ οὔτε πρὸς τοὺς Λακεδαιμονίους ἔτι ἔπεμπον ἔς τε τὸν πόλεμον μᾶλλον ὥρμηντο, ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλυποῦντο, ὁ μὲν δῆμος ὅτι ἀπ' ἐλασσόνων ὁρμώμενος ἐστέρητο καὶ τούτων, οἱ δὲ δυνατοὶ καλὰ κτήματα κατὰ τὴν χώραν οἰκοδομίαις τε καὶ πολυτελέσι κατασκευαῖς ἀπολωλεκότες, τὸ δὲ μέγιστον, πόλεμον ἀντ' εἰρήνης ἔχοντες. Οὐ μέντοι πρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτὸν πρὶν ἐζημίωσαν χρήμασιν. Ὕστερον δ' αὖθις οὐ πολλῷ, ὅπερ φιλεῖ ὅμιλος ποιεῖν, στρατηγὸν εἵλοντο καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν, ὧν μὲν περὶ τὰ οἰκεῖα ἕκαστος ἤλγει, ἀμβλύτεροι ἤδη ὄντες, ὧν δὲ ἡ ξύμπασα πόλις προσεδεῖτο, πλείστου ἄξιον νομίζοντες εἶναι. Ὅσον τε γὰρ χρόνον προὔστη τῆς πόλεως ἐν τῇ εἰρήνῃ, μετρίως ἐξηγεῖτο καὶ ἀσφαλῶς διεφύλαξεν αὐτήν, καὶ ἐγένετο ἐπ' ἐκείνου μεγίστη· ἐπεί τε ὁ πόλεμος κατέστη, ὁ δὲ φαίνεται καὶ ἐν τούτῳ προγνοὺς τὴν δύναμιν. Ἐπεβίω δὲ δύο ἔτη καὶ μῆνας ἕξ· καὶ ἐπειδὴ ἀπέθανεν, ἐπὶ πλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ ἡ ἐς τὸν

ὅστις—βουλεύεται] Plut. Moral. p. 73. ex cit. Wassii.

65. Hoc caput respicit Dionys. p. 825.

ἐπ' αὐτὸν] Schol. κατ' αὐτοῦ. V. Fischer. ad Veller. iii, 1. p. 236. Temere Gottl. e 3 codd. ἐς αὐτὸν recepit. Mox, grammaticus in Anecd. Bekker. i. p. 164. affert οὐκ ἐπαύσαντο, πρὶν ἐζημίωσαν χρήμασι. Huc spectat Aristid. t. iii. p. 401.

πάντα τὰ πράγματα] conf. v, 82. καὶ τὰ πράγματα πάντα ἀνετίθεσαν. Ejusmodi prætor αὐτοκράτωρ dicebatur. Pausan. iv, 15, 2. Xen. H. Gr. i, 4, 20. Schœm. d. Com. Ath. p. 314.

ὅσον τε γὰρ—ἐς Σικελίαν πλοῦς] Exscripsit Aristid. Or. Plat. ii. p. 120. Jebb.

ὁ δὲ φαίνεται] Particula δὲ post particulas temporales a Græcis in apodosi sæpissime infertur. V. Popp. Obs. p. 16.

ἐπὶ πλέον] Huc spectat Liban. Or. Parentali in Imper. Julian. p. 363.

πόλεμον. Ὁ μὲν γὰρ ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν θεραπεύοντας καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ μηδὲ τῇ πόλει κινδυνεύοντας ἔφη περιέσεσθαι· οἱ δὲ ταῦτά τε πάντα ἐς τοὐναντίον ἔπραξαν καὶ ἄλλα ἔξω τοῦ πολέμου δοκοῦντα εἶναι κατὰ τὰς ἰδίας φιλοτιμίας καὶ ἴδια κέρδη κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν, ἃ κατορθούμενα μὲν τοῖς ἰδιώταις τιμὴ καὶ ὠφέλεια μᾶλλον ἦν, σφαλέντα δὲ τῇ πόλει ἐς τὸν πόλεμον βλάβη καθίστατο. Αἴτιον δ' ἦν ὅτι ἐκεῖνος μὲν δυνατὸς ὢν τῷ τε ἀξιώματι καὶ τῇ γνώμῃ, χρημάτων τε διαφανῶς ἀδωρότατος γενόμενος, κατεῖχε τὸ πλῆθος ἐλευθέρως, καὶ οὐκ ἤγετο μᾶλλον ὑπ' αὐτοῦ ἢ αὐτὸς ἦγε, διὰ τὸ μὴ κτώμενος ἐξ οὐ προσηκόντων τὴν δύναμιν πρὸς ἡδονήν τι λέγειν, ἀλλ' ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργήν τι ἀντειπεῖν. Ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι, καὶ δεδιότας αὖ ἀλόγως ἀντικαθίστη πάλιν ἐπὶ τὸ θαρσεῖν. Ἐγίγνετό τε λόγῳ μὲν δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. Οἱ δὲ ὕστερον ἴσοι αὐτοὶ μᾶλλον πρὸς ἀλλήλους ὄντες καὶ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ καὶ τὰ πράγματα ἐνδιδόναι. Ἐξ ὧν ἄλλα τε πολλὰ ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ ἡμαρτήθη καὶ ὁ ἐς Σικελίαν πλοῦς, ὃ οὐ τοσοῦτον γνώμης ἁμάρτημα ἦν πρὸς οὓς ἐπῄεσαν, ὅσον οἱ ἐκπέμψαντες οὐ τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες, ἀλλὰ κατὰ τὰς ἰδίας διαβολὰς περὶ τῆς τοῦ δήμου προστασίας τά τε ἐν τῷ στρατοπέδῳ ἀμβλύτερα ἐποίουν καὶ

ἀδωρότατος] conf. Dio Cass. lxxii, 8. Hesych. ἀδωρότατος, ὁ μηδ' ὅλως μεταδιδούς τι, ἢ ἀδωροδόκητος. Dubitatum scilicet fuit, utra potestate vox illa foret accipienda, 'qui nihil in populum largiebatur, nullis eum largitionibus demulcebat;' an, 'qui nullis ipse donis muneribusque tentari se patiebatur aut corrumpi.' Interpretationem utramque a veteribus acceptam Hesychius apposuit. Schol. explicat per ἀδωρόληπτος. Eundem locum citavit Thom. M. p. 18. Monuit Albert. ad Hesych. t. i. p. 103. Adscripsit verba χρημάτων—γενόμενος etiam grammaticus in Anecd. Bekk. i. p. 346. De verbo ἐπολίτευσεν ibidem p. 111. scriptum, πολιτεύειν, ἀντὶ τοῦ πολιτεύεσθαι, Θουκυδίδης. Verbis κακῶς—ἐπολίτευσαν usus est Thom. M. p. 728.

ἔχων—ἀντειπεῖν] Idem p. 79.

λόγῳ—ἀρχή] Plut. V. Pericl. p. 605. et in Præc. Reip. Ger. t. ix. p. 200. Aristid. Or. Plat. 2. t. ii. p. 121. Conf. supra c. 39. iv, 126. ubi Brasidas ad Lacedæmonios, οἵ γε μηδὲ ἀπὸ πολιτειῶν τοσοῦτον ἥκετε, ἐν αἷς οἱ πολλοὶ ὀλίγων ἄρχουσιν, ἀλλὰ πλειόνων μᾶλλον ἐλάσσους. Plat. Menex. c. 8. ἡ γὰρ αὐτὴ πολιτεία καὶ τότε ἦν, καὶ νῦν ἀριστοκρατία—καλεῖ δὲ ὁ μὲν αὐτὴν δημοκρατίαν, ὁ δὲ ἄλλο, ᾧ ἂν χαίρῃ.

ὃ οὐ τοσοῦτον—ἐταράχθησαν] i. e. 'hæc expeditio non tam fuit error opinionis de iis contra quos profecti sunt, quam,' etc. Supplendum igitur περὶ ἐκείνων, πρὸς οὓς ratione quidem audace, non tamen inso-

τὰ περὶ τὴν πόλιν πρῶτον ἐν ἀλλήλοις ἐταράχθησαν. Σφαλέντες δ' ἐν Σικελίᾳ ἄλλῃ τε παρασκευῇ καὶ τοῦ ναυτικοῦ τῷ πλείονι μορίῳ καὶ κατὰ τὴν πόλιν ἤδη ἐν στάσει ὄντες ὅμως τρία μὲν ἔτη ἀντεῖχον τοῖς τε πρότερον ὑπάρχουσι πολεμίοις καὶ τοῖς ἀπὸ Σικελίας μετ' αὐτῶν καὶ τῶν ξυμμάχων ἔτι τοῖς πλείοσιν ἀφεστηκόσι, Κύρῳ τε ὕστερον βασιλέως παιδὶ προσγενομένῳ, ὃς παρεῖχε χρήματα Πελοποννησίοις ἐς τὸ ναυτικόν· καὶ οὐ πρότερον ἐνέδοσαν ἢ αὐτοὶ ἐν σφίσι κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν. Τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε τότε ἀφ' ὧν αὐτὸς προέγνω καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τῶν Πελοποννησίων αὐτῶν τῷ πολέμῳ.

66. Οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι τοῦ αὐτοῦ θέρους ἐστράτευσαν ναυσὶν ἑκατὸν ἐς Ζάκυνθον τὴν νῆσον, ἣ κεῖται ἀντιπέρας Ἤλιδος· εἰσὶ δὲ Ἀχαιῶν τῶν ἐκ Πελοποννήσου ἄποικοι καὶ Ἀθηναίοις ξυνεμάχουν. Ἐπέπλεον δὲ Λακεδαιμονίων χίλιοι ὁπλῖται καὶ Κνῆμος Σπαρτιάτης ναύαρχος. Ἀποβάντες δὲ ἐς τὴν γῆν ἐδῄωσαν τὰ πολλά. Καὶ ἐπειδὴ οὐ ξυνεχώρουν, ἀπέπλευσαν ἐπ' οἴκου.

lita. V. ad ii, 40. in fin. 'In which the mistake was less owing to an erroneous idea and a wrong opinion of those against whom they went, than to ambitious intrigues for ascendency among the people; while the fleet was slowly equipped, and by their quarrels the state was ruined.' Post participium ἐπιγιγνώσκοντες particulam ἀλλὰ sic interposuit, quasi præcessisset verbum finitum ἐπεγίγνωσκον: quæ structura verborum similis est ei quæ legitur i, 67., si vulgarem ibi interpunctionem sequaris, Αἰγινῆταί τε φανερῶς μὲν οὐ πρεσβευόμενοι—κρύφα δὲ οὐχ ἥκιστα—ἐνῆγον τὸν πόλεμον, ubi vide. Pro διαβολὰς vulgo extabat διαφοράς. Bened. docet, retinendum prius esse cum plerisque codd., cum totus orationis nexus et ipsa illorum temporum memoria nos cogant existimare, illas inprimis calumnias contra Alcibiadem ab ejus inimicis, cum in Siciliam profectus esset, prolatas, significari: de quibus agitur vi, 29. Quibus calumniis, cum ad Spartanos aufugisset Alcibiades, tam infelix exitus bello contra Syracusanos gesto et toti Atticæ ingens malorum Ilias parabatur. Et statim post iterum διαφορὰς legitur, ubi in universum de dissidiis civium domesticis loquitur. Non autem verisimile est, Thucydidem, cui tanta verborum copia propria sit, tam brevi intervallo eadem verba in diversa narratione repetiisse. Mox, neque ἐταράχθησαν pro activo positum, ut Bredov. putavit, neque τὰ περὶ τὴν πόλιν pro nominativo habendum; sed structura hæc est, οἱ—προστάται ἐταράχθησαν τὰ περὶ τὴν πόλιν.

τρία ἔτη] Fortasse legendum δέκα ἔτη, nam usque ad annum ante Chr. N. 405., quo apud Ægospotamos pugnatum est, non solum Athenienses Lacedæmoniis pares erant, verum etiam nonnunquam superiores. Vulgatam tamen tuetur etiam Phavorin., qui, etsi ætate recentior, veteribus tamen usus est, τρίσιν ἔτεσι πονεῖ, ἤγουν ἐργάζεται, κοινῶς· Ἀττικῶς δὲ αἰτιατικῇ. Θουκυδίδης· καὶ κατὰ πόλιν ἤδη ἐν στάσει ὄντες ὅμως τρία ἔτη ἀντεῖχον.

τοσοῦτον—τῷ πολέμῳ] Aristid. t. iii. p. 202. Jebb. Sensus: Athenienses per tres annos et Peloponnesiis, et Siculis, atque sociis, qui defecerant, denique Cyro resistebant: 'tantum superabat (virium) Pericli ad Peloponnesios solos iis quæ ipse præviderat, atque facillime quidem in hoc bello devincendos.' Ἀφ' ὧν jungo cum περιγενέσθαι, ut sit, περιγενέσθαι ἀπὸ τούτων, ἃ, etc. Pron. αὐτῶν accipiendum tanquam dictum pro μόνων. Vulgo legunt περιγενέσθαι τὴν πόλιν τῶν Π., quæ verba si retineas, difficilior explicatu erit dativus τῷ Περικλεῖ: nam si ita voluisset scriptor, ut de urbe diceret, quod nunc de Pe-

67. Καὶ τοῦ αὐτοῦ θέρους τελευτῶντος Ἀριστεὺς Κορίνθιος καὶ Λακεδαιμονίων πρέσβεις Ἀνήριστος καὶ Νικόλαος καὶ Στρατόδημος καὶ Τεγεάτης Τιμαγόρας καὶ Ἀργεῖος ἰδίᾳ Πόλλις πορευόμενοι ἐς τὴν Ἀσίαν ὡς βασιλέα, εἴ πως πείσειαν αὐτὸν χρήματά τε παρέχειν καὶ ξυμπολεμεῖν, ἀφικνοῦνται ὡς Σιτάλκην πρῶτον τὸν Τήρεω ἐς Θρᾴκην, βουλόμενοι πεῖσαί τε αὐτὸν εἰ δύναιντο μεταστάντα τῆς Ἀθηναίων ξυμμαχίας στρατεῦσαι ἐπὶ τὴν Ποτίδαιαν, οὗ ἦν στράτευμα τῶν Ἀθηναίων πολιορκοῦν, καὶ ᾗπερ ὥρμηντο δι᾽ ἐκείνου πορευθῆναι πέραν τοῦ Ἑλλησπόντου ὡς Φαρνάκην τὸν Φαρναβάζου, ὃς αὐτοὺς ἔμελλεν ὡς βασιλέα ἀναπέμψειν. Παρατυχόντες δὲ Ἀθηναίων πρέσβεις Λέαρχος Καλλιμάχου καὶ Ἀμεινιάδης Φιλήμονος παρὰ τῷ Σιτάλκῃ πείθουσι τὸν Σάδοκον τὸν γεγενημένον Ἀθηναῖον Σιτάλκου υἱὸν τοὺς ἄνδρας ἐγχειρίσαι σφίσιν, ὅπως μὴ διαβάντες ὡς βασιλέα τὴν ἐκείνου πόλιν τὸ μέρος βλάψωσιν. Ὁ δὲ πεισθεὶς πορευομένους αὐτοὺς διὰ τῆς Θρᾴκης ἐπὶ τὸ πλοῖον ᾧ ἔμελλον τὸν Ἑλλήσποντον περαιώσειν πρὶν ἐσβαίνειν ξυλλαμβάνει, ἄλλους ξυμπέμψας μετὰ τοῦ Λεάρχου καὶ Ἀμεινιάδου, καὶ ἐκέλευσεν ἐκείνοις παραδοῦναι· οἱ δὲ λαβόντες ἐκόμισαν ἐς τὰς Ἀθήνας. Ἀφικομένων δὲ αὐτῶν δείσαντες οἱ Ἀθηναῖοι τὸν Ἀριστέα μὴ αὖθις σφᾶς ἔτι πλείω κακουργῇ διαφυγὼν, ὅτι καὶ πρὸ τούτων τὰ τῆς Ποτιδαίας καὶ τῶν ἐπὶ Θρᾴκης πάντ᾽ ἐφαίνετο πράξας, ἀκρίτους καὶ βουλομένους ἔστιν ἃ εἰπεῖν αὐθημερὸν ἀπέκτειναν πάντας καὶ ἐς φάραγγας ἐσέβαλον, δικαιοῦντες τοῖς αὐτοῖς ἀμύνεσθαι οἷσπερ καὶ οἱ Λακεδαι-

ricle, quasi capite civitatis, hanc potius orationem instituturus fuisset, *τοσοῦτον τῇ πόλει ἐπερίσσευσε τότε, ἀφ᾽ ὧν Περικλῆς προέγνω, καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τῶν*, etc. quare verba *τὴν πόλιν* omisi cum F. H. g. h. et cum Valla.

67. *πορευόμενοι — ἀναπέμψειν*] Vulgo *πολιορκοῦν· καὶ παῦσαι βοηθεῖν τε αὐτοῖς, καὶ ᾗπερ ὥρμηντο*, etc. Quæ verba, *καὶ— αὐτοῖς*, delenda esse vidit Popp. Obs. p. 124. auctoritate codicum F. G. N. g. h., quibus adde versionem Vallæ: nam et superflua sunt, cum nihil iis dicatur quod non jam insit verbis *μεταστάντα τῆς Ἀθηναίων ξυμμαχίας*; et inepta sunt, quia jam dictum erat legatos Sitalcæ persuadere voluisse, ut Potidæatis subsidio veniret, quod plus valet quam *παῦσαι βοηθεῖν*, et particula *τε* totius loci structuram pervertit.

τὸ μέρος] Possis ita explicare, ‘urbem, quæ ipsius ex parte sit,’ nam Sadocus erat civis Atticus factus: sed partim obstat solennis significatus formulæ *τὸ μέρος*, qui est pro ‘virili parte,’ partim exspectes, *πόλιν τὸ μέρος οὖσαν*. Schol. *ὅσον ἀπὸ τοῦ μέρους αὐτοῦ*, ‘quantum in Sadoco esset;’ sed hoc probari non patitur pluralis *διαβάντες βλάψωσιν*. Verba igitur *τὸ μέρος* jungenda sunt cum *βλάψωσιν* hoc sensu, ‘ne, quantum in ipsis esset, urbem damno afficerent:’ neque significatur Potidæa, sed Athenæ.

ᾧ—περαιώσειν] Thom. M. p. 704., ubi est *ὡς*. V. Popp. Prol. t. i. p. 185.

δικαιοῦντες—ὑπῆρξαν] Zonar. *δικαιοῦν δύο δηλοῖ, τὸ κολάζειν καὶ τὸ δίκαιον νομίζειν. Οὕτως Ἡρόδοτος· τοῖς αὐτοῖς ἀμύνεσθαι τοὺς Σκύθας δικαιῶν*, lib. iv. ‘Qua

μόνιοι ὑπῆρξαν, τοὺς ἐμπόρους οὓς ἔλαβον Ἀθηναίων καὶ τῶν ξυμμάχων ἐν ὁλκάσι περὶ Πελοπόννησον πλέοντας ἀποκτείναντες καὶ ἐς φάραγγας ἐσβαλόντες. Πάντας γὰρ δὴ κατ' ἀρχὰς τοῦ πολέμου οἱ Λακεδαιμόνιοι ὅσους λάβοιεν ἐν τῇ θαλάσσῃ ὡς πολεμίους διέφθειρον, καὶ τοὺς μετὰ Ἀθηναίων ξυμπολεμοῦντας καὶ τοὺς μηδὲ μεθ' ἑτέρων.

68. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τελευτῶντος καὶ Ἀμπρακιῶται αὐτοί τε καὶ τῶν βαρβάρων πολλοὺς ἀναστήσαντες ἐστράτευσαν ἐπὶ Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ τὴν ἄλλην Ἀμφιλοχίαν. Ἔχθρα δὲ πρὸς τοὺς Ἀργείους ἀπὸ τοῦδε αὐτοῖς ἤρξατο πρῶτον γενέσθαι. Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ Ἀμφιλοχίαν τὴν ἄλλην ἔκτισε μετὰ τὰ Τρωϊκὰ οἴκαδε ἀναχωρήσας καὶ οὐκ ἀρεσκόμενος τῇ ἐν Ἄργει καταστάσει Ἀμφίλοχος ὁ Ἀμφιάρεω ἐν τῷ Ἀμπρακικῷ κόλπῳ, ὁμώνυμον τῇ ἑαυτοῦ πατρίδι Ἄργος ὀνομάσας. Καὶ ἦν ἡ πόλις αὕτη μεγίστη τῆς Ἀμφιλοχίας καὶ τοὺς δυνατωτάτους εἶχεν οἰκήτορας. Ὑπὸ ξυμφορῶν δὲ πολλαῖς γενεαῖς ὕστερον πιεζόμενοι Ἀμπρακιώτας ὁμόρους ὄντας τῇ Ἀμφιλοχικῇ ξυνοίκους ἐπηγάγοντο, καὶ ἑλληνίσθησαν τὴν νῦν γλῶσσαν τότε πρῶτον ἀπὸ τῶν Ἀμπρακιωτῶν ξυνοικησάντων· οἱ δὲ ἄλλοι Ἀμφίλοχοι βάρβαροί εἰσιν. Ἐκβάλλουσιν οὖν τοὺς Ἀργείους οἱ Ἀμπρακιῶται χρόνῳ καὶ αὐτοὶ ἴσχουσι τὴν πόλιν. Οἱ δ' Ἀμφίλοχοι γενομένου τούτου διδόασιν ἑαυτοὺς Ἀκαρνᾶσι καὶ προσπαρακαλέσαντες ἀμφότεροι Ἀθηναίους, οἳ αὐτοῖς Φορμίωνά τε στρατηγὸν ἔπεμψαν καὶ ναῦς τριάκοντα, ἀφικομένου δὲ τοῦ Φορμίωνος, αἱροῦσι κατὰ κράτος Ἄργος καὶ τοὺς Ἀμπρακιώτας ἠνδραπόδισαν, κοινῇ τε ᾤκησαν αὐτὸ Ἀμφίλοχοι καὶ Ἀκαρνᾶνες.

pœna Lacedæmonii prius Athenienses affecerant, ea ulcisci eos æquum rati.' Schol. ἀντὶ τοῦ προκατήρξαντο. Hesych. ὑπάρξας, κατάρξας et ὑπάρχει, προκατάρχει. V. Valcken. ad Eur. Phœn. p. 52. et de re conf. Herodot. vii, 137. ibiq. interpp.

68. ἐπὶ Ἄργος] V. Valcken. l. l. p. 28.

Ἀμφίλοχος] Rerum status, qui Argis in majore patria erat, Amphilocho displicebat, quia matrem Eriphylam ab Alcmæone fratre suo interemtam inveniebat, ut adnotavit Schol. ad h. l. V. Apollodor. iii, 7, 4. ibiq. Heyn. Memorat hunc locum Strab. p. 502. A. iterumque p. 710. B.

ἑλληνίσθησαν] V. Lobeck. ad Phryn. p. 380.

καὶ προσπαρακαλέσαντες — Ἀκαρνᾶνες] Vulgo καὶ προσεκαλέσαντο, alterum habent plerique libri, alii προσκαλέσαντες. Locum illustrari Popp. Obs. p. 154. putat simili periodo apud Herodot. i, 8. τούτῳ τῷ Γύγῃ καὶ τὰ σπουδαιέστερα τῶν πρηγμάτων ὑπερετίθετο ὁ Κανδαύλης, καὶ δὴ καὶ τὸ εἶδος τῆς γυναικὸς ὑπερεπαινέων. Χρόνου δὲ οὐ πολλοῦ διελθόντος, ἔλεγε πρὸς τὸν Γύγην τάδε. Participium igitur pro verbo finito positum sit, laudato Herm. ad Vig. p. 770., cui rei suspicatur confusione duarum loquendi rationum, προσπαρακαλοῦσιν· ἀφικομένου δὲ τοῦ Φορμ. αἱροῦσι et προσπαρακαλεσάντων μὲν ἀμφοτέρων, ἀφικομένου δὲ τοῦ Φ., αἱροῦσι ansam datam esse.

Μετὰ δὲ τοῦτο ἡ ξυμμαχία ἐγένετο πρῶτον Ἀθηναίοις καὶ Ἀκαρνᾶσιν. Οἱ δὲ Ἀμπρακιῶται τὴν μὲν ἔχθραν ἐς τοὺς Ἀργείους ἀπὸ τοῦ ἀνδραποδισμοῦ σφῶν αὐτῶν πρῶτον ἐποιήσαντο, ὕστερον δὲ ἐν τῷ πολέμῳ τήνδε τὴν στρατείαν ποιοῦνται αὐτῶν τε καὶ Χαόνων καὶ ἄλλων τινῶν τῶν πλησιοχώρων βαρβάρων· ἐλθόντες τε πρὸς τὸ Ἄργος τῆς μὲν χώρας ἐκράτουν, τὴν δὲ πόλιν ὡς οὐκ ἐδύναντο ἑλεῖν προσβαλόντες, ἀπεχώρησαν ἐπ' οἴκου καὶ διελύθησαν κατὰ ἔθνη. Τοσαῦτα μὲν ἐν τῷ θέρει ἐγένετο.

69. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀθηναῖοι ναῦς ἔστειλαν εἴκοσι μὲν περὶ Πελοπόννησον καὶ Φορμίωνα στρατηγόν, ὃς ὁρμώμενος ἐκ Ναυπάκτου φυλακὴν εἶχε μήτ' ἐκπλεῖν ἐκ Κορίνθου καὶ τοῦ Κρισαίου κόλπου μηδένα μήτ' ἐσπλεῖν, ἑτέρας δὲ ἓξ ἐπὶ Καρίας καὶ Λυκίας καὶ Μελήσανδρον στρατηγόν, ὅπως ταῦτά τε ἀργυρολογῶσι καὶ τὸ λῃστικὸν τῶν Πελοποννησίων μὴ ἐῶσιν αὐτόθεν ὁρμώμενον βλάπτειν τὸν πλοῦν τῶν ὁλκάδων τῶν ἀπὸ Φασήλιδος καὶ Φοινίκης καὶ τῆς ἐκεῖθεν ἠπείρου. Ἀναβὰς δὲ στρατιᾷ Ἀθηναίων τε τῶν ἀπὸ τῶν νεῶν καὶ τῶν ξυμμάχων ἐς τὴν Λυκίαν ὁ Μελήσανδρος ἀποθνήσκει καὶ τῆς στρατιᾶς μέρος τι διέφθειρε νικηθεὶς μάχῃ.

70. Τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Ποτιδαιᾶται ἐπειδὴ οὐκέτι ἐδύναντο πολιορκούμενοι ἀντέχειν, ἀλλ' αἵ τε ἐς τὴν Ἀττικὴν ἐσβολαὶ Πελοποννησίων οὐδὲν μᾶλλον ἀπανίστασαν τοὺς Ἀθηναίους, ὅ τε σῖτος ἐπελελοίπει, καὶ ἄλλα τε πολλὰ ἐπεγεγένητο αὐτόθι ἤδη βρώσεως πέρι ἀναγκαίας καί πού τινες καὶ ἀλλήλων ἐγέγευντο, οὕτω δὴ λόγους προσφέρουσι

Sed noster locus valde dissimilis est Herodoteo, nam et novum subjectum ἀμφότεροι ad participium accedit, cum antecedat Ἀμφίλοχοι; nec ap. Herodotum participium verbi finiti loco est, nam repetendum e verbo ὑπερετίθετο, aliud ad sensum in eo latens. Hic autem participio verbum suum finitum est in sequentibus in αἱροῦσι, nam punctum, quod vulgo extat post τριάκοντα, in comma mutandum est, quo facto idem sensus exsistit quasi scripsisset, πεμψάντων τε τούτων αὐτοῖς Φορμίωνα, τοῦ Φορμίωνος δὲ ἀφικομένου, αἱροῦσιν Ἄργος, etc.

69. ὅπως—χωρία] Anecd. Bekk. i. p. 159. cum nonnulla scripturæ discrepantia. Ἀργυρολογεῖν est 'pecuniam cogere,' i. e. vel 'to levy,' 'to exact contributions,' vel ipsum tributum aut ejus partem aliquam nondum solutam, ἐκδείας ('arrears') exigere.

70. ἀλλ' αἵ τε—ἀπανίστασαν] Greg. Cor. p. 59.

βρώσεως] Male igitur Thom. M. p. 174. βρώματα πληθυντικῶς, οὐ βρῶμα, οὐδὲ βρῶσις.

ἐγέγευντο] Vulgo ἐγεύοντο. Suidas in ἀλλήλων, et grammaticus in Bekk. Anecd. i. p. 378. citant καί πού τινες ἀλλήλων ἐγεύσαντο. Suidam exscripsit Phavorin. Atque sic iterum Suidas in ἐγεύσαντο. Prætuli plusquamperf. cum libris Thucydidis. Lectionibus autem καί τινες καὶ et καί πού τινες in unam conflatis, scripsi καί

περὶ ξυμβάσεως τοῖς στρατηγοῖς τῶν Ἀθηναίων τοῖς ἐπὶ σφίσι τεταγμένοις, Ξενοφῶντί τε τῷ Εὐριπίδου καὶ Ἑστιοδώρῳ τῷ Ἀριστοκλείδου καὶ Φανομάχῳ τῷ Καλλιμάχου. Οἱ δὲ προσεδέξαντο, ὁρῶντες μὲν τῆς στρατιᾶς τὴν ταλαιπωρίαν ἐν χωρίῳ χειμερινῷ, ἀναλωκυίας τε ἤδη τῆς πόλεως δισχίλια τάλαντα ἐς τὴν πολιορκίαν. Ἐπὶ τοῖσδε οὖν ξυνέβησαν, ἐξελθεῖν αὐτοὺς καὶ παῖδας καὶ γυναῖκας καὶ τοὺς ἐπικούρους ξὺν ἑνὶ ἱματίῳ, γυναῖκας δὲ ξὺν δυοῖν, καὶ ἀργύριόν τι ῥητὸν ἔχοντας ἐφόδιον. Καὶ οἱ μὲν ὑπόσπονδοι ἐξῆλθον ἐπὶ τὴν Χαλκιδικὴν καὶ ἕκαστος ᾗ ἐδύνατο· Ἀθηναῖοι δὲ τούς τε στρατηγοὺς ἐπητιάσαντο ὅτι ἄνευ αὐτῶν ξυνέβησαν, ἐνόμιζον γὰρ ἂν κρατῆσαι τῆς πόλεως ᾗ ἐβούλοντο, καὶ ὕστερον ἐποίκους ἑαυτῶν ἔπεμψαν ἐς τὴν Ποτίδαιαν καὶ κατῴκισαν. Ταῦτα μὲν ἐν τῷ χειμῶνι ἐγένετο· καὶ τὸ δεύτερον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε ὃν Θουκυδίδης ξυνέγραψε.

71. Τοῦ δ' ἐπιγιγνομένου θέρους οἱ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐς μὲν τὴν Ἀττικὴν οὐκ ἐσέβαλον, ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν· ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου Λακεδαιμονίων βασιλεύς. Καὶ καθίσας τὸν στρατὸν ἔμελλε δηώσειν τὴν γῆν· οἱ δὲ Πλαταιῆς εὐθὺς πρέσβεις πέμψαντες πρὸς αὐτὸν ἔλεγον τοιάδε. Ἀρχίδαμε καὶ Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε οὐδ' ἄξιά οὔτε ὑμῶν οὔτε πατέρων ὧν ἐστὲ ἐς γῆν τὴν Πλαταιῶν στρατεύοντες. Παυσανίας γὰρ ὁ Κλεομβρότου Λακεδαιμόνιος ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων μετὰ Ἑλλήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυνον τῆς μάχης ἣ παρ' ἡμῖν ἐγένετο, θύσας ἐν τῇ Πλαταιῶν ἀγορᾷ Διῒ ἐλευθερίῳ ἱερὰ καὶ ξυγκαλέσας πάντας τοὺς ξυμμάχους ἀπεδίδου Πλαταιεῦσι γῆν καὶ πόλιν τὴν σφετέραν ἔχοντας αὐτονόμους οἰκεῖν, στρατεῦσαί τε μηδένα ποτὲ ἀδίκως ἐπ' αὐτοὺς μηδ' ἐπὶ δουλείᾳ· εἰ δὲ μή, ἀμύνειν τοὺς παρόντας ξυμμάχους κατὰ δύναμιν. Τάδε μὲν ἡμῖν πατέρες οἱ ὑμέτεροι ἔδοσαν ἀρετῆς ἕνεκα καὶ προθυμίας τῆς ἐν ἐκείνοις τοῖς κινδύνοις γενομένης, ὑμεῖς δὲ τἀναντία δρᾶτε· μετὰ γὰρ Θηβαίων τῶν ἡμῖν ἐχθίστων ἐπὶ δουλείᾳ τῇ ἡμε-

πού τινες καί, ut ii, 87. καί πού τι καὶ ἡ ἀπειρία πρῶτον ναυμαχοῦντας ἔσφηλεν. In sequentibus inter se respondent ὁρῶντες μὲν—τε, ut sæpius.

71. Τοῦ δ' ἐπιγιγνομένου — ἐδικαίωσε] Dionys. p. 900. conf. Diod. xii, 47. Dem. c. Neær. p. 1379.

ἱερὰ] De re v. Plut. V. Aristid. c. 19. Diod. xi, 29. ibiq. Wessel.

τέρα ἥκετε. Μάρτυρας δὲ θεοὺς τούς τε ὁρκίους τότε γενομένους ποιούμενοι καὶ τοὺς ὑμετέρους πατρῴους καὶ ἡμετέρους ἐγχωρίους λέγομεν ὑμῖν τὴν γῆν τὴν Πλαταιίδα μὴ ἀδικεῖν μηδὲ παραβαίνειν τοὺς ὅρκους, ἐᾶν δὲ οἰκεῖν αὐτονόμους καθάπερ Παυσανίας ἐδικαίωσεν.

72. Τοσαῦτα εἰπόντων Πλαταιῶν Ἀρχίδαμος ὑπολαβὼν εἶπε· Δίκαια λέγετε, ὦ ἄνδρες Πλαταιῆς, ἢν ποιῆτε ὁμοῖα τοῖς λόγοις. Καθάπερ γὰρ Παυσανίας ὑμῖν παρέδωκεν, αὐτοί τε αὐτονομεῖσθε καὶ τοὺς ἄλλους ξυνελευθεροῦτε ὅσοι μετασχόντες τῶν τότε κινδύνων ὑμῖν τε ξυνώμοσαν καί εἰσι νῦν ὑπ' Ἀθηναίοις, παρασκευή τε τοσήδε καὶ πόλεμος γεγένηται αὐτῶν ἕνεκα καὶ τῶν ἄλλων ἐλευθερώσεως. Ἧς μάλιστα μὲν μετασχόντες καὶ αὐτοὶ ἐμμείνατε τοῖς ὅρκοις· εἰ δὲ μή, ἅπερ καὶ τὸ πρότερον ἤδη προυκαλεσάμεθα, ἡσυχίαν ἄγετε νεμόμενοι τὰ ὑμέτερα αὐτῶν, καὶ ἔστε μηδὲ μεθ' ἑτέρων, δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ μηδ' ἑτέρους. Καὶ τάδε ἡμῖν ἀρκέσει. Ὁ μὲν Ἀρχίδαμος τοσαῦτα εἶπεν· οἱ δὲ Πλαταιῶν πρέσβεις ἀκούσαντες ταῦτα ἐσῆλθον ἐς τὴν πόλιν καὶ τῷ πλήθει τὰ ῥηθέντα κοινώσαντες ἀπεκρίναντο αὐτῷ ὅτι ἀδύνατα σφίσιν εἴη ποιεῖν ἃ προκαλεῖται ἄνευ Ἀθηναίων· παῖδες γὰρ σφῶν καὶ γυναῖκες παρ' ἐκείνοις εἴησαν·

πατρῴους] V. interpp. ad Eur. Electr. 666. Seidl.

72. *τοσαῦτα—ἔσεσθαι*] Dionys. p. 902.

παρασκευή τε—ἐλευθερώσεως] Krueger. ad Dionys. p. 168., deletis verbis *καὶ τῶν ἄλλων*, legit *παρασκευή τε τοσήδε καὶ πόλεμος γεγένηται αὐτῶν ἐλευθερώσεως*, ut sit pro *ὧν τε ἐλευθερώσεως παρασκευὴ τοσ. γεγ.* V. Matth. Gr. § 467, 3. Non enim perspici, qui Archidamus, se Platæenses liberaturum esse dicere queat, cum Athenienses iis non ut sociis *ὑπηκόοις* usi essent: id quod firmari dicit Vallæ versione, 'qui nunc Atheniensibus serviunt, quorumque in libertatem asserendorum gratia tantus apparatus sit tantumque bellum.' Atqui non dicit Archidamus, se liberare velle Platæenses; hoc dicit, *αὐτονομεῖσθε*. Krueger. verba *αὐτῶν ἕνεκα* videtur accepisse ut dicta pro *ὑμῶν αὐτῶν ἕν.*, id quod fieri nequit. *Αὐτῶν* refertur ad *ὅσοι—ξυνώμοσαν καί εἰσι νῦν ὑπ' Ἀθηναίοις*, itaque *οἱ ἄλλοι* sunt illi *ὅσοι οὐ ξυνώμοσαν*, qui tamen et ipsi imperio Atheniensium parent: 'Cum vos ipsi vestris legibus utimini, tum alios in libertatem vindicate, quotquot eadem pericula tunc vobiscum subierunt, et ejusdem fœderis ac jurisjurandi participes fuerunt, et qui nunc Atheniensibus serviunt, et nunc ipsorum et aliorum in libertatem asserendorum gratia tantus apparatus factus, tantumque bellum susceptum est.'

μηδὲ μεθ' ἑτέρων] dictum pro *μετὰ μηδετέρων*, ut c. 67. extr. V. Krueger. l. l.

ἀρκέσει] Vulgo *ἀρέσκει*. Ap. Dionys. prius est, sicut in aliquot libris Thucydidis, et Valla expressit, prætulitque etiam Schæfer. Indic. ad Pors. Adv. p. 345. Si quod placeret sibi, dicere Archidamus voluisset, potius dicturus fuisset, alterum magis sibi placere, Platæenses, inquam, secum arma jungere. Nunc dicit, quid sibi satis sit, eos saltem neutras partes sequi.

εἴησαν] Sic positum, quasi præcessisset *ὅτι*. Conf. Xenoph. H. Gr. vi, 5, 36. *ὁ πλεῖστος ἦν λόγος, ὡς κατὰ τοὺς ὅρκους βοηθεῖν δέοι· οὐ γάρ, ἀδικησάντων σφῶν, ἐπιστρατεύοιεν οἱ Ἀρκάδες καὶ οἱ μετ' αὐτῶν τοῖς Λακεδαιμονίοις.* vii, 1, 23. *οὗτος ἐνέπλησε φρονήματος τοὺς Ἀρκάδας, λέγων, ὡς μόνοις αὐτοῖς Πελοπόννησος πατρὶς εἴη· μόνοι γὰρ αὐτόχθονες ἐν αὐτῇ οἰκοῖεν.*

δεδιέναι δὲ καὶ περὶ τῇ πάσῃ πόλει μὴ ἐκείνων ἀποχωρησάντων Ἀθηναῖοι ἐλθόντες σφίσιν οὐκ ἐπιτρέπωσιν, ἢ Θηβαῖοι ὡς ἔνορκοι ὄντες κατὰ τὸ ἀμφοτέρους δέχεσθαι αὖθις σφῶν τὴν πόλιν πειράσωσι καταλαβεῖν. Ὁ δὲ θαρσύνων αὐτοὺς πρὸς ταῦτα ἔφη, Ὑμεῖς δὲ πόλιν μὲν καὶ οἰκίας ἡμῖν παράδοτε τοῖς Λακεδαιμονίοις καὶ γῆς ὅρους ἀποδείξατε καὶ δένδρα ἀριθμῷ τὰ ὑμέτερα καὶ ἄλλο εἴ τι δυνατὸν ἐς ἀριθμὸν ἐλθεῖν· αὐτοὶ δὲ μεταχωρήσατε ὅποι βούλεσθε ἕως ἂν ὁ πόλεμος ᾖ. Ἐπειδὰν δὲ παρέλθῃ, ἀποδώσομεν ὑμῖν ἃ ἂν παραλάβωμεν. Μέχρι δὲ τοῦδε ἕξομεν παρακαταθήκην, ἐργαζόμενοι καὶ φορὰν φέροντες ἣ ἂν ὑμῖν μέλλῃ ἱκανὴ ἔσεσθαι.

73. Οἱ δ' ἀκούσαντες ἐσῆλθον αὖθις ἐς τὴν πόλιν, καὶ βουλευσάμενοι μετὰ τοῦ πλήθους ἔλεξαν ὅτι βούλονται ἃ προκαλεῖται Ἀθηναίοις κοινῶσαι πρῶτον, καὶ ἢν πείθωσιν αὐτοὺς, ποιεῖν ταῦτα· μέχρι δὲ τούτου σπείσασθαι σφίσιν ἐκέλευον καὶ τὴν γῆν μὴ δῃοῦν. Ὁ δὲ ἡμέρας τε ἐσπείσατο ἐν αἷς εἰκὸς ἦν κομισθῆναι καὶ τὴν γῆν οὐκ ἔτεμνεν. Ἐλθόντες δὲ οἱ Πλαταιῆς πρέσβεις ὡς τοὺς Ἀθηναίους καὶ βουλευσάμενοι μετ' αὐτῶν πάλιν ἦλθον ἀπαγγέλλοντες τοῖς ἐν τῇ πόλει τοιάδε· Οὔτ' ἐν τῷ πρὸ τοῦ χρόνῳ, ὦ ἄνδρες Πλαταιῆς, ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα Ἀθηναῖοί φασιν ἐν οὐδενὶ ὑμᾶς προέσθαι ἀδικουμένους οὔτε νῦν περιόψεσθαι, βοηθήσειν δὲ κατὰ δύναμιν. Ἐπισκήπτουσί τε ὑμῖν πρὸς τῶν ὅρκων οὓς οἱ πατέρες ὤμοσαν μηδὲν νεωτερίζειν περὶ τὴν ξυμμαχίαν.

Lys. c. Agor. p. 451. *ἀναστὰς λέγει, ὅτι —ποιήσει, ὥστε μήτε τῶν τειχῶν διελεῖν, μήτε ἄλλο τὴν πόλιν ἐλαττῶσαι μηδέν· οἴοιτο δὲ καὶ ἄλλο τι ἀγαθὸν παρὰ Λακεδαιμονίων τῇ πόλει εὑρήσεσθαι.* V. Matth. Gr. § 529, 3. Heind. ad Plat. Phædr. p. 129. Quæ exempla suggessit Krueger. l. l., qui sic intelligit etiam Herodot. vii, 8. adde ad Dionys. de C. V. p. 77. Jen. dicta. Thuc. viii, 51. *ἐξάγγελος γίγνεται, ὡς οἱ πολέμιοι μέλλουσιν—ἐπιθήσεσθαι τῷ στρατοπέδῳ, καὶ ταῦτα σαφῶς πεπυσμένος εἴη καὶ χρῆναι τειχίζειν Σάμον*, etc., quanquam h. l. optativum pendere ex *ὡς* dicere possis. Addit duo alia exempla Schæfer. Mel. Cr. p. 102.

ἡμῖν τοῖς Λακεδαιμονίοις] V. ad i, 144. et Krueger. p. 169. Mox, *ἀριθμῷ* est 'numero,' 'by the number,' 'non definito numero,' ut voluit Valcken. ad Herodot. vi, 58., et *ἄλλο εἴ τι* dictum ut *ἄλλα ὅσα*, ii, 69.

ὅποι βούλεσθε] Popponi, Obs. p. 104. legendum videbatur *ὅπη*, coll. Hermanno ad Eurip. Herc. Fur. 1236. et ad Viger. p. 789.

ἃ—παραλάβωμεν] Hæc verba absunt a multis editis ante Haackium, qui ex codd. et interpretatione Vallæ restituit. Sunt hæc verba in A. B. C. F. H. K. L. M. N. O. P. S. d. g. et apud Dionys. *ἀποδώσομεν ὑμῖν μέχρι* c.

μέχρι—παρακαταθήκην] Thom. M. p. 683. V. Lobeck. ad Phrynich. p. 312. interpp. ad Herodot. vi, 86. Spohn. ad Isocr. Paneg. 51.

73. *οἱ δ' ἀκούσαντες—ξυμμαχίαν*] Dionys. p. 904.

ὑμᾶς προέσθαι] Vulgo *ἡμᾶς*. Alterum plurimi codd., quod quominus reciperetur,

74. Τοιαῦτα τῶν πρέσβεων ἀπαγγειλάντων οἱ Πλαταιῆς ἐβουλεύσαντο Ἀθηναίους μὴ προδιδόναι, ἀλλ' ἀνέχεσθαι καὶ γῆν τεμνομένην, εἰ δεῖ, ὁρῶντας καὶ ἄλλο πάσχοντας ὅ,τι ἂν ξυμβαίνῃ· ἐξελθεῖν τε μηδένα ἔτι, ἀλλ' ἀπὸ τοῦ τείχους ἀποκρίνασθαι ὅτι ἀδύνατα σφίσι ποιεῖν ἐστιν ἃ Λακεδαιμόνιοι προκαλοῦνται. Ὡς δὲ ἀπεκρίναντο, ἐντεῦθεν δὴ πρῶτον μὲν ἐς ἐπιμαρτυρίαν καὶ θεῶν καὶ ἡρώων τῶν ἐγχωρίων Ἀρχίδαμος ὁ βασιλεὺς κατέστη, λέγων ὧδε. Θεοὶ ὅσοι γῆν τὴν Πλαταιίδα ἔχετε καὶ ἥρωες, ξυνίστορές ἐστε ὅτι οὔτε τὴν ἀρχὴν ἀδίκως, ἐκλιπόντων δὲ τῶνδε πρότερον τὸ ξυνώμοτον, ἐπὶ γῆν τήνδε ἤλθομεν, ἐν ᾗ οἱ πατέρες ἡμῶν εὐξάμενοι ὑμῖν Μήδων ἐκράτησαν καὶ παρέσχετε αὐτὴν εὐμενῆ ἐναγωνίσασθαι τοῖς Ἕλλησιν, οὔτε νῦν, ἤν τι ποιῶμεν, ἀδικήσομεν· προκαλεσάμενοι γὰρ πολλὰ καὶ εἰκότα οὐ τυγχάνομεν. Ξυγγνώμονες δὲ ἔστε τῆς μὲν ἀδικίας κολάζεσθαι τοῖς ὑπάρχουσι προτέροις, τῆς δὲ τιμωρίας τυγχάνειν τοῖς ἐπιφέρουσι νομίμως.

75. Τοσαῦτα ἐπιθειάσας καθίστη ἐς πόλεμον τὸν στρα-

non obstabat prægressum ἐγενόμεθα, quo non solum Platæenses, sed Athenienses quoque significari videntur. Monuit Krueger. p. 170.

74. τοιαῦτα—τὸν στρατὸν] Dionys. p. 905.

ἀνέχεσθαι] H. N. g. h. ἀντέχεσθαι præbent, quod præfert Haackius, αὐτῶν, i. e. Ἀθηναίων, subaudiens. Krueger. vulgatam tuetur loco Dionys. A. R. p. 1918. ἠνείχοντο σῖτον, ὃς ἐν ἀκμῇ τότε ἦν, συγκομιζόμενον ὑπὸ τῶν πολεμίων καὶ ἀγέλας βοσκημάτων ἀπελαυνομένας ὁρῶντες· coll. p. 1774. 1901. et Sturz. Lex. Xenoph. t. i. p. 235. b. Conf. Popp. Prol. t. i. p. 142. Pro ὁρῶντας et πάσχοντας sequi debebat ὁρῶντες et πάσχοντες. Sed participia illa sequuntur, ut fieri solet, structuram vocum interpositarum εἰ δεῖ. Lobeck. ad Phryn. p. 755. not. confert Athenæum, xi, 117. p. 389. Schw. καιτοίγε ἔδει, καθάπερ τὸν Λυκοῦργον τοὺς Λακεδαιμονίους καὶ αὐτὸν πεῖσαί τινα, pro ὥσπερ ὁ Λυκ. Hæc est, ait, pervulgata illa cœptæ constructionis continuatio, cujus plurima sunt in particulis comparativis ὡς, ἢ, εἴπερ, etc. exempla, v. c. ἐπιδακρύοντα, ὥσπερ ἐκείνην τὴν Ταντάλου, Lucian. Amorr. init. t. vi. πόλιν, ὡς Μυκήνας, εὐδαίμονα, Eur. Heracl. 759. εἰς γῆν καταβλέποντας ὥσπερ τοὺς Ἐρέμβους, Aristid. de Paraphth. 390. t. ii. Plura vide apud ipsum. Post genitivum: τῆς ἀρχῆς σαλευούσης καὶ ὥσπερ νεὼς καταδύεσθαι μελλούσης, Aristid. Or. in Reg. p. 60. t. i. Vide quem laudat Schæferum ad Julian. Encom. p. 35. τοῦ περιττοῦ ὄντος, οὐχ οὗπερ τῆς τριάδος, Plat. Phædon. p. 205., ubi vide Heindorf.

ξυμβαίνῃ] V. Popp. d. Usu Partic. Ἄν, p. 34.

Θεοὶ] V. Spanhem. ad Callimach. t. ii. p. 669.

οὔτε—ἐκλιπόντων] Thom. M. p. 825., qui δὲ addit post ἐκλιπόντων cum H. L. O. Q. g. h. e., quam particulam recepi.

παρέσχετε αὐτὴν εὐμενῆ] Plutarch. V. Alex. M. cap. 34. τὴν χώραν οἱ πατέρες αὐτῶν ἐναγωνίσασθαι τοῖς Ἕλλησιν ὑπὲρ τῆς ἐλευθερίας παρέσχον. Conf. V. Alc. c. 11. Infinitivus pendet ex παρέσχετε. V. Held. in Act. Phil. Monac. t. ii. p. 87. Ad εὐμενῆ cogitatione supple τοῖς ἐναγωνισαμένοις. Quod de diis ἐγχωρίοις proprie dicitur, 'propitios esse,' terræ ipsi tribuit. Conf. Krueger. Indic. ad Dionys. s. v. εὐμενής.

75. Descriptio oppugnationis Platæarum, de qua v. Manso Spart. P. ii. p. 42. 405. Folard. ad Polyb. P. ii. p. 174. vers. Germ. Gail. Mém. p. 183. Bredov. ad h. l. Archidamus urbe vallo clausa incolis exitum intercludit; adversus urbis partem

τὸν, καὶ πρῶτον μὲν περιεσταύρωσεν αὐτοὺς τοῖς δένδρεσιν ἃ ἔκοψαν, τοῦ μηδένα ἔτι ἐξιέναι, ἔπειτα χῶμα ἔχουν πρὸς τὴν πόλιν, ἐλπίζοντες ταχίστην αἵρεσιν ἔσεσθαι αὐτῶν στρατεύματος τοσούτου ἐργαζομένου. Ξύλα μὲν οὖν τέμνοντες ἐκ τοῦ Κιθαιρῶνος παρῳκοδόμουν ἑκατέρωθεν, φορμηδὸν ἀντὶ τοίχων τιθέντες, ὅπως μὴ διαχέοιτο ἐπὶ πολὺ τὸ χῶμα· ἐφόρουν δὲ ὕλην ἐς αὐτὸ καὶ λίθους καὶ γῆν καὶ εἴ τι ἄλλο ἀνύτειν μέλλοι ἐπιβαλλόμενον. Ἡμέρας δὲ ἔχουν ἑβδομήκοντα καὶ νύκτας ξυνεχῶς διῃρημένοι κατ' ἀναπαύλας ὥστε τοὺς μὲν φέρειν, τοὺς δὲ ὕπνον τε καὶ σῖτον αἱρεῖσθαι· Λακεδαιμονίων τε οἱ ξεναγοὶ ἑκάστης πόλεως ξυνεφεστῶτες ἠνάγκαζον ἐς τὸ ἔργον. Οἱ δὲ Πλαταιῆς ὁρῶντες τὸ χῶμα αἰρόμενον, ξύλινον τεῖχος ξυνθέντες καὶ ἐπιστήσαντες τῷ ἑαυτῶν τείχει ᾗ προσεχοῦτο, ἐσῳκοδόμουν ἐς αὐτὸ πλίνθους ἐκ τῶν ἐγγὺς

aggerem struit; neve quaqua versus acclivis esset, lignis in Cithærone cæsis utrimque aggerem munit, ita ut pro muris (ἀντὶ τοίχων) essent ligna, storearum instar (φορμηδὸν) decussatim composita. Latera ista explentur materie, lapidibus, humo, aliisque quæ ad opus perficiendum idonea essent. Agger paululum quidem mœnibus urbis distabat, (c. 77. φοροῦντες ὕλης φακέλλους παρέβαλλον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς προσχώσεως,) sed parte sui ima paulatim acclivi mœnia tangebat, (ᾗ προσέπιπτε τὸ χῶμα, i. e. 'qua agger mœnibus contiguus erat,') ita ut Platæenses muro suo perfosso (διελόντες τοῦ τείχους ᾗ, ubi τεῖχος probe discernendum a τοίχοις aggeris) humum ex aggere in urbem importare possent, mœnibus non exeuntes. Simul machinas obsessores urbi admoverunt: unam, quæ per aggerem admota ædificii, quod mœnibus suis obsessi superstruxerant, magnam partem conquassavit (ἐπὶ μέγα τοῦ μεγάλου οἰκοδομήματος κατέσεισε, ubi genitivus pendet ex μέγα, et in ἐπὶ μέγα idem sensus ac si dixisset μεγάλην μοῖραν); alias vero machinas ab aliis urbis partibus adduxerunt.

ἐπιθειάσας] Suidas: τὸ θεῖον εἰσδεδεγμένος, θεοφορούμενος, Θουκυδίδης· Ἀρχίδαμός τινα ἐπιθειάσας καθίστη ἐς τὸν στρατόν. Suidam exscripsit Phavorin. Sed Kusterus adnotavit, vocem non significare quod vult Suidas, sed potius 'deos contestari.' Nimirum grammatici, ut judicat Hemsterh., disjunxerunt θεάζειν et θειάζειν, illud interpretati 'deos invocare' vel 'obtestari,' hoc 'deorum numine correptum agitari.' Ideoque pro certo putat, Orum Milesium apud Etym. M. p. 449, 50. ὁ δὲ Μιλήσιος παρὰ τῷ συγγραφεῖ, θεοὺς ἐπικαλεσάμενος καὶ κατευξάμενος· ἔστι γὰρ ἀπὸ τοῦ ἐπιθεάζειν hoc loco Thucydidis non ἐπιθειάσας, sed ἐπιθεάσας, voluisse. Achilles Tatius, vii. p. 451. ἐπιθειαζόντων eodem sensu 'deos invocandi' habet.

καὶ πρῶτον—ἐξιέναι] Greg. Cor. p. 61. Thom. M. p. 204. δένδρεσιν, ὡς Θουκυδίδης καὶ ἕτεροι, οὐ δένδροις, ὡς Ξενοφῶν. Eadem Phavorin. et Mœr. v. δένδροις.

φορμηδὸν] Suidas, φορμηδὸν, Θουκυδίδης· ξύλα—τὸ χῶμα. Καὶ αὖθις· καὶ τοὺς νεκροὺς οἱ Κερκυραῖοι φορμηδὸν ἐπὶ ἁμάξας ἐπιβάλλοντες ἀπήγαγον ἔξω τῆς πόλεως, iv, 48. Idem, φορμός· ψίαθος παρὰ Θουκυδίδῃ, ἐναλλὰξ ἔχων τὸ πλέγμα. Idem in ἐφόρουν adscripsit verba ἐφόρουν—ἐπιβαλλόμενον, ubi est ἀνύσειν. Zonar. s. eadem v. ἐφόρουν—αὐτὸν, pro αὐτό.

καὶ εἴ τι ἄλλο—ἐπιβαλλόμενον] Greg. Cor. p. 71.

ξεναγοὶ] Suidas in ξεναγῶν adscripsit verba οἵ τε ξεναγοὶ—ἐς τὸ ἔργον. Partem glossæ ejusdem sine loco habet Bibl. Coisl. p. 237. ξεναγῶν, ξενοδοχῶν· παρὰ Θουκυδίδῃ δὲ οἱ τῶν μισθοφόρων ἄρχοντες· ξένους γὰρ ἐκάλουν τοὺς μισθοφόρους. Pleraque ex Platæarum obsidione in suos libros transtulit Arrianus, velut de Exp. Al. M. ii, 18. καὶ προκαλύμματα εἶχε δέῤῥεις καὶ διφθέρας—μήτε πυρφόροις οἰστοῖς βάλλεσθαι ita reddidit, ut pro εἶχε poneret ἦσαν cum dat. et nom. et βέλεσι pro οἰστοῖς. Idem, ii, 23. κατέσεισε τοῦ τείχους ἐπὶ μέγα, eadem structura usus qua Thuc. ii, 76. Idem, ii, 27. ὑφιζάνον κατὰ τὸ κενούμενον. Conf. Thuc. l. l.

οἰκιῶν καθαιροῦντες. Ξύνδεσμος δ᾽ ἦν αὐτοῖς τὰ ξύλα, τοῦ μὴ ὑψηλὸν γιγνόμενον ἀσθενὲς εἶναι τὸ οἰκοδόμημα· καὶ προκαλύμματα εἶχε δέῤῥεις καὶ διφθέρας ὥστε τοὺς ἐργαζομένους καὶ τὰ ξύλα μήτε πυρφόροις οἰστοῖς βάλλεσθαι ἐν ἀσφαλείᾳ τε εἶναι. Ἤιρετο δὲ τὸ ὕψος τοῦ τείχους μέγα καὶ τὸ χῶμα οὐ σχολαίτερον ἀντανήει αὐτῷ. Καὶ οἱ Πλαταιῆς τοιόνδε τι ἐπινοοῦσι· διελόντες τοῦ τείχους ᾗ προσέπιπτε τὸ χῶμα ἐσεφόρουν τὴν γῆν.

76. Οἱ δὲ Πελοποννήσιοι αἰσθόμενοι ἐν ταρσοῖς καλάμου πηλὸν ἐνείλλοντες ἐσέβαλλον ἐς τὸ διηρημένον, ὅπως μὴ διαχεόμενον ὥσπερ ἡ γῆ φοροῖτο. Οἱ δὲ ταύτῃ ἀποκληόμενοι τοῦτο μὲν ἐπέσχον, ὑπόνομον δ᾽ ἐκ τῆς πόλεως ὀρύξαντες καὶ ξυντεκμηράμενοι ὑπὸ τὸ χῶμα ὑφεῖλκον αὖθις παρὰ σφᾶς τὸν χοῦν· καὶ ἐλάνθανον ἐπὶ πολὺ τοὺς ἔξω, ὥστ᾽ ἐπιβάλλοντας ἧσσον ἀνύτειν ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος καὶ ἱζάνοντος ἀεὶ ἐπὶ τὸ κενούμενον. Δεδιότες δὲ μὴ οὐδ᾽ οὕτω δύνωνται ὀλίγοι πρὸς πολλοὺς ἀντέχειν, προσεπεξεῦρον τόδε· τὸ μὲν μέγα οἰκοδόμημα ἐπαύσαντο ἐργαζόμενοι τὸ κατὰ τὸ χῶμα, ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ ἀρξάμενοι ἀπὸ τοῦ βραχέος τείχους ἐκ τοῦ ἐντὸς μηνοειδὲς ἐς τὴν πόλιν προσῳκοδόμουν, ὅπως εἰ τὸ μέγα τεῖχος ἁλίσκοιτο, τοῦτ᾽ ἀντέχοι, καὶ δέοι τοὺς ἐναντίους αὖθις πρὸς αὐτὸ χοῦν, καὶ προχωροῦντας εἴσω διπλάσιόν τε πόνον ἔχειν καὶ ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι. Ἅμα δὲ τῇ χώσει καὶ μηχανὰς προσῆγον τῇ πόλει οἱ Πελοποννήσιοι, μίαν μὲν, ἣ τοῦ μεγάλου οἰκοδομήματος κατὰ τὸ χῶμα προσαχθεῖσα ἐπὶ μέγα τε

76. *ἐν ταρσοῖς—ἐνείλλοντες*] i. e. *ἐν πλεγμοῖς, ἀπὸ καλάμου πεποιημένοις*, ut schol. explicat. Conf. Wessel. ad Herodot. i, 179., qui habet *ταρσοὺς καλάμων*, et ipse Marg. Vimar. 'calathis e calamo contextis.' Bredov. 'but when the Peloponnesians perceived it, they stuffed hurdles made of reeds with heavy and consistent clay, and threw them into the hole, that they might not, like earth, give way and be carried off.' Verba adscripsit Zonaras in *εἴλλειν* bis; verba *ἐν ταρσοῖς—διῃρημένον* Suidas in ead. v., addens *τοῦ τείχους*, eodemque modo Suidas iterum et Zonar. et Phavorin. in *ἐνείλλοντες*. Phot. *ταῤῥοὶ, τάλαροι καὶ ταρσοὶ, καὶ τὰ πλατύσματα τῶν κωπῶν, αὐτὸ τὸ πτέρωμα· καὶ Θουκυδίδης οὕτως.* Eadem Suid. et Phavorin. in v., qui exscripsit Etym. M. p. 747. Verba *οἱ δὲ Πελοποννήσιοι—τοῦ τείχους* rursus Suidas in *ταρσὸς* adfert.

διαχεόμενον] Popp. Obs. p. 226. conjecit *διαχεόμενος*, quia neutrum vix possit ad aliud quid pertinere, quam ad *τὸ διῃρημένον*, quod non potuerit auferri. Imo refertur ad *χῶμα*, cujus nunc pars *πηλὸς* erat. Mox, *ξυντεκμηράμενοι* schol. recte explicat per *διὰ τεκμηρίου τινὸς ἐρχόμενοι ὑπὸ τὸ χῶμα*. Conf. Dio Cass. lxvi, 4.

τὸ μὲν μέγα—γίγνεσθαι] Heilm. 'They desisted from carrying on the great pile towards the mound, and began at each end of it, where the low wall was to run' (i. e. inde a mœnibus urbis suæ veteribus, quibus recens ædificium superstruxerunt *τὸ μέγα οἰκοδόμημα*, c. 75. vers. fin.) 'inside the town,' (*ἐκ τοῦ ἐντὸς*, i. e. *ἐν τῷ ἐντὸς—ἐς τὴν πόλιν*. Præpositionem *ἐκ*

κατέσεισε καὶ τοὺς Πλαταιέας ἐφόβησεν, ἄλλας δὲ ἄλλῃ τοῦ τείχους, ἃς βρόχους τε περιβάλλοντες ἀνέκλων οἱ Πλαταιῆς, καὶ δοκοὺς μεγάλας ἀρτήσαντες ἁλύσεσι μακραῖς σιδηραῖς ἀπὸ τῆς τομῆς ἑκατέρωθεν ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων καὶ ὑπερτεινουσῶν ὑπὲρ τοῦ τείχους ἀνελκύσαντες ἐγκαρσίας, ὁπότε προσπεσεῖσθαί πῃ μέλλοι ἡ μηχανή, ἀφίεσαν τὴν δοκὸν χαλαραῖς ταῖς ἁλύσεσι καὶ οὐ διὰ χειρὸς ἔχοντες· ἡ δὲ ῥύμῃ ἐμπίπτουσα ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς.

77. Μετὰ δὲ τοῦτο οἱ Πελοποννήσιοι, ὡς αἵ τε μηχαναὶ οὐδὲν ὠφέλουν καὶ τῷ χώματι τὸ ἀντιτείχισμα ἐγίγνετο, νομίσαντες ἄπορον εἶναι ἀπὸ τῶν παρόντων δεινῶν ἑλεῖν τὴν πόλιν πρὸς τὴν περιτείχισιν παρεσκευάζοντο. Πρότερον δὲ πυρὶ ἔδοξεν αὐτοῖς πειρᾶσαι εἰ δύναιντο πνεύματος γενομένου ἐπιφλέξαι τὴν πόλιν οὖσαν οὐ μεγάλην· πᾶσαν γὰρ δὴ ἰδέαν ἐπενόουν, εἴ πως σφίσιν ἄνευ δαπάνης καὶ πολιορκίας προσαχθείη. Φοροῦντες δὲ ὕλης φακέλλους παρέβαλλον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς προσχώσεως, ταχὺ δὲ πλήρους γενομένου διὰ πολυ-

pro ἐν posuit per attractionem verbi ἀρξάμενοι) 'another wall in the shape of a crescent; that if the great wall should be taken, this might hold out, and lay the enemies under the necessity of throwing up another mound; and that thus they might in advancing meet with double difficulties, and be exposed to their missiles on both sides.'

ἃς βρόχους—ἐμβολῆς] Duabus rebus Platæenses impetum machinarum urbi suæ admotarum arcebant, nam et laqueis circumjectis eas reflectebant, et trabibus magnis gravi pondere demissis prominens rostrum arietis frangebant. Verte, 'which were drawn up and tossed about by the Platæans, who threw ropes round them; or, taking large beams with long chains of iron fastened at both ends, they hung them downwards from two other transverse beams extended beyond the wall; and when the battering-engine was approaching it, they loosed the chains out of their hands, and dropped the beam, so that the head of the battering-engine was broken by the heavy stroke of it.' Ἀνακλᾶν non est 'frangere,' sed 'reflectere.' Phavorin. ἀνακλάσεις, ἐπιστροφάς. Aristænet. Ep. i, 3. ἀνακλᾶν τὸν αὐχένα πρὸς θέαν. Lucian. t. vii. p. 159. ἡ δεξιὰ δὲ ὑπὲρ τῆς κεφαλῆς ἀνακεκλασμένη ὥσπερ ἐκ καμάτου μακροῦ ἀναπαυόμενον δείκνυσι τὸν θεόν. Thuc. vii, 25. ἔκ τε τῶν ἀκάτων ἄνευον ἀναδούμενοι τοὺς σταυροὺς καὶ ἀνέκλων, ubi Duker., ἀνακλᾶν, ait, hic non est 'frangere,' verum 'sursum attollendo convellere et educere.' V. Lips. Poliorcet. v, 8. In sequentibus structura hæc est: καὶ δοκοὺς μεγάλας ἁλύσεσι μακραῖς ἀπὸ τῆς τομῆς (τῶν δοκῶν sc.) ἀρτήσαντες, (καὶ) ἀνελκύσαντες ἐγκαρσίας ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων—τείχους, ἀφίεσαν, ὁπότε—ἡ μηχανή, τὴν δοκόν, etc. i. e. 'they hung from both ends' et 'they drew them obliquely over two beams,' etc. Ἐμβολὴ est 'trabs,' 'aries,' et τὸ προέχον τῆς ἐμβ. 'rostrum.' V. Schæfer. ad Greg. Cor. p. 515. Schneider. Indic. Xen. H. Gr. s. v. ἔμβολον. Dorv. ad Charit. p. 583. Suidas cum respectu ad h. l. ἐμβολὴ—τὸ ἄκρον τοῦ κριοῦ, τοῦ μηχανικοῦ ὀργάνου τῷ ἐπιφερομένῳ ἄχθει ἀποκαυλίζειν τὸ προέχον τῆς ἐμβολῆς. Marg. Vimar. ἀπεκαύλιξε, 'decurtavit.' Procop. B. P. i, 18. τὰ βέλη θώρακι ἐντυχόντα ἀπεκαυλίζετο. Conf. ibid. ii, 3.

77. φακέλλους—ἀγρίας] Thom. M. p. 881., qui explicat per δεδεμένον φορτίον. Vocem πολυχειρίαν ex h. l. citat Pollux ii, 149. v. Dorv. ad Charit. p. 419. De φάκελλος vid. Ammon. de Diff. Voc. p. 141. Valck. ad Herodot. iv, 62.

χειρίαν ἐπιπαρένησαν καὶ τῆς ἄλλης πόλεως ὅσον ἐδύναντο ἀπὸ τοῦ μετεώρου πλεῖστον ἐπισχεῖν, ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ πίσσῃ ἧψαν τὴν ὕλην. Καὶ ἐγένετο φλὸξ τοσαύτη ὅσην οὐδείς πω ἔς γε ἐκεῖνον τὸν χρόνον χειροποίητον εἶδεν· ἤδη γὰρ ἐν ὄρεσιν ὕλη τριφθεῖσα ὑπ' ἀνέμων πρὸς αὑτὴν ἀπὸ ταὐτομάτου πῦρ καὶ φλόγα ἀπ' αὐτοῦ ἀνῆκε. Τοῦτο δὲ μέγα τε ἦν καὶ τοὺς Πλαταιέας τἄλλα διαφυγόντας ἐλαχίστου ἐδέησε διαφθεῖραι· ἐντὸς γὰρ πολλοῦ χωρίου τῆς πόλεως οὐκ ἦν πελάσαι, πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ ἐπίφορον, ὅπερ καὶ ἤλπιζον οἱ ἐναντίοι, οὐκ ἂν διέφυγον. Νῦν δὲ καὶ τόδε λέγεται ξυμβῆναι, ὕδωρ ἐξ οὐρανοῦ πολὺ καὶ βροντὰς γενομένας σβέσαι τὴν φλόγα καὶ οὕτω παυθῆναι τὸν κίνδυνον.

78. Οἱ δὲ Πελοποννήσιοι ἐπειδὴ καὶ τούτου διήμαρτον, μέρος μέν τι καταλιπόντες τοῦ στρατοπέδου, [τὸ δὲ λοιπὸν ἀφέντες,] περιετείχιζον τὴν πόλιν κύκλῳ, διελόμενοι κατὰ πόλεις τὸ χωρίον· τάφρος δὲ ἐντός τε ἦν καὶ ἔξωθεν ἐξ ἧς ἐπλινθεύσαντο. Καὶ ἐπειδὴ πᾶν ἐξείργαστο περὶ ἀρκτούρου ἐπιτολάς, καταλιπόντες φύλακας τοῦ ἡμίσεος τείχους, τὸ δὲ

ταχὺ—ἐπιπαρένησαν] Zonar. et Phavorin. in ἐπιπαρένησαν. Verba ταχὺ—ἐδύναντο Suidas in ead. v. Verba ἐπιπαρένησαν—ἐδύναντο Suidas in παρένησαν.

ὕλη] Lucret. i, 896. ‘At sæpe in magnis fit montibus, inquis, ut altis Arboribus vicina cacumina summa terantur Inter se, validis facere id cogentibus austris, Donec fulserunt flammæ fulgore coorto.’ V. Casaubon. ad Sueton. Tib. c. 6. De voce ἐπίφορον v. Dorv. l. l. p. 389. Scaliger. ad Severi Ætn. 360.

78. τὸ δὲ—ἀφέντες] omittunt A. B. F. L. N. O. P. Q. h. τὸ δὲ πλέον ἀφ. C. e. Peloponnesios, Poppo Obs. p. 107. ait, magnam exercitus partem, antequam muros, quo Platæas cingerent, confectus esset, dimisisse, neque per se verisimile est, cum verendum esset, ne Athenienses, obsessis opem ferentes, omnem rem impedirent, et repugnat iis quæ paulo post diserte leguntur, eos absoluto demum opere in suas quemque urbes discessisse. Sed verbis τὸ δὲ λοιπὸν ἀφέντες deletis, majorem exercitus partem existimabimus vel in finitimas Bœotiæ urbes interea abiisse, quo facilius aleretur, vel alio in loco se tenuisse, ubi eos, qui ad Platæas relicti erant, facile ab Atheniensium impetu, si quem facerent, defenderet.—Quod autem Haack. monuit, id ipsum, partem reliquam in finitimas Bœotiæ urbes abiisse, significari verbis τὸ δὲ λ. ἀφ.; verbi ἀφέντες nullus alius sensus esse potest, quam abire jussos esse, domum dimisses; quod dicit, aliud esse ἀφιέναι μέρος τι τοῦ στρατοπέδου, aliud διαλύεσθαι κατὰ πόλεις, non animadvertit, in sequentibus non solum hoc proxime positum esse, sed hæc, ἀνεχώρησαν τῷ στρατῷ καὶ διελ. κ. πόλ. Denique, μὲν negat habere quo referatur; sed sententiarum hic nexus est, μέρος μέν τι καταλιπόντες—περιετείχιζον τὴν πόλιν—καὶ ἐπειδὴ, etc. ut sibi respondeant μὲν—καί. V. Herm. ad Viger. p. 841.

περὶ ἐπιτολὰς] “Arcturus stella est summi splendoris in signo Bootis prope caudam magnæ ursæ. Ut a nobis in quotidiana vita tempus ex diebus festis et sanctorum definiri solet; ita apud Græcos Italosque in usu erat, ex stellis quibusdam splendidioribus primum in cœlo, dum e solis radiis emergunt, conspectis, vel ex earundem occasu, anni tempora computare. In his stellis præcipuæ erant Arcturus, Pleiades, Orion, et Canicula. Theophr. d. Sign. Pluv. p. 416. Heins. Cum vero verborum ‘ortus’ et ‘occasus stellarum’ significatus tam multiplex sit, utinam veteres discrimina quædam (quorum nonnulla linguis ipsorum profecto significari poterant) vel observassent omnes, vel

ἥμισυ Βοιωτοὶ ἐφύλασσον, ἀνεχώρησαν τῷ στρατῷ καὶ διελύθησαν κατὰ πόλεις. Πλαταιῆς δὲ παῖδας μὲν καὶ γυναῖκας καὶ τοὺς πρεσβυτάτους τε καὶ πλῆθος τὸ ἀχρεῖον τῶν ἀνθρώπων πρότερον ἐκκεκομισμένοι ἦσαν ἐς τὰς Ἀθήνας, αὐτοὶ δ'

constituissent; nimirum omnis stella quotidie et oritur et occidit; id quod Græci appellant ἀνατέλλειν et δύνειν, ἀνατολὴ et δύσις. Sed ille quotidianus et ortus et occasus paulatim solem magis magisque antecedere videtur, donec aliquamdiu per annum cum ortu occasuque solis plane competit, quo facto stella nobis non jam adspectabilis est. Paulo ante quam oculos nostros fugit, stella modo post solis ortum oritur, modo post solis occasum occidit. Jam istum stellæ occasum, statim post solis occasum qui fit, et postremus nobis conspicuus est, Græci κατ' ἐξοχὴν appellant δύσιν, sive, ut discernens nominat Geminus Elem. Astron. c. 11., κρύψιν. Post illud tempus stella premitur solis radiis, atque ad quadraginta dies non conspicitur. Post istud temporis intervallum ortus ejus paulo ante solis ortum fit, et rursus in conspectum venit, quem ortum primum oculis redditum Græci, ut discernant, ἐπιτολὴν, ἐπιτέλλειν dicunt, quæ verba de sole quidem nunquam usurpantur. Geminus l. l. Tandem post menses aliquot stella paulo ante solis occasum oritur; post hebdomadas aliquot paulo ante solis ortum occidit. Hæc quoque momenta temporibus definiendis adhibent, quare suam stellæ cujusque ἐπιτολὴν et ἑῴαν et ἑσπερίαν, sæpe sine ullo additamento ἐπιτολὴν esse dicebant, ut ex nexu orationis apparere necesse sit, utra ἐπιτολὴ significetur; itemque suam cujusque stellæ δύσιν sive κρύψιν et ἑῴαν et ἑσπερίαν, quanquam hæc verba rarius leguntur; sæpissime ortibus utuntur cum aliarum stellarum, tum Arcturi. Hippocr. d. Vict. Rat. iii. p. 34. 36. His locis Hippocratis, Thucydidi æqualis, ut apud nostrum scriptorem significatur ἐπιτολὴ Arcturi ἑῴα, quam circa æquinoctium auctumnale accidisse colligimus, unde auctumni initium ducebant. Conf. Theophr. de Caus. Plant. i, 14. 15. de Signis Pluv. p. 416. Virgil. Georg. i, 104. ibiq. Voss. Incidebat ortus iste in Boëdromionem, mensem æstatis tertium, Theophr. Hist. Plant. iv, 12., secundum calendarium Romano-Julianum in d. 12. vel 17. Septemb. Plin. xxiv, 31. Columell. ix, 2, Quod schol. habet, κατὰ τὸν Ὀκτώβριον μῆνα, vel ex vitioso calendario desumtum, vel inscitiæ ejus tribuendum est. At Hippocrates l. l. p. 35. ἡ ἀρκτούρου ἐπιτολὴ dicit, intelligens ortum Arcturi vespertinum, ut patet e nexu orationis, et additamento hoc, ὅτε χελιδὼν ἤδη φέρεται, id quod fit medio Martio. Et in locis memoratis et ubique, ex præscripto Gemini c. 11., ἐπιτολὴν Hippocrates intelligit stellarum ortum: non tamen omnes scriptores æque diligentes sunt in usu vocis. Ipse Geminus in descriptione, quæ annexa est, stellarum ortuum occasuumque modo καρκίνος, ait, ἄρχεται ἀνατέλλειν, modo ἄρχεται Ὠρίων ἐπιτέλλειν. Aristoteles sæpius fere latioris sensus vocabulo ἀνατολὴ utitur ad significandum stellarum ortum, qua refertur ad solem. V. H. A. viii, 15. Meteorol. ii, 5. Mirum, in libris Theophrasti nonnullis, velut d. Sign. Pluv. fere tantum ἀνατολὴ et ἀνατέλλειν de ortu stellarum usurpari, in aliis autem, velut de Caus. Plant., accuratius poni ἐπιτολὴν et ἐπιτέλλειν, id quod potest addi aliis argumentis, unde probare student, horum librorum varios auctores esse. Quin astronomus ipse Hipparch. ad Arat. Phænom. ii. p. 119. adnotavit περὶ τὴν τοῦ κυνὸς ἀνατολὴν τὰ καύματα μάλιστα γίνεται, et quamvis diserte et vehementer declamet Geminus, μεγάλη ἐστὶ διαφορὰ ἀνατολῆς καὶ ἐπιτολῆς, non tamen discrimen observatum est. Pro arbitrio certe, si nonnunquam differentia observata esse videtur, quam statuit Achilles Tatius Isagog. ad Phænom. c. 39. διαφέρει δὲ ἀνατολὴ ἐπιτολῆς. Ἀνατολὴ μὲν γάρ ἐστιν ἡ ἅμα τῷ ἡλίῳ ὑπὲρ τὸν ὁρίζοντα ἀναφορά. Ἐπιτολὴ δὲ, ὅταν πρὸ ἡλίου ὑπὸ τὴν ἑῴαν ἀνατείλῃ ἄστρον, εἶτα ἐπ' αὐτῷ ὁ ἥλιος ἐπιτείλῃ. Quæ distinctiones tunc demum evalescere potuerunt, cum observationibus stellarum accuratioribus varii ortus discernerentur, præsertim ex quo ortum stellæ non adspectabilem, qui fit una cum sole, et ortum stellæ, qui paulo ante solem fit, primusque sub oculos recidit, inter se nolebant permutari. Recentiorum astronomia illum ortum appellat cosmicum, hunc heliacum: quos cum veteres accuratius discernere volebant, illum appellabant συνανατολὴν, hunc ἐπιτολὴν fere, atque cum utplurimum ortus matutinus significetur, hunc κατ' ἐξοχὴν dicebant ἐπιτολήν. Sed ἀνατολὴν cosmicum stellarum ortum unquam dici, non reperio; at explicatio per vocem ἐπιτολὴ angustior est. I. Fr. Pfaff. de Ortibus et Occasibus Siderum, p. 39. 56." Bredov. De discrimine vocum ἀνατέλλειν et ἐπιτέλλειν v. Phrynich. p. 124. ibiq. Lobeck.

ἐπολιορκοῦντο ἐγκαταλελειμμένοι τετρακόσιοι, Ἀθηναίων δὲ ὀγδοήκοντα, γυναῖκες δὲ δέκα καὶ ἑκατὸν σιτοποιοί. Τοσοῦτοι ἦσαν οἱ ξύμπαντες ὅτε ἐς τὴν πολιορκίαν καθίσταντο, καὶ ἄλλος οὐδεὶς ἦν ἐν τῷ τείχει οὔτε δοῦλος οὔτε ἐλεύθερος. Τοιαύτη μὲν ἡ Πλαταιῶν πολιορκία κατεσκευάσθη.

79. Τοῦ δ' αὐτοῦ θέρους καὶ ἅμα τῇ τῶν Πλαταιῶν ἐπιστρατείᾳ Ἀθηναῖοι δισχιλίοις ὁπλίταις ἑαυτῶν καὶ ἱππεῦσι διακοσίοις ἐστράτευσαν καὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης καὶ Βοττιαίους ἀκμάζοντος τοῦ σίτου· ἐστρατήγει δὲ Ξενοφῶν ὁ Εὐριπίδου τρίτος αὐτός. Ἐλθόντες δὲ ὑπὸ Σπάρτωλον τὴν Βοττικὴν τὸν σῖτον διέφθειραν. Ἐδόκει δὲ καὶ προσχωρήσειν ἡ πόλις ὑπό τινων ἔνδοθεν πρασσόντων. Προσπεμψάντων δὲ ἐς Ὄλυνθον τῶν οὐ ταῦτα βουλομένων ὁπλῖταί τε ἦλθον καὶ στρατιὰ ἐς φυλακήν· ἧς ἐπεξελθούσης ἐκ τῆς Σπαρτώλου ἐς μάχην καθίστανται οἱ Ἀθηναῖοι πρὸς αὐτῇ τῇ πόλει. Καὶ οἱ μὲν ὁπλῖται τῶν Χαλκιδέων καὶ ἐπίκουροί τινες μετ' αὐτῶν νικῶνται ὑπὸ τῶν Ἀθηναίων καὶ ἀναχωροῦσιν ἐς τὴν Σπάρτωλον· οἱ δὲ ἱππῆς τῶν Χαλκιδέων καὶ ψιλοὶ νικῶσι τοὺς τῶν Ἀθηναίων ἱππέας καὶ ψιλούς. Εἶχον δέ τινας οὐ πολλοὺς πελταστὰς ἐκ τῆς Κρουσίδος γῆς καλουμένης. Ἄρτι δὲ τῆς μάχης γεγενημένης ἐπιβοηθοῦσιν ἄλλοι πελτασταὶ ἐκ τῆς Ὀλύνθου. Καὶ οἱ ἐκ τῆς Σπαρτώλου ψιλοὶ ὡς εἶδον, θαρσήσαντες τοῖς τε προσγιγνομένοις καὶ ὅτι πρότερον οὐχ ἡσσῶντο, ἐπιτίθενται αὖθις μετὰ τῶν Χαλκιδέων ἱππέων καὶ τῶν προσβοηθησάντων τοῖς Ἀθηναίοις· καὶ ἀναχωροῦσι πρὸς τὰς δύο τάξεις ἃς κατέλιπον παρὰ τοῖς σκευοφόροις. Καὶ ὁπότε μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι, ἐνεδίδοσαν, ἀποχωροῦσι δὲ ἐνέκειντο καὶ ἐσηκόντιζον. Οἵ τε ἱππῆς τῶν Χαλκιδέων προσιππεύοντες ᾗ δοκοῖ προσέβαλλον καὶ οὐχ ἥκιστα φοβήσαντες ἔτρεψαν τοὺς Ἀθηναίους καὶ ἐπεδίωξαν ἐπὶ πολύ. Καὶ οἱ μὲν Ἀθηναῖοι ἐς τὴν Ποτίδαιαν καταφεύγουσι καὶ ὕστερον τοὺς νεκροὺς ὑποσπόνδους κομισάμενοι ἐς τὰς Ἀθήνας ἀναχωροῦσι τῷ περιόντι τοῦ στρατοῦ· ἀπέθανον δὲ αὐτῶν τριάκοντα καὶ τετρακόσιοι καὶ οἱ στρατηγοὶ πάν-

79. εἶχον — καλουμένης] Athenienses sc. nam his explicatur, unde suos leviter armatos habuerint, quia hi ipsi cætrati erant e regione Cruside.

ἀναχωροῦσι — σκευοφόροις] sc. Athenienses recedunt, quanquam modo aliud subjectum præcesserat: conf. i, 13. ii, 3. et Popp. Obs. p. 189. Calones et lixæ (σκευοφόροι) plerumque in extremo agmine: v. Dorv. ad Charit. p. 560.

τες. Οἱ δὲ Χαλκιδῆς καὶ οἱ Βοττιαῖοι τροπαῖόν τε ἔστησαν καὶ τοὺς νεκροὺς τοὺς αὑτῶν ἀνελόμενοι διελύθησαν κατὰ πόλεις.

80. Τοῦ δ' αὐτοῦ θέρους οὐ πολλῷ ὕστερον τούτων Ἀμπρακιῶται καὶ Χάονες βουλόμενοι Ἀκαρνανίαν πᾶσαν καταστρέψασθαι καὶ Ἀθηναίων ἀποστῆσαι πείθουσι Λακεδαιμονίους ναυτικόν τε παρασκευάσασθαι ἐκ τῆς ξυμμαχίδος καὶ ὁπλίτας χιλίους πέμψαι ἐς Ἀκαρνανίαν, λέγοντες ὅτι ἢν ναυσὶ καὶ πεζῷ ἅμα μετὰ σφῶν ἔλθωσιν, ἀδυνάτων ὄντων ξυμβοηθεῖν τῶν ἀπὸ θαλάσσης Ἀκαρνάνων ῥᾳδίως ἂν Ἀκαρνανίαν σχόντες καὶ τῆς Ζακύνθου καὶ Κεφαλληνίας κρατήσουσι, καὶ ὁ περίπλους οὐκέτι ἔσοιτο Ἀθηναίοις ὁμοῖος περὶ Πελοπόννησον· ἐλπίδα δ' εἶναι καὶ Ναύπακτον λαβεῖν. Οἱ δὲ Λακεδαιμόνιοι πεισθέντες Κνῆμον μὲν ναύαρχον ἔτι ὄντα καὶ τοὺς ὁπλίτας ἐπὶ ναυσὶν ὀλίγαις εὐθὺς πέμπουσι, τῷ δὲ ναυτικῷ περιήγγειλαν παρασκευασαμένῳ ὡς τάχιστα πλεῖν ἐς Λευκάδα. Ἦσαν δὲ Κορίνθιοι ξυμπροθυμούμενοι μάλιστα τοῖς Ἀμπρακιώταις ἀποίκοις οὖσι. Καὶ τὸ μὲν ναυτικὸν ἔκ τε Κορίνθου καὶ Σικυῶνος καὶ τῶν ταύτῃ χωρίων ἐν παρασκευῇ ἦν, τὸ δ' ἐκ Λευκάδος καὶ Ἀνακτορίου καὶ Ἀμπρακίας πρότερον ἀφικόμενον ἐν Λευκάδι περιέμενε. Κνῆμος δὲ καὶ οἱ μετ' αὐτοῦ χίλιοι ὁπλῖται ἐπειδὴ ἐπεραιώθησαν λαθόντες Φορμίωνα, ὃς ἦρχε τῶν εἴκοσι νεῶν τῶν Ἀττικῶν αἳ περὶ Ναύπακτον ἐφρούρουν, εὐθὺς παρεσκευάζοντο τὴν κατὰ γῆν στρατείαν. Καὶ αὐτῷ παρῆσαν Ἑλλήνων μὲν Ἀμπρακιῶται καὶ Λευκάδιοι καὶ Ἀνακτόριοι καὶ οὓς αὐτὸς ἔχων ἦλθε χίλιοι Πελοποννησίων, βάρβαροι δὲ Χάονες χίλιοι ἀβασίλευτοι, ὧν ἡγοῦντο ἐπ' ἐτησίῳ προστασίᾳ ἐκ τοῦ ἀρχικοῦ γένους Φώτυος καὶ Νικάνωρ. Ἐστρατεύοντο δὲ μετὰ Χαόνων καὶ Θεσπρωτοὶ ἀβασίλευτοι. Μολοσσοὺς δὲ ἦγε

80. τῶν ἀπὸ θαλάσσης Ἀκαρνάνων] i. e. τῶν παρὰ θαλάσσῃ Ἀκαρνάνων ἀπὸ θαλάσσης ξυμβοηθεῖν ἀδυνάτων ὄντων. Genus est attractionis: conf. Soph. Electr. 137. ibiq. interpp.

προστασίᾳ] i. e. προστατείᾳ. L. O. P. στρατείᾳ. Conf. supra c. 65. V. Valcken. ad Herodot. p. 555, 49. coll. Lobeck. ad Phrynich. p. 529., qui docet, vocem προστασία, 'curationem,' 'præfecturam,' et, conjunctam cum his rebus, 'dignitatem' significare. Scripturam προστατείᾳ confirmari monet Dionis exemplo, προστατεῖαι ἐτήσιοι. Apparebit, ait, cominus adspicientibus, hæc tria nomina πρόστασις, προστασία et προστατεία, neque ita mistos colores habere, ut non discerni possint, neque ita diductos, ut non interdum confundantur. Sic idem Thuc. ii, 65. ἡ τοῦ δήμου προστασία. Pompæ et magnificentiæ regalis significatio huic formæ fere solennis est, atque haud scio an cum προ-

καὶ Ἀτιντᾶνας Σαβύλινθος ἐπίτροπος ὢν Θάρυπος τοῦ βασιλέως ἔτι παιδὸς ὄντος, καὶ Παραυαίους Ὄροιδος βασιλεὺς ὤν. Ὀρέσται δὲ χίλιοι, ὧν ἐβασίλευεν Ἀντίοχος, μετὰ Παραυαίων ξυνεστρατεύοντο Ὀροίδῳ Ἀντιόχου ἐπιτρέψαντος. Ἔπεμψε δὲ καὶ Περδίκκας κρύφα τῶν Ἀθηναίων χιλίους Μακεδόνων, οἳ ὕστερον ἦλθον. Τούτῳ τῷ στρατῷ ἐπορεύετο Κνῆμος, οὐ περιμείνας τὸ ἀπὸ Κορίνθου ναυτικόν· καὶ διὰ τῆς Ἀργείας ἰόντες Λιμναίαν κώμην ἀτείχιστον ἐπόρθησαν. Ἀφικνοῦνταί τε ἐπὶ Στράτον, πόλιν μεγίστην τῆς Ἀκαρνανίας, νομίζοντες, εἰ ταύτην πρώτην λάβοιεν, ῥᾳδίως ἂν σφίσι τἄλλα προσχωρήσειν.

81. Ἀκαρνᾶνες δὲ αἰσθόμενοι κατά τε γῆν πολλὴν στρατιὰν ἐσβεβληκυῖαν ἔκ τε θαλάσσης ναυσὶν ἅμα τοὺς πολεμίους παρεσομένους, οὔτε ξυνεβοήθουν ἐφύλασσόν τε τὰ αὑτῶν ἕκαστοι, παρά τε Φορμίωνα ἔπεμπον κελεύοντες ἀμύνειν· ὁ δὲ ἀδύνατος ἔφη εἶναι ναυτικοῦ ἐκ Κορίνθου μέλλοντος ἐκπλεῖν Ναύπακτον ἐρήμην ἀπολιπεῖν. Οἱ δὲ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι τρία τέλη ποιήσαντες σφῶν αὐτῶν ἐχώρουν πρὸς τὴν τῶν Στρατίων πόλιν, ὅπως ἐγγὺς στρατοπεδευσάμενοι, εἰ μὴ λόγοις πείθοιεν, ἔργῳ πειρῷντο τοῦ τείχους. Καὶ μέσον μὲν ἔχοντες προσῄεσαν Χάονες καὶ οἱ ἄλλοι βάρβαροι, ἐκ δεξιᾶς δ' αὐτῶν Λευκάδιοι καὶ Ἀνακτόριοι καὶ οἱ μετὰ τούτων, ἐν ἀριστερᾷ δὲ Κνῆμος καὶ οἱ Πελοποννήσιοι καὶ Ἀμπρακιῶται· διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων καὶ ἔστιν ὅτε οὐδὲ ἑωρῶντο. Καὶ οἱ μὲν Ἕλληνες τεταγμένοι τε προσῄεσαν καὶ διὰ φυλακῆς ἔχοντες ἕως ἐστρατοπεδεύσαντο ἐν ἐπιτηδείῳ· οἱ δὲ Χάονες σφίσι τε αὐτοῖς πιστεύοντες καὶ ἀξιούμενοι ὑπὸ τῶν ἐκείνῃ ἠπειρωτῶν μαχιμώτατοι εἶναι οὔτ'

στατεία nunquam communicata.—Mox, de forma nominis *Θαρύπου* v. Popp. Prol. t. ii. p. 135. not.

Ἀργείας] Inde a Gottlebero substituta erat conjectura Palmerii *Ἀγραίας*: sed cum Ambraciotas propter Dolopum sedes inter illos et Agræos jacentes Agræi non possent attingere; Cnemus cum Peloponnesiis, Ambraciotis, et reliquo exercitu Acarnanas aggressurus, ex Ambracia primum per Argivorum regionem (*διὰ τῆς Ἀργείας*) profectus est, qui cum jam prius, ii, 68. Ambraciotis resistere non potuissent, non metuendum erat, ne majoris exercitus iter impedirent; qui exercitus deinde recta via per Limnæam Stratum petiit. V. Popp. Prol. t. ii. p. 147. Mox, in verbis *ταύτην πρώτην* vulgo inversus ordo est.

81. *μέσον—ἔχοντες*] Adjectivum substantivi loco est, et tamen articulo caret, ut iv. 31. *μέσον δὲ καὶ ὁμαλώτατον—Ἐπιτάδας εἶχε*. iv, 96. vi, 67.

διεῖχον—ἀλλήλων] Phavorin. in *διέχω*, et iterum in *διεῖχον*, utroque loco exscripsit Thomam M. in *διέχει*.

καὶ οἱ μὲν—ἔχοντες] Phavorin. in *διὰ φυλακῆς*.

ἐπίσχον τὸ στρατόπεδον καταλαβεῖν χωρήσαντές τε ῥύμῃ μετὰ τῶν ἄλλων βαρβάρων ἐνόμισαν αὐτοβοεὶ ἂν τὴν πόλιν ἑλεῖν καὶ αὐτῶν τὸ ἔργον γενέσθαι. Γνόντες δ᾽ αὐτοὺς οἱ Στράτιοι ἔτι προσιόντας καὶ ἡγησάμενοι, μεμονωμένων εἰ κρατήσειαν, οὐκ ἂν ἔτι σφίσι τοὺς Ἕλληνας ὁμοίως προσελθεῖν, προλοχίζουσι τὰ περὶ τὴν πόλιν ἐνέδραις, καὶ ἐπειδὴ ἐγγὺς ἦσαν, ἔκ τε τῆς πόλεως ὁμόσε χωρήσαντες καὶ ἐκ τῶν ἐνεδρῶν προσπίπτουσι. Καὶ ἐς φόβον καταστάντων διαφθείρονταί τε πολλοὶ τῶν Χαόνων καὶ οἱ ἄλλοι βάρβαροι ὡς εἶδον αὐτοὺς ἐνδόντας, οὐκέτι ὑπέμειναν, ἀλλ᾽ ἐς φυγὴν κατέστησαν. Τῶν δὲ Ἑλληνικῶν στρατοπέδων οὐδέτερον ᾔσθετο τῆς μάχης, διὰ τὸ πολὺ προελθεῖν αὐτοὺς καὶ στρατόπεδον οἰηθῆναι καταληψομένους ἐπείγεσθαι. Ἐπεὶ δὲ ἐνέκειντο φεύγοντες οἱ βάρβαροι, ἀνελάμβανόν τε αὐτοὺς καὶ ξυναγαγόντες τὰ στρατόπεδα ἡσύχαζον αὐτοῦ τὴν ἡμέραν, ἐς χεῖρας μὲν οὐκ ἰόντων σφίσι τῶν Στρατίων διὰ τὸ μήπω τοὺς ἄλλους Ἀκαρνᾶνας ξυμβεβοηθηκέναι, ἄποθεν δὲ σφενδονώντων καὶ ἐς ἀπορίαν καθιστάντων· οὐ γὰρ ἦν ἄνευ ὅπλων κινηθῆναι. Δοκοῦσι δ᾽ οἱ Ἀκαρνᾶνες κράτιστοι εἶναι τοῦτο ποιεῖν.

82. Ἐπειδὴ δὲ νὺξ ἐγένετο, ἀναχωρήσας ὁ Κνῆμος τῇ στρατιᾷ κατὰ τάχος ἐπὶ τὸν Ἄναπον ποταμὸν, ὃς ἀπέχει σταδίους ὀγδοήκοντα Στράτου, τούς τε νεκροὺς κομίζεται τῇ ὑστεραίᾳ ὑποσπόνδους, καὶ Οἰνιαδῶν ξυμπαραγενομένων κατὰ φιλίαν ἀναχωρεῖ παρ᾽ αὐτοὺς πρὶν τὴν ξυμβοήθειαν ἐλθεῖν. Κἀκεῖθεν ἐπ᾽ οἴκου ἀπῆλθον ἕκαστοι. Οἱ δὲ Στράτιοι τροπαῖον ἔστησαν τῆς μάχης τῆς πρὸς τοὺς βαρβάρους.

83. Τὸ δ᾽ ἐκ τῆς Κορίνθου καὶ τῶν ἄλλων ξυμμάχων τῶν ἐκ τοῦ Κρισαίου κόλπου ναυτικὸν, ὃ ἔδει παραγενέσθαι τῷ Κνήμῳ, ὅπως μὴ ξυμβοηθῶσιν οἱ ἀπὸ θαλάσσης ἄνω Ἀκαρ-

τὸ στρατόπεδον] Schol. *τὸ τό περιττὸν κεῖται.* Non abundat articulus, sed significat 'sua castra,' 'castra quæ locare jussi erant.'

αὐτοβοεὶ] Suidas in v. et Anecd. Bekk. t. i. p. 214. *αὐτοβοεὶ, παραχρῆμα συντελεσθῆναι ἐν πολεμικοῖς ἔργοις, οἷον ταχέως καὶ ἅμα τῷ πολεμικῷ ἀλαλαγμῷ. Οὕτω Θουκυδίδης. Παρὰ Θεοπόμπῳ δὲ ἀντὶ τοῦ κατὰ κράτος.* Conf. iii, 74. viii, 23. Mœris *αὐτοβοεὶ, Ἀττικῶς. Θουκυδίδης ἐν α΄. παραχρῆμα Ἑλληνικῶς.* Libro primo non reperitur. Iterum in Anecd. Bekk. i. p. 465. ap. Etym. M. in v. et Hesych., ubi v. addenda ad t. i. p. 623.

83. Pugnam navalem hoc cap. descriptam in mente habuit Dionys. p. 839. loco mutilo, ubi vid. Krueger. p. 92.

ὅπως μὴ—Ἀκαρνᾶνες] i. e. *ὅπως μὴ ἄνω* ('sursum') *ξυμβοηθ. οἱ παρὰ θαλάσσῃ Ἀκαρνᾶνες ἀπὸ θαλάσσης.* Conf. supr. c. 80.

νᾶνες, οὐ παραγίγνεται, ἀλλ' ἠναγκάσθησαν περὶ τὰς αὐτὰς ἡμέρας τῆς ἐν Στράτῳ μάχης ναυμαχῆσαι πρὸς Φορμίωνα καὶ τὰς εἴκοσι ναῦς τῶν Ἀθηναίων αἳ ἐφρούρουν ἐν Ναυπάκτῳ. Ὁ γὰρ Φορμίων παραπλέοντας αὐτοὺς ἔξω τοῦ κόλπου ἐτήρει, βουλόμενος ἐν τῇ εὐρυχωρίᾳ ἐπιθέσθαι. Οἱ δὲ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἔπλεον μὲν οὐχ ὡς ἐπὶ ναυμαχίαν, ἀλλὰ στρατιωτικώτερον παρεσκευασμένοι ἐς τὴν Ἀκαρνανίαν, καὶ οὐκ ἂν οἰόμενοι πρὸς ἑπτὰ καὶ τεσσαράκοντα ναῦς τὰς σφετέρας τολμῆσαι τοὺς Ἀθηναίους εἴκοσι ταῖς ἑαυτῶν ναυμαχίαν ποιήσασθαι· ἐπειδὴ μέντοι ἀντιπαραπλέοντάς τε ἑώρων αὐτούς, παρὰ γῆν σφῶν κομιζομένων, καὶ ἐκ Πατρῶν τῆς Ἀχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον διαβαλλόντων ἐπὶ Ἀκαρνανίας κατεῖδον τοὺς Ἀθηναίους ἀπὸ τῆς Χαλκίδος καὶ τοῦ Εὐήνου ποταμοῦ προσπλέοντας σφίσι καὶ οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι, οὕτω δὴ ἀναγκάζονται ναυμαχεῖν κατὰ μέσον τὸν πορθμόν. Στρατηγοὶ δὲ ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων οἳ παρεσκευάζοντο, Κορινθίων δὲ Μαχάων καὶ Ἰσοκράτης καὶ Ἀγαθαρχίδας. Καὶ οἱ μὲν Πελοποννήσιοι ἐτάξαντο κύκλον τῶν νεῶν ὡς μέγιστον οἷοί τε ἦσαν μὴ διδόντες διέκπλουν, τὰς πρώρας μὲν ἔξω, εἴσω δὲ τὰς πρύμνας, καὶ τά τε λεπτὰ πλοῖα ἃ ξυνέπλει ἐντὸς ποιοῦνται καὶ πέντε ναῦς τὰς ἄριστα πλεούσας, ὅπως ἐκπλέοιεν διὰ βραχέος παραγιγνόμενοι, εἴ πη προσπίπτοιεν οἱ ἐναντίοι.

84. Οἱ δὲ Ἀθηναῖοι κατὰ μίαν ναῦν τεταγμένοι περι-

σφῶν κομιζομένων—διαβαλλόντων] Genitivus absolutus pro nominativo participii, ut iii, 13. *βοηθησάντων ὑμῶν προθύμως πόλιν προσλήψεσθε.* viii, 76. *ἐχόντων γὰρ σφῶν τὸ πᾶν ναυτικὸν—ἀναγκάσειν τὰ χρήματα ὁμοίως διδόναι.* Ita sæpe genitivos absolutos pro casu participii ponunt, quem sequens verbum postulat. V. Matth. Gr. § 556. Obs. 3. Aliquoties genitivus subjecti simul deest, ut vi, 7. *ἐλθόντων δὲ Ἀθηναίων οὐ πολλῷ ὕστερον—οἱ Ἀργεῖοι μετὰ τῶν Ἀθηναίων πανστρατιᾷ ἐξελθόντων τοὺς ἐν Ὀρνεαῖς—ἐπολιόρκουν,* pro *ἐξελθόντες.* vii, 57. *Ἰταλιωτῶν δὲ Θούριοι καὶ Μεταπόντιοι ἐν τοιαύταις ἀνάγκαις τότε κατειλημμένων ξυνεστρατεύοντο,* pro *κατειλημμένοι.* V. Act. Phil. Monac. t. ii. p. 237. viii, 76., ubi e codd. legendum, *δι' ἑαυτοὺς ἐν τῇ Σάμῳ προκαθημένους καὶ πρότερον τοὺς ἐν τῇ πόλει κρατεῖν τοῦ ἐς τὸν Πειραιᾶ ἔσπλου καὶ νῦν ἐς τοσοῦτον καταστήσονται μὴ βουλομένων τοῖς ἐν τῇ Σάμῳ πάλιν τὴν πολιτείαν ἀποδοῦναι,* pro *βουλόμενοι.* Genitivi etiam absoluti pro dativis participiorum usurpantur, plerumque repetito subjecto, ut i, 114. *καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη Περικλέους—ἠγγέλθη αὐτῷ.* V. Popp. Prol. t. i. p. 120.

ἐτάξαντο κύκλον] Ante Dukerum addebant *ποιήσαντες,* quod deest in plerisque codd. et ex interpretamento adjectum est. Conf. iii, 78. *κύκλον ταξαμένων αὐτῶν.* Mox, *λεπτὰ πλοῖα* per *τὰ μικρὰ* explicant Suidas, Photius, et ex iis Phavorin. V. Popp. Prol. t. ii. p. 59.

καὶ πέντε ναῦς—παραγενόμενοι] Phavorin. in *διὰ βραχέος.* Conf. Zonar. in eadem v., ubi v. Tittmann.

84. *κατὰ μίαν ναῦν*] i. e. 'in one line.' Mox, verba *ἐν χρῷ* memorant ex h. l.

ἔπλεον αὐτοὺς κύκλῳ καὶ ξυνῆγον ἐς ὀλίγον, ἐν χρῷ ἀεὶ παραπλέοντες καὶ δόκησιν παρέχοντες αὐτίκα ἐμβαλεῖν· προείρητο δ' αὐτοῖς ὑπὸ Φορμίωνος μὴ ἐπιχειρεῖν πρὶν ἂν αὐτὸς σημήνῃ. Ἤλπιζε γὰρ αὐτῶν οὐ μενεῖν τὴν τάξιν, ὥσπερ ἐν γῇ πεζὴν, ἀλλὰ ξυμπεσεῖσθαι πρὸς ἀλλήλας τὰς ναῦς καὶ τὰ πλοῖα ταραχὴν παρέξειν, εἴ τ' ἐκπνεύσαι ἐκ τοῦ κόλπου τὸ πνεῦμα ὅπερ ἀναμένων τε περιέπλει καὶ εἰώθει γίγνεσθαι ἐπὶ τὴν ἕω, οὐδένα χρόνον ἡσυχάσειν αὐτούς· καὶ τὴν ἐπιχείρησιν ἐφ' ἑαυτῷ τε ἐνόμιζεν εἶναι ὁπόταν βούληται, τῶν νεῶν ἄμεινον πλεουσῶν, καὶ τότε καλλίστην γίγνεσθαι. Ὡς δὲ τό τε πνεῦμα κατῄει καὶ αἱ νῆες ἐν ὀλίγῳ ἤδη οὖσαι ὑπ' ἀμφοτέρων, τοῦ τε ἀνέμου τῶν τε πλοίων, ἅμα προσκειμένων ἐταράσσοντο, καὶ ναῦς τε νηῒ προσέπιπτε καὶ τοῖς κοντοῖς διωθοῦντο, βοῇ τε χρώμενοι καὶ πρὸς ἀλλήλους ἀντιφυλακῇ τε καὶ λοιδορίᾳ οὐδὲν κατήκουον οὔτε τῶν παραγγελλομένων οὔτε τῶν κελευστῶν καὶ τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλυδωνίῳ ἀναφέρειν ἄνθρωποι ἄπειροι τοῖς κυβερνήταις ἀπειθεστέρας τὰς ναῦς παρεῖχον, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον σημαίνει καὶ οἱ Ἀθηναῖοι προσπεσόντες πρῶτον μὲν καταδύουσι τῶν στρατηγίδων νεῶν μίαν, ἔπειτα δὲ καὶ πάσας ᾗ χωρήσειαν διέφθειρον, καὶ κατέστησαν ἐς ἀλκὴν μὲν μηδένα τρέπεσθαι αὐτῶν ὑπὸ τῆς ταραχῆς, φεύγειν δ' ἐς Πάτρας καὶ Δύμην τῆς Ἀχαΐας. Οἱ δὲ Ἀθηναῖοι καταδιώξαντες καὶ ναῦς δώδεκα λαβόντες τούς τε ἄνδρας ἐξ αὐτῶν τοὺς πλείστους ἀνελόμενοι ἐς Μολύκρειον ἀπέπλεον, καὶ τροπαῖον στήσαντες ἐπὶ τῷ Ῥίῳ καὶ ναῦν ἀναθέντες τῷ Ποσειδῶνι ἀνεχώρησαν ἐς Ναύπακτον. Παρέπλευσαν δὲ καὶ οἱ Πελοποννήσιοι εὐθὺς ταῖς περιλοίποις τῶν νεῶν ἐκ τῆς Δύμης καὶ

Suidas in v. et Zonar., ubi v. Tittm. Eustath. ad Hom. Il. p. 1451. Rom. ἀπὸ δὲ τοῦ χροῦς καὶ ἡ ἐν χρῷ κουρὰ, ἡ ψιλὴ—καὶ πρὸς τὸν χρῶτα—καὶ πλοῦς ἐν χρῷ, ὁ γῆς ἐγγύς. Θουκυδίδης ἐν χρῷ παραπλεῦσαι τὰς ναῦς. Imitatur Appian. B. C. v, 81. p. 819. Schw. οἱ μὲν τὸν κόλπον ἐν χρῷ παρὰ τὴν γῆν αὐτὴν μηνοειδεῖ στόλῳ παρέπλεον, ubi verba παρὰ—αὐτὴν interpretamentum esse visa sunt Abreschio, Misc. Obs. vol. iii. p. 151.

εἴ τ' ἐκπνεύσαι] Sæpe cum post *μὲν*, tum alibi, ubi *δὲ* exspectaveris, Thucydides *τε* usurpat. Sic *εἴ τε* hic et ii, 8. 20. iii, 54. 46. vi, 12. 78. vii, 64. et idem fortasse restituendum viii, 24. pro *εἰ δέ τι*, et iii, 32. cum Kruegero Comm. Thuc. p. 268.

καὶ τὰς κώπας—ἀναφέρειν] Phot. et Suidas in *κλυδώνιον*. V. Schleusner. Cur. Nov. p. 139. et Animadv. p. 27. Mox, *ἀνελόμενοι* non est, 'interemerunt,' sed 'suscepta maxima parte hominum,' i. e. 'they took the greatest part of the crew, and brought them on board of their ships.' Alterum si dicere voluisset, activo *ἀνελόντες* opus erat.

ἀναθέντες] V. Herodot. viii, 121. ibiq. Wessel. Procop. B. G. iv, 22. Scheffer. d. Milit. Naval. iv, 2.

Πατρῶν ἐς Κυλλήνην τὸ Ἠλείων ἐπίνειον· καὶ ἀπὸ Λευκάδος Κνῆμος καὶ αἱ ἐκεῖθεν νῆες, ἃς ἔδει ταύταις ξυμμῖξαι, ἀφικνοῦνται μετὰ τὴν ἐν Στράτῳ μάχην ἐς τὴν Κυλλήνην.

85. Πέμπουσι δὲ καὶ οἱ Λακεδαιμόνιοι τῷ Κνήμῳ ξυμβούλους ἐπὶ τὰς ναῦς Τιμοκράτην καὶ Βρασίδαν καὶ Λυκόφρονα, κελεύοντες ἄλλην ναυμαχίαν βελτίω παρασκευάζεσθαι καὶ μὴ ὑπ' ὀλίγων νεῶν εἴργεσθαι τῆς θαλάσσης. Ἐδόκει γὰρ αὐτοῖς ἄλλως τε καὶ πρῶτον ναυμαχίας πειρασαμένοις πολὺς ὁ παράλογος εἶναι καὶ οὐ τοσούτῳ ᾤοντο σφῶν τὸ ναυτικὸν λείπεσθαι, γεγενῆσθαι δέ τινα μαλακίαν, οὐκ ἀντιτιθέντες τὴν Ἀθηναίων ἐκ πολλοῦ ἐμπειρίαν τῆς σφετέρας δι' ὀλίγου μελέτης. Ὀργῇ οὖν ἀπέστελλον. Οἱ δὲ ἀφικόμενοι μετὰ Κνήμου ναῦς τε περιήγγελλον κατὰ πόλεις καὶ τὰς προϋπαρχούσας ἐξηρτύοντο ὡς ἐπὶ ναυμαχίαν. Πέμπει δὲ καὶ ὁ Φορμίων ἐς τὰς Ἀθήνας τήν τε παρασκευὴν αὐτῶν ἀγγελοῦντας καὶ περὶ τῆς ναυμαχίας ἣν ἐνίκησαν φράσοντας, καὶ κελεύων αὐτῷ ναῦς ὅτι πλείστας διὰ τάχους ἀποστεῖλαι, ὡς καθ' ἡμέραν ἑκάστην ἐλπίδος οὔσης ἀεὶ ναυμαχήσειν. Οἱ δὲ ἀποπέμπουσιν εἴκοσι ναῦς αὐτῷ, τῷ δὲ κομίζοντι αὐτὰς προσεπέστειλαν ἐς Κρήτην πρῶτον ἀφικέσθαι. Νικίας γὰρ Κρὴς Γορτύνιος πρόξενος ὢν πείθει αὐτοὺς ἐπὶ Κυδωνίαν πλεῦσαι, φάσκων προσποιήσειν αὐτὴν οὖσαν πολεμίαν· ἐπῆγε δὲ Πολιχνίταις χαριζόμενος ὁμόροις τῶν Κυδωνιατῶν. Καὶ ὁ μὲν λαβὼν τὰς ναῦς ᾤχετο ἐς Κρήτην καὶ μετὰ τῶν Πολιχνιτῶν ἐδῄου τὴν γῆν τῶν Κυδωνιατῶν, καὶ ὑπὸ ἀνέμων καὶ ὑπὸ ἀπλοίας ἐνδιέτριψεν οὐκ ὀλίγον χρόνον.

86. Οἱ δ' ἐν τῇ Κυλλήνῃ Πελοποννήσιοι ἐν τούτῳ ἐν ᾧ οἱ Ἀθηναῖοι περὶ Κρήτην κατείχοντο παρεσκευασμένοι ὡς ἐπὶ ναυμαχίαν παρέπλευσαν ἐς Πάνορμον τὸν Ἀχαϊκὸν, οὗπερ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν Πελοποννησίων προσβεβοηθήκει. Παρέπλευσε δὲ καὶ ὁ Φορμίων ἐπὶ τὸ Ῥίον τὸ Μολυκρικὸν καὶ ὡρμίσατο ἔξω αὐτοῦ ναυσὶν εἴκοσιν αἷσπερ καὶ ἐναυμάχησεν. Ἦν δὲ τοῦτο μὲν τὸ Ῥίον φίλιον τοῖς Ἀθηναίοις, τὸ δ' ἕτερον Ῥίον ἐστὶν ἀντιπέρας τὸ ἐν τῇ Πελοποννήσῳ· διέχετον δὲ ἀπ' ἀλλήλων σταδίους μάλιστα ἑπτὰ

85. *ἀντιτιθέντες*] cum genit. constructum, ut iii, 56. *τῆς νῦν ἁμαρτίας ἀντιτιθεῖναι τὴν τότε ἁμαρτίαν.*

86. *διέχετον*] *διείχετον* A. B. C. et plerique omnes, nisi quod f. g. *διειχέτην* habere videntur. Sed situs horum pro-

τῆς θαλάσσης, τοῦ δὲ Κρισαίου κόλπου στόμα τοῦτό ἐστιν. Ἐπὶ οὖν τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ οἱ Πελοποννήσιοι ἀπέχοντι οὐ πολὺ τοῦ Πανόρμου, ἐν ᾧ αὐτοῖς ὁ πεζὸς ἦν, ὡρμίσαντο καὶ αὐτοὶ ναυσὶν ἑπτὰ καὶ ἑβδομήκοντα, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους εἶδον. Καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ ἡμέρας ἀνθώρμουν ἀλλήλοις μελετῶντές τε καὶ παρασκευαζόμενοι τὴν ναυμαχίαν, γνώμην ἔχοντες οἱ μὲν μὴ ἐκπλεῖν ἔξω τῶν Ῥίων ἐς τὴν εὐρυχωρίαν, φοβούμενοι τὸ πρότερον πάθος, οἱ δὲ μὴ ἐσπλεῖν ἐς τὰ στενά, νομίζοντες πρὸς ἐκείνων εἶναι τὴν ἐν ὀλίγῳ ναυμαχίαν. Ἔπειτα ὁ Κνῆμος καὶ ὁ Βρασίδας καὶ οἱ ἄλλοι τῶν Πελοποννησίων στρατηγοὶ βουλόμενοι ἐν τάχει τὴν ναυμαχίαν ποιῆσαι πρίν τι καὶ ἀπὸ τῶν Ἀθηναίων ἐπιβοηθῆσαι ξυνεκάλεσαν τοὺς στρατιώτας πρῶτον, καὶ ὁρῶντες αὐτῶν τοὺς πολλοὺς διὰ τὴν προτέραν ἧσσαν φοβουμένους καὶ οὐ προθύμους ὄντας παρεκελεύσαντο καὶ ἔλεξαν τοιάδε.

87. Ἡ μὲν γενομένη ναυμαχία, ὦ ἄνδρες Πελοποννήσιοι, εἴ τις ἄρα δι' αὐτὴν ὑμῶν φοβεῖται τὴν μέλλουσαν, οὐχὶ δικαίαν ἔχει τέκμαρσιν τὸ ἐκφοβῆσαι. Τῇ τε γὰρ παρασκευῇ ἐνδεὴς ἐγένετο, ὥσπερ ἴστε, καὶ οὐχὶ ἐς ναυμαχίαν μᾶλλον ἢ ἐπὶ στρατείαν ἐπλέομεν· ξυνέβη δὲ καὶ τὰ ἀπὸ τῆς τύχης οὐκ ὀλίγα ἐναντιωθῆναι. Καὶ πού τι καὶ ἡ ἀπειρία πρῶτον ναυμαχοῦντας ἔσφηλεν. Ὥστε οὐ κατὰ τὴν ἡμετέραν κακίαν τὸ ἡσσῆσθαι προσεγένετο, οὐδὲ δίκαιον τῆς γνώμης τὸ μὴ κατὰ κράτος νικηθέν, ἔχον δέ τινα ἐν αὐτῷ ἀντιλογίαν, τῆς ξυμφορᾶς τῷ ἀποβάντι ἀμβλύνεσθαι, νομίσαι δὲ ταῖς μὲν τύχαις ἐνδέχεσθαι σφάλλεσθαι τοὺς ἀνθρώ-

montoriorum mutari non poterat, et idem erat etiam tum cum Thucydides hæc scripsit. Debebat igitur præsenti uti. Quod autem sunt qui *διείχετον* defendant ex animadversione Schæferi ad Apollon. Rhod. t. ii. p. 146., imperfectorum dualis tertiam personam olim et ipsam in *τον* terminatam esse; hoc non potest Atticis scriptoribus concedi, quorum ætate jam immutabilis harum formarum usus obtinuerat. Scribendum igitur *διέχετον* cum Buttmanno Gr. Max. i. p. 349. not.

οἱ μὲν μὴ—φοβούμενοι] Suidas in *Ῥία*.

οἱ δὲ μὴ—ἐκείνων εἶναι] Thom. M. in *πρός*.

87. *τὸ ἐκφοβῆσαι*] i. e. *ὥστε ἐκφοβῆσαι*. V. Matth. Gr. § 541. et Herm. ad Soph. Aj. 114.

οὐδὲ δίκαιον—ἀμβλύνεσθαι] Schol. *τὸ ἑξῆς· οὐ δίκαιον τῆς γνώμης τὸ μὴ νικηθὲν κατὰ κράτος ἀμβλύνεσθαι*, et hoc verbum explicat per *ἀναπίπτειν*. V. i, 70. Verborum *ἔχον δέ τινα—ἀντιλογίαν* (i. e. 'reasons for justification') hic sensus est, 'et qui rationes aliquas habent, quas adversariis objiciant.' Heilmann. 'It would not become us at all, to allow our courage, which has never been totally vanquished, (imo, 'vanquished by force,') to relax for an unlucky turn of fortune, which may be rationally accounted for.' Verba *τῷ ἀποβάντι τῆς ξυμφορᾶς* periphrasis sunt pro *τῇ ἀποβάσῃ ξυμφορᾷ*.

πους, ταῖς δὲ γνώμαις τοὺς αὐτοὺς ἀεὶ ἀνδρείους ὀρθῶς εἶναι, καὶ μὴ ἀπειρίαν τοῦ ἀνδρείου παρόντος προβαλλομένους εἰκότως ἂν ἔν τινι κακοὺς γενέσθαι. Ὑμῶν δὲ οὐδ᾽ ἡ ἀπειρία τοσοῦτον λείπεται ὅσον τόλμῃ προέχετε· τῶνδε δὲ ἡ ἐπιστήμη, ἣν μάλιστα φοβεῖσθε, ἀνδρείαν μὲν ἔχουσα καὶ μνήμην ἕξει ἐν τῷ δεινῷ ἐπιτελεῖν ἃ ἔμαθεν, ἄνευ δὲ εὐψυχίας οὐδεμία τέχνη πρὸς τοὺς κινδύνους ἰσχύει. Φόβος γὰρ μνήμην ἐκπλήσσει, τέχνη δὲ ἄνευ ἀλκῆς οὐδὲν ὠφελεῖ. Πρὸς μὲν οὖν τὸ ἐμπειρότερον αὐτῶν τὸ τολμηρότερον ἀντιτάξασθε, πρὸς δὲ τὸ διὰ τὴν ἧσσαν δεδιέναι τὸ ἀπαράσκευοι τότε τυχεῖν. Περιγίγνεται δὲ ὑμῖν πλῆθός τε νεῶν καὶ πρὸς τῇ γῇ οἰκείᾳ οὔσῃ ὁπλιτῶν παρόντων ναυμαχεῖν· τὰ δὲ πολλὰ τῶν πλειόνων καὶ ἄμεινον παρεσκευασμένων τὸ κράτος ἐστίν. Ὥστε οὐδὲ καθ᾽ ἓν εὑρίσκομεν εἰκότως ἂν ἡμᾶς σφαλλομένους· καὶ ὅσα ἡμάρτομεν πρότερον, νῦν αὐτὰ ταῦτα προσγενόμενα διδασκαλίαν παρέξει. Θαρσοῦντες οὖν καὶ κυβερνῆται καὶ ναῦται τὸ καθ᾽ ἑαυτὸν ἕκαστος ἕπεσθε, χώραν μὴ προλείποντες ᾗ ἄν τις προσταχθῇ. Τῶν δὲ πρότερον ἡγεμόνων οὐ χεῖρον τὴν ἐπιχείρησιν ἡμεῖς παρασκευάσομεν καὶ οὐκ ἐνδώσομεν πρόφασιν οὐδενὶ κακῷ γενέσθαι· ἢν δέ τις ἄρα καὶ βουληθῇ, κολασθήσεται τῇ πρεπούσῃ ζημίᾳ, οἱ δὲ ἀγαθοὶ τιμήσονται τοῖς προσήκουσιν ἄθλοις τῆς ἀρετῆς.

88. Τοιαῦτα μὲν τοῖς Πελοποννησίοις οἱ ἄρχοντες παρεκελεύσαντο. Ὁ δὲ Φορμίων δεδιὼς καὶ αὐτὸς τὴν τῶν στρατιωτῶν ὀῤῥωδίαν καὶ αἰσθόμενος ὅτι τὸ πλῆθος τῶν νεῶν κατὰ σφᾶς αὐτοὺς ξυνιστάμενοι ἐφοβοῦντο, ἐβούλετο ξυγκαλέσας θαρσῦναί τε καὶ παραίνεσιν ἐν τῷ παρόντι ποιήσασθαι. Πρότερον μὲν γὰρ ἀεὶ αὐτοῖς ἔλεγε καὶ προπαρεσκεύαζε τὰς γνώμας ὡς οὐδὲν αὐτοῖς πλῆθος νεῶν τοσοῦτον, ἢν

ἄνευ—ὠφελεῖ] Stob. Serm. p. 192. Schw. vitiose, Θουκυδίδης ἐν τῇ δημηγορίᾳ τοῦ Κνίκου (leg. Κνήμου)· ἄνευ—ἄνευ αὐτῆς οὐδὲν ὠφελεῖ. Est Homeri Il. μ, 412. imitatio. V. Victor. V. L. xxviii, 21. Apud illum Sarpedon, cum verba faceret ad suos Lycios accusaretque illos quod segnes forent in pugna ac multum remisissent veteris ferociæ, rogans ipsos ut se sequerentur, quia solus, quod magno animo adgrederetur, efficere non posset, in conclusione illius orationis inquit πλεόνων δέ τοι ἔργον ἄμεινον. Dio Cass. l, 18. τὰ δὲ δὴ πολλὰ τῶν ἄμεινον παρεσκευασμένων καὶ αἱ νῖκαι γίγνονται.

φόβος—ἐκπλήσσει] Plut. d. Virt. Alex. t. vii. p. 316. φόβος γὰρ οὐ μόνον μνήμην ἐκπλήττει κατὰ τὸν Θουκυδίδην, etc. item Thom. M. p. 287., ubi v. Hemsterh. Achilles Tat. vii, 10. p. 600. ἀληθὴς δέ ἐστιν ὁ λόγος, ὅτι μνήμην ἐκπλήσσειν πέφυκε φόβος. Sallust. Cat. 60. 'timor animi auribus officit.' Mox, ad χώραν spectat glossa Suidæ, χώρα, ὁ τόπος· παρὰ δὲ Θουκυδίδῃ χώρα, ἡ τάξις, ex scholiis.

ἐπιπλέῃ, ὅ,τι οὐχ ὑπομενετέον αὐτοῖς ἐστι· καὶ οἱ στρατιῶται ἐκ πολλοῦ ἐν σφίσιν αὐτοῖς τὴν ἀξίωσιν ταύτην εἰλήφεσαν μηδένα ὄχλον Ἀθηναῖοι ὄντες Πελοποννησίων νεῶν ὑποχωρεῖν. Τότε δὲ πρὸς τὴν παροῦσαν ὄψιν ὁρῶν αὐτοὺς ἀθυμοῦντας ἐβούλετο ὑπόμνησιν ποιήσασθαι τοῦ θαρσεῖν, καὶ ξυγκαλέσας τοὺς Ἀθηναίους ἔλεξε τοιάδε.

89. Ὁρῶν ὑμᾶς, ὦ ἄνδρες στρατιῶται, πεφοβημένους τὸ πλῆθος τῶν ἐναντίων ξυνεκάλεσα, οὐκ ἀξιῶν τὰ μὴ δεινὰ ἐν ὀῤῥωδίᾳ ἔχειν. Οὗτοι γὰρ πρῶτον μὲν διὰ τὸ προνενικῆσθαι καὶ μηδὲ αὐτοὶ οἴεσθαι ὁμοῖοι ἡμῖν εἶναι τὸ πλῆθος τῶν νεῶν καὶ οὐκ ἀπὸ τοῦ ἴσου παρεσκευάσαντο· ἔπειτα ᾧ μάλιστα πιστεύοντες προσέρχονται, ὡς προσῆκον σφίσιν ἀνδρείοις εἶναι, οὐ δι' ἄλλο τι θαρσοῦσιν ἢ διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν τὰ πλείω κατορθοῦντες, καὶ οἴονται σφίσι καὶ ἐν τῷ ναυτικῷ ποιήσειν τὸ αὐτό. Τὸ δ' ἐκ τοῦ δικαίου ἡμῖν μᾶλλον νῦν περιέσται, εἴπερ καὶ τούτοις ἐν ἐκείνῳ, ἐπεὶ εὐψυχίᾳ γε οὐδὲν προφέρουσι, τῷ δὲ ἑκάτεροί τι ἐμπειρότεροι εἶναι θρασύτεροί ἐσμεν. Λακεδαιμόνιοί τε ἡγούμενοι τῶν

88. *ἐν σφίσιν—ὑποχωρεῖν*] Thom. M. p. 80. Verbum *ὑποχωρεῖν* cum accus. constructum est, quoniam ad sensum idem est quod *φεύγειν*. Eadem structura insolentior verbi *ὑπεξέρχεσθαι* iii, 34.

89. Cum Phormionis hac oratione confer Jugurthæ adhortationem ad milites apud Sallustium, Jug. c. 49.

καὶ οὐκ ἀπὸ τοῦ ἴσου] Haack. 'non ad parem numerum.' Sed hoc jam inest verbis *τὸ πλῆθος τῶν νεῶν*. Dœderl. Act. Phil. Mon. t. ii. p. 368. not. multo labore et contra morem, 'hanc navium copiam sibi paraverunt, et tamen nostram non æquant,' ut *καὶ οὐ* sit pro *ἀλλ' οὐ*, ut in Plat. Protag. p. 337. Steph. et ap. Tacit. Annal. i, 13. 'Asinium avidum et minorem,' i. e. 'sed min.,' quod reponere voluit Muretus. Laudat in hanc rem Schæferum ad Apollon. Rhod. t. ii. p. 218. conf. Acta, t. i. p. 47. Dœderl. Spec. Nov. Ed. Sophocl. p. 25. Multo labore et contra morem naves a Lacedæmoniis paratas esse, nuspiam dictum comparet; nec ab illorum navibus suas non æquari, Phormio affirmat; peritia tantum sese præstare adversariis, militibus inculcat. Duo mihi dicere videtur: et navium hostilium numerum majorem esse quam suarum; et reliquum quoque apparatum, velut numerum militum, armaturam, remigium, etc. non paria suis esse, i. e. *οὐκ ἀπὸ τοῦ ἴσου παρεσκευάσαντο*.

ἔπειτα—θρασύτεροί ἐσμεν] i. e. 'deinde (quo freti maxime contra nos tendunt, quasi fortitudo ad ipsos pertineat) nullam aliam ob causam audaces sunt, nisi ob pugnæ pedestris peritiam, qua factum est ut pleraque feliciter gererent.' Mox, verbi *ποιήσειν* subjectum est *τὴν ἐμπειρίαν ἐν τῷ πεζῷ*, et *τὸ αὐτὸ* referendum ad *κατορθοῦντες*, unde repetendum *τὸ κατορθοῦν*, hoc sensu, 'et in rebus etiam nauticis putant sibi idem præstituram pedestris pugnæ prudentiam,' i. e. neque minus in pugna navali victoriam sibi paratum iri illa pedestris pugnæ peritia. Verborum *τὸ δὲ—περιέσται* subjectum est *τὸ θαρσεῖν*, 'sed fiducia merito nobis nunc præ iis aderit.' Ad *ἐκείνῳ* cogita *ἐν τῷ πεζῷ*. Verba *τῷ δὲ ἑκάτεροι—ἐσμὲν* sic ordinanda sunt, *τῷ δὲ ἑκάτεροί τι ἐμπειρότεροι εἶναι ἑκάτεροι θρασύτεροί ἐσμεν*, nam *ἑκάτεροι* de industria illo loco posuit, quia bis a lectore cogitatum voluit: 'quod autem utrique majorem alicujus rei peritiam habemus, eo utrique sumus audaciores.' Indicat his verbis quare Atheniensibus major in præsentia quidem fiducia esse debeat: nam magno animo et fortitudine Lacedæmonios præstare negat; utrosque se alicujus rei peritia antecellere, eoque se audaciores esse ait. In præsentia autem id adesse, quo ipsi (Athenienses) excellant, rei navalis prudentiam demonstrari posse. Heilmannus ita in-

ξυμμάχων διὰ τὴν σφετέραν δόξαν ἄκοντας προσάγουσι τοὺς πολλοὺς ἐς τὸν κίνδυνον, ἐπεὶ οὐκ ἄν ποτε ἐπεχείρησαν, ἡσσηθέντες παρὰ πολὺ αὖθις ναυμαχεῖν. Μὴ δὴ αὐτῶν τὴν τόλμαν δείσητε. Πολὺ δὲ ὑμεῖς ἐκείνοις πλέω φόβον παρέχετε καὶ πιστότερον κατά τε τὸ προνενικηκέναι καὶ ὅτι οὐκ ἂν ἡγοῦνται μὴ μέλλοντάς τι ἄξιον τοῦ παρὰ πολὺ πράξειν ἀνθίστασθαι ἡμᾶς. Ἀντίπαλοι μὲν γὰρ οἱ πλείους, ὥσπερ οὗτοι, τῇ δυνάμει τὸ πλέον πίσυνοι ἢ τῇ γνώμῃ ἐπέρχονται· οἱ δ' ἐκ πολλῷ ὑποδεεστέρων καὶ ἅμα οὐκ ἀναγκαζόμενοι μέγα τι τῆς διανοίας τὸ βέβαιον ἔχοντες ἀντιτολμῶσιν. Ἃ λογιζόμενοι οὗτοι τῷ οὐκ εἰκότι πλέον πεφόβηνται ἡμᾶς ἢ τῇ κατὰ λόγον παρασκευῇ. Πολλὰ δὲ καὶ στρατόπεδα ἤδη ἔπεσεν ὑπ' ἐλασσόνων τῇ ἀπειρίᾳ, ἔστι δὲ ἃ καὶ τῇ ἀτολμίᾳ. Ὧν οὐδετέρου ἡμεῖς νῦν μετέχομεν. Τὸν δὲ ἀγῶνα οὐκ ἐν τῷ κόλπῳ ἑκὼν εἶναι ποιήσομαι, οὐδὲ ἐσπλεύ-

terpretatur: 'for, since they are not in the least superior to us in natural courage; and if greater skill give either side an advantage, we have hence an argument to be more confident of success.' Sed hæc ratio exigit, ut et *ἡμεῖς θρασύτεροι* et *θρασύτεροι ἂν εἴημεν* legeretur. Infinitivus autem cum nominativo junctus ita explicari potest, *τῷ δὲ, ὅτι ἑκάτεροί τι ἐμπειρότεροί ἐσμεν, θρασύτεροί ἐσμεν*. Illud, 'with more right,' plane non in Græcis est.

παρὰ πολὺ] Schol. ad Aristoph. Plut. 445. Thom. M. p. 687. v. ad i, 29. Matth. Gr. § 588. c.

ἄξιον τοῦ παρὰ πολὺ] sc. *προνενικηκέναι*. Sed cum his conferri non queunt, quæ Krueger. ad Dionys. p. 48. comparavit verba vii, 66. *τῷ παρ' ἐλπίδα τοῦ αὐχήματος σφαλλόμενοι καὶ παρὰ ἰσχὺν τῆς δυνάμεως ἐνδιδόασιν*, ubi *τὸ παρ' ἐλπίδα τ. αὐχ.* est 'what their insolence did not expect,' neque quidquam supplendum est. Recte hæc comparavit viii, 41. *ἀφεὶς τὸ ἐς τὴν Χίον ἔπλει ἐς τὴν Καῦνον*, i. e. *τὸ πλεῖν ἐς τὴν Χ.* Popp. Prol. t. i. p. 285. supplet *ἄξιον τοῦ παραπολὺ πράττειν πράξειν*, quo sensu, nescio; vel *ἄξιόν του* scribendum esse colligit ex viii, 106. *ἀπηλλάγησαν τοῦ — τοὺς πολεμίους ἔτι ἀξίους του ἐς τὰ ναυτικὰ νομίζειν*. Verum sic quid voce *παραπολὺ* opus sit, non magis intelligitur.

ἀντίπαλοι — ἀντιτολμῶσιν] Verba sic ordinanda sunt, *οἱ πλείους* ('a greater number of men') *ἀντίπαλοι* (sc. *ὄντες*, i. e. 'being opposed to them,') *ὥσπερ οὗτοι*, etc. Sensus idem est ac si scripsisset, *ἀντίπαλον ὄντα τῇ δυνάμει τὸ πλέον ἢ τῇ γνώμῃ πίσυνον ἐπέρχεσθαι, πλειόνων ἐστι*, at *οἱ ἐκ πολλῷ ὑποδεεστέρων* (sc. *ἐπερχόμενοι*) *καὶ ἅμα οὐκ ἀναγκαζόμενοι ἀντιτολμῶσιν* (*οὐ τῇ δυνάμει τὸ πλέον πίσυνοι,*) *ἢ ὅτι μέγα τι τὸ βέβαιον τῆς διανοίας ἔχουσι*. Verte, 'for that some one should attack his enemy to whom he is perfectly equal, (as these now are to us,) trusting more to his power than to his courage and his prudence, this is not uncommon: but he who with much less preparation, and moreover without being compelled, ventures the attack, can but by an undaunted spirit be prompted so boldly to defy his enemy.' Huc spectat glossa Photii *περιωπὴ, καὶ πισύνη* (leg. *πίσυνοι*) *καὶ πίστις· πάντα ταῦτα γλωττάδη παρὰ Θουκυδίδῃ*, etc. Conf. Suidas et Phavorin. in ead. v.

ἃ λογιζόμενοι — παρασκευῇ] i. e. 'hanc nostram peritiæ et fortitudinis præstantiam reputantes isti, nos magis extimescunt propter id quod non exspectabant, non verisimile erat,' (*τῷ οὐκ εἰκότι*, sc. nos cum tanto minoribus copiis ipsis obviam ituros,) 'quam propter æqualem sive justum apparatum,' quem non habemus; ubi inter se opponuntur *τὸ οὐκ εἰκὸς* et *ἡ κατὰ λόγον παρασκευὴ*, i. e. 'the proportionate, regular equipment.' Paulo post, sequentia ita intellige, 'multi enim jam exercitus devicti sunt ob imperitiam a numero inferioribus,' etc.

τὸν δὲ ἀγῶνα — ποιήσομαι] Thom. M. p. 291. sic adfert, *οὐκ ἐν τῷ κόλπῳ ἑκὼν εἶναι τὴν ναυμαχίαν ποιήσομαι*. De formula *ἑκὼν εἶναι* v. Greg. Cor. p. 73. Herm. ad Viger. p. 888.

σομαι ἐς αὐτόν. Ὁρῶ γὰρ ὅτι πρὸς πολλὰς ναῦς ἀνεπιστήμονας ὀλίγαις ναυσὶν ἐμπείροις καὶ ἄμεινον πλεούσαις ἡ στενοχωρία οὐ ξυμφέρει. Οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις ὡς χρὴ ἐς ἐμβολὴν μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ, οὔτ' ἂν ἀποχωρήσειεν ἐν δέοντι πιεζόμενος· διέκπλοι τε οὐκ εἰσὶν οὐδὲ ἀναστροφαί, ἅπερ νεῶν ἄμεινον πλεουσῶν ἔργα ἐστὶν, ἀλλ' ἀνάγκη ἂν εἴη τὴν ναυμαχίαν πεζομαχίαν καθίστασθαι, καὶ ἐν τούτῳ αἱ πλείους νῆες κρείσσους γίγνονται. Τούτων μὲν οὖν ἐγὼ ἕξω τὴν πρόνοιαν κατὰ τὸ δυνατόν· ὑμεῖς δὲ εὔτακτοι παρὰ ταῖς ναυσὶ μένοντες τά τε παραγγελλόμενα ὀξέως δέχεσθε ἄλλως τε καὶ δι' ὀλίγου τῆς ἐφορμήσεως οὔσης καὶ ἐν τῷ ἔργῳ κόσμον καὶ σιγὴν περὶ πλείστου ἡγεῖσθε, ὥς τε τὰ πολλὰ τῶν πολεμικῶν ξυμφέρει καὶ ναυμαχίᾳ οὐχ ἥκιστα, ἀμύνασθε δὲ τούσδε ἀξίως τῶν προειργασμένων. Ὁ δὲ ἀγὼν μέγας ὑμῖν, ἢ καταλῦσαι Πελοποννησίων τὴν ἐλπίδα τοῦ ναυτικοῦ ἢ ἐγγυτέρω καταστῆσαι Ἀθηναίοις τὸν φόβον περὶ τῆς θαλάσσης. Ἀναμιμνήσκω δ' αὖ ὑμᾶς ὅτι νενικήκατε αὐτῶν τοὺς πολλούς. Ἡσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὁμοῖαι εἶναι.

90. Τοιαῦτα δὲ καὶ ὁ Φορμίων παρεκελεύετο. Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ αὐτοῖς οἱ Ἀθηναῖοι οὐκ ἐπέπλεον ἐς

ἐς ἐμβολὴν] Impetus cum fiebat in latera, *ἐς ἐμβολὴν* dicebatur; differt *προσβολή*, concursus adversus, vii, 70. Paulo post, Beckius conjecit *πρόοψιν*, quod non est necesse, quia sequitur *ἐκ πολλοῦ*, i. e. 'ex longinquo.' Vulgatam tuetur Thom. M. p. 758. Conf. Dio Cass. l, 29. *μήτε διεκπλεῖν μήτε περιπλεῖν, ἅπερ ναυμαχίας ἔργα ἐστί.*

ὥς τε τὰ πολλὰ—οὐχ ἥκιστα] *ὥσπερ* N. ceteri *ὥστε*. Bekker. et Haack. receperunt conjecturam Stephani *ὃ ἐς τε τὰ π.* Ego voce *ὥς τε* divisim scripta recte hunc locum exhiberi putavi; nam particulæ trajectio non rara. V. ad i, 1. et alibi, Schæfer. ad Apollon. Rhod. t. ii. p. 299. Adde vii, 18. init. *ὥσπερ τε προσεδέδοκτο αὐτοῖς, καὶ τῶν Συρακοσίων καὶ Κορινθίων ἐναγόντων.* iv, 24. *τοῖς Ἀθηναίοις τε οὐκ ἂν εἶναι ἐφορμεῖν, καὶ τοῦ πορθμοῦ κρατεῖν.* Krueger. ad Dionys. p. 116. Heindorf. ad Plat. Protag. § 42. Quare non opus est, ut cum Poppone Obs. p. 227. verba transponantur, *ὥς τά τε πολλὰ τῶν πολ., καὶ ξυμφέρον ναυμαχίᾳ οὐχ ἥκιστα.* Sic enim legit tot codicum auctoritate despecta, arrepto scholio hujusmodi, *καὶ ἐν τῷ ἔργῳ κόσμον ἔχετε, ἤτοι ἐν τῷ πολέμῳ κόσμον· ἔχετε καὶ σιγὴν, καὶ ξυμφέρον ὂν τοῖς μετιοῦσιν ἐπιπολὺ τὰ πολεμικὰ, καὶ μάλιστα τοῖς ναυμαχοῦσιν,* in quo manum scriptoris latere putavit: v. ad Dionys. de C. V. p. 50. Jen.

ἡσσημένων—εἶναι] Stob. Serm. p. 212. Schow.

90. *οὐκ ἐπέπλεον*] Etenim Athenienses extra sinum apud Rhium Molycricum stationem habebant; Lacedæmonii apud Panormum naves appulsas tenebant. Plerumque locorum angustias Peloponnesii petebant, quas Athenienses evitare studebant, utpote artibus suis, navibusque peritis et celeriter navigantibus non opportunas, quoniam ibi circumnavigare, se procul recipere et naves cito convertere non poterant, sed pugna navalis terrestri similis fiebat: quales erant omnes pugnæ, in quibus Peloponnesii vel vicerunt, vel certe ancipite Marte certarunt, ut in freto Siculo, iv, 25. in portu Syra-

τὸν κόλπον καὶ τὰ στενά, βουλόμενοι ἄκοντας ἔσω προαγαγεῖν αὐτούς, ἀναγόμενοι ἅμα ἕῳ ἔπλεον ἐπὶ τεσσάρων ταξάμενοι τὰς ναῦς ἐπὶ τὴν ἑαυτῶν γῆν ἔσω ἐπὶ τοῦ κόλπου, δεξιῷ κέρᾳ ἡγουμένῳ, ὥσπερ καὶ ὥρμουν· ἐπὶ δ' αὐτῷ εἴκοσι ἔταξαν τὰς ἄριστα πλεούσας, ὅπως εἰ ἄρα νομίσας ἐπὶ τὴν Ναύπακτον αὐτοὺς πλεῖν ὁ Φορμίων καὶ αὐτὸς ἐπιβοηθῶν ταύτῃ παραπλέοι, μὴ διαφύγοιεν πλέοντα τὸν ἐπίπλουν σφῶν οἱ Ἀθηναῖοι ἔξω τοῦ ἑαυτῶν κέρως, ἀλλ' αὗται αἱ νῆες περικλήσειαν. Ὁ δὲ ὅπερ ἐκεῖνοι προσεδέχοντο φοβηθεὶς περὶ τῷ χωρίῳ ἐρήμῳ ὄντι ὡς ἑώρα ἀναγομένους αὐτούς, ἄκων καὶ κατὰ σπουδὴν ἐμβιβάσας ἔπλει παρὰ τὴν γῆν· καὶ ὁ πεζὸς ἅμα τῶν Μεσσηνίων παρεβοήθει. Ἰδόντες δὲ οἱ Πελοποννήσιοι κατὰ μίαν ἐπὶ κέρως παραπλέοντας καὶ ἤδη ὄντας ἐντὸς τοῦ κόλπου τε καὶ πρὸς τῇ γῇ, ὅπερ ἐβούλοντο μάλιστα, ἀπὸ σημείου ἑνὸς ἄφνω ἐπιστρέψαντες τὰς ναῦς μετωπηδὸν ἔπλεον ὡς εἶχε τάχους ἕκαστος ἐπὶ τοὺς Ἀθηναίους, καὶ ἤλπιζον πάσας τὰς ναῦς ἀπολήψεσθαι. Τῶν δὲ ἕνδεκα μὲν αἵπερ ἡγοῦντο ὑπεκφεύγουσι τὸ κέρας τῶν Πελοποννησίων καὶ τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν· τὰς δὲ ἄλλας ἐπικαταλαβόντες ἐξέωσάν τε πρὸς τὴν γῆν ὑποφευγούσας καὶ διέφθειραν, ἄνδρας τε τῶν Ἀθηναίων ἀπέκτειναν ὅσοι μὴ ἐξένευσαν αὐτῶν. Καὶ τῶν νεῶν τινας ἀναδούμενοι εἷλκον κενάς, μίαν δὲ αὐτοῖς ἀνδράσιν εἷλον· τὰς δέ τινας οἱ Μεσσήνιοι παραβοηθήσαντες καὶ ἐπεσβαίνοντες ξὺν τοῖς ὅπλοις ἐς τὴν θάλασσαν καὶ ἐπιβάντες, ἀπὸ τῶν καταστρωμάτων μαχόμενοι ἀφείλοντο ἑλκομένας ἤδη.

91. Ταύτῃ μὲν οὖν οἱ Πελοποννήσιοι ἐκράτουν τε καὶ

cusarum et ad duo promontoria Achaiæ, vii, 34. id quod ipse Phormio supra docuit in adhortatione ad milites.

κατὰ—κέρως] Schol. *ὡς ἂν εἰ ἔλεγε μίαν κατακολουθοῦσαν τῇ ἑτέρᾳ· τοῦτο γὰρ τὸ ἐπὶ κέρως δηλοῖ*, idemque significatur verbis *κατὰ μίαν*. Igitur pleonasmus est. Dicitur etiam *κατὰ μίαν ναῦν τεταγμένους πλεῖν*, ii, 83.

μετωπηδὸν] Aciem primum instruxerunt in ordines, quorum singuli quaternas naves habebant, (i. e. 'four in front;') deinde conversione facta (i. e. 'turning round,') 'adversis frontibus' (*μετωπηδὸν*) Athenienses ad oppositum litus navigantes petierunt. Ita Poppo Prol. t. ii. p. 62. Sed *μετωπηδὸν* est 'junctis frontibus,' ut dicas cum Virgilio Æn. v, 158. Nos, 'with closed fronts.' Opponitur *τῷ ἐπὶ κέρως πλεῖν*, ut patet e Lucian. de Conscr. Hist. t. iv. p. 194. *ἀλλ' οὐδὲ ὅπλα ἐκεῖνός γε ᾔδει, οὐδὲ μηχανήματα οἷά ἐστιν, οὐδὲ τάξεων ἢ καταλοχισμῶν ὀνόματα· πάνυ γοῦν ἔμελεν αὐτῷ πλαγίαν μὲν τὴν ὀρθίαν φάλαγγα, ἐπὶ κέρως δὲ λέγειν τὸ ἐπὶ μετώπου ἄγειν* et p. 200. *τί ἐπὶ κέρως, καὶ τί ἐπὶ μετώπου*; V. Dorv. ad Charit. p. 584. add. Wessel. ad Herodot. vii, 100., qui 'æquata serie' interpretatur. Paulo post, ex h. l. memoriter citant Suidas et Phavorin. in *ἐξένευσαν* verba *καὶ πολλοὺς ἀπέκτειναν, ὅσοι μὴ ἐξένευσαν*, itidemque verba *καί τινας ἀναδούμενοι κενὰς εἷλκον*.

ἔφθειραν τὰς Ἀττικὰς ναῦς· αἱ δὲ εἴκοσι νῆες αὐτῶν αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως ἐδίωκον τὰς ἕνδεκα ναῦς τῶν Ἀθηναίων αἵπερ ὑπεξέφυγον τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν. Καὶ φθάνουσιν αὐτοὺς πλὴν μιᾶς νεὼς προκαταφυγοῦσαι ἐς τὴν Ναύπακτον, καὶ ἴσχουσαι ἀντίπρωροι κατὰ τὸ Ἀπολλώνιον παρεσκευάζοντο ἀμυνούμενοι, ἢν ἐς τὴν γῆν ἐπὶ σφᾶς πλέωσιν. Οἱ δὲ παραγενόμενοι ὕστερον ἐπαιώνιζόν τε ἅμα πλέοντες ὡς νενικηκότες καὶ τὴν μίαν ναῦν τῶν Ἀθηναίων τὴν ὑπόλοιπον ἐδίωκε Λευκαδία ναῦς μία πολὺ πρὸ τῶν ἄλλων. Ἔτυχε δὲ ὁλκὰς ὁρμοῦσα μετέωρος, περὶ ἣν ἡ Ἀττικὴ ναῦς φθάσασα τῇ Λευκαδίᾳ διωκούσῃ ἐμβάλλει μέσῃ καὶ καταδύει. Τοῖς μὲν οὖν Πελοποννησίοις γενομένου τούτου ἀπροσδοκήτου τε καὶ παρὰ λόγον φόβος ἐμπίπτει· καὶ ἅμα ἀτάκτως διώκοντες διὰ τὸ κρατεῖν αἱ μέν τινες τῶν νεῶν καθεῖσαι τὰς κώπας ἐπέστησαν τοῦ πλοῦ, ἀξύμφορον δρῶντες πρὸς τὴν ἐξ ὀλίγου ἀντεξόρμησιν, βουλόμενοι τὰς πλείους περιμεῖναι, αἱ δὲ καὶ ἐς βραχέα ἀπειρίᾳ χωρίων ὤκειλαν.

92. Τοὺς δὲ Ἀθηναίους ἰδόντας ταῦτα γιγνόμενα θάρσος τε ἔλαβε καὶ ἀπὸ ἑνὸς κελεύσματος ἐμβοήσαντες ἐπ' αὐτοὺς ὥρμησαν. Οἱ δὲ διὰ τὰ ὑπάρχοντα ἁμαρτήματα καὶ τὴν παροῦσαν ἀταξίαν ὀλίγον μὲν χρόνον ὑπέμειναν, ἔπειτα δὲ ἐτράποντο ἐς τὸν Πάνορμον, ὅθενπερ ἀνηγάγοντο. Ἐπιδιώκοντες δὲ οἱ Ἀθηναῖοι τάς τε ἐγγὺς οὔσας μάλιστα ναῦς ἔλαβον ἓξ καὶ τὰς ἑαυτῶν ἀφείλοντο ἃς ἐκεῖνοι πρὸς τῇ γῇ διαφθείραντες τὸ πρῶτον ἀνεδήσαντο· ἄνδρας τε τοὺς μὲν

91. Ἀπολλώνιον] Suidas in v. et in Ἀθήναιον, in Δημήτρειον, et Ποσειδώνειον, Phavorin. in Ἀθήναιον, Anecd. Bekk. i. p. 480., ex quibus patet, olim nonnullos legisse Ἀπολλώνειον, quam formam Doricam dicunt grammatici.

ὁλκὰς] Suidas παρὰ Θουκυδίδῃ ἡ ἐμπορικὴ ναῦς.

αἱ μὲν — περιμεῖναι] Priscian. xvii. p. 1100., ubi pro ἐπέστησαν reperitur ἀπέστησαν. Verborum ἀξύμφορον δρῶντες hic sensus, 'rem sibi perniciosam facientes.' Sic nonnunquam vox Latina 'inutilis' accipienda, sic voces ἀλυσιτελὴς et ἀχρεῖος. Docet Gottleber. ex Polyb. iii, 116. extr. laudatis Clark. ad Hom. Il. ii, 169. Cuper. Obs. i, 14. Davis. ad Hirt. B. A. 65. Burmann. ad Ovid. Ep. ex Pont. ii, 8, 59. Totius loci sensum sic expressit vulgaris interpres, 'demissis remis navigationis cursum inhibuerunt, rem sibi inutilem facientes, propter incursionem quam hostis ex brevi spatio in ipsas erat facturus.' Et sic Heilmann. 'some of the ships stopped their course by holding down the oars, to wait for the rest; though not to their advantage, because the enemy, being at a short distance, could attack them.' Hoc enim voluit scriptor: dum naves Atheniensium e fuga redeuntes incitato cursu contra Peloponnesiorum naves, qui illas fugientes paulo ante persequebantur, parvo jam intervallo distantes feruntur, rem perniciosam sibi fecisse Peloponnesios, cum remis inhiberent, et se propinquæ jam Atheniensium incursioni exponerent.

92. διαφθείραντες] i. e. 'which they had made unfit for sailing.' Conf. c. 90. τὰς δὲ ἄλλας—εἷλκον κενάς. V. ad i, 50.

ἀπέκτειναν, τινὰς δὲ καὶ ἐζώγρησαν. Ἐπὶ δὲ τῆς Λευκαδίας νεὼς ἣ περὶ τὴν ὁλκάδα κατέδυ Τιμοκράτης ὁ Λακεδαιμόνιος πλέων, ὡς ἡ ναῦς διεφθείρετο, ἔσφαξεν ἑαυτὸν, καὶ ἐξέπεσεν ἐς τὸν Ναυπακτίων λιμένα. Ἀναχωρήσαντες δὲ οἱ Ἀθηναῖοι τροπαῖον ἔστησαν ὅθεν ἀναγόμενοι ἐκράτησαν, καὶ τοὺς νεκροὺς καὶ τὰ ναυάγια ὅσα πρὸς τῇ ἑαυτῶν ἦν ἀνείλοντο, καὶ τοῖς ἐναντίοις τὰ ἐκείνων ὑπόσπονδα ἀπέδοσαν. Ἔστησαν δὲ καὶ οἱ Πελοποννήσιοι τροπαῖον ὡς νενικηκότες, τῆς τροπῆς, ἃς πρὸς τῇ γῇ ναῦς διέφθειραν· καὶ ἥνπερ ἔλαβον ναῦν, ἀνέθεσαν ἐπὶ τὸ Ῥίον τὸ Ἀχαϊκὸν παρὰ τὸ τροπαῖον. Μετὰ δὲ ταῦτα φοβούμενοι τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν ὑπὸ νύκτα ἐσέπλευσαν ἐς τὸν κόλπον τὸν Κρισαῖον καὶ Κόρινθον πάντες πλὴν Λευκαδίων. Καὶ οἱ ἐκ τῆς Κρήτης Ἀθηναῖοι ταῖς εἴκοσι ναυσὶν, αἷς ἔδει πρὸ τῆς ναυμαχίας τῷ Φορμίωνι παραγενέσθαι, οὐ πολλῷ ὕστερον τῆς ἀναχωρήσεως τῶν νεῶν ἀφικνοῦνται ἐς τὴν Ναύπακτον. Καὶ τὸ θέρος ἐτελεύτα.

93. Πρὶν δὲ διαλῦσαι τὸ ἐς Κόρινθόν τε καὶ τὸν Κρισαῖον κόλπον ἀναχωρῆσαν ναυτικὸν ὁ Κνῆμος καὶ ὁ Βρασίδας καὶ οἱ ἄλλοι ἄρχοντες τῶν Πελοποννησίων ἀρχομένου τοῦ χειμῶνος ἐβούλοντο διδαξάντων Μεγαρέων ἀποπειρᾶσαι τοῦ Πειραιῶς τοῦ λιμένος τῶν Ἀθηναίων· ἦν δὲ ἀφύλακτος καὶ ἄκληστος εἰκότως διὰ τὸ ἐπικρατεῖν πολὺ τῷ ναυτικῷ. Ἐδόκει δὲ λαβόντα τῶν ναυτῶν ἕκαστον τὴν κώπην καὶ τὸ ὑπηρέσιον καὶ τὸν τροπωτῆρα πεζῇ ἰέναι ἐκ Κορίνθου ἐπὶ τὴν πρὸς Ἀθήνας θάλασσαν, καὶ ἀφικομένους κατὰ τάχος ἐς Μέγαρα καθελκύσαντας ἐκ Νισαίας τοῦ νεωρίου αὐτῶν τεσσαράκοντα ναῦς αἳ ἔτυχον αὐτόθι οὖσαι πλεῦσαι εὐθὺς ἐπὶ τὸν Πειραιᾶ· οὔτε γὰρ ναυτικὸν ἦν προφυλάσσον ἐν αὐτῷ οὐδὲν οὔτε προσδοκία οὐδεμία μὴ ἄν ποτε οἱ πολέμιοι ἐξαπιναίως οὕτως ἐπιπλεύσειαν, ἐπεὶ οὐδ' ἀπὸ τοῦ προφανοῦς τολμῆσαι ἂν καθ' ἡσυχίαν, οὐδὲ εἰ διενοοῦντο, μὴ οὐκ ἂν προαισθέσθαι. Ὡς δὲ ἔδοξεν αὐτοῖς, καὶ ἐχώρουν εὐθύς· καὶ ἀφικόμενοι νυκτὸς καὶ καθελκύσαντες ἐκ τῆς Νισαίας τὰς ναῦς ἔπλεον ἐπὶ μὲν τὸν Πειραιᾶ οὐκέτι, ὥσπερ διενοοῦντο, καταδείσαντες τὸν κίνδυνον, καί τις καὶ ἄνεμος λέγεται αὐτοὺς κωλῦσαι, ἐπὶ δὲ

ἐξέπεσεν] i. e. 'in Naupacti portum delatus est.'

τῆς Σαλαμῖνος τὸ ἀκρωτήριον τὸ πρὸς Μέγαρα ὁρῶν· καὶ φρούριον ἐπ' αὐτοῦ ἦν καὶ νεῶν τριῶν φυλακὴ τοῦ μὴ ἐσπλεῖν Μεγαρεῦσι μηδ' ἐκπλεῖν μηδέν. Τῷ τε φρουρίῳ προσέβαλον καὶ τὰς τριήρεις ἀφείλκυσαν κενὰς, τήν τε ἄλλην Σαλαμῖνα ἀπροσδοκήτοις ἐπιπεσόντες ἐπόρθουν.

94. Ἐς δὲ τὰς Ἀθήνας φρυκτοί τε ἤροντο πολέμιοι καὶ ἔκπληξις ἐγένετο οὐδεμιᾶς τῶν κατὰ τὸν πόλεμον ἐλάσσων. Οἱ μὲν γὰρ ἐν τῷ ἄστει ἐς τὸν Πειραιᾶ ᾤοντο τοὺς πολεμίους ἐσπεπλευκέναι ἤδη, οἱ δ' ἐν τῷ Πειραιεῖ τήν τε Σαλαμῖνα ᾑρῆσθαι ἐνόμιζον καὶ παρὰ σφᾶς ὅσον οὐκ ἐσπλεῖν αὐτούς· ὅπερ ἂν εἰ ἐβουλήθησαν μὴ κατοκνῆσαι, ῥᾳδίως ἂν ἐγένετο καὶ οὐκ ἂν ἄνεμος ἐκώλυσε. Βοηθήσαντες δὲ ἅμ' ἡμέρᾳ πανδημεὶ οἱ Ἀθηναῖοι ἐς τὸν Πειραιᾶ ναῦς τε καθεῖλκον καὶ ἐσβάντες κατὰ σπουδὴν καὶ πολλῷ θορύβῳ ταῖς μὲν ναυσὶν ἐπὶ τὴν Σαλαμῖνα ἔπλεον, τῷ πεζῷ δὲ φυλακὰς τοῦ Πειραιῶς καθίσταντο. Οἱ δὲ Πελοποννήσιοι ὡς ᾔσθοντο τὴν βοήθειαν, καταδραμόντες τῆς Σαλαμῖνος τὰ πολλὰ καὶ ἀνθρώπους καὶ λείαν λαβόντες καὶ τὰς τρεῖς ναῦς ἐκ τοῦ Βουδόρου τοῦ φρουρίου κατὰ τάχος ἐπὶ τῆς Νισαίας ἔπλεον· ἔστι γὰρ ὅ,τι καὶ αἱ νῆες αὐτοὺς διὰ χρόνου καθελκυσθεῖσαι καὶ οὐδὲν στέγουσαι ἐφόβουν. Ἀφικόμενοι δὲ ἐς τὰ Μέγαρα πάλιν ἐπὶ τῆς Κορίνθου ἀπεχώρησαν πεζοί· οἱ δ' Ἀθηναῖοι οὐκέτι καταλαβόντες πρὸς τῇ Σαλαμῖνι ἀπέπλευσαν καὶ αὐτοί· καὶ μετὰ τοῦτο φυλακὴν ἅμα τοῦ Πειραιῶς μᾶλλον τὸ λοιπὸν ἐποιοῦντο λιμένων τε κλήσει καὶ τῇ ἄλλῃ ἐπιμελείᾳ.

95. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ χειμῶνος τούτου ἀρχομένου Σιτάλκης ὁ Τήρεω Ὀδρύσης Θρᾳκῶν βασιλεὺς ἐστράτευσεν ἐπὶ Περδίκκαν τὸν Ἀλεξάνδρου Μακεδονίας βασιλέα καὶ ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης, δύο ὑποσχέσεις, τὴν μὲν βουλόμενος ἀναπρᾶξαι, τὴν δὲ αὐτὸς ἀποδοῦναι. Ὅ τε γὰρ Περδίκκας αὐτῷ ὑποσχόμενος, εἰ Ἀθηναίοις τε διαλλάξειεν ἑαυτὸν κατ' ἀρχὰς τῷ πολέμῳ πιεζό-

95. δύο ὑποσχέσεις] Vulgo διὰ δύο ὑποσχέσεις. Sed præpositio cum libris expungenda. Schol. cod. G. ἀντὶ γενικῆς ἡ αἰτιατική, Ἀττικῶς· σημείωσαι παρόμοιον τὸ Δύο μὲν σκόπελοι, ὁ μὲν οὐρανόν. Nimirum totum et partes in eodem casu ponuntur, quod jam aliquoties in nominativo factum vidimus, ut i, 89. οἰκίαι αἱ μὲν πολλαὶ πεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν. V. Matth. Gr. § 289. Obs. 8. Ceterum non adjecit scriptor, quid Perdiccas promiserit, vel quod ipse nesciebat, vel negligens ut rem parvi momenti.

μενον καὶ Φίλιππον τὸν ἀδελφὸν αὐτοῦ πολέμιον ὄντα μὴ καταγάγοι ἐπὶ βασιλείᾳ, ἃ ὑπεδέξατο οὐκ ἐπετέλει· τοῖς τε Ἀθηναίοις αὐτὸς ὡμολογήκει ὅτε τὴν ξυμμαχίαν ἐποιεῖτο τὸν ἐπὶ Θρᾴκης Χαλκιδικὸν πόλεμον καταλύσειν. Ἀμφοτέρων οὖν ἕνεκα τὴν ἔφοδον ἐποιεῖτο καὶ τόν τε Φιλίππου υἱὸν Ἀμύνταν ὡς ἐπὶ βασιλείᾳ τῶν Μακεδόνων ἦγε καὶ τῶν Ἀθηναίων πρέσβεις, οἳ ἔτυχον παρόντες τούτων ἕνεκα, καὶ ἡγεμόνα Ἅγνωνα· ἔδει γὰρ καὶ τοὺς Ἀθηναίους ναυσί τε καὶ στρατιᾷ ὡς πλείστῃ ἐπὶ τοὺς Χαλκιδέας παραγενέσθαι.

96. Ἀνίστησιν οὖν ἐκ τῶν Ὀδρυσῶν ὁρμώμενος πρῶτον μὲν τοὺς ἐντὸς τοῦ Αἵμου τε ὄρους καὶ τῆς Ῥοδόπης Θρᾷκας ὅσων ἦρχε μέχρι θαλάσσης ἐς τὸν Εὔξεινόν τε πόντον καὶ τὸν Ἑλλήσποντον, ἔπειτα τοὺς ὑπερβάντι Αἷμον Γέτας καὶ ὅσα ἄλλα μέρη ἐντὸς τοῦ Ἴστρου ποταμοῦ πρὸς θάλασσαν μᾶλλον τὴν τοῦ Εὐξείνου πόντου κατῴκηντο· εἰσὶ δ' οἱ Γέται καὶ οἱ ταύτῃ ὅμοροί τε τοῖς Σκύθαις καὶ ὁμόσκευοι πάντες ἱπποτοξόται. Παρεκάλει δὲ καὶ τῶν ὀρεινῶν Θρᾳκῶν πολλοὺς τῶν αὐτονόμων καὶ μαχαιροφόρων, οἳ Δῖοι καλοῦνται, τὴν Ῥοδόπην οἱ πλεῖστοι οἰκοῦντες· καὶ τοὺς μὲν μισθῷ ἔπειθεν, οἱ δ' ἐθελονταὶ ξυνηκολούθουν. Ἀνίστη δὲ καὶ Ἀγριᾶνας καὶ Λαιαίους καὶ ἄλλα ὅσα ἔθνη Παιονικὰ ὧν ἦρχε· καὶ ἔσχατοι τῆς ἀρχῆς οὗτοι ἦσαν μέχρι Γραιαίων Παιόνων καὶ τοῦ Στρυμόνος ποταμοῦ, ὃς ἐκ τοῦ Σκομίου ὄρους διὰ Γραιαίων καὶ Λαιαίων ῥεῖ, οὗ ὡρίζετο ἡ ἀρχὴ τὰ πρὸς Παίονας αὐτονόμους ἤδη. Τὰ δὲ πρὸς Τριβαλλοὺς

96. De regno Odrysarum conf. Arrian. i, 2. 3.

εἰσὶ δ' οἱ—ἱπποτοξόται] Verba *ὅμοροι* et *ὁμόσκευοι* ex h. l. citat Pollux x, 14. et vi, 156.

ἀνίστη—αὐτονόμους ἤδη] Vulgo *μέχρι Γραιαίων καὶ Λαιαίων Παιόνων καὶ τοῦ Στρύμονος*, etc. I. *μέχρι Λαιαίων Παιόνων*. C. G. e. d. f. i. *μέχρι γὰρ Λαιαίων Παιόνων*, et itidem γρ. A. *μέχρι γὰρ Γραιαίων καὶ Λαιαίων Παιόνων* K. e. *μέχρι Γααίων καὶ Λαιαίων Παιόνων* P. Sitalces evocasse dicitur Agrianas, Lææos, et quibuscunque imperabat, Pæonicas nationes. Hi, Agrianes et Lææi, extremi in ejus imperio fuisse leguntur usque ad Graæos et Lææos; Lææi igitur extremi fuerunt—usque ad Lææos: unde patet, Thucydidem scripsisse *μέχρι Γραιαίων Παιόνων*. Monuit Popp. Obs. p. 125. Krueger. autem ad Dionys. p. 26. sic distinguendo putat vulgarem lectionem servari posse, *ἀνίστη δὲ καὶ Ἀγριᾶνας καὶ Λαιαίους καὶ ἄλλα ὅσα ἔθνη Παιονικά, ὧν ἦρχε—καὶ ἔσχατοι τῆς ἀρχῆς οὗτοι ἦσαν—μέχρι Γραιαίων καὶ Λαιαίων Παιόνων*. Ubi *ὧν* ad *ἔθνη Παιονικὰ* refert, et *μέχρι* Γρ. κ. Λ. Π. arcte cum *ἦρχε* jungit. Sed neque *οὗτοι* sic ad sequentia referri potest, neque Graæi regno Odrysarum inclusi erant, ut patet ex statim sequentibus, ubi Strymon dicitur inter Graæos et Lææos fluxisse, ibique regnum terminasse ab ea parte quæ spectabat Pæonas liberos. Hinc cap. seq. dicit, *ἡ ἀρχὴ ἡ Ὀδρυσῶν ἐς ἤπειρον ἀπὸ Βυζαντίου ἐς Λαιαίους*.

Παιονικὰ] V. Creuzer. ad Fragm. Ant. Hist. Gr. p. 63. not. Popp. Proleg. t. ii. p. 376.

καὶ τούτους αὐτονόμους Τρῆρες ὥριζον καὶ Τιλαταῖοι· οἰκοῦσι δ' οὗτοι πρὸς βορέαν τοῦ Σκομίου ὄρους καὶ παρήκουσι πρὸς ἡλίου δύσιν μέχρι τοῦ Ὀσκίου ποταμοῦ. Ῥεῖ δ' οὗτος ἐκ τοῦ ὄρους ὅθενπερ καὶ ὁ Νέστος καὶ ὁ Ἕβρος· ἔστι δὲ ἐρῆμον τὸ ὄρος καὶ μέγα, ἐχόμενον τῆς Ῥοδόπης.

97. Ἐγένετο δὲ ἡ ἀρχὴ ἡ Ὀδρυσῶν μέγεθος ἐπὶ μὲν θάλασσαν καθήκουσα ἀπὸ Ἀβδήρων πόλεως ἐς τὸν Εὔξεινον πόντον τὸν μέχρι Ἴστρου ποταμοῦ· αὕτη περίπλους ἐστὶν ἡ γῆ τὰ ξυντομώτατα, ἢν ἀεὶ κατὰ πρύμναν ἱστῆται τὸ πνεῦμα, νηῒ στρογγύλῃ τεσσάρων ἡμερῶν καὶ ἴσων νυκτῶν· ὁδῷ δὲ τὰ ξυντομώτατα ἐξ Ἀβδήρων ἐς Ἴστρον ἀνὴρ εὔζωνος ἑνδεκαταῖος τελεῖ. Τὰ μὲν πρὸς θάλασσαν τοσαύτη ἦν· ἐς ἤπειρον δὲ ἀπὸ Βυζαντίου ἐς Λαιαίους καὶ ἐπὶ τὸν Στρυμόνα, ταύτῃ γὰρ διὰ πλείστου ἀπὸ θαλάσσης ἄνω ἐγίγνετο, ἡμερῶν ἀνδρὶ εὐζώνῳ τριῶν καὶ δέκα ἀνύσαι. Φόρος τε ἐκ πάσης τῆς βαρβάρου καὶ τῶν Ἑλληνίδων πόλεων, ὅσον προσῆξαν ἐπὶ Σεύθου, ὃς ὕστερον Σιτάλκου βασιλεύσας πλεῖστον δὴ ἐποίησε, τετρακοσίων ταλάντων ἀργυρίου μάλιστα δύναμις, ἃ χρυσὸς καὶ ἄργυρος εἴη· καὶ δῶρα οὐκ ἐλάσσω τούτων χρυσοῦ τε καὶ ἀργύρου προσεφέρετο, χωρὶς δὲ ὅσα ὑφαντά τε καὶ λεῖα, καὶ ἡ ἄλλη κατασκευή, καὶ οὐ μόνον αὐτῷ, ἀλλὰ καὶ τοῖς παραδυναστεύουσί τε καὶ γενναίοις Ὀδρυσῶν. Κατεστήσαντο γὰρ τοὐναντίον τῆς Περσῶν βασιλείας τὸν νόμον, ὄντα μὲν καὶ τοῖς ἄλλοις Θρᾳξί, λαμβάνειν μᾶλλον ἢ διδόναι, καὶ αἴσχιον ἦν αἰτηθέντα μὴ δοῦναι ἢ αἰτήσαντα μὴ τυχεῖν· ὅμως δὲ κατὰ τὸ δύνασθαι ἐπὶ

97. περίπλους] adjectivum. Diodor. xii, 50. in loco parallelo usus est voce παραθαλάττιος.

ἱστῆται] i. e. 'vento secundo.' V. Dorv. ad Charit. p. 269. 626. Mox, de aoristo προσῆξαν v. Lobeck. ad Phryn. p. 287.

ἃ χρυσὸς—εἴη] ut nos, 'as gold and silver deceive.' Cæsar, B. C. iii, 10. 'proinde sibi ac reipublicæ parcerent: quantum in bello fortuna posset, jam ipsi incommodis suis satis essent documento.' Cic. d. Off. iii, 11. 'huic ille, classem Lacedæmoniorum, quæ subducta esset ad Gythium, clam incendi posse; quo facto frangi Lacedæmoniorum opes necesse esset:' ubi v. Gernh., qui sic explicat, 'quod si factum esset, necesse esset.' Xenoph. Cyrop. i, 2, 13. ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἴησαν μὲν ἂν οὗτοι πλεῖόν τι ἢ πεντήκοντα ἔτη γεγονότες ἀπὸ γενεᾶς. V. Matth. Gr. § 514, 2. Mox, de voc. λεῖα v. Schneider. Lex. Gr. s. v. λῖτον. Wolf. in Anal. Liter. iv. p. 501. Schol. λεῖα, τὰ λιτά, πρὸς ἀντιδιαστολὴν τῶν ὑφαντῶν καὶ πεποικιλμένων, quem exscripserunt Suidas et Phavorin. in λεῖα. Sunt igitur vestes non acu pictæ.

κατὰ τὸ δύνασθαι] Schol. διὰ τὴν δύναμιν. Quod vero de more Odrysarum contrario Persarum dicit, v. Brisson. d. Regn. Pers. p. 525. "Ne Persæ quidem," Haack. ait, "nobiles ignorabant morem illum, Thracibus maxime usitatum. Sed fortasse respexit auctor ad Persarum et quarundam aliarum gentium immunitatem, de qua Herodot. iii, 97. ἡ Περσὶς δὲ χώρη μούνη μοι οὐκ εἴρηται δασμοφόρος· ἀτελέα γὰρ Πέρσαι νέμονται χώρην. Οἵδε δὲ φόρον μὲν

πλέον αὐτῷ ἐχρήσαντο· οὐ γὰρ ἦν πρᾶξαι οὐδὲν μὴ διδόντα δῶρα. Ὥστε ἐπὶ μέγα ἦλθεν ἡ βασιλεία ἰσχύος. Τῶν γὰρ ἐν τῇ Εὐρώπῃ ὅσαι μεταξὺ τοῦ Ἰονίου κόλπου καὶ τοῦ Εὐξείνου πόντου μεγίστη ἐγένετο χρημάτων προσόδῳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ, ἰσχύϊ δὲ μάχης καὶ στρατοῦ πλήθει πολὺ δευτέρα μετὰ τὴν Σκυθῶν. Ταύτῃ δὲ ἀδύνατα ἐξισοῦσθαι οὐχ ὅτι τὰ ἐν τῇ Εὐρώπῃ, ἀλλ' οὐδ' ἐν τῇ Ἀσίᾳ ἔθνος ἓν πρὸς ἓν οὐκ ἔστιν ὅ,τι δυνατὸν Σκύθαις ὁμογνωμονοῦσι πᾶσιν ἀντιστῆναι. Οὐ μὴν οὐδ' ἐς τὴν ἄλλην εὐβουλίαν καὶ ξύνεσιν περὶ τῶν παρόντων ἐς τὸν βίον ἄλλοις ὁμοιοῦνται.

98. Σιτάλκης μὲν οὖν βασιλεύων χώρας τοσαύτης παρεσκευάζετο τὸν στρατόν. Καὶ ἐπειδὴ αὐτῷ ἑτοῖμα ἦν, ἄρας ἐπορεύετο ἐπὶ τὴν Μακεδονίαν πρῶτον μὲν διὰ τῆς αὑτοῦ ἀρχῆς, ἔπειτα διὰ Κερκίνης ἐρήμου ὄρους, ὅ ἐστι μεθόριον Σιντῶν καὶ Παιόνων· ἐπορεύετο δὲ δι' αὐτοῦ τῇ ὁδῷ ἣν πρότερον αὐτὸς ἐποιήσατο τεμὼν τὴν ὕλην, ὅτε ἐπὶ Παίονας ἐστράτευσε. Τὸ δὲ ὄρος ἐξ Ὀδρυσῶν διϊόντες ἐν δεξιᾷ μὲν εἶχον Παίονας, ἐν ἀριστερᾷ δὲ Σίντους καὶ Μαίδους. Διελθόντες δὲ αὐτὸ ἀφίκοντο ἐς Δόβηρον τὴν Παιονικήν. Πορευομένῳ δὲ αὐτῷ ἀπεγίγνετο μὲν οὐδὲν τοῦ στρατοῦ εἰ μή τι

οὐδένα ἐπάχθησαν φέρειν, δῶρα δὲ ἀγίνεον. Tum de Æthiopibus aliisque dicit, qui minus severo imperio tenebantur, ne servire viderentur: sed etiam ceteros, qui Persarum imperio subjecti essent, notum est, regi eorum fines transeunti varias res muneris loco de more et quasi sponte attulisse; et omnino Persarum reges sponte oblata accipere malebant videri, quam jussa impetrare."—Sed sic nihil fere discriminis inter Odrysarum Persarumque morem restat, quem melius explicat Bredovius: " Cum alii Thraces, tum Odrysæ more utuntur regni Persarum contrario, ut libentius accipiant, quam dent; quamobrem ne audacter quidem rogare apud Odrysas dedecori est. Contra apud Persas summa turpitudo, rogare et cum repulsa abire; ibi enim dare tam vulgaris totius populi et mos et virtus est, ut ne opus quidem sit petere, et qui petit tamen, sed non impetrat, is habet quo totus erubescat. At apud Odrysas, ubi accipere majoris dignationis est, facile ignoscitur petenti, si agit id quo impetrat: itaque minus turpe, si quando quis petens non impetret. Sed qui rogatus dare recusat, ei vitio vertitur, ut qui sciat quam libenter omnes accipiant."

οὐ μὴν—ὁμοιοῦνται] Schol. *ἀλλ' ὑπερβάλλουσι δηλονότι.* Imo præter bellicam artem et scientiam, qua sola Scythæ excellunt, ceterum consilio et prudentia aliis inferiores sunt: 'quin etiam ne in alia quidem solertia et prudentia, quæ in rebus ad vitæ fructum suppeditantibus requiritur, ceteris nationibus similes sunt.' De Scytharum regni amplitudine et viribus v. Herodot. v, 3. Herodoto suam de Scythis sententiam Thucydides opposuisse videtur Valckenario ad illius v, 3.

98. *ἀπεγίγνετο*] Suidas et Zonar. in *ἀπεγένετο, ἀντὶ τοῦ ἀπέθανεν· οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης.* Schol. explicat *ἀπώλλυτο.* Conf. v, 74. ubi schol. explicat per *ἀποθανεῖν.* Contra Zonar. *ἀπέβη, ἀπέθανεν.* Quare ii, 34. *ἀπογενόμενοι* appellantur 'mortui:' adde ii, 51. *ἀπογιγνόμενοι.* Similiter *ἀποφοιτῶ* et *ἀπέρχομαι* dicuntur et apud Latinos 'decedere.' V. Valcken. ad Herodot. ii, 136. et Tittm. ad Zonar. l. l., cujus glossa repetitur in Anecd. Bekker. i. p. 419. Ad paulo post sequentia respicientes Suidas et Phavorin. *ἀπαράκλητοι, αὐτόματοι. Θουκυδίδης· πολλοὶ τῶν αὐτονόμων Θρᾳκῶν ἀπαράκλητοι ἐφ' ἁρπαγὴν ἠκολούθουν.* Eadem verba Phavorin. repetit in *ἐπί.* Ad vocem *τρι-*

νόσῳ, προσεγίγνετο δέ· πολλοὶ γὰρ τῶν αὐτονόμων Θρᾳκῶν ἀπαράκλητοι ἐφ᾽ ἁρπαγὴν ἠκολούθουν, ὥστε τὸ πᾶν πλῆθος λέγεται οὐκ ἔλασσον πεντεκαίδεκα μυριάδων γενέσθαι· καὶ τούτου τὸ μὲν πλέον πεζὸν ἦν, τριτημόριον δὲ μάλιστα ἱππικόν. Τοῦ δ᾽ ἱππικοῦ τὸ πλεῖστον αὐτοὶ Ὀδρύσαι παρείχοντο καὶ μετ᾽ αὐτοὺς Γέται. Τοῦ δὲ πεζοῦ οἱ μαχαιροφόροι μαχιμώτατοι μὲν ἦσαν οἱ ἐκ τῆς Ῥοδόπης αὐτόνομοι καταβάντες, ὁ δὲ ἄλλος ὅμιλος ξύμμικτος πλήθει φοβερώτατος ἠκολούθει.

99. *Ξυνηθροίζοντο οὖν ἐν τῇ Δοβήρῳ καὶ παρεσκευάζοντο ὅπως κατὰ κορυφὴν ἐσβαλοῦσιν ἐς τὴν κάτω Μακεδονίαν, ἧς ὁ Περδίκκας ἦρχε. Τῶν γὰρ Μακεδόνων εἰσὶ καὶ Λυγκησταὶ καὶ Ἐλειμιῶται καὶ ἄλλα ἔθνη ἐπάνωθεν, ἃ ξύμμαχα μέν ἐστι τούτοις καὶ ὑπήκοα, βασιλείας δ᾽ ἔχει καθ᾽ αὑτά. Τὴν δὲ παρὰ θάλασσαν νῦν Μακεδονίαν Ἀλέξανδρος ὁ Περδίκκου πατὴρ καὶ οἱ πρόγονοι αὐτοῦ Τημενίδαι τὸ ἀρχαῖον ὄντες ἐξ Ἄργους πρῶτον ἐκτήσαντο καὶ ἐβασίλευσαν ἀναστήσαντες μάχῃ ἐκ μὲν Πιερίας Πίερας, οἳ ὕστερον ὑπὸ τὸ Πάγγαιον πέραν Στρυμόνος ᾤκησαν Φάγρητα καὶ ἄλλα χωρία· καὶ ἔτι καὶ νῦν Πιερικὸς κόλπος καλεῖται ἡ ὑπὸ τῷ Παγγαίῳ πρὸς θάλασσαν γῆ· ἐκ δὲ τῆς Βοττίας καλουμένης Βοττιαίους, οἳ νῦν ὅμοροι Χαλκιδέων οἰκοῦσι· τῆς δὲ Παιονίας παρὰ τὸν Ἀξιὸν ποταμὸν στενήν τινα καθήκουσαν ἄνωθεν μέχρι Πέλλης καὶ θαλάσσης ἐκτήσαντο, καὶ πέραν Ἀξιοῦ μέχρι Στρυμόνος τὴν Μυγδονίαν καλουμένην Ἠδῶνας ἐξελάσαντες νέμονται. Ἀνέστησαν δὲ καὶ ἐκ τῆς νῦν Ἐορδίας καλουμένης Ἐορδούς, ὧν οἱ μὲν πολλοὶ ἐφθάρησαν, βραχὺ δέ τι αὐτῶν περὶ Φύσκαν κατῴκηται, καὶ ἐξ Ἀλμωπίας Ἀλμῶπας. Ἐκράτησαν δὲ καὶ τῶν ἄλλων ἐθνῶν οἱ Μακεδόνες οὗτοι, ἃ καὶ νῦν ἔτι ἔχουσι, τόν τε Ἀνθεμοῦντα καὶ Κρηστωνίαν καὶ Βισαλτίαν καὶ Μακεδόνων αὐτῶν*

τημόριον hæc Pollux ix, 66. adnotavit: *ὅταν μέντοι Θουκυδίδης εἴποι "τριτημόριον δὲ μάλιστα ἱππικὸν" τὴν τρίτην μοῖραν εἴρηκεν.*

99. *κατὰ κορυφὴν*] i. e. 'desuper,' 'ex superiori parte,' 'inde a jugis montium.'

ἐξ Ἄργους] V. Herodot. viii, 137. Marx. ad Ephor. p. 85. Heyn. ad Il. t. iv. p. 421.

ἐκράτησαν—πολλὴν] Sequi debebat *τοῦ τε Ἀνθεμοῦντος—Κρηστωνίας—Βισαλτίας—πολλῆς*, quoniam in principali sententia præcessit *ἐκράτησαν*. Sed, ut fieri solet, sententiæ principalis pars post sententiam intermediam sequens ipsorum eorum, quæ interposita sunt, structuræ accommodatur. *Οἱ Μακεδόνες αὐτοὶ* sunt vetustissimi illi Macedones, Temenidis antiquitus parentes, sive Macedoniæ maritimæ incolæ, qui hic discernuntur a Macedonia supe-

πολλήν. Τὸ δὲ ξύμπαν Μακεδονία καλεῖται καὶ Περδίκκας Ἀλεξάνδρου βασιλεὺς αὐτῶν ἦν ὅτε Σιτάλκης ἐπῄει.

100. Καὶ οἱ μὲν Μακεδόνες οὗτοι ἐπιόντος πολλοῦ στρατοῦ ἀδύνατοι ὄντες ἀμύνεσθαι ἔς τε τὰ καρτερὰ καὶ τὰ τείχη ὅσα ἦν ἐν τῇ χώρᾳ ἐσεκομίσθησαν. Ἦν δὲ οὐ πολλά, ἀλλὰ ὕστερον Ἀρχέλαος ὁ Περδίκκου υἱὸς βασιλεὺς γενόμενος τὰ νῦν ὄντα ἐν τῇ χώρᾳ ᾠκοδόμησε καὶ ὁδοὺς εὐθείας ἔτεμε καὶ τἄλλα διεκόσμησε τά τε κατὰ τὸν πόλεμον ἵπποις καὶ ὅπλοις καὶ τῇ ἄλλῃ παρασκευῇ κρείσσονι ἢ ξύμπαντες οἱ ἄλλοι βασιλῆς ὀκτὼ οἱ πρὸ αὐτοῦ γενόμενοι. Ὁ δὲ στρατὸς τῶν Θρακῶν ἐκ τῆς Δοβήρου ἐσέβαλε πρῶτον μὲν ἐς τὴν Φιλίππου πρότερον οὖσαν ἀρχήν, καὶ εἷλεν Εἰδομένην μὲν κατὰ κράτος, Γορτυνίαν δὲ καὶ Ἀταλάντην καὶ ἄλλα ἄττα χωρία ὁμολογίᾳ διὰ τὴν Ἀμύντου φιλίαν προσχωροῦντα τοῦ Φιλίππου υἱέος παρόντος· Εὔρωπον δὲ ἐπολιόρκησαν μέν, ἑλεῖν δὲ οὐκ ἐδύναντο. Ἔπειτα δὲ καὶ ἐς τὴν ἄλλην Μακεδονίαν προὐχώρει τὴν ἐν ἀριστερᾷ Πέλλης καὶ Κύῤῥου. Ἔσω δὲ τούτων ἐς τὴν Βοττιαίαν καὶ Πιερίαν οὐκ ἀφίκοντο, ἀλλὰ τήν τε Μυγδονίαν καὶ Κρηστωνίαν καὶ Ἀνθεμοῦντα ἐδῄουν. Οἱ δὲ Μακεδόνες πεζῷ μὲν οὐδὲ διενοοῦντο ἀμύνεσθαι, ἵππους δὲ προσμεταπεμψάμενοι ἀπὸ τῶν ἄνω ξυμμάχων ὅπῃ δοκοῖ ὀλίγοι πρὸς πολλοὺς ἐσέβαλλον ἐς τὸ στράτευμα τῶν Θρακῶν, καὶ ᾗ μὲν προσπέσοιεν, οὐδεὶς ὑπέμενεν ἄνδρας ἱππέας τε ἀγαθοὺς καὶ τεθωρακισμένους, ὑπὸ δὲ πλήθους περικληόμενοι αὐτοὺς πολλαπλασίῳ τῷ ὁμίλῳ ἐς κίνδυνον καθίστασαν· ὥστε τέλος ἡσυχίαν ἦγον, οὐ νομίζοντες ἱκανοὶ εἶναι πρὸς τὸ πλέον κινδυνεύειν.

101. Ὁ δὲ Σιτάλκης πρός τε τὸν Περδίκκαν λόγους ἐποιεῖτο ὧν ἕνεκα ἐστράτευσε καὶ ἐπειδὴ οἱ Ἀθηναῖοι οὐ παρῆσαν ταῖς ναυσίν, ἀπιστοῦντες αὐτὸν μὴ ἥξειν, δῶρά τε καὶ πρέσβεις ἔπεμψαν αὐτῷ, ἔς τε τοὺς Χαλκιδέας καὶ Βοττιαίους μέρος τι τοῦ στρατοῦ πέμπει, καὶ τειχήρεις ποιήσας ἐδῄου τὴν γῆν. Καθημένου δ' αὐτοῦ περὶ τοὺς

riore, quam paulatim Temenidarum posteri regno adjecerunt. Male igitur Schol. τῶν Μακεδόνων αὐτῶν] τῶν ἄνω. Est potius, 'and a great part of Macedonia properly so called;' nimirum ejus regionis ad mare sitæ, unde regnum profectum est. Paulo superiora memorat Zonar. in Ἐορδία.

101. ὁ δὲ Σιτάλκης—τὴν γῆν] Popp. Obs. p. 228. legi vult δῶρα δὲ καὶ πρέσβεις, quoniam sententia hæc sit: Athenienses navibus non advenisse, sed dona atque legatos ad Sitalcem misisse.

χώρους τούτους οἱ πρὸς νότον οἰκοῦντες Θεσσαλοὶ καὶ Μάγνητες καὶ οἱ ἄλλοι ὑπήκοοι Θεσσαλῶν καὶ οἱ μέχρι Θερμοπυλῶν Ἕλληνες ἐφοβήθησαν μὴ καὶ ἐπὶ σφᾶς ὁ στρατὸς χωρήσῃ, καὶ ἐν παρασκευῇ ἦσαν. Ἐφοβήθησαν δὲ καὶ οἱ πέραν Στρυμόνος πρὸς βορέαν Θρᾷκες ὅσοι πεδία εἶχον, Παναῖοι καὶ Ὀδόμαντοι [καὶ Δρῶοι] καὶ Δερσαῖοι· αὐτόνομοι δ' εἰσὶ πάντες. Παρέσχε δὲ λόγον καὶ ἐπὶ τοὺς τῶν Ἀθηναίων πολεμίους Ἕλληνας μὴ ὑπ' αὐτῶν ἀγόμενοι κατὰ τὸ ξυμμαχικὸν καὶ ἐπὶ σφᾶς χωρήσωσιν. Ὁ δὲ τήν τε Χαλκιδικὴν καὶ Βοττικὴν καὶ Μακεδονίαν ἅμα ἐπέχων ἔφθειρε, καὶ ἐπειδὴ αὐτῷ οὐδὲν ἐπράσσετο ὧν ἕνεκα ἐσέβαλε καὶ ἡ στρατιὰ σῖτόν τε οὐκ εἶχεν αὐτῷ καὶ ὑπὸ χειμῶνος ἐταλαιπώρει, ἀναπείθεται ὑπὸ Σεύθου τοῦ Σπαρδάκου, ἀδελφιδοῦ ὄντος καὶ μέγιστον μεθ' αὐτὸν δυναμένου, ὥστ' ἐν τάχει ἀπελθεῖν· τὸν δὲ Σεύθην κρύφα Περδίκκας ὑποσχόμενος ἀδελφὴν ἑαυτοῦ δώσειν καὶ χρήματα ἐπ' αὐτῇ προσποιεῖται. Καὶ ὁ μὲν πεισθεὶς καὶ μείνας τριάκοντα τὰς πάσας ἡμέρας, τούτων δὲ ὀκτὼ ἐν Χαλκιδεῦσιν, ἀνεχώρησε τῷ στρατῷ κατὰ τάχος ἐπ' οἴκου· Περδίκκας δὲ ὕστερον Στρατονίκην τὴν ἑαυτοῦ ἀδελφὴν δίδωσι Σεύθῃ, ὥσπερ ὑπέσχετο. Τὰ μὲν οὖν κατὰ τὴν Σιτάλκου στρατείαν οὕτως ἐγένετο.

102. Οἱ δὲ ἐν Ναυπάκτῳ Ἀθηναῖοι τοῦδε τοῦ χειμῶνος, ἐπειδὴ τὸ τῶν Πελοποννησίων ναυτικὸν διελύθη, Φορμίωνος ἡγουμένου ἐστράτευσαν παραπλεύσαντες ἐπ' Ἀστακοῦ. Καὶ ἀποβάντες ἐς τὴν μεσόγειαν τῆς Ἀκαρνανίας τετρακοσίοις μὲν ὁπλίταις Ἀθηναίων τῶν ἀπὸ τῶν νεῶν, τετρακοσίοις δὲ Μεσσηνίων, ἔκ τε Στράτου καὶ Κορόντων καὶ ἄλλων χωρίων ἄνδρας οὐ δοκοῦντας βεβαίους εἶναι ἐξήλασαν καὶ Κύνητα τὸν Θεολύτου ἐς Κόροντα καταγαγόντες ἀνεχώρησαν πάλιν ἐπὶ τὰς ναῦς. Ἐς γὰρ Οἰνιάδας ἀεί ποτε πολεμίους ὄντας μόνους Ἀκαρνάνων οὐκ ἐδόκει δυνατὸν εἶναι χειμῶνος ὄντος στρατεύειν· ὁ γὰρ Ἀχελῷος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους

καὶ Δρῶοι] Hæc sunt corrupta ex male lecto nomine Δεραῖοι, qui iidem sunt quos Herodotus appellat Δερσαίους. Testatur Steph. Byz. Δεραῖοι, Θρᾴκιον ἔθνος. Ἡρόδοτος Δερσαίους αὐτοὺς φησι. Expungendum igitur nomen Δρῶοι, ut tres tantum populi remaneant. Monuit Gatterer de Thracia Herodoti et Thucyd. ap. Popp. Prol. t. ii. p. 380. 387.

ὑπ' αὐτῶν ἀγόμενοι] Male Steph. οἱ ὑπ' αὐτ., etc. V. Popp. Obs. p. 220.

102. ὁ γὰρ Ἀχελῷος—στρατεύειν] De-

διὰ Δολοπίας καὶ Ἀγραίων καὶ Ἀμφιλόχων καὶ διὰ τοῦ Ἀκαρνανικοῦ πεδίου, ἄνωθεν μὲν παρὰ Στράτον πόλιν, ἐς θάλασσαν δ' ἐξιεὶς παρ' Οἰνιάδας καὶ τὴν πόλιν αὐτοῖς περιλιμνάζων, ἄπορον ποιεῖ ὑπὸ τοῦ ὕδατος ἐν χειμῶνι στρατεύειν. Κεῖνται δὲ καὶ τῶν νήσων τῶν Ἐχινάδων αἱ πολλαὶ καταντικρὺ Οἰνιαδῶν, τοῦ Ἀχελῴου τῶν ἐκβολῶν οὐδὲν ἀπέχουσαι, ὥστε μέγας ὢν ὁ ποταμὸς προσχοῖ ἀεὶ καὶ εἰσὶ τῶν νήσων αἳ ἠπείρωνται, ἐλπὶς δὲ καὶ πάσας οὐκ ἐν πολλῷ τινι ἂν χρόνῳ τοῦτο παθεῖν. Τό τε γὰρ ῥεῦμά ἐστι μέγα καὶ πολὺ καὶ θολερὸν, αἵ τε νῆσοι πυκναὶ καὶ ἀλλήλαις τῆς προσχώσεως τῷ μὴ σκεδάννυσθαι σύνδεσμοι γίγνονται, παραλλὰξ καὶ οὐ κατὰ στοῖχον κείμεναι, οὐδ' ἔχουσαι εὐθείας διόδους τοῦ ὕδατος ἐς τὸ πέλαγος. Ἔρημοι δ' εἰσὶ καὶ οὐ μεγάλαι. Λέγεται δὲ καὶ Ἀλκμαίωνι τῷ Ἀμφιάρεω, ὅτε δὴ ἀλᾶσθαι αὐτὸν μετὰ τὸν φόνον τῆς μητρὸς, τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν, ὑπειπόντα οὐκ εἶναι λύσιν τῶν δειμάτων πρὶν ἂν εὑρὼν ἐν ταύτῃ τῇ χώρᾳ κατοικίσηται ἥτις ὅτε ἔκτεινε τὴν μητέρα μήπω ὑπὸ ἡλίου ἑωρᾶτο μηδὲ γῆ ἦν, ὡς τῆς γε ἄλλης αὐτῷ μεμιασμένης. Ὁ δ' ἀπορῶν, ὥς φασι, μόλις κατενόησε τὴν πρόσχωσιν ταύτην τοῦ Ἀχελῴου, καὶ ἐδόκει αὐτῷ ἱκανὴ ἂν κεχῶσθαι δίαιτα τῷ σώματι ἀφ' οὗπερ κτείνας τὴν μητέρα οὐκ ὀλίγον χρόνον ἐπλανᾶτο. Καὶ κατοικισθεὶς ἐς τοὺς περὶ Οἰνιάδας τόπους ἐδυνάστευσέ τε καὶ ἀπὸ Ἀκαρνᾶνος παιδὸς ἑαυτοῦ τῆς χώρας τὴν ἐπωνυμίαν ἐγκατέλιπε. Τὰ μὲν περὶ Ἀλκμαίωνα τοιαῦτα λεγόμενα παρελάβομεν.

metr. de Elocut. s. 45. ubi est *καὶ Ἀγριανῶν* pro *καὶ Ἀγραίων*. Sic enim scribendum pro vulgata *καὶ Ἀγραῶν* (quod derivandum esset ab *Ἀγραεῖς*): v. Popp. Prol. t. ii. p. 148. Verba *ὁ γὰρ—διεξιεὶς* iterum adscripsit Demetr. s. 202., ubi est *ἐπὶ θάλασσαν διέξεισιν*, et nonnulla omittuntur. De nomine Agræorum conf. Strab. p. 690. Alm. *τὸν Ἀχελῷον ποταμὸν ῥέοντα ἀπὸ τῶν ἄρκτων καὶ τῆς Πίνδου πρὸς νότον διά τε Ἀγραίων καὶ Ἀμφιλόχων*, ubi v. Interpp. Gallicos, t. i. p. 141. not. 5. adde Herodot. ii, 10. Marx. ad Ephor. p. 124—126. Chandler. Itinerar. Gr. p. 398. vers. Germ. Probabilis conjectura est Popponis Obs. p. 115. legentis, *ἐς θάλασσαν δὲ ἐξιεὶς*, coll. Herodoto l. l.

παραλλὰξ] V. Lobeck. ad Sophocl. Aj. 1076.

Ἀλκμαίωνι] Hinc sua habet Schol. Lucian. t. ix. p. 188. Mox, infinitivus *ἀλᾶσθαι* legitur post *ὅτε* in oratione obliqua, more et Græcis et Latinis usitato. V. Bredov. ad i, 91. Matth. Gr. § 538. Herm. ad Viger. p. 832. Conf. iv, 98. *εἰ μὲν ἐπὶ πλέον δυνηθῆναι*, sic enim e codicibus reponendum pro *δυνηθεῖεν*. i, 91. *ὅσα αὖ μετ' ἐκείνων βουλεύεσθαι*, ubi vide v, 62. extr. *ἄνευ ὧν μὴ κύριον εἶναι*. vi, 64. extr. *ἀφ' ὧν αὐτὸς ἥκειν*. 72. *ὅσον εἰκὸς εἶναι*. vii, 47. *ἅπερ διακινδυνεῦσαι*. Cic. in Verr. i, 9. 'Siculos sane in eo liberos fuisse, qui quamobrem arcesserentur cum intelligerent, non venisse.'

τὴν ἐπωνυμίαν] V. Apollod. iii, 6, 2. vii, 2, 5. Schol. *πρότερον γὰρ Κουρῆτις ἐκαλεῖτο*, citatque Hom. Il. ix, 525.

103. Οἱ δὲ Ἀθηναῖοι καὶ ὁ Φορμίων ἄραντες ἐκ τῆς Ἀκαρνανίας καὶ ἀφικόμενοι ἐς τὴν Ναύπακτον ἅμα ἦρι κατέπλευσαν ἐς τὰς Ἀθήνας, τούς τε ἐλευθέρους τῶν αἰχμαλώτων ἐκ τῶν ναυμαχιῶν ἄγοντες, οἳ ἀνὴρ ἀντ' ἀνδρὸς ἐλύθησαν, καὶ τὰς ναῦς ἃς εἷλον. Καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος καὶ τρίτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

103. *καὶ—ἐτελεύτα—ἐτελεύτα*] Prius *ἐτελεύτα* omittunt I. L. O. P. e. Sed vulgata satis defenditur verbis iii, 25., quanquam ibi quoque alterum *ἐτελεύτα* nonnulli codices omittunt. Adde iii, 88. iv, 51. 135. et alibi, ubi eadem formula extat.

ξυνέγραφεν] g. Vulgo sine *ν* paragogico. V. Herm. d. Em. Rat. Gr. Gr. p. 22.

ARGUMENTUM LIBRI TERTII.

QUARTO anno belli Peloponnesiaci, cum iterum Atticam Peloponnesii cum exercitu invasissent, Lesbus omnis ab Atheniensibus præter Methymnam defecit; 2. Qua de causa Athenienses classe eo copiisque missis Mitylenen caput insulæ obsidione cinxerunt; 6. Interea cum obsessi hactenus Platæenses fame premerentur, ducenti ex iis et duodecim insignis audaciæ viri noctu Peloponnesiorum munitiones scalis transgressi incolumes omnes Athenas profugerunt; 22. Peloponnesii Atticam ingressi magna eam clade evastarunt; 26. Naves eorundem subsidio Lesbiis missæ tum primum Ioniam attigerunt; 26. Mitylenæi fame coacti deditionem fecerunt; 28. De eorum supplicio magna contentione actum est; vicit tamen Diodoti lenior sententia; 49. Dispar Platæensium eventus fuit; qui cum eodem tempore fame subacti Lacedæmoniorum arbitrio se dedidissent, ab eis sunt interemti; 69. Sævissima item apud Corcyræos seditio describitur; qua optimates a plebe sua superati partim occisi sunt, partim profugerunt; 70—85. Peloponnesios Atticam ingressuros terræ motus averterunt; 89. Messanam in Sicilia Athenienses occuparunt; 90. Heracleam in Trachine coloniam Lacedæmonii deduxerunt; 92. Demosthenes Atheniensis dux, cum Ætolis bellum intulisset, victus ab eis multos eximios cives amisit; 98. Delum Athenienses lustrarunt; 104. Acarnanes Ambraciotis memorabili clade Demosthene duce victis pacem dederunt; 114.

Γ.

1. ΤΟΥ δ' ἐπιγιγνομένου θέρους Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἅμα τῷ σίτῳ ἀκμάζοντι ἐστράτευσαν ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ αὐτῶν Ἀρχίδαμος ὁ Ζευξιδάμου Λακεδαιμονίων βασιλεύς. Καὶ ἐγκαθεζόμενοι ἐδῄουν τὴν γῆν· καὶ προσβολαὶ, ὥσπερ εἰώθεσαν, ἐγίγνοντο τῶν Ἀθηναίων ἱππέων ὅπῃ παρείκοι, καὶ τὸν πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον τὸ μὴ προεξιόντας τῶν ὅπλων τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. Ἐμμείναντες δὲ χρόνον οὗ εἶχον τὰ σιτία ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πόλεις.

2. Μετὰ δὲ τὴν ἐσβολὴν τῶν Πελοποννησίων εὐθὺς Λέσβος πλὴν Μηθύμνης ἀπέστη ἀπ' Ἀθηναίων, βουληθέντες μὲν καὶ πρὸ τοῦ πολέμου, ἀλλ' οἱ Λακεδαιμόνιοι οὐ προσεδέξαντο, ἀναγκασθέντες δὲ καὶ ταύτην τὴν ἀπόστασιν πρότερον ἢ διενοοῦντο ποιήσασθαι. Τῶν τε γὰρ λιμένων τὴν χῶσιν καὶ τειχῶν οἰκοδόμησιν καὶ νεῶν ποίησιν ἐπέμενον τελεσθῆναι, καὶ ὅσα ἐκ τοῦ Πόντου ἔδει ἀφικέσθαι, τοξότας τε καὶ σῖτον, καὶ ἃ μεταπεμπόμενοι ἦσαν. Τενέδιοι γὰρ ὄντες αὐτοῖς διάφοροι καὶ Μηθυμναῖοι, καὶ αὐτῶν Μυτιληναίων

1. *καὶ τὸν πλεῖστον—κακουργεῖν*] Greg. Cor. p. 33. De formula *τὸ μὴ*, i. e. *ὥστε μὴ*, cum inf. v. Matth. Gr. § 543. Obs. 3.

οὗ εἶχον] Cum dicere liceat *σιτία ἔχειν τριῶν, τεσσαρῶν ἡμερῶν*, licet etiam *οὗ εἶχον τὰ σιτία*.

2. *τῶν τε γὰρ λιμένων—Τενέδιοι γὰρ*] Priori harum sententiarum exponit, cur Mitylenæi, quamvis jam diu defectionem machinati, eam adhuc differri voluerint; altera sententia, quare inviti ad eam maturandam adducti sint, declarat. Conf. i, 40. *δίκαιοί ἐστε—δέχεσθαι*, cujus sententiæ duæ redduntur causæ; *οὐδὲ γὰρ—κολάζειν* et *εἰ γὰρ—θήσετε*. i, 91. *περὶ αὐτῶν ὁ Θεμιστοκλῆς—οὐκέτι ἀφῶσιν*, ubi primum explicatur pron. *αὐτοὶ*, deinde causa indicatur cur Themistocles legatos Lacedæmoniorum Athenis retineri voluerit. Docuit Popp. Obs. p. 54.—Schol. *τῶν τε γὰρ λιμένων*] *οἱ προσδεχόμενοι πολεμίους κατὰ θάλατταν ἰσχυροτέρους αὐτῶν χῶμα ἔχουν ἐπὶ τοῖς στόμασι τῶν λιμένων, ὅπους δυσέκπλωτοι* (Bast. ad Greg. Cor. p. 721. correxit *δυσείσπλωτοι*) *τοῖς πολεμίοις εἶεν*. In verbis *καὶ ὅσα—ἀφικέσθαι* verbum *ἀφικέσθαι* bis cogitandum.

ἃ μεταπεμπόμενοι ἦσαν] Schæfer. ad Longum, indic. s. v. *στέρεσθαι*, legendum esse conjecit *καὶ ἄλλα, ἃ μετ. ἦσαν*, quod in varietate lectionum enotatum est *καὶ ἅμα μετ. ἦσ.* Sed *ἄλλα*, etiamsi diserte non exprimatur, inesse in totius orationis conformatione, monet Popp. Obs. p. 98.

Μυτιληναίων] A. B. E. qui sic tantum non ubique. Rarius K. velut iii, 27. 35. Vulgo *Μιτυληναίων*. Herodian. d. Barbarism. p. 195. Valck. *κατὰ δὲ πρόσθεσιν—τὸν δίφρον, δρίφον—καὶ Μυτιληναῖον, Μιτυληναῖον· ἀπὸ γὰρ τοῦ Μύτωνος τοῦ κτίστου Μυτιλήνη καλεῖται*. V. Voss. ad Mel. ii, 7. Eadem Stephanus grammaticus ad Dionys. Thrac. habet, atque apud Steph. Byz. hoc nomen legitur ordine alphabetico inter *Μυστία* et *Μυτισέρατα*. Cod. Marciau. nr. 489. ap. Villoison. Anecd. Gr. p. 176. *ἀπὸ Μίτωνος γὰρ καὶ Ληνῶν καὶ κτιστῶν λέγεται Μυτιλήνη*. Vitiose. Et *Μυτιλήνη* habent omnia numismata: v. Spanhem. d. Præst. et Usu Nu-

ἰδίᾳ ἄνδρες κατὰ στάσιν πρόξενοι Ἀθηναίων μηνυταὶ γίγνονται τοῖς Ἀθηναίοις ὅτι ξυνοικίζουσί τε τὴν Λέσβον ἐς τὴν Μυτιλήνην βίᾳ καὶ τὴν παρασκευὴν ἅπασαν μετὰ Λακεδαιμονίων καὶ Βοιωτῶν ξυγγενῶν ὄντων ἐπὶ ἀποστάσει ἐπείγονται· καὶ εἰ μή τις προκαταλήψεται ἤδη, στερήσεσθαι αὐτοὺς Λέσβου.

3. Οἱ δ' Ἀθηναῖοι, ἦσαν γὰρ τεταλαιπωρημένοι ὑπό τε τῆς νόσου καὶ τοῦ πολέμου ἄρτι καθισταμένου καὶ ἀκμάζοντος, μέγα μὲν ἔργον ἡγοῦντο εἶναι Λέσβον προσπολεμώσασθαι ναυτικὸν ἔχουσαν καὶ δύναμιν ἀκέραιον, καὶ οὐκ ἀπεδέχοντο πρῶτον τὰς κατηγορίας, μεῖζον μέρος νέμοντες τῷ μὴ βούλεσθαι ἀληθῆ εἶναι· ἐπειδὴ μέντοι καὶ πέμψαντες πρέσβεις οὐκ ἔπειθον τοὺς Μυτιληναίους τήν τε ξυνοίκησιν καὶ τὴν παρασκευὴν διαλύειν, δείσαντες προκαταλαβεῖν ἐβούλοντο. Καὶ πέμπουσιν ἐξαπιναίως τεσσαράκοντα ναῦς αἳ ἔτυχον περὶ Πελοπόννησον παρεσκευασμέναι πλεῖν· Κλεϊππίδης δὲ ὁ Δεινίου τρίτος αὐτὸς ἐστρατήγει. Ἐσηγγέλθη γὰρ αὐτοῖς ὡς εἴη Ἀπόλλωνος Μαλόεντος ἔξω τῆς πόλεως ἑορτὴ, ἐν ᾗ πανδημεὶ Μυτιληναῖοι ἑορτάζουσι, καὶ ἐλπίδα εἶναι ἐπειχθέντας ἐπιπεσεῖν ἄφνω, καὶ ἢν μὲν ξυμβῇ ἡ πεῖρα, εἰ δὲ μὴ, Μυτιληναίοις εἰπεῖν ναῦς τε παραδοῦναι καὶ τείχη καθελεῖν, μὴ πειθομένων δὲ πολεμεῖν. Καὶ αἱ μὲν νῆες ᾤχοντο· τὰς δὲ τῶν Μυτιληναίων δέκα τριήρεις, αἳ ἔτυχον βοηθοὶ παρὰ σφᾶς κατὰ τὸ ξυμμαχικὸν παροῦσαι, κατέσχον οἱ Ἀθηναῖοι καὶ τοὺς ἄνδρας ἐξ αὐτῶν ἐς φυλακὴν ἐποιήσαντο. Τοῖς δὲ Μυτιληναίοις ἀνὴρ ἐκ τῶν Ἀθηνῶν διαβὰς ἐς Εὔβοιαν καὶ πεζῇ ἐπὶ Γεραιστὸν ἐλθὼν ὁλκάδος ἀναγομένης ἐπιτυχὼν πλῷ χρησάμενος καὶ τριταῖος ἐκ τῶν Ἀθηνῶν ἐς Μυτιλήνην ἀφικόμενος ἀγγέλλει τὸν ἐπίπλουν. Οἱ δὲ

mism. ix. p. 645. xi. p. 279. xii. p. 489. ad Callim. t. ii. p. 175. 250. Rasche Lexic. Nomism. t. iii. P. ii. p. 1017. et Froehlich. Quatuor Tentam. in Re Numm. Vet. p. 230.

3. *νέμοντες—βούλεσθαι*] i. e. 'they were more inclined to wish that it might not be so, than to fear lest it might be so.' Sive, facilius eo inclinabant, ut non crederent ita esse, quod nollent ita esse; nam quod quis non optat, non facile credit; et contra, ἃ ἐπιθυμεῖ ψυχὴ, καὶ πιστεύειν φιλεῖ, ut ait Heliodor. viii. p. 379. Bourd.

ὡς εἴη—ἐλπίδα εἶναι—ἐπιπεσεῖν] Variatur structura: v. Elmsl. ad Eur. Med. 750. 760.

καὶ ἢν μὲν ξυμβῇ—πολεμεῖν] Greg. Cor. p. 47., qui supplet ad sententiam apodosi carentem verba *καλῶς ἂν εἴη*, usus scholiis ad Aristoph. Plut. 469. et ad h. l. De figura illa elliptica v. Koen. et interpp. ad Hom. Il. i, 135. Phot. ξυμβῇ ἡ πεῖρα, ἀντὶ τοῦ ἐπετεύχθη παρὰ Θουκυδίδῃ. V. Vig. p. 509. 510.

πλῷ—ἀφικόμενος] Suidas in πλῷ, ubi deest *καὶ* et legitur ἀφῖκτο.

οὔτε ἐς τὸν Μαλόεντα ἐξῆλθον, τά τε ἄλλα τῶν τειχῶν καὶ λιμένων περὶ τὰ ἡμιτέλεστα φραξάμενοι ἐφύλασσον.

4. Καὶ οἱ Ἀθηναῖοι οὐ πολὺ ὕστερον καταπλεύσαντες ὡς ἑώρων, ἀπήγγειλαν μὲν οἱ στρατηγοὶ τὰ ἐπεσταλμένα, οὐκ ἐσακουόντων δὲ τῶν Μυτιληναίων ἐς πόλεμον καθίσταντο. Ἀπαράσκευοι δὲ οἱ Μυτιληναῖοι καὶ ἐξαίφνης ἀναγκασθέντες πολεμεῖν, ἔκπλουν μέν τινα ἐποιήσαντο τῶν νεῶν ὡς ἐπὶ ναυμαχίᾳ ὀλίγον πρὸ τοῦ λιμένος, ἔπειτα καταδιωχθέντες ὑπὸ τῶν Ἀττικῶν νεῶν λόγους ἤδη προσέφερον τοῖς στρατηγοῖς, βουλόμενοι τὰς ναῦς τὸ παραυτίκα εἰ δύναιντο ὁμολογίᾳ τινὶ ἐπιεικεῖ ἀποπέμψασθαι. Καὶ οἱ στρατηγοὶ τῶν Ἀθηναίων ἀπεδέξαντο καὶ αὐτοὶ φοβούμενοι μὴ οὐχ ἱκανοὶ ὦσι Λέσβῳ πάσῃ πολεμεῖν. Καὶ ἀνακωχὴν ποιησάμενοι πέμπουσιν ἐς τὰς Ἀθήνας οἱ Μυτιληναῖοι τῶν τε διαβαλλόντων ἕνα ᾧ μετέμελεν ἤδη καὶ ἄλλους, εἴ πως πείσειαν τὰς ναῦς ἀπελθεῖν ὡς σφῶν οὐδὲν νεωτεριούντων. Ἐν τούτῳ δὲ ἀποστέλλουσι καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις τριήρει, λαθόντες τὸ τῶν Ἀθηναίων ναυτικὸν, οἳ ὥρμουν ἐν τῇ Μαλέᾳ πρὸς βορέαν τῆς πόλεως· οὐ γὰρ ἐπίστευον τοῖς ἀπὸ τῶν Ἀθηναίων προχωρήσειν. Καὶ οἱ μὲν ἐς τὴν Λακεδαίμονα ταλαιπώρως διὰ τοῦ πελάγους κομισθέντες αὐτοῖς ἔπρασσον ὅπως τις βοήθεια ἥξει.

5. Οἱ δ' ἐκ τῶν Ἀθηνῶν πρέσβεις ὡς οὐδὲν ἦλθον πράξαντες, ἐς πόλεμον καθίσταντο οἱ Μυτιληναῖοι καὶ ἡ ἄλλη Λέσβος πλὴν Μηθύμνης· οὗτοι δὲ τοῖς Ἀθηναίοις ἐβεβοηθήκεσαν καὶ Ἴμβριοι καὶ Λήμνιοι καὶ τῶν ἄλλων ὀλίγοι τινὲς ξυμμάχων. Καὶ ἔξοδον μέν τινα πανδημεὶ ἐποιήσαντο οἱ Μυτιληναῖοι ἐπὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον, καὶ μάχη

4. *οἱ δὲ Ἀθηναῖοι—οἱ στρατηγοὶ*] Greg. Cor. p. 83. qui dicit hæc esse dicta pro *Ἀθηναίων δὲ καταπλευσάντων*. Hæc repetit Phavorin. in *εὐθεῖα*. Pertinet huc etiam glossa Photii in *ἑώρων*. Sed falluntur grammatici: verba enim *καὶ οἱ Ἀθηναῖοι—ἑώρων* protasis sunt, apodosis est in *ἀπήγγειλαν* et sequentibus. *Ὡς* autem postpositum, ut iii, 5. v, 28. vii, 32. init. Grammaticorum, quibus schol. accedit, rationem tuetur Popp. Prol. t. i. p. 107. exemplis allatis a Matth. Gr. § 562. not. quibus addit iv, 73. *οἱ Ἀθηναῖοι ἐτάξαντο —λογιζόμενοι καὶ οἱ ἐκείνων στρατηγοί*, et v, 81. *Λακεδαιμόνιοι καὶ Ἀργεῖοι χίλιοι ἑκάτεροι ξυστρατεύσαντες τά τ' ἐν Σικυῶνι ἐς ὀλίγους μᾶλλον κατέστησαν αὐτοὶ οἱ Λακεδαιμόνιοι ἐλθόντες*, etc.

διαβαλλόντων] i. e. 'accusatorum.'

μετέμελεν] Anecd. Bekk. i. p. 107. *μεταμελεῖν, ἀντὶ τοῦ μετανοεῖν. Θουκυδίδης γ, μεταμέλεια.*

τοῖς—προχωρήσειν] Thiersch. in Act. Philol. Mon. t. iii. p. 454. legit *αὐτοῖς τὰ ἀπὸ τῶν Ἀθ. προχ.*, id quod est explicare, non corrigere scriptorem. Sensus est: non fidebant iis quæ ab Atheniensibus exspectabant, fore ut bene cedant. De forma verbi postremi v. Buttm. Gr. § 100, 4. not. 8.

ἐγένετο, ἐν ᾗ οὐκ ἔλασσον ἔχοντες οἱ Μυτιληναῖοι οὔτε ἐπηυλίσαντο οὔτε ἐπίστευσαν σφίσιν αὐτοῖς, ἀλλ' ἀνεχώρησαν· ἔπειτα οἱ μὲν ἡσύχαζον, ἐκ Πελοποννήσου καὶ μετ' ἄλλης παρασκευῆς βουλόμενοι εἰ προσγένοιτό τι κινδυνεύειν. Καὶ γὰρ αὐτοῖς Μελέας Λάκων ἀφικνεῖται καὶ Ἑρμαιώνδας Θηβαῖος, οἳ προαπεστάλησαν μὲν τῆς ἀποστάσεως, φθάσαι δὲ οὐ δυνάμενοι τὸν τῶν Ἀθηναίων ἐπίπλουν κρύφα μετὰ τὴν μάχην ὕστερον ἐσπλέουσι τριήρει, καὶ παρῄνουν πέμπειν τριήρη ἄλλην καὶ πρέσβεις μεθ' ἑαυτῶν· καὶ ἐκπέμπουσιν.

6. Οἱ δὲ Ἀθηναῖοι πολὺ ἐπιῤῥωσθέντες διὰ τὴν τῶν Μυτιληναίων ἡσυχίαν ξυμμάχους τε προσεκάλουν, οἳ πολὺ θᾶσσον παρῆσαν ὁρῶντες οὐδὲν ἰσχυρὸν ἀπὸ τῶν Λεσβίων, καὶ περιορμισάμενοι τὸ πρὸς νότον τῆς πόλεως ἐτείχισαν στρατόπεδα δύο ἑκατέρωθεν τῆς πόλεως, καὶ τοὺς ἐφόρμους ἐπ' ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο. Καὶ τῆς μὲν θαλάσσης εἶργον μὴ χρῆσθαι τοὺς Μυτιληναίους, τῆς δὲ γῆς τῆς μὲν ἄλλης ἐκράτουν οἱ Μυτιληναῖοι καὶ οἱ ἄλλοι Λέσβιοι προσβεβοηθηκότες ἤδη, τὸ δὲ περὶ τὰ στρατόπεδα οὐ πολὺ κατεῖχον οἱ Ἀθηναῖοι, ναύσταθμον δὲ μᾶλλον ἦν αὐτοῖς πλοίων καὶ ἀγορᾶς ἡ Μαλέα. Καὶ τὰ μὲν περὶ Μυτιλήνην οὕτως ἐπολεμεῖτο.

7. Κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ θέρους τούτου Ἀθηναῖοι καὶ ἐς Πελοπόννησον ναῦς ἀπέστειλαν τριάκοντα καὶ Ἀσώπιον τὸν Φορμίωνος στρατηγὸν, κελευσάντων Ἀκαρνάνων τῶν Φορμίωνός τινα σφίσι πέμψαι ἢ υἱὸν ἢ ξυγγενῆ ἄρχοντα. Καὶ παραπλέουσαι αἱ νῆες τῆς Λακωνικῆς τὰ ἐπιθαλάσσια χωρία ἐπόρθησαν. Ἔπειτα τὰς μὲν πλείους ἀποπέμπει τῶν νεῶν πάλιν ἐπ' οἴκου ὁ Ἀσώπιος, αὐτὸς δ' ἔχων δώδεκα ἀφικνεῖται ἐς Ναύπακτον, καὶ ὕστερον Ἀκαρνᾶνας ἀναστήσας πανδημεὶ στρατεύει ἐπ' Οἰνιάδας καὶ ταῖς τε ναυσὶ κατὰ τὸν Ἀχελῷον ἔπλευσε καὶ ὁ κατὰ γῆν στρατὸς ἐδῄου τὴν χώραν. Ὡς δ' οὐ προσεχώρουν, τὸν μὲν πεζὸν ἀφίησιν, αὐτὸς δὲ πλεύσας ἐς Λευκάδα καὶ ἀπόβασιν ἐς Νήρικον ποιησάμενος ἀναχωρῶν διαφθείρεται αὐτός τε καὶ τῆς στρα-

5. ἐκ Πελοποννήσου—προσγένοιτό τι] Ordo verborum: ἐκ Πελ. εἰ προσγένοιτό τι, καὶ μετ' ἄλλης παρασκευῆς, (εἰ προσγένοιτο) βουλόμενοι κινδυνεύειν.

6. ἐφόρμους] i. e. τὰς ἐφορμίσεις, ut explicant schol., Suidas, et Thom. M. in ἔφορμος et ἐφόρμησις.

ναύσταθμον—Μαλέα] Thom. M. p. 623.

7. καὶ—ποιησάμενος] Phavorin. in ἀπόβασις.

τιᾶς τι μέρος ὑπὸ τῶν αὐτόθεν τε ξυμβοηθησάντων καὶ φρουρῶν τινων ὀλίγων. Καὶ ὕστερον ὑποσπόνδους τοὺς νεκροὺς ἀποπλεύσαντες οἱ Ἀθηναῖοι παρὰ τῶν Λευκαδίων ἐκομίσαντο.

8. Οἱ δὲ ἐπὶ τῆς πρώτης νεὼς ἐκπεμφθέντες Μυτιληναίων πρέσβεις, ὡς αὐτοῖς οἱ Λακεδαιμόνιοι εἶπον Ὀλυμπίαζε παρεῖναι, ὅπως καὶ οἱ ἄλλοι ξύμμαχοι ἀκούσαντες βουλεύσωνται, ἀφικνοῦνται ἐς τὴν Ὀλυμπίαν· ἦν δὲ Ὀλυμπιὰς ᾗ Δωριεὺς Ῥόδιος τὸ δεύτερον ἐνίκα. Καὶ ἐπειδὴ μετὰ τὴν ἑορτὴν κατέστησαν ἐς λόγους, εἶπον τοιάδε.

9. Τὸ μὲν καθεστὸς τοῖς Ἕλλησι νόμιμον, ὦ ἄνδρες Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἴσμεν· τοὺς γὰρ ἀφισταμένους ἐν τοῖς πολέμοις καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολείποντας οἱ δεξάμενοι καθ᾽ ὅσον μὲν ὠφελοῦνται, ἐν ἡδονῇ ἔχουσι, νομίζοντες δὲ εἶναι προδότας τῶν πρὸ τοῦ φίλων χείρους ἡγοῦνται. Καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσίς ἐστιν, εἰ τύχοιεν πρὸς ἀλλήλους οἵ τε ἀφιστάμενοι καὶ ἀφ᾽ ὧν διακρίνοιντο ἴσοι μὲν τῇ γνώμῃ ὄντες καὶ εὐνοίᾳ, ἀντίπαλοι δὲ τῇ παρασκευῇ καὶ δυνάμει, πρόφασίς τε ἐπιεικὴς μηδεμία ὑπάρχοι

ἀποπλεύσαντες] i. e. 'cum paulum ab insula recessissent.' Conf. iv, 44. *καὶ ἀναβάντες ἐπὶ τὰς ναῦς ἐπεραιώθησαν ἐς τὰς ἐπικειμένας νήσους· ἐκ δ᾽ αὐτῶν ἐπικηρυκευσάμενοι τοὺς νεκροὺς, οὓς ἐγκατέλιπον ὑποσπόνδους ἀνείλοντο.*

8. *Δωριεὺς*] In *ἀναγραφῇ* Olympiadum Dorieus Rhodius primum pancratio vicisse dicitur Ol. 87., secundum Ol. 88., tertium Ol. 89.

9. Mitylenensium legati, a Lacedæmoniis Olympiam citati, peractis ludis, in templo Jovis Olympii coram sociis Peloponnesiacis causam dicunt: primum se purgant a perfidiæ in Athenienses suspicione, quod desciverint, cum ab illis magis quam ceteri socii culti fuerint; deinde quod illo ipso tempore desciverint; denique communem Græciæ utilitatem, quæ ex societate cum ipsis facta percipi possit, ostendunt. Schol. *διαιρεῖται ἡ δημηγορία αὕτη κεφαλαίοις· τῷ δικαίῳ, οἷον ὅτι δικαίως ἀπέστημεν· τῷ δυνατῷ, ὅτι δυνατὰ παρακαλοῦμεν (ἐφθαρμένοι γάρ εἰσι τῇ νόσῳ, καὶ ἡ δύναμις αὐτῶν εἰς πολλὰ διῄρηται)· τῷ συμφέροντι, ὅτι λυσιτελεῖ δύναμιν καταδέξασθαι πόῤῥωθεν ἰσχύουσαν καὶ τὰς ἀπὸ τῶν συμμάχων Ἀθηναίοις παρατεινομένας προσόδους δυναμένην κωλῦσαι. Ἐπὶ δὲ τελευτῆς ἀπὸ τοῦ ἐναντίου παροξυσμὸς, καὶ παράκλησις ποικίλως δυσωποῦσα.* Ad partem orationis, qua utilitas fœderis commendatur, respicere videtur Ulpian. in Dem. Phil. iv. p. 79. Par. *ἐχρήσατο οὖν Θουκυδιδείῳ λύσει, ᾗπερ ὁ Λέσβιος χρώμενος φαίνεται, ὅτι τῷ μὲν δοκεῖν ὑπὲρ ἄλλων, τῇ δὲ ἀληθείᾳ ὑπὲρ ἡμῶν τὰ γινόμενα,* ubi legendum videtur, transpositis vocabulis, *τῷ μὲν δοκεῖν ὑπὲρ ἡμῶν, τῇ δὲ ἀληθείᾳ ὑπὲρ ἄλλων·* non enim, ut Duker. putavit, tanquam verba Thucydidis hæc refert, sed ipsius oratio est.

τοὺς γὰρ—ἡγοῦνται] Greg. Cor. p. 113., qui *χείρους* positum ait pro *κακούς*. Conf. Schol. At Stephanus recte animadvertit, nihil obstare quominus comparativus vim suam hic quoque obtineat, ut intelligamus 'pejores eos existimant quam existimaturi fuissent.' Nos, 'they appeared to be worse in their eyes.' Ceterum eandem sententiam profert Tacit. Annal. i, 58. 'proditores etiam iis, quos anteponunt, invisi sunt.' Rursus sic *χείρους* extat juxta *προδότας* bis, iv, 114.

καὶ οὐκ—ἀξίωσις] Thom. M. p. 79., qui male explicat per *παράκλησις*. Est enim *ἡ δόξα, ἡ κρίσις, ὁ λογισμὸς*, ut apud schol. est.

ἴσοι μὲν—δυνάμει] Thom. M. p. 76., cui *ἀντίπαλοι* hic sunt *ἐναντίοι*. Præferenda expositio scholiastæ, *ἰσοσθενεῖς*.

τῆς ἀποστάσεως· ὃ ἡμῖν καὶ Ἀθηναίοις οὐκ ἦν. Μηδέ τῳ χείρους δόξωμεν εἶναι εἰ ἐν τῇ εἰρήνῃ τιμώμενοι ὑπ' αὐτῶν ἐν τοῖς δεινοῖς ἀφιστάμεθα.

10. Περὶ γὰρ τοῦ δικαίου καὶ ἀρετῆς πρῶτον ἄλλως τε καὶ ξυμμαχίας δεόμενοι τοὺς λόγους ποιησόμεθα, εἰδότες οὔτε φιλίαν ἰδιώταις βέβαιον γιγνομένην οὔτε κοινωνίαν πόλεσιν ἐς οὐδὲν, εἰ μὴ μετ' ἀρετῆς δοκούσης ἐς ἀλλήλους γίγνοιντο καὶ τἄλλα ὁμοιότροποι εἶεν· ἐν γὰρ τῷ διαλλάσσοντι τῆς γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίστανται. Ἡμῖν δὲ καὶ Ἀθηναίοις ξυμμαχία ἐγένετο πρῶτον ἀπολιπόντων μὲν ὑμῶν ἐκ τοῦ Μηδικοῦ πολέμου, παραμεινάντων δὲ ἐκείνων πρὸς τὰ ὑπόλοιπα τῶν ἔργων. Ξύμμαχοι μέντοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν Ἑλλήνων Ἀθηναίοις, ἀλλ' ἐπ' ἐλευθερώσει ἀπὸ τοῦ Μήδου τοῖς Ἕλλησι. Καὶ μέχρι μὲν ἀπὸ τοῦ ἴσου ἡγοῦντο, προθύμως εἱπόμεθα· ἐπειδὴ δὲ ἑωρῶμεν αὐτοὺς τὴν μὲν τοῦ Μήδου ἔχθραν ἀνιέντας, τὴν δὲ τῶν ξυμμάχων δούλωσιν ἐπαγομένους, οὐκ ἀδεεῖς ἔτι ἦμεν. Ἀδύνατοι δὲ ὄντες καθ' ἓν γενόμενοι διὰ πολυψηφίαν ἀμύνασθαι οἱ ξύμμαχοι ἐδουλώθησαν πλὴν ἡμῶν καὶ Χίων· ἡμεῖς δὲ αὐτόνομοι δὴ ὄντες καὶ ἐλεύθεροι τῷ ὀνόματι ξυνεστρατεύσαμεν. Καὶ πιστοὺς οὐκέτι εἴχομεν ἡγεμόνας Ἀθηναίους, παραδείγμασι τοῖς προγιγνομένοις χρώμενοι· οὐ γὰρ εἰκὸς ἦν αὐτοὺς οὓς μὲν μεθ' ἡμῶν ἐνσπόνδους ἐποιήσαντο καταστρέψασθαι, τοὺς δὲ ὑπολοίπους, εἴποτε ἄρα ἐδυνήθησαν, μὴ δρᾶσαι τοῦτο.

11. Καὶ εἰ μὲν αὐτόνομοι ἔτι ἦμεν ἅπαντες, βεβαιότεροι ἂν ἡμῖν ἦσαν μηδὲν νεωτεριεῖν· ὑποχειρίους δὲ ἔχοντες τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες, χαλεπώτερον εἰκό-

10. *ἀρετῆς*] Heilm. 'lawfulness of our proceedings.' Est 'honest intention,' ut sequentia docent.

εἰδότες—καθίστανται] "Hæc citantur in Append. ad Stobæum Gaisfordi, vol. iv. p. 20. his varietatibus: *βέβαιον—βεβαίαν*, *ἐς οὐδὲν*—desunt, *δοκούσης — διακούσης*, *γίγνοιντο—γίγνοιτο*." Dindorf.—Heilm. 'Where the alliance is not accompanied on either side with a conduct sincere or honest in the eyes of the world, and with sentiments uniform also in other respects.' Malim interpretari 'unless both sides engage with an opinion of reciprocal good faith:' nam sensus est idem ac si dixisset *εἰ μὴ δοκοῖεν γίγνεσθαι φίλοι μετ' ἀρετῆς ἐς ἀλλήλους*· atque est structura *ἀπὸ κοινοῦ*, nam ex prægresso *φιλίας* nunc *φίλοι* repetendum est. Proxime sequentia ita intelligo, 'nam in animorum discordia factorum etiam diversitas exsistit.'

ξύμμαχοι—Ἑλλήνων] Greg. Cor. p. 98. Voc. *καταδούλωσις* damnat Pollux ix, 142.; probat idem *δούλωσις* et *καταδουλοῦν*. Satis ad se ipsum refellendum.

ἐπαγομένους] Popp. Obs. p. 188. not. interpretatur, 'suscipientes,' 'sibi proponentes.' Quidni 'adducentes?'

τας ἔμελλον οἴσειν καὶ πρὸς τὸ πλεῖον ἤδη εἶκον τοῦ ἡμετέρου ἔτι μόνου ἀντισουμένου, ἄλλως τε καὶ ὅσῳ δυνατώτεροι αὐτοὶ αὑτῶν ἐγίγνοντο καὶ ἡμεῖς ἐρημότεροι. Τὸ δὲ ἀντίπαλον δέος μόνον πιστὸν ἐς ξυμμαχίαν· ὁ γὰρ παραβαίνειν τι βουλόμενος τῷ μὴ προσέχων ἂν ἐπελθεῖν ἀποτρέπεται. Αὐτόνομοί τε ἐλείφθημεν οὐ δι' ἄλλο τι ἢ ὅσον αὐτοῖς ἐς τὴν ἀρχὴν εὐπρεπείᾳ τε λόγου καὶ γνώμης μᾶλλον ἐφόδῳ ἢ ἰσχύος τὰ πράγματα ἐφαίνετο καταληπτά. Ἅμα μὲν γὰρ μαρτυρίῳ ἐχρῶντο μὴ ἂν τούς γε ἰσοψήφους ἄκοντας εἰ μή τι ἠδίκουν οἷς ἐπῄεσαν, ξυστρατεύειν· ἐν τῷ αὐτῷ δὲ καὶ τὰ κράτιστα ἐπί τε τοὺς ὑποδεεστέρους πρώτους ξυνεπῆγον καὶ τὰ τελευταῖα λιπόντες του ἄλλου περιῃρημένου ἀσθενέστερα ἔμελλον ἕξειν. Εἰ δὲ ἀφ' ἡμῶν ἤρξαντο, ἐχόντων ἔτι τῶν πάντων αὐτῶν τε ἰσχὺν καὶ πρὸς ὅ,τι χρὴ στῆναι, οὐκ ἂν ὁμοίως ἐχειρώσαντο. Τό τε ναυτικὸν ἡμῶν παρεῖχέ τινα φόβον μή ποτε καθ' ἓν γενόμενον ἢ ὑμῖν ἢ ἄλλῳ τῳ προσθέμενον κίνδυνον σφίσι παράσχῃ· τὰ δὲ καὶ ἀπὸ θεραπείας τοῦ τε κοινοῦ αὐτῶν καὶ τῶν ἀεὶ προεστώτων περιεγιγνόμεθα. Οὐ μέντοι ἐπὶ πολύ γ' ἂν ἐδοκοῦμεν δυνηθῆναι, εἰ μὴ ὁ πόλεμος ὅδε κατέστη, παραδείγμασι χρώμενοι τοῖς ἐς τοὺς ἄλλους.

12. Τίς οὖν αὕτη ἡ φιλία ἐγίγνετο ἢ ἐλευθερία πιστή, ἐν

11. *καὶ πρὸς—εἶκον*] Nihil mutandum. Sensus, 'whilst the greater part yielded to them.' In *πρὸς* est notio comparationis, ut multis locis hujus scriptoris. Poppo l. l. p. 206. legit *ἧκον*, et sequitur Vallam, 'jamque admodum processerunt.'

αὐτοὶ αὑτῶν] comparationis forma, præcipue Herodoto usitata. V. Matth. Gr. § 452.

τῷ μὴ —ἀποτρέπεται] A. B. E. H. K. S. g. Vulgo *τό*. 'Deterretur eo, quod non potest ut superior rem aggredi.'

οὐ δι' ἄλλο—καταληπτὰ] i. e. 'for no other reason, but because he believed, that, to obtain the superiority, they were obliged to begin under a specious pretext, and rather with cunning than with force.' Verba *ἐς ἀρχὴν* pendent ex *ἐφόδῳ*, quanquam interpositis *εὐπρεπείᾳ λόγου*, 'probabilitate orationis.'

ἅμα μὲν γὰρ—ἕξειν] His primum *εὐπρέπεια λόγου* explicatur inde a verbis *ἅμα—ξυστρατεύειν*, deinde *ἡ γνώμης ἔφοδος* explanatur his: *ἐν τῷ αὐτῷ—ἕξειν*. In his porro sibi respondent *ἅμα μὲν—ἐν τῷ αὐτῷ δὲ καὶ*, ut iv, 73. 'Nobis enim documento utebantur, dicentes (etiamsi alii coacti se adjuvare perhiberentur,) eos certe, qui idem jus suffragii ferendi haberent, invitos sibi auxilium laturos non esse, nisi quos aggrediuntur, ii aliquid deliquissent.' *Ἄκοντας* igitur arcte cum *ξυστρατεύειν* jungendum, quare comma post illud vocabulum cum Reisigio ad Aristoph. t. i. p. 216. delevi. Ex falsa hujus loci interpretatione Hesychii glossa orta est, *οὐκ ἄκοντες, οὐχ ἑκόντες*, quam descripsit Phavorin.

περιεγιγνόμεθα] sc. *αὐτόνομοι ὄντες*. Schol. *τέτταρα τεκμήρια τέθεικε, δι' ὧν συνίστησιν ὅτι οὐχὶ διὰ δικαιοσύνην μέχρι δεῦρο ἀπέσχοντο ἡμῶν οἱ Ἀθηναῖοι, ἀλλὰ διὰ πανουργίαν· ἓν μὲν τὸ κατὰ τὴν εὐπρέπειαν τοῦ λόγου, δεύτερον δὲ τὸ γνώμης μᾶλλον ἐφόδῳ ἢ ἰσχύϊ τὰ πράγματα φαίνεσθαι καταληπτὰ, τρίτον τὸ φοβεῖσθαι τὸ ναυτικὸν τῶν Μιτυληναίων, τέταρτον τὸ θεραπεύεσθαι πρὸς τῶν Μιτυληναίων, κολακείᾳ μὲν κοινῇ τοὺς Ἀθηναίους, δώροις δὲ τῶν προεστώτων ἕκαστον.*

12. *ἡ φιλία*] Videtur cum Dindorfio ἡ φιλία scribendum esse.

ἢ παρὰ γνώμην ἀλλήλους ὑπεδεχόμεθα, καὶ οἱ μὲν ἡμᾶς ἐν τῷ πολέμῳ δεδιότες ἐθεράπευον, ἡμεῖς δὲ ἐκείνους ἐν τῇ ἡσυχίᾳ τὸ αὐτὸ ἐποιοῦμεν· ὅ τε τοῖς ἄλλοις μάλιστα εὔνοια πίστιν βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυρὸν παρεῖχε· δέει τε τὸ πλέον ἢ φιλίᾳ κατεχόμενοι ξύμμαχοι ἦμεν· καὶ ὁποτέροις θᾶσσον παράσχοι ἀσφάλεια θάρσος, οὗτοι πρότεροί τι καὶ παραβήσεσθαι ἔμελλον. Ὥστε εἴ τῳ δοκοῦμεν ἀδικεῖν προαποστάντες, διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν αὐτοὶ οὐκ ἀνταναμείναντες σαφῶς εἰδέναι εἴ τι αὐτῶν ἔσται, οὐκ ὀρθῶς σκοπεῖ. Εἰ γὰρ δυνατοὶ ἦμεν ἐκ τοῦ ἴσου καὶ

ὅ τε—παρεῖχε] Pronomen ὃ per appositionem *πίστιν* explicatur, quæ vox non suo loco posita paulisper structuram turbat, sic, ni fallor, illustranda: *ὅ,τε τοῖς ἄλλοις μάλιστα εὔνοια βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος παρεῖχε, πίστιν*, ut docent duo alii loci paralleli; i, 122. ὃ, *καὶ λόγῳ ἐνδοιασθῆναι αἰσχρὸν τῇ Πελοποννήσῳ καὶ πόλεις τοσάσδε ὑπὸ μιᾶς κακοπαθεῖν*, i. e. ὃ *αἰσχρὸν τῇ Πελοποννήσῳ, καὶ λόγῳ ἐνδοιασθῆναι καὶ πόλεις τοσάσδε ὑπὸ μιᾶς κακοπαθεῖν*, et ii, 40. ὃ *τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει*, i. e. ὃ *τοῖς ἄλλοις φέρει, ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον.* Atque in his proximis duobus exemplis tenendum, relativum ὃ neque ad singulum aliquod vocabulum in priori neque in altero exemplo, aut ad *τολμᾶν* aut ad *ἐκλογίζεσθαι*, sed utrimque ad totam præcedentem enuntiationem referri; quod si fit, Latini non 'quod,' sed 'id quod' ponere solent. Quæ analogia locorum trium abunde, opinor, docet, male a Poppone Obs. p. 200. nostro loco confusionem duplicis structuræ statui; alterius, *ὃ τε τοῖς ἄλλοις μάλιστα εὔνοια βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυρὸν παρεῖχεν·* alterius, *εἴ τε τοῖς ἄλλοις μάλ. εὔν. πίστιν βεβαιοῖ, ἡμῖν ταύτην ὁ φόβος ἐχυρὰν παρεῖχε.* Minus etiam in hoc scriptore ferendum, quod sumit idem, verba *πίστιν βεβαιοῖ* quasi pro uno verbo fortassis habenda esse, qualia tragici maxime frequentent, ut Æschyl. Agam. 173. *Ζῆνα ἐπινίκια κλάζων*, i. e. 'celebrans,' et Soph. El. 123. *τάκεις οἰμωγὰν Ἀγαμέμνονα*, 'deploras Agamemnonem.' Hæc omnia nimis quæsita. Atque nostri loci cum plane eadem ratio sit, quæ verborum, ii, 40., differre tamen hunc locum affirmat, atque in eo anacoluthon esse, quoniam in illo loco ὃ accusativus sit, in hoc nominativus. Thucydidem ait initio scribere voluisse ὃ *τοῖς ἄλλοις ὄκνον φέρει*, sed explicandi causa contrarium in medio inseruisse, *ἀμαθία μὲν θράσος*, et deinde, quo oratio concinnior esset, *λογισμὸς* addidisse. In quem errorem inductus est eo, quod ὃ traxit ad *ἐκλογίζεσθαι*, quod falsum esse comparatio horum locorum demonstrat. Minus etiam recte cum his locis, vel potius cum verbis ii, 40. contulit nominativos absolutos iii, 34. *ὁ δὲ* (Paches) *προκαλεσάμενος ἐς λόγους Ἱππίαν—ὁ μὲν ἐξῆλθε—ὁ δ' ἐκεῖνον ἐν φυλακῇ ἀδέσμῳ εἶχε*, et iv, 80. *καὶ προκρίναντες* (*οἱ Λακεδαιμόνιοι*) *ἐς δισχιλίους* (Εἵλωτας)—*οἱ μὲν ἐστεφανώσαντο—οἱ δὲ—ἠφάνισαν αὐτοὺς*, etc. Nam et ratio partium orationis in his locis diversa est, et collocatio verborum; etenim in altero loco unum verbum *φέρει* duobus subjectis *ἀμαθία* et *λογισμὸς*, quæ complectitur relativum pron. ὃ, jungitur; verbum autem, quod sententia flagitat, ut post *ἄλλοις* poneretur, in fine positum. Alteris locis duplex subjectum, duplex verbum est, vel potius triplex; collocatio autem verborum talis, ut non aliter posita expectes, sed initio orationis pro nominativo participii genitivum; quoniam vero in altero verborum finitorum *εἶχε* et *ἠφάνισαν* idem subjectum inest, quod in participio, (quod si fit, genitivus absolutus participii poni non solet) nominativo scriptor, non genitivo usus est, quanquam interposito altero subjecto *ὁ μὲν* et *οἱ μὲν*, non ad participium spectante. Conf. infra ad cap. 34.

ὥστε—σκοπεῖ] Structura hæc est: *ὥστε εἴ τῳ δοκοῦμεν προαποστάντες ἀδικεῖν αὐτοὶ διὰ τὴν ἐκ. μέλλ. τῶν ἐς ἡμᾶς δεινῶν οὐκ ἀνταναμ. σαφ. εἰδ. εἴ τι αὐτῶν ἔσται, οὐκ ὀρθ. σκοπεῖ*, i. e. 'Whoever therefore charges us with injustice for revolting, whilst they were only meditating our ruin, and before we actually felt the miseries designed us, that person charges us without a reason.' Cum *μέλλησιν* duplex genitivus et subj. et objecti junctus est. V. Matth. Gr. § 380. Obs. 1.

ἀντεπιβουλεῦσαι καὶ ἀντιμελλῆσαι, τί ἔδει ἡμᾶς ἐκ τοῦ ὁμοίου ἐπ' ἐκείνοις ἰέναι; ἐπ' ἐκείνοις δὲ ὄντος ἀεὶ τοῦ ἐπιχειρεῖν καὶ ἐφ' ἡμῖν εἶναι δεῖ τὸ προαμύνασθαι.

13. Τοιαύτας ἔχοντες προφάσεις καὶ αἰτίας, ὦ Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἀπέστημεν, σαφεῖς μὲν τοῖς ἀκούουσι γνῶναι ὡς εἰκότως ἐδράσαμεν, ἱκανὰς δὲ ἡμᾶς ἐκφοβῆσαι καὶ πρὸς ἀσφάλειάν τινα τρέψαι, βουλομένους μὲν καὶ πάλαι, ὅτε ἔτι ἐν τῇ εἰρήνῃ ἐπέμψαμεν ὡς ὑμᾶς περὶ ἀποστάσεως, ὑμῶν δὲ οὐ προσδεξαμένων κωλυθέντας· νῦν δὲ ἐπειδὴ Βοιωτοὶ προὐκαλέσαντο, εὐθὺς ὑπηκούσαμεν, καὶ ἐνομίζομεν ἀποστήσεσθαι διπλῆν ἀπόστασιν, ἀπό τε τῶν Ἑλλήνων μὴ ξὺν κακῶς ποιεῖν αὐτοὺς μετ' Ἀθηναίων, ἀλλὰ ξυνελευθεροῦν, ἀπό τε Ἀθηναίων μὴ αὐτοὶ διαφθαρῆναι ὑπ' ἐκείνων ἐν ὑστέρῳ, ἀλλὰ προποιῆσαι. Ἡ μέντοι ἀπόστασις ἡμῶν θᾶσσον γεγένηται καὶ ἀπαράσκευος· ᾗ καὶ μᾶλλον χρὴ ξυμμάχους δεξαμένους ἡμᾶς διὰ ταχέων βοήθειαν ἀπο-

εἰ γὰρ—εἶναι] Reposui *ἰέναι* et *ἀντιμελλῆσαι* pro vulgatis *εἶναι* et *ἀντεπιμελλῆσαι*. Codd. B. E. H. I. d. e. g. h. i. *ἀντεπιμελλῆσαι*. At *ἀντιμελλῆσαι* legit Schol., cujus expositio hujus loci hæc est: *εἰ γὰρ ἴσοι αὐτοῖς ὑπήρχομεν κατὰ δύναμιν, ὥστε καὶ ἐπιβουλεύουσιν αὐτοῖς ἀντεπιβουλεῦσαι καὶ βραδυνόντων αὐτῶν καὶ μελλόντων ἀντιμελλῆσαι καὶ ἀντιβραδῦναι, τί ἔδει ἡμᾶς ὑπ' ἐκείνοις ταχθῆναι ἢ ὑπακούειν αὐτοῖς; ὁπότε δὲ οὐκ ἦμεν ἴσοι, ἀλλ' ἐπ' ἐκείνοις ἦν τὸ ἐπιχειρεῖν καθ' ἡμῶν ὅτε θέλουσιν, ἔδει καὶ ἐφ' ἡμῖν εἶναι τὸ ἀποστῆναι αὐτῶν πρίν τι παρ' αὐτῶν παθεῖν.* Apte monuit Dindorf., verbum *ἀντεπιμέλλειν* hinc relatum in lexica esse nihili, idque librariis obrepsisse consueto ex præcedente *ἀντεπιβουλεῦσαι*. Ita, ait, ne plura conferam, infra c. 104. *μήτ' ἐναποθνήσκειν μήτ' ἐναποτίκτειν* liber unus pro *ἐντίκτειν*.—Heilmann. conjecit *εἰ γὰρ—ἀντεπιμελῆσαί τι, ἔδει—εἶναι*. Quæ verba sic interpretatur: 'if we had been enabled by our circumstances to take equally advantageous measures against them, we ought, by all means, to have regulated our conduct according to theirs in all those scruples which have just been mentioned.' Sed et *τι* sic languet, et *ἐπ' ἐκείνοις εἶναι* non potest aliud significare nisi 'in eorum potestate esse,' nec inest in verbis *ἐκ τοῦ ὁμοίου* sensus, 'a general council,' sed idem exprimunt quod antecedentia *ἐκ τοῦ ἴσου*. Nec minus absurda Scholiastæ explicatio; nam non quæritur, an Mitylenæi in potestate Atheniensium esse debuerint, sed an opus fuerit paribus præsidiis valentibus pacem rumpere. Hic quoque scholia veram viam commonstrant intelligendi scriptoris; nam ea sic habent, *ἐκ τοῦ ὁμοίου —εἶναι*] *ἤγουν κινουμένων ἐκείνων κινηθῆναι καὶ ἡμᾶς*, unde patet eum legisse *ἰέναι*, non *εἶναι*, quam scripturam recepi. Quid oportebat nos, ait, pari potentia et æqualibus viribus præditos (*ἐκ τοῦ ὁμοίου*) contra eos ire? quid cum eos impetum in nos facientes propulsare potuissemus, ultro aggredi? *Εἶναι* tanto facilius irrepsit, quia sequuntur verba similia *ἐφ' ἡμῖν εἶναι*. Hunc locum ob oculos habuit Dio Cass., cum scripsit xxxviii, 11. *τοῦ μή τινα προαισθανόμενον προφυλάξασθαι, ἢ καὶ προποιῆσαί τι δεινὸν αὐτὸν, πρὶν παθεῖν, ἐπιχειρῆσαι.*

13. *ξὺν κακῶς ποιῆσαι*] Conjecerunt *ξυγκακῶσαι λοιπὸν αὐτούς*. Temere. Tmesis *ξ. κ. π.* concinnitati data orationis ob contrarium *ξυνελευθεροῦν*, ut animadvertit Popp. Proleg. t. i. p. 256. V. quos idem laudat Matth. Gr. § 594, 2. et inprimis Spohn. ad Isocr. Paneg. p. 12. adde interpp. ad Greg. Cor. p. 446. 799. Schæfer. Mel. Crit. p. 68. ad Long. p. 417. Conf. Xenoph. Symp. viii, 17. *πρῶτον μὲν γὰρ τίς μισεῖν δύναιτ' ἂν, ὑφ' οὗ εἰδείη καλός τε καὶ ἀγαθὸς νομιζόμενος; —πρὸς δὲ τούτοις πιστεύῃ, μήτ' ἂν παρά τι ποιήσῃ, μήτ' ἂν καμὼν ἀμορφότερος γένηται, μειωθῆναι ἂν τὴν φιλίαν*; Vide Lobeck. ad Phrynich. p. 620. et Krueger. ad Dionys. p. 21.

στέλλειν, ἵνα φαίνησθε ἀμύνοντές τε οἷς δεῖ καὶ ἐν τῷ αὐτῷ τοὺς πολεμίους βλάπτοντες. Καιρὸς δὲ ὡς οὔπω πρότερον. Νόσῳ τε γὰρ ἐφθάραται Ἀθηναῖοι καὶ χρημάτων δαπάνῃ, νῆές τε αὐτοῖς αἱ μὲν περὶ τὴν ὑμετέραν εἰσὶν, αἱ δ' ἐφ' ἡμῖν τετάχαται, ὥστε οὐκ εἰκὸς αὐτοὺς περιουσίαν νεῶν ἔχειν, ἢν ὑμεῖς ἐν τῷ θέρει τῷδε ναυσί τε καὶ πεζῷ ἅμα ἐπεσβάλητε τὸ δεύτερον, ἀλλ' ἢ ὑμᾶς οὐκ ἀμυνοῦνται ἐπιπλέοντας ἢ ἀπ' ἀμφοτέρων ἀποχωρήσονται. Νομίσῃ τε μηδεὶς ἀλλοτρίας γῆς πέρι οἰκεῖον κίνδυνον ἕξειν. Ὧι γὰρ δοκεῖ μακρὰν ἀπεῖναι ἡ Λέσβος, τὴν ὠφέλειαν αὐτῷ ἐγγύθεν παρέξει. Οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται ὁ πόλεμος, ὥς τις οἴεται, ἀλλὰ δι' ἣν ἡ Ἀττικὴ ὠφελεῖται. Ἔστι δὲ τῶν χρημάτων ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος, καὶ ἔτι μείζων ἔσται, εἰ ἡμᾶς καταστρέψονται· οὔτε γὰρ ἀποστήσεται ἄλλος τά τε ἡμέτερα προσγενήσεται, πάθοιμέν τ' ἂν δεινότερα ἢ οἱ πρὶν δουλεύοντες. Βοηθησάντων δὲ ὑμῶν προθύμως πόλιν τε προσλήψεσθε ναυτικὸν ἔχουσαν μέγα, οὗπερ ὑμῖν μάλιστα προσδεῖ, καὶ Ἀθηναίους ῥᾷον καθαιρήσετε ὑφαιροῦντες αὐτῶν τοὺς ξυμμάχους· θρασύτερον γὰρ πᾶς τις προσχωρήσεται· τήν τε αἰτίαν ἀποφεύξεσθε ἣν εἴχετε μὴ βοηθεῖν τοῖς ἀφισταμένοις. Ἢν δ' ἐλευθεροῦντες φαίνησθε, τὸ κράτος τοῦ πολέμου βεβαιότερον ἕξετε.

14. Αἰσχυνθέντες οὖν τάς τε τῶν Ἑλλήνων ἐς ὑμᾶς ἐλπίδας καὶ Δία τὸν Ὀλύμπιον, ἐν οὗ τῷ ἱερῷ ἴσα καὶ ἱκέται ἐσμὲν, ἐπαμύνατε Μυτιληναίοις ξύμμαχοι γενόμενοι, καὶ μὴ πρόησθε ἡμᾶς, ἴδιον μὲν τὸν κίνδυνον τῶν σωμάτων παραβαλλομένους, κοινὴν δὲ τὴν ἐκ τοῦ κατορθῶσαι ὠφέλειαν ἅπασι δώσοντας, ἔτι δὲ κοινοτέραν τὴν βλάβην, εἰ

ἐφθάραται] V. Matth. Gr. § 204, 6. Habet locum Phot. in v., sicut mox *τετάχαται* Zonar. in v. conf. iv, 31. Mox, *πάθοιμεν τἂν* Elmsl. ad Aristoph. Ach. 323. conjecit, quod est alienum ab hoc scriptore, qui nunquam crasin hanc admittit.

βοηθησάντων — καθαιρήσετε] genitivus absolutus pro casu participii, quem sequens verbum postulat: v. Matth. Gr. § 561. Conf. ii, 83. viii, 76. *ἐχόντων γὰρ σφῶν τὸ πᾶν ναυτικὸν — ἀναγκάσειν τὰ χρήματα ὁμοίως διδόναι.* Genitivus absolutus pro dativo participii usurpatus, et repetito quidem subjecto, i, 114. *καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη Περικλέους στρατιᾷ Ἀθηναίων, ἠγγέλθη αὐτῷ.* Genitivus abs. pro accusativo, ita ut accusativus et ipse legatur, ii, 8. *ἡ δὲ εὔνοια παρὰ πολὺ ἐποίει τῶν ἀνθρώπων μᾶλλον ἐς τοὺς Λακεδαιμονίους, ἄλλως τε καὶ προειπόντων, ὅτι τὴν Ἑλλάδα ἐλευθεροῦσιν.* Fusius usum genitivi absoluti explicat Popp. Prol. t. i. p. 119. Verbum *καθαιρήσετε* pro *καθελεῖτε* Thucydidi et aliis in usu esse, observant Phot. Suidas, Phavorin. Zonar., ubi v. Tittm.

14. *δώσοντας*] plurimi libri. Vulgo *διδόντας*. V. Popp. Obs. p. 161., qui nihilominus futurum ortum esse putat ex hoc scholio: *ἅπασι διδόντας*] *δώσοντας*. Malui scriptis obtemperare.

μὴ πεισθέντων ὑμῶν σφαλησόμεθα. Γίγνεσθε δὲ ἄνδρες οἵουσπερ ὑμᾶς οἵ τε Ἕλληνες ἀξιοῦσι καὶ τὸ ἡμέτερον δέος βούλεται.

15. Τοιαῦτα μὲν οἱ Μυτιληναῖοι εἶπον. Οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐπειδὴ ἤκουσαν, προσδεξάμενοι τοὺς λόγους ξυμμάχους τε τοὺς Λεσβίους ἐποιήσαντο καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν τοῖς ξυμμάχοις παροῦσι κατὰ τάχος ἔφραζον ἰέναι ἐς τὸν ἰσθμὸν τοῖς δύο μέρεσιν ὡς ποιησόμενοι, καὶ αὐτοὶ πρῶτοι ἀφίκοντο, καὶ ὁλκοὺς παρεσκεύαζον τῶν νεῶν ἐν τῷ ἰσθμῷ ὡς ὑπεροίσοντες ἐκ τῆς Κορίνθου ἐς τὴν πρὸς Ἀθήνας θάλασσαν καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐπιόντες. Καὶ οἱ μὲν προθύμως ταῦτα ἔπρασσον· οἱ δὲ ἄλλοι ξύμμαχοι βραδέως τε ξυνελέγοντο καὶ ἐν καρποῦ ξυγκομιδῇ ἦσαν καὶ ἀῤῥωστίᾳ τοῦ στρατεύειν.

16. Αἰσθόμενοι δὲ αὐτοὺς οἱ Ἀθηναῖοι διὰ κατάγνωσιν ἀσθενείας σφῶν παρασκευαζομένους, δηλῶσαι βουλόμενοι ὅτι οὐκ ὀρθῶς ἐγνώκασιν, ἀλλ᾽ οἷοί τέ εἰσι μὴ κινοῦντες τὸ ἐπὶ Λέσβῳ ναυτικὸν καὶ τὸ ἀπὸ Πελοποννήσου ἐπιὸν ῥᾳδίως ἀμύνεσθαι, ἐπλήρωσαν ναῦς ἑκατὸν ἐσβάντες αὐτοί τε πλὴν ἱππέων καὶ πεντακοσιομεδίμνων καὶ οἱ μέτοικοι, καὶ παρὰ τὸν ἰσθμὸν ἀναγαγόντες ἐπίδειξίν τε ἐποιοῦντο καὶ ἀποβάσεις τῆς Πελοποννήσου ᾗ δοκοῖ αὐτοῖς. Οἱ δὲ Λακεδαιμόνιοι ὁρῶντες πολὺν τὸν παράλογον τά τε ὑπὸ τῶν Λεσβίων ῥηθέντα ἡγοῦντο οὐκ ἀληθῆ καὶ ἄπορα νομίζοντες ὡς αὐτοῖς καὶ οἱ ξύμμαχοι ἅμα οὐ παρῆσαν καὶ ἠγγέλλοντο καὶ αἱ περὶ τὴν Πελο-

15. *τὴν ἐς τὴν Ἀττ. ἐσβολὴν—ποιησόμενοι*] Artic. *τὴν* necessarius propter ea quæ cap. 13. narravit. Heusd. Spec. Crit. in Plat. p. 116., transpositis verbis, legit *ἐποιήσαντο, τοῖς τε ξυμμάχοις παροῦσι κατὰ τάχος ἔφραζον ἰέναι ἐς τὸν Ἰσθμὸν τοῖς δύο μέρεσιν, ὡς ποιησόμενοι ἐς τὴν Ἀττικὴν ἐσβολὴν· καὶ αὐτοὶ*, etc. Conf. Thiersch. Act. Phil. Mon. t. iii. p. 287. Heilm. commata ponit post *ἐσβολὴν* et *ποιησόμενοι*, quo nihil lucramur; nam vel sic Lacedæmonii dicuntur invasuri, cum jam invasisse dicti essent. Nihil mutandum, nisi distinctione omni deleta et abjecta copula *τε*, quæ ante *ξυμμάχοις* legitur vulgo, jungendum *καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν ὡς ποιησόμενοι*.

ἐν καρποῦ—στρατεύειν] Etym. M. Phot. Suidas, Phavorin. in *συγκομιδή*. Suidas in *ἀῤῥωστία*, Anecd. Bekk. i. p. 446. Thom. M. p. 112. Alterum glossæ per 'collectus,' alterum grammatici per *ἀπροθυμία* explicant.

16. *ἱππέων καὶ πεντακοσιομ.*] V. Boëckh. Staatsh. d. Ath. t. ii. p. 29. Solon quatuor classes populi Attici instituerat, quarum in prima pentacosiomedimni erant, sive ii qui ex proprio fundo quingentos frumenti medimnos, totidemque fluidi metretas colligerent; in secunda, qui trecentos, et equo alendo essent, equo, inquam, pugnare apto, cui addendus erat alter, quo servus veheretur, quibus scilicet etiam jugo ad arandos agros opus erat: hi dicti sunt equites. Tertia classis Zeugitæ erant, quibus a jugo (*ζεύγει*) nomen inventum est, quod colendo agro alebant; quorumque proventus ducentum medimnum, parisque fluidi mensuræ æstimabatur. In infima classe Thetes erant, qui infra censum Zeugitarum censebantur.

πόννησον τριάκοντα νῆες τῶν Ἀθηναίων τὴν περιοικίδα αὐτῶν πορθοῦσαι, ἀνεχώρησαν ἐπ' οἴκου. Ὕστερον δὲ ναυτικὸν παρεσκεύαζον ὅ,τι πέμψουσιν ἐς τὴν Λέσβον, καὶ κατὰ πόλεις ἐπήγγελλον τεσσαράκοντα νεῶν πλῆθος, καὶ ναύαρχον προσέταξαν Ἀλκίδαν, ὃς ἔμελλεν ἐπιπλεύσεσθαι. Ἀνεχώρησαν δὲ καὶ οἱ Ἀθηναῖοι ταῖς ἑκατὸν ναυσὶν, ἐπειδὴ καὶ ἐκείνους εἶδον.

17. Καὶ κατὰ τὸν χρόνον τοῦτον ὃν αἱ νῆες ἔπλεον ἐν τοῖς πλεῖσται δὴ νῆες ἅμ' αὐτοῖς ἐνεργοὶ κάλλει ἐγένοντο, παραπλήσιαι δὲ καὶ ἔτι πλείους ἀρχομένου τοῦ πολέμου. Τήν τε γὰρ Ἀττικὴν καὶ Εὔβοιαν καὶ Σαλαμῖνα ἑκατὸν ἐφύλασσον καὶ περὶ Πελοπόννησον ἕτεραι ἑκατὸν ἦσαν, χωρὶς δὲ αἱ περὶ Ποτίδαιαν καὶ ἐν τοῖς ἄλλοις χωρίοις, ὥστε αἱ πᾶσαι ἅμα ἐγίγνοντο ἐν ἑνὶ θέρει διακόσιαι καὶ πεντήκοντα. Καὶ τὰ χρήματα τοῦτο μάλιστα ὑπανάλωσε μετὰ Ποτιδαίας. Τήν τε γὰρ Ποτίδαιαν δίδραχμοι ὁπλῖται ἐφρούρουν, αὐτῷ γὰρ καὶ ὑπηρέτῃ δραχμὴν ἐλάμβανε τῆς ἡμέρας, τρισχίλιοι μὲν οἱ πρῶτοι, ὧν οὐκ ἐλάσσους διεπολιόρκησαν, ἑξακόσιοι δὲ καὶ χίλιοι μετὰ Φορμίωνος, οἳ προαπῆλθον· νῆές τε αἱ πᾶσαι τὸν αὐτὸν μισθὸν ἔφερον. Τὰ μὲν οὖν χρήματα οὕτως ὑπαναλώθη τὸ πρῶτον καὶ νῆες τοσαῦται δὴ πλεῖσται ἐπληρώθησαν.

18. Μυτιληναῖοι δὲ κατὰ τὸν αὐτὸν χρόνον ὃν οἱ Λακεδαιμόνιοι περὶ τὸν ἰσθμὸν ἦσαν ἐπὶ Μήθυμναν ὡς προδιδομένην ἐστράτευσαν κατὰ γῆν αὐτοί τε καὶ οἱ ἐπίκουροι· καὶ προσβαλόντες τῇ πόλει, ἐπειδὴ οὐ προὐχώρει ᾗ προσεδέχοντο, ἀπῆλθον ἐπ' Ἀντίσσης καὶ Πύῤῥας καὶ Ἐρέσσου καὶ καταστησάμενοι τὰ ἐν ταῖς πόλεσι ταύταις βεβαιότερα καὶ τείχη κρατύναντες διὰ τάχους ἀπῆλθον ἐπ' οἴκου. Ἐστράτευσαν δὲ καὶ οἱ Μηθυμναῖοι ἀναχωρησάντων αὐτῶν ἐπ' Ἄντισσαν·

ὅ,τι πέμψουσιν] futurum simplex pro ἔμελλον πέμπειν. Conf. iv, 22. ξυνέδρους σφίσιν ἐκέλευον ἑλέσθαι, οἵτινες—ξυμβήσονται. viii, 1. ἐδόκει ἀρχήν τινα πρεσβυτέρων ἀνδρῶν ἑλέσθαι, οἵτινες—προβουλεύσουσι.

17. ἐν τοῖς πλεῖσται] V. Herm. ad Viger. p. 787. Reiz. de Accent. Inclin. p. 17. Wolf. Exempla formulæ congesserunt Heilm. et Bredov. ad h. l. Structura proxime sequentium verborum hæc videtur esse: νῆες αὐτοῖς ἐνεργοὶ ἅμα κάλλει ἐγένοντο.

τήν τε γὰρ Ποτίδαιαν δίδραχμοι—δραχμὴν ἐλάμβανε] Boëckh. Staatsh. d. Ath. t. i. p. 131. Ulpian. ad Dem. in Lept. p. 33. Wolf.

18. προδιδομένην] participium præs. pro partic. futuri. Conf. iv, 81. ἡ ἔκπεμψίς μου—γεγένηται τὴν αἰτίαν ἐπαληθεύουσα. Duker. ad v, 65. De scriptura vocis αὐτερέται v. Lobeck. ad Phryn. p. 704.

καὶ ἐκβοηθείας τινὸς γενομένης πληγέντες ὑπό τε τῶν Ἀντισσαίων καὶ τῶν ἐπικούρων ἀπέθανόν τε πολλοὶ καὶ ἀνεχώρησαν οἱ λοιποὶ κατὰ τάχος. Οἱ δὲ Ἀθηναῖοι πυνθανόμενοι ταῦτα τούς τε Μυτιληναίους τῆς γῆς κρατοῦντας καὶ τοὺς σφετέρους στρατιώτας οὐχ ἱκανοὺς ὄντας εἴργειν πέμπουσι περὶ τὸ φθινόπωρον ἤδη ἀρχόμενον Πάχητα τὸν Ἐπικούρου στρατηγὸν καὶ χιλίους ὁπλίτας ἑαυτῶν. Οἱ δὲ αὐτερέται πλεύσαντες τῶν νεῶν ἀφικνοῦνται καὶ περιτειχίζουσι Μυτιλήνην ἐν κύκλῳ ἁπλῷ τείχει· φρούρια δὲ ἔστιν οἷ ἐπὶ τῶν καρτερῶν ἐγκατῳκοδόμηται. Καὶ ἡ μὲν Μυτιλήνη κατὰ κράτος ἤδη ἀμφοτέρωθεν καὶ ἐκ γῆς καὶ ἐκ θαλάσσης εἴργετο καὶ ὁ χειμὼν ἤρχετο γίγνεσθαι.

19. Προσδεόμενοι δὲ οἱ Ἀθηναῖοι χρημάτων ἐς τὴν πολιορκίαν καὶ αὐτοὶ ἐσενεγκόντες τότε πρῶτον ἐσφορὰν διακόσια τάλαντα ἐξέπεμψαν καὶ ἐπὶ τοὺς ξυμμάχους ἀργυρολόγους ναῦς δώδεκα καὶ Λυσικλέα πέμπτον αὐτὸν στρατηγόν. Ὁ δὲ ἄλλα τε ἠργυρολόγει καὶ περιέπλει, καὶ τῆς Καρίας ἐκ Μυοῦντος ἀναβὰς διὰ τοῦ Μαιάνδρου πεδίου μέχρι τοῦ Σανδίου λόφου, ἐπιθεμένων τῶν Καρῶν καὶ Ἀναιιτῶν αὐτός τε διαφθείρεται καὶ τῆς ἄλλης στρατιᾶς πολλοί.

20. Τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Πλαταιῆς, ἔτι γὰρ ἐπολιορκοῦντο ὑπὸ τῶν Πελοποννησίων καὶ Βοιωτῶν, ἐπειδὴ τῷ τε σίτῳ ἐπιλιπόντι ἐπιέζοντο καὶ ἀπὸ τῶν Ἀθηνῶν οὐδεμία ἐλπὶς ἦν τιμωρίας οὐδὲ ἄλλη σωτηρία ἐφαίνετο, ἐπιβουλεύουσιν αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι πρῶτον μὲν πάντες ἐξελθεῖν καὶ ὑπερβῆναι τὰ τείχη τῶν πολεμίων, ἢν δύνωνται βιάσασθαι, ἐσηγησαμένου τὴν πεῖραν αὐτοῖς Θεαινέτου τε τοῦ Τολμίδου ἀνδρὸς μάντεως καὶ Εὐπομπίδου τοῦ Δαϊμάχου, ὃς καὶ ἐστρατήγει· ἔπειτα οἱ μὲν ἡμίσεις

19. *προσδεόμενοι — δώδεκα*] Apodosis initium habet verbo *ἐξέπεμψαν*. De *ἐσφορᾷ*, 'contribution,' v. Boëckh. l. l. t. ii. ineunte, et de hoc ipso loco p. 4. not.

καὶ τῆς ἄλλης στρ.] Voc. *ἄλλης* abeat a codd. F. H. N., quare delendum videtur Kruegero ad Dionys. p. 328. not. conf. ii, 69. iii, 7. At vulgatam tuetur locus iii, 112. *Δημοσθένης—καὶ τὸ ἄλλο στράτευμα.*

20. *τιμωρίας*] Thom. M. p. 855. interpretatur *βοήθεια*, adscriptis verbis *καὶ ἀπὸ — τιμωρίας*. Mox, *Τολμίδου* plerique iidemque optimi libri; vulgo *Τιμίδου*.

ἐπιβουλεύουσιν — ἐξελθεῖν] Thom. M. p. 159., unde Phavorin. sua habet in *βουλεύομαι*. Voc. *ἐξαληλιμμένον* Mœris ex hoc loco laudans itidem ut Scholiastes *κεχρισμένον* interpretatur: ubi v. notam p. 144. At Zonar. Suid. et Hesych. *ἐξαληλιμμένος, ἠλειμμένος*. De medio *ἀριθμεῖσθαι* v. Popp. Prol. t. i. p. 187.

ἀπώκνησάν πως τὸν κίνδυνον μέγαν ἡγησάμενοι, ἐς δὲ ἄνδρας διακοσίους καὶ εἴκοσι μάλιστα ἐνέμειναν τῇ ἐξόδῳ ἐθελονταὶ τρόπῳ τοιῷδε. Κλίμακας ἐποιήσαντο ἴσας τῷ τείχει τῶν πολεμίων· ξυνεμετρήσαντο δὲ ταῖς ἐπιβολαῖς τῶν πλίνθων ᾗ ἔτυχε πρὸς σφᾶς οὐκ ἐξαληλιμμένον τὸ τεῖχος αὐτῶν. Ἠριθμοῦντο δὲ πολλοὶ ἅμα τὰς ἐπιβολὰς καὶ ἔμελλον οἱ μέν τινες ἁμαρτήσεσθαι, οἱ δὲ πλείους τεύξεσθαι τοῦ ἀληθοῦς λογισμοῦ ἄλλως τε καὶ πολλάκις ἀριθμοῦντες καὶ ἅμα οὐ πολὺ ἀπέχοντες, ἀλλὰ ῥᾳδίως καθορωμένου ἐς ὃ ἐβούλοντο τοῦ τείχους. Τὴν μὲν οὖν ξυμμέτρησιν τῶν κλιμάκων οὕτως ἔλαβον, ἐκ τοῦ πάχους τῆς πλίνθου εἰκάσαντες τὸ μέτρον.

21. Τὸ δὲ τεῖχος ἦν τῶν Πελοποννησίων τοιόνδε τῇ οἰκοδομήσει. Εἶχε μὲν δύο τοὺς περιβόλους, πρός τε Πλαταιῶν καὶ εἴ τις ἔξωθεν ἀπ' Ἀθηνῶν ἐπίοι, διεῖχον δὲ οἱ περίβολοι ἑκκαίδεκα πόδας μάλιστα ἀπ' ἀλλήλων· τὸ οὖν μεταξὺ τοῦτο οἱ ἑκκαίδεκα πόδες, τοῖς φύλαξιν οἰκήματα διανενεμημένα ᾠκοδόμητο, καὶ ἦν ξυνεχῆ ὥστε ἓν φαίνεσθαι τεῖχος παχὺ ἐπάλξεις ἔχον ἀμφοτέρωθεν. Διὰ δέκα δὲ ἐπάλξεων πύργοι ἦσαν μεγάλοι καὶ ἰσοπλατεῖς τῷ τείχει, διήκοντες ἔς τε τὸ ἔσω μέτωπον αὐτοῦ καὶ οἱ αὐτοὶ καὶ ἐς τὸ ἔξω, ὥστε πάροδον μὴ εἶναι παρὰ πύργον, ἀλλὰ δι' αὐτῶν μέσων διήεσαν. Τὰς οὖν νύκτας ὁπότε χειμὼν εἴη νοτερός, τὰς μὲν ἐπάλξεις ἀπέλειπον, ἐκ δὲ τῶν πύργων ὄντων δι' ὀλίγου καὶ ἄνωθεν στεγανῶν τὴν φυλακὴν ἐποιοῦντο. Τὸ μὲν οὖν τεῖχος ᾧ περιεφρουροῦντο οἱ Πλαταιῆς τοιοῦτον ἦν.

22. Οἱ δ', ἐπειδὴ παρεσκεύαστο αὐτοῖς, τηρήσαντες νύκτα χειμέρινον ὕδατι καὶ ἀνέμῳ καὶ ἅμα ἀσέληνον ἐξῄεσαν· ἡγοῦντο δὲ οἵπερ καὶ τῆς πείρας αἴτιοι ἦσαν. Καὶ πρῶτον μὲν τὴν τάφρον διέβησαν ἣ περιεῖχεν αὐτούς, ἔπειτα προσέμιξαν τῷ τείχει τῶν πολεμίων λαθόντες τοὺς φύλακας, ἀνὰ

ἐς ὃ ἐβούλοντο] Schol. *δηλονότι θεῖναι κλίμακας.* Eodem modo apud Livium xxv, 23. ad turrim Syracusarum Galeagram 'quum sæpius commearent, unus ex Romanis, ex propinquo murum contemplatus, numerando lapides æstimandoque ipse secum, quid in fronte paterent singuli, altitudinem muri, quantum proxime conjectura poterat, permensus, humilioremque aliquanto pristina opinione sua et ceterorum omnium ratus esse, et vel mediocribus scalis superabilem, ad Marcellum rem defert.'

21. *οἰκοδόμησει*] Pollux viii, 117. Anecd. Bekk. i. p. 110. v. Lobeck. ad Phrynich. p. 487.

22. *χειμέρινον*] V. Dorv. ad Charit. p. 413. interpp. ad Callim. t. i. p. 184.

τὸ σκοτεινὸν μὲν οὐ προϊδόντων αὐτῶν, ψόφῳ δὲ τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς ἀντιπαταγοῦντος τοῦ ἀνέμου οὐ κατακουσάντων· ἅμα δὲ καὶ διέχοντες πολὺ ἦσαν, ὅπως τὰ ὅπλα μὴ κρουόμενα πρὸς ἄλληλα αἴσθησιν παρέχοι. Ἦσαν δὲ εὐσταλεῖς τε τῇ ὁπλίσει καὶ τὸν ἀριστερὸν πόδα μόνον ὑποδεδεμένοι ἀσφαλείας ἕνεκα τῆς πρὸς τὸν πηλόν. Κατὰ οὖν μεταπύργιον προσέμισγον πρὸς τὰς ἐπάλξεις, εἰδότες ὅτι ἔρημοί εἰσι, πρῶτον μὲν οἱ τὰς κλίμακας φέροντες καὶ προσέθεσαν· ἔπειτα ψιλοὶ δώδεκα ξὺν ξιφιδίῳ καὶ θώρακι ἀνέβαινον, ὧν ἡγεῖτο Ἀμμέας ὁ Κοροίβου καὶ πρῶτος ἀνέβη. Μετὰ δὲ αὐτὸν οἱ ἑπόμενοι ἓξ ἐφ' ἑκάτερον τῶν πύργων ἀνέβαινον· ἔπειτα ψιλοὶ ἄλλοι μετὰ τούτους ξὺν δορατίοις ἐχώρουν, οἷς ἕτεροι κατόπιν τὰς ἀσπίδας ἔφερον, ὅπως ἐκεῖνοι ῥᾷον προσβαίνοιεν, καὶ ἔμελλον δώσειν ὁπότε πρὸς τοῖς πολεμίοις εἴησαν. Ὡς δὲ ἄνω πλείους ἐγένοντο, ᾔσθοντο οἱ ἐκ τῶν πύργων φύλακες· κατέβαλε γάρ τις τῶν Πλαταιῶν ἀντιλαμβανόμενος ἀπὸ τῶν ἐπάλξεων κεραμίδα, ἣ πεσοῦσα δοῦπον ἐποίησε. Καὶ αὐτίκα βοὴ ἦν, τὸ δὲ στρατόπεδον ἐπὶ τὸ τεῖχος ὥρμησεν· οὐ γὰρ ᾔδει ὅ,τι ἦν τὸ δεινὸν σκοτεινῆς νυκτὸς καὶ χειμῶνος ὄντος, καὶ ἅμα οἱ ἐν τῇ πόλει τῶν Πλαταιῶν ὑπολελειμμένοι ἐξελθόντες προσέβαλον τῷ

ἀριστερὸν πόδα] "Virg. [Æn. vii, 690. ubi v. Heyn.] 'vestigia nuda sinistri Instituere pedis, crudus tegit altera pero.'" Wass. "In prœliis multæ gentes alterum pedem tectum habebant, de qua re vide quæ adnotant Lips. iii. de Mil. Rom. 7. Cerd. ad Virg. vii. Æn. 689. et Dausq. ad Silium viii, 421. sed de iis hic non agitur. Quæri tamen potest, cur *ἀσφαλείας πρὸς τὸν πηλὸν ἕνεκα* potius sinistro, quam dextro pede calceati fuerint; quum dextri pedis tegmen non minus *ἀσφάλειαν* illam præstare posset, quam sinistri? Scholiastes dicit, eos dextrum pedem nudum habuisse *διὰ κουφότητα*. Eandem causam, cur Ætoli sinistrum pedem *ὑποδεδεμένοι* fuerint, dextrum autem *ἀνυπόδετον* habuerint, reddit Aristot. ap. Macrob. v. Saturn. 18. nam, inquit, oportet pedem, qui præcedit et incessum inchoat, *τὸν ἡγούμενον πόδα*, levem ac celerem habere, non eum qui subsequitur ac tardior est. Adde Brodæum iii. Miscellan. 8." Duker. Addidit Wasse in not. ms. In pedem sinistrum militem fere niti, dextra manu usurum: idque facere gladiatores; sinistrum pedem quasi pro centro habere, unde totum corpus circumagant. Vocem *εὐσταλής* in glossis Thucydideis enumerant Anecd. Bekk. i. p. 96. Paulo ante, in verbis *ἀνὰ τὸ σκοτεινὸν—κατακουσάντων* structura impeditior sic resolvenda: *ἔλαθον τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν οὐ προϊδόντας, ὅτι δὲ ψόφῳ τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς ἀντεπατάγει ὁ ἄνεμος, οὐ κατακούσαντας*. Conf. viii, 90. *ἐτειχίζετο οὖν οὕτω ξὺν τῷ πρότερον πρὸς ἤπειρον ὑπάρχοντι τείχει, ὥστε καθεζομένων—ἀνθρώπων ὀλίγων, ἄρχειν τοῦ—ἔσπλου*. V. Popp. Prol. t. i. p. 121.

μεταπύργιον] 'intervallum inter duas turres,' at h. l. murus inter duas turres. Phot. Phavorin. Suidas, Harpocratio: *μεταπύργιον, ἐν μέσῳ οἰκοδόμημα τῶν ἐπὶ τοῦ τείχους πύργων μεταπύργιον ἐλέγετο. Οὕτω καὶ Θουκυδίδης καὶ Λυσίας*. Vocem *κεραμίδα* et *κέραμον* ex h. l. excitant et ex iii, 74. Etym. M. et Pollux vii, 162. x, 182.

βοὴ ἦν] Hermogen. d. Ideis i, 12. omittit *ἦν* cum L. O. P. S. Mox, Valcken. ad Herodot. p. 589, 99. emendat *ὅτῳ ἦν*, pro *ὅ,τι ἦν*.

τείχει τῶν Πελοποννησίων ἐκ τοὔμπαλιν ἢ οἱ ἄνδρες αὐτῶν ὑπερέβαινον, ὅπως ἥκιστα πρὸς αὐτοὺς τὸν νοῦν ἔχοιεν. Ἐθορυβοῦντο μὲν οὖν κατὰ χώραν μένοντες, βοηθεῖν δὲ οὐδεὶς ἐτόλμα ἐκ τῆς ἑαυτῶν φυλακῆς, ἀλλ' ἐν ἀπόρῳ ἦσαν εἰκάσαι τὸ γιγνόμενον. Καὶ οἱ τριακόσιοι αὐτῶν, οἷς ἐτέτακτο παραβοηθεῖν εἴ τι δέοι, ἐχώρουν ἔξω τοῦ τείχους πρὸς τὴν βοήν. Φρυκτοί τε ἤροντο ἐς τὰς Θήβας πολέμιοι· παρανῖσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως Πλαταιῆς ἀπὸ τοῦ τείχους φρυκτοὺς πολλοὺς πρότερον παρεσκευασμένους ἐς αὐτὸ τοῦτο, ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς πολεμίοις ᾖ καὶ μὴ βοηθοῖεν, ἄλλο τι νομίσαντες τὸ γιγνόμενον εἶναι ἢ τὸ ὄν, πρὶν σφῶν οἱ ἄνδρες οἱ ἐξιόντες διαφύγοιεν καὶ τοῦ ἀσφαλοῦς ἀντιλάβοιντο.

23. Οἱ δ' ὑπερβαίνοντες τῶν Πλαταιῶν ἐν τούτῳ, ὡς οἱ πρῶτοι αὐτῶν ἀναβεβήκεσαν καὶ τοῦ πύργου ἑκατέρου τοὺς φύλακας διαφθείραντες ἐκεκρατήκεσαν, τάς τε διόδους τῶν πύργων ἐνστάντες αὐτοὶ ἐφύλασσον μηδένα δι' αὐτῶν ἐπιβοηθεῖν, καὶ κλίμακας προσθέντες ἀπὸ τοῦ τείχους τοῖς πύργοις καὶ ἐπαναβιβάσαντες ἄνδρας πλείους, οἱ μὲν ἀπὸ τῶν πύργων τοὺς ἐπιβοηθοῦντας καὶ κάτωθεν καὶ ἄνωθεν εἶργον βάλλοντες, οἱ δ' ἐν τούτῳ οἱ πλείους πολλὰς προσθέντες κλίμακας ἅμα καὶ τὰς ἐπάλξεις ἀπώσαντες διὰ τοῦ μεταπυργίου ὑπερέβαινον. Ὁ δὲ διακομιζόμενος ἀεὶ ἵστατο ἐπὶ τοῦ χείλους τῆς τάφρου καὶ ἐντεῦθεν ἐτόξευόν τε καὶ ἠκόντιζον εἴ τις παραβοηθῶν παρὰ τὸ τεῖχος κωλυτὴς γίγνοιτο τῆς διαβάσεως. Ἐπεὶ δὲ πάντες διεπεπεραίωντο, οἱ ἀπὸ τῶν πύργων χαλεπῶς οἱ τελευταῖοι καταβαίνοντες ἐχώρουν ἐπὶ τὴν τάφρον, καὶ ἐν τούτῳ οἱ τριακόσιοι αὐτοῖς ἐπεφέροντο λαμ-

παρανῖσχον—πολλοὺς] Apte scholiastes, *φρυκτοὺς πολλοὺς, δηλονότι φιλίους.* (quia Peloponnesii *πολεμίους*, unde addit *ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς πολεμίοις ᾖ καὶ μὴ βοηθοῖεν.*) *Οἱ γὰρ φίλιοι ἀνετείνοντο καιόμενοι μὲν, ἱστάμενοι δέ· οἱ δὲ πολέμιοι καιόμενοι μὲν καὶ αὐτοὶ, σειόμενοι δὲ ὑπὸ τῶν ἀνατεινόντων. Κίνησις γὰρ ὁ πόλεμος.* Citant hunc locum Phavorin., Phot., et Suidas, qui habet *προσάνισχον.* Propter *ὅπως* cum optat. adscripsit verba *ὅπως—βοηθοῖεν* grammaticus in Anecd. Bekk. i. p. 159. una cum verbis, ii, 69. *ὅπως τε ταῦτα ἀργυρολογήσωσι τὰ χωρία.* De *φρυκτωρίᾳ* v. ad cap. 80.

23. *οἱ δ' ὑπερβαίνοντες—ἐφύλασσον—οἱ μὲν—εἶργον—οἱ δ'—οἱ πλείους—ὑπερέβαινον*] Ita hæc verba jungenda sunt, ubi exspectes quidem *τῶν δ' ὑπερβαινόντων—οἱ μὲν—οἱ δὲ*, sed sæpe, ubi res quædam et tota et per partes suas significatur, totum illud eodem casu, quo hæ, profertur. V. Popp. Prol. t. i. p. 107. Ita mox iterum *οἱ ἀπὸ τῶν πύργων—οἱ τελευταῖοι.* V. Krueg. ad Dionys. p. 305. not. et mox ad verba *ὁ—διακομιζόμενος ἀεὶ* eundem p. 252. not.

πάδας ἔχοντες. Οἱ μὲν οὖν Πλαταιῆς ἐκείνους ἑώρων μᾶλλον ἐκ τοῦ σκότους ἑστῶτες ἐπὶ τοῦ χείλους τῆς τάφρου καὶ ἐτόξευόν τε καὶ ἐσηκόντιζον ἐς τὰ γυμνά, αὐτοὶ δὲ ἐν τῷ ἀφανεῖ ὄντες ἧσσον διὰ τὰς λαμπάδας καθεωρῶντο, ὥστε φθάνουσι τῶν Πλαταιῶν καὶ οἱ ὕστατοι διαβάντες τὴν τάφρον, χαλεπῶς δὲ καὶ βιαίως· κρύσταλλός τε γὰρ ἐπεπήγει οὐ βέβαιος ἐν αὐτῇ ὥστ' ἐπελθεῖν, ἀλλ' οἷος ἀπηλιώτου ἢ βορέου ὑδατώδης μᾶλλον, καὶ ἡ νὺξ τοιούτῳ ἀνέμῳ ὑπονειφομένη πολὺ τὸ ὕδωρ ἐν αὐτῇ ἐπεποιήκει, ὃ μόλις ὑπερέχοντες ἐπεραιώθησαν. Ἐγένετο δὲ καὶ ἡ διάφευξις αὐτοῖς μᾶλλον διὰ τοῦ χειμῶνος τὸ μέγεθος.

24. Ὁρμήσαντες δὲ ἀπὸ τῆς τάφρου οἱ Πλαταιῆς ἐχώρουν ἀθρόοι τὴν ἐς Θήβας φέρουσαν ὁδὸν ἐν δεξιᾷ ἔχοντες τὸ τοῦ Ἀνδροκράτους ἡρῷον, νομίζοντες ἥκιστα σφᾶς ταύτην αὐτοὺς ὑποτοπῆσαι τραπέσθαι τὴν ἐς τοὺς πολεμίους· καὶ ἅμα ἑώρων τοὺς Πελοποννησίους τὴν πρὸς Κιθαιρῶνα καὶ Δρυὸς κεφαλὰς τὴν ἐπ' Ἀθηνῶν φέρουσαν μετὰ λαμπάδων διώκοντας. Καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ σταδίους οἱ Πλαταιῆς τὴν ἐπὶ τῶν Θηβῶν ἐχώρησαν, ἔπειθ' ὑποστρέψαντες ᾖεσαν τὴν πρὸς τὸ ὄρος φέρουσαν ὁδὸν ἐς Ἐρύθρας καὶ Ὑσιὰς καὶ λαβόμενοι τῶν ὀρῶν διαφεύγουσιν ἐς τὰς Ἀθήνας, ἄνδρες δώδεκα καὶ διακόσιοι ἀπὸ πλειόνων· εἰσὶ γάρ τινες αὐτῶν οἳ ἀπετράποντο ἐς τὴν πόλιν πρὶν ὑπερβαίνειν, εἷς δ' ἐπὶ τῇ ἔξω τάφρῳ τοξότης ἐλήφθη. Οἱ μὲν οὖν Πελοποννήσιοι κατὰ χώραν ἐγένοντο τῆς βοηθείας παυσάμενοι· οἱ δ' ἐκ τῆς πόλεως Πλαταιῆς τῶν μὲν γεγενημένων εἰδότες οὐδὲν, τῶν δὲ ἀποτραπομένων σφίσιν ἀπαγγειλάντων ὡς οὐδεὶς περίεστι, κήρυκα ἐκπέμψαντες, ἐπεὶ ἡμέρα ἐγένετο, ἐσπένδοντο ἀναίρεσιν τοῖς νεκροῖς, μαθόντες δὲ τὸ ἀληθὲς ἐπαύσαντο. Οἱ μὲν δὴ τῶν Πλαταιῶν ἄνδρες οὕτως ὑπερβάντες ἐσώθησαν.

25. Ἐκ δὲ τῆς Λακεδαίμονος τοῦ αὐτοῦ χειμῶνος τελευτῶντος ἐκπέμπεται Σάλαιθος ὁ Λακεδαιμόνιος ἐς Μυτιλήνην τριήρει. Καὶ πλεύσας ἐς Πύῤῥαν καὶ ἐξ αὐτῆς πεζῇ κατὰ χαράδραν τινά, ᾗ ὑπερβατὸν ἦν τὸ περιτείχισμα, διαλαθὼν

ὑδατώδης] Supra c. 22. init. narravit, noctem illam qua murum transcendebant, obscuram et pluvia ventoque turbidam fuisse. Itaque, Euro flante et Aquilone, glacies quidem gigni potuit, quod alio vento non solet, sed propter humidiorem aëris temperationem non potuit ad eam crassitudinem crescere, quæ cœlo sereno et tranquillo fieri solet. Monuit Haack.

ἐσέρχεται ἐς τὴν Μυτιλήνην, καὶ ἔλεγε τοῖς προέδροις ὅτι ἐσβολή τε ἅμα ἐς τὴν Ἀττικὴν ἔσται καὶ αἱ τεσσαράκοντα νῆες παρέσονται ἃς ἔδει βοηθῆσαι αὐτοῖς, προαποπεμφθῆναί τε αὐτὸς τούτων ἕνεκα καὶ ἅμα τῶν ἄλλων ἐπιμελησόμενος. Καὶ οἱ μὲν Μυτιληναῖοι ἐθάρσουν τε καὶ πρὸς τοὺς Ἀθηναίους ἧσσον εἶχον τὴν γνώμην ὥστε ξυμβαίνειν. Ὅ τε χειμὼν ἐτελεύτα οὗτος καὶ τέταρτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

26. Τοῦ δ' ἐπιγιγνομένου θέρους οἱ Πελοποννήσιοι ἐπειδὴ τὰς ἐς τὴν Μυτιλήνην δύο καὶ τεσσαράκοντα ναῦς ἀπέστειλαν ἔχοντα Ἀλκίδαν, ὃς ἦν αὐτοῖς ναύαρχος, προστάξαντες, αὐτοὶ ἐς τὴν Ἀττικὴν καὶ οἱ ξύμμαχοι ἐσέβαλον, ὅπως οἱ Ἀθηναῖοι ἀμφοτέρωθεν θορυβούμενοι ἧσσον ταῖς ναυσὶν ἐς τὴν Μυτιλήνην καταπλεούσαις ἐπιβοηθήσουσιν. Ἡγεῖτο δὲ τῆς ἐσβολῆς ταύτης Κλεομένης ὑπὲρ Παυσανίου τοῦ Πλειστοάνακτος υἱέος βασιλέως ὄντος καὶ νεωτέρου ἔτι, πατρὸς δὲ ἀδελφὸς ὤν. Ἐδήωσαν δὲ τῆς Ἀττικῆς τά τε πρότερον τετμημένα [καὶ] εἴ τι ἐβεβλαστήκει, καὶ ὅσα ἐν ταῖς πρὶν

25. *ἐτελεύτα*] Alterum hoc loco *ἐτελεύτα* deest in nonnullis codd., verum satis defenditur locis ii, 103., ubi alterum *ἐτελεύτα*, nonnisi a corruptis codd., abest, iii, 88. et aliis in quibus hæc formula repetitur: v. Popp. Obs. p. 129.

26. *τὰς ἐς τὴν Μυτ.—προστάξαντες*] Hic commemorat quadraginta duas naves, at supra c. 16. et 25. atque infr. c. 29. et 69. nonnisi quadraginta. Scriptor his locis numero uti rotundo maluit, nisi quid vitii subest, cum numerus harum navium accurate cognitus fuisse omnino non videatur. Diodor. certe xii, 55. quadraginta quinque naves exhibet. In verbis *ἔχοντα Ἀλκίδαν—προστάξαντες*, nisi quid a librariis erratum est, confusio duarum locutionum cernitur, nam vel *ἔχοντα* vel *προστάξαντες* abesse debet. Stephanus Thes. L. Gr., s. v. *προστάξασθαι*, conjecit *ἄρχοντα* legendum esse pro *ἔχοντα*. Atque hoc est vii, 19. *Κορίνθιοι οὐ πολλῷ ὕστερον πεντακοσίους ὁπλίτας—καὶ ἄρχοντα Ἀλέξαρχον Κορίνθιον προστάξαντες ἀπέπεμψαν*. De participiis abundanter adjectis v. quos laudat Krueger. ad Dionys. p. 290. not., qui cum nostro loco confert Xen. Anab. i, 2, 21. *τῇ δ' ὑστεραίᾳ ἧκεν ἄγγελος λέγων, ὅτι λελοιπὼς εἴη Συέννεσις τὰ ἄκρα, ἐπεὶ ᾔσθετο τό τε Μένωνος στράτευμα, ὅτι ἤδη ἐν τῇ Κιλικίᾳ ἦν—καὶ ὅτι τριήρεις ἤκουε περιπλεούσας ἀπὸ Ἰωνίας εἰς Κιλικίαν, Ταμὼν ἔχοντα τὰς Λακεδαιμονίων καὶ αὐτοῦ Κύρου*. Comma ait delendum esse post *Κιλικίαν*, et verba hoc modo ordinanda, *ὅτι ἤκουε Ταμὼν ἔχοντα τριήρεις τ. Λ. κ. αὐτ. Κ. περιπλεούσας ἀπὸ Ἰ.* etc., ubi v. Lion.

νεωτέρου] i. e. tenuiori ætate quam qui exercitui præesse posset; 'too young,' quod vi, 12. plene dicitur *νεώτερος ἐς τὸ ἄρχειν*. Popp. Prol. t. i. p. 171. Male igitur Anecd. Bekk. i. p. 109. *νεώτερος, ἀντὶ τοῦ νέος, Θουκυδίδης τρίτῳ*. Add. Suid. et Stephan. Animadv. ad lib. D. Dial. p. 38.

καὶ—ἐβεβλαστήκει] "Creberrimus est *τε* et *καὶ* particulis Thucydides, eas ut ambas ponat sæpe ubi ceteri scriptores neutra solent uti. Sed hic tamen illas nimium cumularunt librarii: nam neque *καὶ εἰ* licet conjungi, id ut sit 'etiamsi,' quod ineptum plane foret, neque ad *τά τε πρότερον τετμημένα* referri *καὶ εἴ τι ἐβεβλαστήκει*, quum fruges ab terra, quippe quicum unam constituant notionem conjunctæ, dissociari nequeant. Est delenda *καὶ* particula, ut sic procedat oratio: *ἐδῄωσαν τά τε πρότερον τετμημένα εἴ τι ἐβεβλαστήκει καὶ ὅσα παρελέλειπτο*. Vastarunt, inquit, tum eisdem quibus antea vastarant in locis quicquid succrevisset interea, tum prætermissa prius et integra adhuc." Dindorf.

ἐσβολαῖς παρελέλειπτο· καὶ ἡ ἐσβολὴ αὕτη χαλεπωτάτη ἐγένετο τοῖς Ἀθηναίοις μετὰ τὴν δευτέραν. Ἐπιμένοντες γὰρ ἀεὶ ἀπὸ τῆς Λέσβου τι πεύσεσθαι τῶν νεῶν ἔργον ὡς ἤδη πεπεραιωμένων ἐπεξῆλθον τὰ πολλὰ τέμνοντες. Ὡς δ' οὐδὲν ἀπέβαινεν αὐτοῖς ὧν προσεδέχοντο καὶ ἐπελελοίπει ὁ σῖτος, ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πόλεις.

27. Οἱ δὲ Μυτιληναῖοι ἐν τούτῳ, ὡς αἵ τε νῆες αὐτοῖς οὐχ ἧκον ἀπὸ τῆς Πελοποννήσου ἀλλὰ ἐνεχρόνιζον καὶ ὁ σῖτος ἐπελελοίπει, ἀναγκάζονται ξυμβαίνειν πρὸς τοὺς Ἀθηναίους διὰ τάδε. Ὁ Σάλαιθος καὶ αὐτὸς οὐ προσδεχόμενος ἔτι τὰς ναῦς ὁπλίζει τὸν δῆμον πρότερον ψιλὸν ὄντα ὡς ἐπεξιὼν τοῖς Ἀθηναίοις· οἱ δὲ ἐπειδὴ ἔλαβον ὅπλα, οὔτε ἠκροῶντο ἔτι τῶν ἀρχόντων, κατὰ ξυλλόγους τε γιγνόμενοι ἢ τὸν σῖτον ἐκέλευον τοὺς δυνατοὺς φέρειν ἐς τὸ φανερὸν καὶ διανέμειν ἅπασιν, ἢ αὐτοὶ ξυγχωρήσαντες πρὸς Ἀθηναίους ἔφασαν παραδώσειν τὴν πόλιν.

28. Γνόντες δὲ οἱ ἐν τοῖς πράγμασιν οὔτ' ἀποκωλύσειν δυνατοὶ ὄντες, εἴ τ' ἀπομονωθήσονται τῆς ξυμβάσεως, κινδυνεύσοντες, ποιοῦνται κοινῇ ὁμολογίαν πρός τε Πάχητα καὶ τὸ στρατόπεδον ὥστε Ἀθηναίοις μὲν ἐξεῖναι βουλεῦσαι περὶ Μυτιληναίων ὁποῖον ἄν τι βούλωνται καὶ τὴν στρατιὰν ἐς τὴν πόλιν δέχεσθαι αὐτούς, πρεσβείαν δὲ ἀποστέλλειν ἐς τὰς Ἀθήνας Μυτιληναίους περὶ ἑαυτῶν· ἐν ὅσῳ δ' ἂν πάλιν ἔλθωσι Πάχητα μήτε δῆσαι Μυτιληναίων μηδένα μήτε ἀνδραποδίσαι μήτε ἀποκτεῖναι. Ἡ μὲν ξύμβασις αὕτη ἐγένετο. Οἱ δὲ πράξαντες πρὸς τοὺς Λακεδαιμονίους μάλιστα τῶν Μυτιληναίων περιδεεῖς ὄντες, ὡς ἡ στρατιὰ ἐσῆλθεν, οὐκ ἠνέσχοντο, ἀλλ' ἐπὶ τοὺς βωμοὺς ὅμως καθίζουσι· Πάχης δ'

28. *οἱ—πράγμασιν*] i. e. 'qui reipublicæ præerant.' "Conf. Dem. Phil. iii. p. 125, 7. Similia sunt, *οἱ τὰ πράγματα ἔχοντες* Thuc. vi, 39. Conf. Jacobi Obs. in Xenoph. p. 9. *κατασχεῖν τὰ πράγματα*, Thuc. iv, 2. *οἱ ἐπὶ τῶν πραγμάτων*, Dem. pr. Cor. 73, 3. Bekk. *ἐπιστατεῖν τῶν πραγμάτων*, Isocr. Panath. 19. *οἱ τὰς ἀρχὰς ἔχοντες*, Thuc. vi, 95. *οἱ τὰ τέλη ἔχοντες*, v, 47. 10. sive *τὰ τέλη* i, 58. iv, 15. quos locos respicit Schol. ad Dem. Leptin. § 25. Conf. Duker. ad prior. locum et interpretes ad Herodot. ix, 106. *οἱ ἐν δυνάμει ὄντες*, Xenoph. H. Gr. iv, 4, 5. *ἔχειν τὴν πόλιν*, Thuc. viii, 66. *ἔχειν τὴν πολιτείαν*, 66." Krueger. ad Dionys. p. 269. not.

ἀποκωλύσειν] V. Popp. Obs. p. 153.

ὅμως καθίζουσιν] i. e. etsi fides data erat ab Atheniensibus incolumitatis, donec legati rediissent. Conf. iii, 80. *καί τινας αὐτῶν ἔπεισαν ἐς τὰς ναῦς ἐσβῆναι· ἐπλήρωσαν γὰρ ὅμως τριάκοντα*, i. e. quamvis in hoc rerum statu constituti essent. iv, 96. *τῇ ὑστεραίᾳ οἵ τε ἐκ τοῦ Ὠρωποῦ καὶ οἱ ἐκ τοῦ Δηλίου, φυλακὴν ἐγκαταλιπόντες, (εἶχον γὰρ αὐτὸ ὅμως ἔτι,) ἀπεκομίσθησαν κατὰ θάλασσαν ἐπ' οἴκου*, i. e. quamvis ab hoste victi essent. V. ad iii, 49.

ἀναστήσας αὐτοὺς ὥστε μὴ ἀδικῆσαι, κατατίθεται ἐς Τένεδον μέχρι οὗ τοῖς Ἀθηναίοις τι δόξῃ. Πέμψας δὲ καὶ ἐς τὴν Ἄντισσαν τριήρεις προσεκτήσατο καὶ τἄλλα τὰ περὶ τὸ στρατόπεδον καθίστατο ᾗ αὐτῷ ἐδόκει.

29. Οἱ δ' ἐν ταῖς τεσσαράκοντα ναυσὶ Πελοποννήσιοι, οὓς ἔδει ἐν τάχει παραγενέσθαι, πλέοντες περί τε αὐτὴν τὴν Πελοπόννησον ἐνδιέτριψαν καὶ κατὰ τὸν ἄλλον πλοῦν σχολαῖοι κομισθέντες τοὺς μὲν ἐκ τῆς πόλεως Ἀθηναίους λανθάνουσι, πρὶν δὴ τῇ Δήλῳ ἔσχον, προσμίξαντες δ' ἀπ' αὐτῆς τῇ Ἰκάρῳ καὶ Μυκόνῳ πυνθάνονται πρῶτον ὅτι ἡ Μυτιλήνη ἑάλωκε. Βουλόμενοι δὲ τὸ σαφὲς εἰδέναι κατέπλευσαν ἐς Ἔμβατον τῆς Ἐρυθραίας· ἡμέραι δὲ μάλιστα ἦσαν τῇ Μυτιλήνῃ ἑαλωκυίᾳ ἑπτὰ ὅτ' ἐς τὸ Ἔμβατον κατέπλευσαν. Πυθόμενοι δὲ τὸ σαφὲς ἐβουλεύοντο ἐκ τῶν παρόντων· καὶ ἔλεξεν αὐτοῖς Τευτίαπλος ἀνὴρ Ἠλεῖος τάδε.

30. Ἀλκίδα καὶ Πελοποννησίων ὅσοι πάρεσμεν ἄρχοντες τῆς στρατιᾶς, ἐμοὶ δοκεῖ πλεῖν ἡμᾶς ἐπὶ Μυτιλήνην πρὶν ἐκπύστους γενέσθαι ὥσπερ ἔχομεν. Κατὰ γὰρ τὸ εἰκὸς ἀνδρῶν νεωστὶ πόλιν ἐχόντων πολὺ τὸ ἀφύλακτον εὑρήσομεν, κατὰ μὲν θάλασσαν καὶ πάνυ, ᾗ ἐκεῖνοί τε ἀνέλπιστοι ἐπιγενέσθαι ἄν τινα σφίσι πολέμιον καὶ ἡμῶν ἡ ἀλκὴ τυγχάνει μάλιστα οὖσα· εἰκὸς δὲ καὶ τὸ πεζὸν αὐτῶν κατ' οἰκίας ἀμελέστερον ὡς κεκρατηκότων διεσπάρθαι. Εἰ οὖν προσπέσοιμεν ἄφνω τε καὶ νυκτὸς, ἐλπίζω μετὰ τῶν ἔνδον, εἴ τις ἄρα ἡμῖν ἐστιν ὑπόλοιπος εὔνους, καταληφθῆναι ἂν τὰ πράγματα. Καὶ μὴ ἀποκνήσωμεν τὸν κίνδυνον, νομίσαντες οὐκ ἄλλο τι εἶναι τὸ καινὸν τοῦ πολέμου ἢ τὸ τοιοῦτον, ὃ εἴ τις στρατηγὸς ἐν

29. τῇ Δήλῳ ἔσχον] A. B. E. K. N. c. g. h. Vulgo προσέσχον. V. Thom. M. p. 748. et Thucyd. i, 110. iii, 33. Suidas in σχόντες, et Anecd. Bekk. i. p. 173.

τῇ Μυτιλήνῃ] V. Matth. Gr. § 388. b. Mox Τευτίατλος schol. Hermogenis.

30. Ἀλκίδα — πάρεσμεν] per κοίνωσιν figuram prima persona pro secunda.

ὥσπερ ἔχομεν] i. e. 'ut sumus.' V. Herm. ad Soph. Philoct. 808.

τὸ καινὸν τοῦ π.] K. c. f. κενόν. Itidemque marg. Victor. Et Cic. Ep. ad Attic. v, 20. 'interim scis enim dici quædam πανικὰ, dici etiam τὰ κενὰ τοῦ πολέμου, rumore adventus nostri et Cassio, qui Antiochiæ tenebatur, animus accessit, et Parthis timor injectus est.' Schol. τὸ καινὸν οἱ μὲν διὰ διφθόγγου γράψαντες οὕτως ἐνόησαν, τὸ παρ' ἐλπίδα καὶ παρὰ δόξαν ποιοῦν ἐν τοῖς πολέμοις νικᾶν, τουτέστι τὸ ἐπιπεσεῖν ἀφυλάκτως τοῖς ἐχθροῖς· οἱ δὲ διὰ τοῦ ψιλοῦ γράψαντες οὕτως ἐξηγοῦνται, τὸ διάκενον καὶ ἀργὸν τοῦ πολέμου. Eadem scripturæ varietas apud Diodor. xvii, 86., ubi v. Wessel., qui et nostri loci memor prorsus hic κενὸν opportunum esse monuit. Dicitur autem utrumque. Heliodor. Æth. p. 355. 25. καινουργὸς δὲ ὢν ἀεί πως ὁ πόλεμος τότε τι καὶ πλέον καὶ οὐδαμῶς εἰωθὸς ἐθαυματούργει, ubi Coraës hæc adnotavit: παρὰ τῷ Θουκυδίδῃ καὶ παρ' ἅπασιν ὡς ἔπος εἰπεῖν τοῖς ἐξ αὐτοῦ λαβοῦσι τὴν φράσιν καὶ παροιμιακῶς ἐξενεγκοῦσι διττὴ πολλάκις φέρεται γραφὴ,

τε αὐτῷ φυλάσσοιτο καὶ τοῖς πολεμίοις ἐνορῶν ἐπιχειροίη, πλεῖστ' ἂν ὀρθοῖτο.

31. Ὁ μὲν τοσαῦτα εἰπὼν οὐκ ἔπειθε τὸν Ἀλκίδαν. Ἄλλοι δέ τινες τῶν ἀπ' Ἰωνίας φυγάδων καὶ οἱ Λέσβιοι ξυμπλέοντες παρῄνουν, ἐπειδὴ τοῦτον τὸν κίνδυνον φοβεῖται, τῶν ἐν Ἰωνίᾳ πόλεων καταλαβεῖν τινα ἢ Κύμην τὴν Αἰολίδα, ὅπως ἐκ πόλεως ὁρμώμενοι τὴν Ἰωνίαν ἀποστήσωσιν. Ἐλπίδα δ' εἶναι· οὐδὲν γὰρ ἀκουσίως ἀφῖχθαι, καὶ τὴν πρόσοδον ταύτην μεγίστην οὖσαν Ἀθηναίων ἢν ὑφέλωσι καὶ ἅμα ἢν ἐφορμῶσιν αὐτοῖς δαπάνη σφίσι γίγνηται, πείσειν τε οἴεσθαι καὶ Πισσούθνην ὥστε ξυμπολεμεῖν. Ὁ δὲ οὐδὲ ταῦτα

καινὸν τὸ κενὸν, αὐτίκα Ἀριστοτέλης Ἠθ. Νικομ. γ, ιά· "δοκεῖ γὰρ εἶναι πολλὰ κενὰ τοῦ πολέμου, ἃ μάλιστα συνεωράκασιν οὗτοι (οἱ στρατιῶται)" καὶ Πλούταρχος δὲ περὶ τοῦ ἀκούειν § 5. "ὡς γὰρ πολέμου καὶ ἀκροάσεως πολλὰ τὰ κενά ἐστι, κ. τ. λ." κἂν τούτοις μὲν διὰ τοῦ ε ἡ γραφὴ, ἣν καὶ ὁ νοῦς ἀπαιτεῖν ἔοικε· σημαίνει γὰρ ἐνταῦθα τὰ κενὰ τοῦ πολέμου τὰς ματαίας ἐκπλήξεις καὶ καταπτοήσεις, ἃς καὶ πανικοὺς φόβους καλεῖν εἰώθασι· ἡ δὲ τῶν γραφῶν αὕτη σύγχυσις ἐκ τούτου μάλιστα λαβεῖν ἔοικε τὰς ἀφορμὰς, ὅτι καὶ ἀληθὴς ἀμφοτέρων ὁ νοῦς· καὶ ἔχει γὰρ οὖν ὁ πόλεμος οὐ μόνον πολλὰ κενὰ, ἀλλὰ καὶ πολλὰ καινά· οἷόν ἐστι τὸ ἐν τῷ προκειμένῳ χωρίῳ τοῦ Ἡλιοδώρου. Id verum esse, patet ex comparatione scriptorum qui hac formula utuntur. Male igitur schol. explicat, male Bredov. interpretatur 'a military position, exposed to the missiles of the enemy,' cogitans ille de voce κενεὼν, 'iliis,' vel latere hostilibus telis aperto. Enotatur τὸ κενὸν etiam e marg. codicis K. et præfertur ab Abreschio Misc. Obs. vol. iii. p. 302., qui adnotatione Stephani ad Diod. l. l. usus est. Duo tamen obstant, quominus κενὸν recipiatur, nam et major librorum pars pro altera scriptura stat, et Teutiaplus verum sese terrorem, non inanem neque panicum hostibus injecturos dicit. Igitur sequor Heilmannum: 'considering, that such are the changes in war, of which a general must beware; and when perceiving them on the side of the enemies, he must act without delay, if he wishes to succeed in his enterprise.' Mox, de verbo ἐνορῶν vid. Buttmann. ad Soph. Phil. p. 143. et ibid. Herm. p. 160.

31. ἄλλοι δέ τινες—ξυμπολεμεῖν] οὐδενὶ A. B. E. I. K. N. Q. S. c. f. g. h. cum Valla: ἑκουσίως h. αὐτοῖς A. B. G. K. L. N. c. f. g. h. et qui anteponunt σφίσιν, S. d. i. δαπάνη σφίσι A. B. E. G. H. K. O. P. c. e. h. δαπάνη καὶ σφίσι L. Vulgo οὐδὲν γὰρ ἀκουσίως ἀφῖχθαι.—Καὶ ἅμα ἢν ἐφορμῶσιν αὐτοὺς σφίσι δαπάνη γίγνηται, etc. Bekkerus edidit ἐλπίδα δ' εἶναι· οὐδενὶ γὰρ ἀκουσίως ἀφῖχθαι· καὶ τὴν—καὶ ἅμα, ἢν ἐφορμῶσιν αὐτοὺς δαπάνη σφίσι γίγνεται, etc. Locus conclamatus. In diversum prorsus abeunt d. i., qui præbent δαπάνην—γίγνεσθαι. Tria utilissima de hoc loco monuit Popp. Obs. p. 163. Quominus, ait, οὐδενὶ amplectar, obstat maxime hoc, quod ἀκούσιος et ἀκουσίως, pariterque ἑκούσιος et ἑκουσίως, cum frequentissime apud Thucydidem legantur, semper absolute ponuntur, neque dativum additum habent, cujus usus ne ex aliis quidem scriptoribus exemplum allatum vidi. Neque hoc mirum est; nam cum ἀκούσιος sit 'non voluntarius,' non magis Græce dici posse videtur ἀκούσιός τινι, quam Latine 'non voluntarius alicui,' pro 'aliquo invito,' ἀέκοντός τινος.—Id quod pro verissimo habens οὐδὲν prætuli. Infra iv, 85. εἰ μὴ ἀσμένοις ὑμῖν ἀφῖγμαι. Nam censoris quidem argumentum, cujus in Ephemer. Jenens. censura Popponis observationum extat, infirmum esse arbitror, quod verborum ἀκούσιος et ἑκούσιος tantum passivam vim fuisse ait, verborum ἄκων et ἑκὼν tantum activam; quod, illa tantum de rebus, hæc de personis tantum dici. Quod cum probari videatur verbis iv, 98. ἀκουσίων ἁμαρτημάτων καταφυγὴν εἶναι τοὺς βωμοὺς, repugnant alii loci, velut iii, 33. ὡς γῇ ἑκούσιος οὐ σχήσων ἄλλῃ ἢ Πελοποννήσῳ, ubi cod. H. ἑκουσίως. iv, 19. πεφύκασί τε τοῖς μὲν ἑκουσίως ἐνδοῦσιν ἀνθησσᾶσθαι μεθ' ἡδονῆς, πρὸς δὲ τὰ ὑπεραυχοῦντα καὶ παρὰ γνώμην διακινδυνεύειν. Dubia sunt verba vii, 8. extr. Equidem verba οὐδὲν—ἀφῖχθαι ita intelligo; ut dicitur τοῦτο ἀφῖγμαι. i. e. hanc ob rem veni, ita οὐδὲν ἀκουσίως

ἐνεδέχετο, ἀλλὰ τὸ πλεῖστον τῆς γνώμης εἶχεν, ἐπειδὴ τῆς Μυτιλήνης ὑστερήκει, ὅτι τάχιστα τῇ Πελοποννήσῳ πάλιν προσμῖξαι.

32. Ἄρας δὲ ἐκ τοῦ Ἐμβάτου παρέπλει· καὶ προσχὼν Μυοννήσῳ τῇ Τηΐων τοὺς αἰχμαλώτους οὓς κατὰ πλοῦν εἰλήφει ἀπέσφαξε τοὺς πολλούς. Καὶ ἐς τὴν Ἔφεσον καθορμισαμένου αὐτοῦ Σαμίων τῶν ἐξ Ἀναίων ἀφικόμενοι πρέσβεις ἔλεγον οὐ καλῶς τὴν Ἑλλάδα ἐλευθεροῦν αὐτὸν, εἰ ἄνδρας διέφθειρεν οὔτε χεῖρας ἀνταιρομένους οὔτε πολεμίους, Ἀθηναίων δὲ ὑπ' ἀνάγκης ξυμμάχους· εἴ τε μὴ παύσεται, ὀλίγους μὲν αὐτὸν τῶν ἐχθρῶν ἐς φιλίαν προσάξεσθαι, πολὺ δὲ πλείους τῶν φίλων πολεμίους ἕξειν. Καὶ ὁ μὲν ἐπείσθη

(ut οὐδὲν μάτην, sive οὐδὲν μάταιον) dictum est pro πρὸς οὐδὲν ἀκουσίως γενησόμενον ἀφῖγμαι, i. e. 'nam eos (Peloponnesios) non venisse rei ingratiis factæ causa,' 'for they had not come for the sake of what had happened against their wish.' Quomodo et ipse censor explicat. Alterum quod monuit Poppo, ad casum pertinet, quocum verb. ἀφορμᾶν, 'adoriri,' 'aggredi' construitur; ubi suspectam codicis H. scripturam, ἐφορμῶσιν αὐτοὺς, manere dicit, donec alia hujus structuræ exempla allata fuerint. Quod cum certissimum mihi in constituendo hoc loco videatur, majoris librorum partis scripturam αὐτοῖς recepi. Est autem hic dativus objecti, referturque ad Athenienses, sicut σφίσι dativus subjecti est, pertinens ad exules Lesbios et simul ad Iones. Pendet αὐτοῖς ex ἐφορμῶσιν, in quo participio substantivi vis latet, ut sit 'aggressoribus,' quod idem docuit. Verba δαπάνη μοι γίγνεται possunt duplicem sensum habere, nam et hoc dicunt, 'sumtus impendo,' et hoc, 'suppeditat mihi sumtus,' 'est mihi quo sumtui sufficiam.' Quem significatum probatum esse scribit a Boëckhio, allato loco Harpocrationis, quem inquirendo reperire non potui, neque ab ipso adscriptus est. Sed eandem significationem verbo esse statuit Scholiasta, cujus hæc est interpretatio: ταύτην τὴν πρόσοδον τὴν ἀπὸ τῶν Ἰώνων ὑπάρχουσαν τοῖς Ἀθηναίοις ἐὰν ἀφέλωνται, καὶ χειρώσωνται αὐτοὶ τὴν Ἰωνίαν, μέλλουσιν ἕξειν καὶ τὰ ἀπὸ τῶν Ἰώνων ἀεὶ χρήματα καὶ τὴν ἐκεῖθεν Ἀθηναίων παρασκευήν. Jam σφίσι post δαπάνη posui, secutus plerorumque codicum auctoritatem, qua collocatione pronominis minus ambigua oratio erit. Interpretationem Poppo, si recte intellexi, hanc dedit: 'spem vero esse fore, ut Ionia ab Atheniensibus deficiat; se (Iones et Lesbios) enim non invitos, non necessitate coactos, sed ultro ad classem Lacedæmoniorum venisse, ubi et Atheniensibus hos maximos reditus ex Ionia eriperent, et sibi ipsis (Ionibus atque Lesbiis) terra occupata opes pararent, quas in bellum impenderent.' In qua versione hoc inexplicabile est, qui nexus sit sententiæ per 'ubi' annexæ cum præcedentibus: nam neque cum verbis ἐλπίδα εἶναι cohærere potest, quia sic diceretur: spem esse, Ioniam Atheniensibus ereptum iri, si Ioniam iis eripuerint; id quod absurdum est. Neque cum verbis οὐδὲν—ἀφῖχθαι illa sententia potest jungi, quoniam, si Iones et Lesbii ultro, non coacti necessitate venerunt, non ideo magis id necessitate factum est, etiamsi Athenienses Ionia non priventur. Adde, quod Haack. adnotavit, per se levius hoc argumentum esse, quia ex eo quod exules libenter faciunt et non coacti, non satis tuto colligi potest, quid ceteri Iones facturi sint. His expositis addo interpretationem, quæ mihi quidem probabilissima videtur: 'spem vero esse, ut Ionia ab Atheniensibus deficiat; eos enim non venisse rei ingratiis factæ causa, si et Atheniensibus hos maximos reditus ex Ionia eriperent, et sibi ipsis illos aggredientibus necessarii sumtus suppeditarent, et Pissuthnen a se adductum iri, ut ad hujus belli societatem se adjungeret.' Duplicem causam esse ait, cur sperari possit defectio Ioniæ; nam et Ionibus volentibus et ipsis commodo Peloponnesios adesse, et Pissuthni persuaderi posse, ut arma secum jungat. Adventus illorum quomodo gratus Ionibus futurus sit, interposita oratione bimembri, καὶ τὴν πρόσοδον—γίγνηται exponit. De hoc loco Krueger. disputavit Comm. Thuc. p. 352. not. ratione, opinor, vix ipsi jam probabili.

32. εἴ τε μὴ παύσεται] Vulgo εἰ δὲ μὴ π. Vid. Krueger. l. l. p. 268.

τε καὶ Χίων ἄνδρας ὅσους εἶχεν ἔτι ἀφῆκε καὶ τῶν ἄλλων τινάς. Ὁρῶντες γὰρ τὰς ναῦς οἱ ἄνθρωποι οὐκ ἔφευγον, ἀλλὰ προσεχώρουν μᾶλλον ὡς Ἀττικαῖς καὶ ἐλπίδα οὐδὲ τὴν ἐλαχίστην εἶχον μή ποτε Ἀθηναίων τῆς θαλάσσης κρατούντων ναῦς Πελοποννησίων ἐς Ἰωνίαν παραβαλεῖν.

33. Ἀπὸ δὲ τῆς Ἐφέσου ὁ Ἀλκίδας ἔπλει κατὰ τάχος καὶ φυγὴν ἐποιεῖτο· ὤφθη γὰρ ὑπὸ τῆς Σαλαμινίας καὶ Παράλου ἔτι περὶ Ἴκαρον ὁρμῶν, αἱ δ' ἀπ' Ἀθηνῶν ἔτυχον πλέουσαι, καὶ δεδιὼς τὴν δίωξιν ἔπλει διὰ τοῦ πελάγους ὡς γῇ ἑκούσιος οὐ σχήσων ἄλλῃ ἢ Πελοποννήσῳ. Τῷ δὲ Πάχητι καὶ τοῖς Ἀθηναίοις ἦλθε μὲν καὶ ἀπὸ τῆς Ἐρυθραίας ἀγγελία, ἀφικνεῖτο δὲ καὶ πανταχόθεν· ἀτειχίστου γὰρ οὔσης τῆς Ἰωνίας μέγα τὸ δέος ἐγένετο μὴ παραπλέοντες οἱ Πελοποννήσιοι, εἰ καὶ ὣς μὴ διενοοῦντο μένειν, πορθῶσιν ἅμα προσπίπτοντες τὰς πόλεις. Αὐτάγγελοι δ' αὐτὸν ἰδοῦσαι ἐν τῇ Ἰκάρῳ ἥ τε Πάραλος καὶ ἡ Σαλαμινία ἔφρασαν. Ὁ δὲ ὑπὸ σπουδῆς ἐποιεῖτο τὴν δίωξιν· καὶ μέχρι μὲν Πάτμου τῆς νήσου ἐπεδίωξεν, ὡς δ' οὐκέτι ἐν καταλήψει ἐφαίνετο, ἐπανεχώρει. Κέρδος δὲ ἐνόμισεν, ἐπειδὴ οὐ μετεώροις περιέτυχεν, ὅτι οὐδαμοῦ ἐγκαταληφθεῖσαι ἠναγκάσθησαν στρα-

33. Σαλαμινίας—Παράλου] His temporibus Atheniensibus duæ, quas sacras dicebant, triremes erant; Paralos, quam qui agebant Paralitæ sive Parali dicebantur, et Salaminia sive Delia, Theoris quoque appellata, qua Salaminii vehebantur. Atque hac quidem ad theoros Delum mittendos, utraque quippe velociter navigantibus ad alias theorias emittendas, ferendos nuntios, homines pecuniasque trajiciendas, item in prœliis vehendis belli ducibus utebantur. V. Boëckh. Staatsh. d. Ath. i. p. 184. 258. Suidas: Σαλαμινία ναῦς· δύο ἦσαν νῆες παρὰ Ἀθηναίοις, ὑπηρετίδες καὶ ταχυδρόμοι, ἡ Πάραλος καὶ ἡ Σαλαμινία· ὧν ἡ μὲν Σαλαμινία τοὺς καλουμένους εἰς κρίσιν ἦγεν, ἣν καὶ ἐπὶ Ἀλκιβιάδου φησὶ πεμφθῆναι Θουκυδίδης· ἡ δὲ Πάραλος τὰς θεωρίας ἀπῆγε, τουτέστι τὰ εἰς θυσίαν πεμπόμενα. Conf. in Πάραλος, et schol. ad Aristoph. Av. 147. Ran. 1103. Thuc. iii, 77. viii, 73. 74.

περὶ Ἴκαρον—ἐν τῇ Ἰκάρῳ] Vulgo περὶ Κλάρον et ἐν τῇ Κλάρῳ. Causa mutationis hæc est: vulgata Alcidam dicit ab Atheniensibus in Salaminia et Paralo advectis conspectum esse, cum circa Clarum versaretur, urbem inter Myonesum et Ephesum sitam. At supra c. 29. legitur, naves Alcidæ τοὺς ἐκ τῆς πόλεως Ἀθηναίους λανθάνουσι, πρὶν δὴ τῇ Δήλῳ προσέσχον. Ubi hoc tenendum, τοὺς ἐκ τῆς πόλεως Ἀθηναίους non alios per rei naturam esse posse quam qui in Salaminia et Paralo erant, quas naves scriptor forte dicit Athenis navigasse: simulque apparet ex hoc loco, Peloponnesios non multo post relictam Delum ab Atheniensibus ex urbe profectis detectos esse; Delo autem Alcidas Icarum navigavit atque Myconum, inde in Embatum, porro Myonesum (c. 32.) atque Ephesum: quod temporis spatium longius est, quam ut qui Clari demum visi essent haud procul Epheso, τοὺς ἐκ τῆς πόλεως Ἀθηναίους tantum donec Delum venissent latuisse dicerentur. Debetur hæc emendatio acumini Popponis, Obs. p. 229., qui tamen de cursu Alcidæ et situ Clari falsum quiddam protulit. Firmatur hæc correctio eo quod etiam c. 29. in O. P. pro Ἰκάρῳ legitur Κλάρῳ, et fontem corruptelæ ibidem monstrat cod. I. qui habet Ἰλάρῳ. Statim notanda altera nominis Πάτμου corruptela, pro quo vulgo extat Λάτμου, quo nomine insula cum a nemine veterum memoretur, conjecturam Palmerii, quæ codicibus L. I. firmatur, secutus alterum dedi.

πόπεδον ποιεῖσθαι καὶ φυλακὴν σφίσι καὶ ἐφόρμησιν παρασχεῖν.

34. Παραπλέων δὲ πάλιν ἔσχε καὶ ἐς Νότιον τὸ Κολοφωνίων, οὗ κατῴκηντο Κολοφώνιοι τῆς ἄνω πόλεως ἑαλωκυίας ὑπὸ Ἰταμάνους καὶ τῶν βαρβάρων κατὰ στάσιν ἰδίαν ἐπαχθέντων· ἑάλω δὲ μάλιστα αὕτη ὅτε ἡ δευτέρα Πελοποννησίων ἐσβολὴ ἐς τὴν Ἀττικὴν ἐγίγνετο. Ἐν οὖν τῷ Νοτίῳ οἱ καταφυγόντες καὶ κατοικήσαντες αὐτόθι αὖθις στασιάσαντες οἱ μὲν παρὰ Πισσούθνου ἐπικούρους Ἀρκάδων τε καὶ τῶν βαρβάρων ἐπαγόμενοι ἐν διατειχίσματι εἶχον καὶ τῶν ἐκ τῆς ἄνω πόλεως Κολοφωνίων οἱ μηδίσαντες ξυνεσελθόντες ἐπολίτευον, οἱ δὲ ὑπεξελθόντες τούτους καὶ ὄντες φυγάδες τὸν Πάχητα ἐπάγονται. Ὁ δὲ προκαλεσάμενος ἐς λόγους Ἱππίαν τὸν ἐν τῷ διατειχίσματι Ἀρκάδων ἄρχοντα ὥστε ἢν μηδὲν ἀρέσκον λέγῃ, πάλιν αὐτὸν καταστήσειν ἐς τὸ τεῖχος σῶν καὶ ὑγιᾶ, ὁ μὲν ἐξῆλθε παρ' αὐτὸν, ὁ δ' ἐκεῖνον μὲν ἐν φυλακῇ ἀδέσμῳ εἶχεν, αὐτὸς δὲ προσβαλὼν τῷ τειχίσματι ἐξαπιναίως καὶ οὐ προσδεχομένων αἱρεῖ, τούς τε Ἀρκάδας καὶ τῶν βαρβάρων ὅσοι ἐνῆσαν διαφθείρει·

ἠναγκάσθησαν—παρασχεῖν] sc. Peloponnesii; at *σφίσι* redit ad Athenienses: ‘cum hostium naves in alto assecutus non esset, hoc in lucro posuit, quod nuspiam comprehensæ neque castra munire coactæ essent, neque sibi eas obsidendi et navibus custodiendi materiem præbuissent.’ Pro *παρασχεῖν* melius dixisset *οὔτε φυλακὴν σφίσι καὶ ἐφόρμησιν παρέσχον*. De *καταλήψει* conf. Dio C. li, 1.

34. Hunc locum exscripsit Polyæn. Strateg. iii, 2. Seditionem a Thucydide memoratam respexisse videtur etiam Aristotel. Polit. v, 3. V. Schneider. ad Xenoph. H. Gr. i, 2, 4. Mox, Popp. l. l. p. 230. scriptum vult *τὸν τῶν ἐν τῷ διατειχίσματι Ἀρκάδων ἄρχοντα*.

ὁ δὲ Πάχης—εἶχε] i. e. *τοῦ δὲ προκαλεσαμένου ἐς λόγους Ἱππίαν—ὁ μὲν ἐξῆλθε—ὁ δ' ἐκεῖνον ἐν φυλακῇ εἶχεν*. Dixi de hac structura ad iii, 12. conf. Popp. Prol. t. i. p. 108. Lucian. D. D. xxiii, 3. *ὁ μὲν γάρ τοι Πρίαπος—πρώην ἐν Λαμψάκῳ γενόμενος, ἐγὼ μὲν παρῄειν τὴν πόλιν, ὁ δὲ*, etc. Idem, D. D. xiv, 2. *ὁ—Ζέφυρος ἤρα μὲν ἐκ πολλοῦ καὶ αὐτὸς, ἀμελούμενος δὲ καὶ μὴ φέρων τὴν ὑπεροψίαν, ἐγὼ μὲν ἀνέῤῥιψα—τὸν δίσκον ἐς τὸ ἄνω, ὁ δὲ—ἐπὶ κεφαλὴν τῷ παιδὶ ἐνέσεισε φέρων αὐτὸν*, etc. Inest genus anacoluthi, ubi cum dicere deberet *ἀμελούμενος δὲ—ἐμοῦ ἀναῤῥίψαντος τὸν δίσκον, καταπνεύσας ἐνέσεισε*, quod genitivo absoluto exprimendum erat, verbo finito expressum interponit. V. Lucian. D. D. edit. Poppon. p. 40. Eodem modo explicare possis nostrum locum.

ἀδέσμῳ φρουρᾷ] Pollux, viii, 72. Dio Cass. xxxvi, 36. *ἐκεῖνον ἐν φυλακῇ ἀδέσμῳ ἐποιήσατο*, quo vulgata firmatur, neque aliter codices Thucydidis. Latinis est ‘custodia libera.’ V. Lips. ad Tacit. Annal. vi, 2. De vocabulo *σῶν* v. Schæfer. ad Longum, p. 346. Suid. Phot. Phavorin. in *σᾶ*. Phavorin. Phot. bis in *σῶ*. Suid. in *σῷ*. De quibus v. Schleusner. in Cur. Nov. ad Phot. p. 391. et 431. Adde Eustath. ad Hom. Il. ν. p. 959. *λέγουσι δὲ καὶ σᾶ τὰ σῶα οἱ παλαιοὶ, παρ' οἷς καὶ σᾶ ἡ σῶα·—Αἴλιος δὲ Διονύσιος εἰπών τινα καὶ αὐτὸς τοιαῦτα λέγει, ὅτι καὶ σῶοι, σοῖ, καὶ σῶ δέ φησι μονοσυλλάβως οἱ σῶοι παρὰ Θουκυδίδῃ*. Ubi scribendum *καὶ σῷ δέ φησι*, etc. Sed apud Thucydidem est *σῶοι*, velut i, 74. Adde Phavorin. in *σῶν*. Nonnullos legisse *σῷ* apud hunc scriptorem, patet ex Etym. M. p. 742., ubi Orus Milesius hujus scripturæ auctor profertur. Ceterum quomodo Paches ducem Arcadum, ita Adalbertum comitem Pabebergensem Hatto lusit apud Luitprandum, ii, 13.

καὶ τὸν Ἱππίαν ὕστερον ἐσαγαγὼν ὥσπερ ἐσπείσατο, ἐπειδὴ ἔνδον ἦν, ξυλλαμβάνει καὶ κατατοξεύει. Κολοφωνίοις δὲ Νότιον παραδίδωσι πλὴν τῶν μηδισάντων. Καὶ ὕστερον Ἀθηναῖοι οἰκιστὰς πέμψαντες κατὰ τοὺς ἑαυτῶν νόμους κατῴκισαν τὸ Νότιον, ξυναγαγόντες πάντας ἐκ τῶν πόλεων εἴ πού τις ἦν Κολοφωνίων.

35. Ὁ δὲ Πάχης ἀφικόμενος ἐς τὴν Μυτιλήνην τήν τε Πύῤῥαν καὶ Ἔρεσσον παρεστήσατο, καὶ Σάλαιθον λαβὼν ἐν τῇ πόλει τὸν Λακεδαιμόνιον κεκρυμμένον ἀποπέμπει ἐς τὰς Ἀθήνας καὶ τοὺς ἐκ τῆς Τενέδου Μυτιληναίων ἄνδρας ἅμα οὓς κατέθετο καὶ εἴ τις ἄλλος αὐτῷ αἴτιος ἐδόκει εἶναι τῆς ἀποστάσεως· ἀποπέμπει δὲ καὶ τῆς στρατιᾶς τὸ πλέον. Τοῖς δὲ λοιποῖς ὑπομένων καθίστατο τὰ περὶ τὴν Μυτιλήνην καὶ τὴν ἄλλην Λέσβον ᾗ αὐτῷ ἐδόκει.

36. Ἀφικομένων δὲ τῶν ἀνδρῶν καὶ τοῦ Σαλαίθου οἱ Ἀθηναῖοι τὸν μὲν Σάλαιθον εὐθὺς ἀπέκτειναν, ἔστιν ἃ παρεχόμενον τά τ' ἄλλα καὶ ἀπὸ Πλαταιῶν, ἔτι γὰρ ἐπολιορκοῦντο, ἀπάξειν Πελοποννησίους· περὶ δὲ τῶν ἀνδρῶν γνώμας ἐποιοῦντο, καὶ ὑπὸ ὀργῆς ἔδοξεν αὐτοῖς οὐ τοὺς παρόντας μόνον ἀποκτεῖναι, ἀλλὰ καὶ τοὺς ἅπαντας Μυτιληναίους ὅσοι ἡβῶσι, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσαι, ἐπικαλοῦντες τήν τε ἄλλην ἀπόστασιν ὅτι οὐκ ἀρχόμενοι ὥσπερ οἱ ἄλλοι ἐποιήσαντο, καὶ προσξυνεβάλετο οὐκ ἐλάχιστον τῆς ὁρμῆς αἱ Πελοποννησίων νῆες ἐς Ἰωνίαν ἐκείνοις βοηθοὶ τολμήσασαι παρακινδυνεῦσαι· οὐ γὰρ ἀπὸ βραχείας διανοίας

36. ἔδοξεν αὐτοῖς—ἐπικαλοῦντες] Anacoluthon; nominativum posuit, quasi antea scripsisset ἐψήφιζον, vel tale quid, quod in ἔδ. αὐτοῖς latet. Conf. iv, 52. καὶ ἦν αὐτῶν ἡ διάνοια τάς τε ἄλλας πόλεις —ἐλευθεροῦν—καὶ κρατυνάμενοι αὐτὴν—τήν τε Λέσβον—κακώσειν—καὶ τὰ Αἰολικὰ πολίσματα χειρώσεσθαι, ubi formula ἦν αὐτῶν ἡ διάνοια nihil aliud significat quam διενοοῦντο vel ἤλπιζον, vel simile quid. iv, 23. τὰ περὶ Πύλον ὑπ' ἀμφοτέρων κατὰ κράτος ἐπολεμεῖτο· Ἀθηναῖοι μὲν—ἀεὶ τὴν νῆσον περιπλέοντες—Πελοποννήσιοι δὲ—προσβολὰς ποιούμενοι τῷ τείχει. Ubi verba ita constructa sunt, quasi præcessisset τὰ περὶ Π. ἀμφότεροι κ. κ. ἐπολέμουν. Inverso modo post activum subjecit nominativum, ii, 53. θεῶν δὲ φόβος ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργε· τὸ μὲν κρίνοντες, etc., ubi vide adnotata. vii, 70. πολλὴ γὰρ δὴ παρακέλευσις καὶ βοὴ ἀφ' ἑτέρων τοῖς κελευσταῖς ἐγίγνετο· τοῖς μὲν Ἀθηναίοις βιάζεσθαι—τοῖς δὲ Συρακοσίοις, καλὸν εἶναι, etc. i. e. πολλὰ ἑτέρων οἱ κελευσταὶ παρεκελεύοντο. Conf. ad iv, 108.

τήν τε ἄλλην—παρακινδυνεῦσαι] προσξυνεβάλετο A. B. E. F. H. K. S. h. προσξυνεβάλλετο c. προσξυνελάβετο i. προσενεβάλετο vel προσενελάβετο g. προσξυνεβάλοντο Q. προξυνεβάλοντο f. Vulgo προσξυνελάβοντο. Vulgata nullum idoneum sensum præbet. Ponuntur duo, propter quæ Athenienses Lesbiis succensuerunt, quod defecerant quanquam socii liberi neque sævo imperio coërciti, et quod iidem Peloponnesiorum naves in regiones Asiæ allexisse videbantur, qui tantum ipsis terrorem injecerant, ut non levi consilio defectio facta esse videretur. Jam vero verbo singulari substantivum plurale junctum of-

ἐδόκουν τὴν ἀπόστασιν ποιήσασθαι. Πέμπουσιν οὖν τριήρη ὡς Πάχητα ἄγγελον τῶν δεδογμένων κατὰ τάχος κελεύοντες διαχρήσασθαι Μυτιληναίους. Καὶ τῇ ὑστεραίᾳ μετάνοιά τις εὐθὺς ἦν αὐτοῖς καὶ ἀναλογισμὸς ὠμὸν τὸ βούλευμα καὶ μέγα ἐγνῶσθαι πόλιν ὅλην διαφθεῖραι μᾶλλον ἢ οὐ τοὺς αἰτίους. Ὡς δ' ᾔσθοντο τοῦτο τῶν Μυτιληναίων οἱ παρόντες πρέσβεις καὶ οἱ αὐτοῖς τῶν Ἀθηναίων ξυμπράσσοντες, παρεσκεύασαν τοὺς ἐν τέλει ὥστε αὖθις γνώμας προθεῖναι· καὶ ἔπεισαν ῥᾷον, διότι καὶ ἐκείνοις ἔνδηλον ἦν βουλόμενον τὸ πλέον τῶν πολιτῶν αὖθίς τινας σφίσιν ἀποδοῦναι βουλεύσασθαι. Καταστάσης δ' εὐθὺς ἐκκλησίας ἄλλαι τε γνῶμαι ἀφ' ἑκάστων ἐλέγοντο καὶ Κλέων ὁ Κλεαινέτου, ὅσπερ καὶ τὴν προτέραν ἐνενικήκει ὥστε ἀποκτεῖναι, ὢν καὶ ἐς τὰ ἄλλα βιαιότατος τῶν πολιτῶν, τῷ τε δήμῳ παρὰ πολὺ ἐν τῷ τότε πιθανώτατος, παρελθὼν αὖθις ἔλεγε τοιάδε.

37. Πολλάκις μὲν ἤδη ἔγωγε καὶ ἄλλοτε ἔγνων δημο-

fensionem habere non minimam videri possit: nempe duplicis structuræ commixtio est, nam vel sic scribere poterat, *καὶ προσξυνεβάλετο οὐκ ἐλάχιστον τῆς ὁρμῆς παρακινδυνεῦσαι τὰς ναῦς Π. ἐς Ἰ. ἐκ. βοηθοὺς τολμῆσαι*, vel sic, *καὶ προσξυνεβάλοντο οὐκ ἐλ. τ. ὁρμ. αἱ Π. νῆες ἐς Ἰ. ἐκ. τολμήσασαι βοηθοὶ παρακ.* i. e. 'et non minimum contulit ad impetum tam præcipitis decreti faciendi, quod Peloponnesiorum naves fuerant illis in Ioniam opitulatum venire ausæ non sine periculo.' Verbum *παρακινδυνεῦσαι* vi prægnanti præditum significat idem quod *κινδυνεύσαντα παραπλεῦσαι*.

τῇ ὑστεραίᾳ μετάνοια] Similiter Lucian. V. H. i. p. 632. *γενομένης δὶς ἐκκλησίας τῇ προτεραίᾳ μὲν οὐδὲν παρέλυσαν τῆς ὀργῆς, τῇ ὑστεραίᾳ δὲ μετέγνωσαν*, quibus ludit Thucydidem, cujus hæc ipsa verba sunt, ex i, 44. init. desumta. Voc. *εὐθὺς* Kruegero ad Dionys. p. 132. suspectum est. Respexit huc Dionys. p. 848. Anecd. Bekk. i. p. 107. *μετάνοια, μετάμελος· Θουκυδίδης*. Vocem *ἀναλογισμὸς* ex Thuc. excitat Pollux, ii, 120.

ὠμὸν—αἰτίους] Gregor. Cor. p. 102. De formula *οὐ μᾶλλον ἢ οὐκ* dixi ad ii, 62. Thucydidis propemodum verba sunt apud Dionys. A. R. vi, 81. *καὶ ὡς τὴν βουλὴν οὐκ ὀρθῶς δι' ὀργῆς ἐχόντων—μᾶλλον, ἢ οὐχὶ τοὺς αἰτίους*. x. 28. *ἀλλὰ τί ταῦτα τῷ δήμῳ ἐπικαλῶ μᾶλλον, ἢ οὐχ ὑμῖν*; xi, 34. *οὔτε—δούλης ἀλλοτρίας ἀνελάμβανε παιδίον μᾶλλον, ἢ οὐ γυναικὸς ἐλευθέρας*. Conf. Herodot. v, 94. vii, 16. Matth. Gr. § 455. Obs. 3. d. Herm. ad Vig. p. 801.

προθεῖναι] V. Hemsterh. ad Lucian. Necyom. t. iii. p. 361. Proëdri (hic *οἱ ἐν τέλει*), cum sententias dicendi potestatem faciunt, dicuntur *λόγον* vel *γνώμας προτιθέναι*, solenne autem præconium hoc est, *τίς ἀγορεύειν βούλεται*: V. Schœmann. d. Comit. Ath. p. 104. Mox, cum Reiskio malim *αὖθίς τινα σφίσιν ἀποδοῦναι*, non *τινας*. Eadem correctione opus erat in verbis, i, 37. *ὧν βλάπτουσί τινα μᾶλλον*, ubi item *τινας* vulgo.

37. Salæthum postquam Athenienses necarunt, de omnibus Mitylenensibus, suadente Cleone, atrocissimum decretum fecerunt. Sed jam profecta nave, quæ decretum illud ad Pachetem transferret, mutatio fit consilii, ac denuo convocata ecclesia lenior sententia proponitur. Tum Cleon, quem Cicero in Bruto 'turbulentum quidem civem, sed tamen eloquentem fuisse' dicit, Thucydides *βιαιότατον*, Hermippus poëta, apud Plutarchum Vit. Pericl. c. 33. *αἴθωνα*, i. e. 'fervidum,' 'ferocem,' 'violentum,' (non *ἄπληστον, δημοβόρον*, ut Coraës voluit. Conf. Soph. Aj. 1087. Auct. Rhesi 122.) appellat; Cleon igitur Atheniensibus inconstantiam ac levitatem exprobrat, et publicæ salutis causa eos hortatur, ut in priore sententia perstent. De Cleone demagogo eximia commentatio extat, neque tamen ad finem perducta Friderici Kortum in Dœderl. Philol. Beytr. aus d. Schw. fasc. i. p. 35. Dignus qui conferatur Schol. Lucian. Timon. c. 30. t. i. p. 100., ubi v. interpp. p. 395., qui inter alia hæc habet: *δωρο-*

κρατίαν ὅτι ἀδύνατόν ἐστιν ἑτέρων ἄρχειν, μάλιστα δ᾽ ἐν τῇ νῦν ὑμετέρᾳ περὶ Μυτιληναίων μεταμελείᾳ. Διὰ γὰρ τὸ καθ᾽ ἡμέραν ἀδεὲς καὶ ἀνεπιβούλευτον πρὸς ἀλλήλους καὶ ἐς τοὺς ξυμμάχους τὸ αὐτὸ ἔχετε, καὶ ὅ,τι ἂν ἢ λόγῳ πεισθέντες ὑπ᾽ αὐτῶν ἁμάρτητε ἢ οἴκτῳ ἐνδῶτε, οὐκ ἐπικινδύνως ἡγεῖσθε ἐς ὑμᾶς καὶ οὐκ ἐς τὴν τῶν ξυμμάχων χάριν μαλακίζεσθαι, οὐ σκοποῦντες ὅτι τυραννίδα ἔχετε τὴν ἀρχὴν καὶ πρὸς ἐπιβουλεύοντας αὐτοὺς καὶ ἄκοντας ἀρχομένους, οἳ

δόκος δὲ εἰς ὑπερβολὴν ὑπῆρχε Cleon, καὶ τοῦτο δηλοῖ αὐτοῦ ἡ γραφεῖσα ὑπ᾽ αὐτοῦ Μιτυληναίοις ἐπιστολή· ὕστερον δὲ Μιτυλήνης ἁλούσης ὑπὸ Πάχητος τοῦ στρατηγοῦ, τὴν μὲν ἔμπροσθεν ἡμέραν συμπεῖσαι τὸν δῆμον, ὡς χρὴ Λεσβίων ἁπάντων πλὴν Μηθυμναίων τοὺς μὲν ἡβῶντας ἀποκτεῖναι, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσασθαι, καὶ τὸ ψήφισμα τοῦτο ἀποστεῖλαι ἐπὶ τῆς Παράλου· τῆς τε νυκτὸς ἐπιούσης ἐλθόντων ὡς αὐτὸν τῶν ἐπιδημούντων Ἀθήνησι Λεσβίων, καὶ δέκα ταλάντοις αὐτὸν ἀργυρίου μετελθόντων, μεταπεῖσαι πάλιν τὸν δῆμον καὶ τριήρη πάλιν ἄλλην ἀποστεῖλαι ἀναιροῦσαν τὸ ψήφισμα. Οὕτω, addit scholiastes, Θουκυδίδης. Verius dixisset, partim ex comicis, partim ex historico desumta esse. Hanc orationem in vernaculum sermonem convertit Garve in Philos. Vers. t. i. p. 445.

ἀδύνατον] A. B. E. H. I. K. L. M. N. O. P. b. c. e. f. g. h. Vulgo *ἀδύνατος*. Neutrum etiam schol. agnoscit. Accusativus *δημοκρατίαν* per notam attractionem cum verbo *ἔγνων* junctus, sed vera structura hæc est, *ἔγνων, ὅτι ἀδύνατόν ἐστι δημοκρατίαν ἑτέρων ἄρχειν*. Ad h. l. respiciunt Anecd. Bekk. i. p. 107.

ἀδεὲς καὶ ἀνεπιβούλευτον] Quod i, 68. init. *τὸ πιστὸν* dixerat, hic ipse explicat. Locus ille est plane similis: *τὸ πιστὸν ὑμᾶς τῆς καθ᾽ ὑμᾶς αὐτοὺς πολιτείας καὶ ὁμιλίας ἀπιστοτέρους ἐς τοὺς ἄλλους, ἤν τι λέγωμεν* (dicere debebat *λέγωσι*), *καθίστησι*.

καὶ ὅ,τι ἂν—περιγένησθε] Prior pars sententiæ paulo impeditior, *καὶ—οὐκ ἐπικινδύνως ἡγεῖσθε ἐς ὑμᾶς καὶ οὐκ ἐς τὴν τῶν ξυμμάχων χάριν μαλακίζεσθαι*, i. e. *καὶ—οὐχ ἡγεῖσθε μαλακίζεσθαι ἐπικινδύνως ἐς ὑμᾶς καὶ μαλακίζεσθαι οὐκ ἐς τὴν τῶν ξυμμάχων χάριν*, 'And you do not consider that every mistake which you commit, being either persuaded by others or misled by your compassion, is a weakness most dangerous for yourselves, and by which you do not oblige your allies.' Ubi probe animadvertendum, in particulis *καὶ οὐκ ἐς*, etc. antitheseos vim inesse, quam optime explanant verba scholiastæ: *τουτέστι καὶ οὐχ ἡγεῖσθε τοῦτο, ὅτι ἐάν τε λόγῳ παραχθέντες ὑπ᾽ αὐτῶν, ἐάν τε οἰκτείραντες αὐτοὺς, μαλακώτερον καὶ πρᾳότερον προσενεχθῆτε, οὐκ ἐκείνοις τι χαρίζεσθε, ἀλλ᾽ αὐτοὶ κινδυνεύετε καταφρονούμενοι· ἐκεῖνοι δὲ οὐκ ἴσασι χάριν ὑμῖν*. Itaque *καὶ οὐκ* nunquam Thucydides scribit, ubi *οὐδὲ* scribendum est; ut ne Latine quidem recte dicitur 'nec,' ubi opus est particulis 'et non,' quanquam scio id sibi indulsisse Tacitum, Annal. i, 35., ubi v. Ernest. Conf. Thucyd. i, 69. *οἱ γὰρ δρῶντες βεβουλευμένοι πρὸς οὐ διεγνωκότας ἤδη καὶ οὐ μέλλοντες ἐπέρχονται*. Ubi inter se contraria sunt *οἱ δρῶντες καὶ οὐ μέλλοντες*, i. e. *οἱ οὐ μέλλοντες ἀλλὰ δρῶντες*. Quid autem sententiæ exeat, si *καὶ οὐ* nostro loco pro *οὐδὲ* positum statuas, nunc videndum: tum igitur hunc aio sensum esse, 'And you neither consider that every mistake which you commit, being either persuaded by others or misled by your compassion, is a weakness most dangerous for yourselves; nor are you aware that you do not commit it to please your allies.' Prior explicatio et verbis juvatur, et unice huic loco aptam sententiam efficit, ut altera pars enunciationis probat, ubi hoc dicit: socios ita demum dicto audientes fore, si gravi sævoque imperio contineantur, non si leniter humaniterque habeantur. In *μαλακίζεσθαι* vis prægnans est; significat enim *μαλακίᾳ ἁμαρτάνειν* sive *ποιεῖν τι*. De verbis *οἳ οὐκ—περιγένησθε* controversiam movit Popp. Obs. p. 21., quem sequitur Reisig. Conjectan. in Aristoph. i. p. 316. Hi igitur relativum *οἳ* delent, quod deest in scriptis editisque plurimis, neque agnoscitur a scholiasta, cujus hæc verba extant: *βλαπτόμενοι αὐτοὶ*] *ἀσαφὲς τὸ χωρίον, ὅτι ἀπὸ αἰτιατικῆς εἰς εὐθεῖαν μετέβη ἡ ἀπόδοσις τῆς ἐννοίας, ὅπερ ἐστὶ παρὰ τὴν κοινὴν συνήθειαν· ὤφειλε γὰρ βλαπτομένους καὶ ἀκροωμένους εἰπεῖν ὁ γράφων, ἀλλ᾽ ὡς καινῶν συντάξεων εὑρετὴς καὶ τῆς παλαιᾶς Ἀτθίδος ἐπιστήμων τοῦτο οὐ πεποίηκεν*. Deleto igitur relativo, existimandum est, oratione variata transitum a participio in verbum finitum factum esse, ut i, 57. in verbis δε-

οὐκ ἐξ ὧν ἂν χαρίζησθε βλαπτόμενοι αὐτοὶ ἀκροῶνται ὑμῶν, ἀλλ᾽ ἐξ ὧν ἂν ἰσχύϊ μᾶλλον ἢ τῇ ἐκείνων εὐνοίᾳ περιγένησθε. Πάντων δὲ δεινότατον εἰ βέβαιον ἡμῖν μηδὲν καθεστήξει ὧν ἂν δόξῃ πέρι, μηδὲ γνωσόμεθα ὅτι χείροσι νόμοις ἀκινήτοις χρωμένη πόλις κρείσσων ἐστὶν ἢ καλῶς ἔχουσιν ἀκύροις, ἀμαθία τε μετὰ σωφροσύνης ὠφελιμώτερον ἢ δεξιότης μετὰ ἀκολασίας, οἵ τε φαυλότεροι τῶν ἀνθρώπων πρὸς τοὺς ξυνετωτέρους ὡς ἐπὶ τὸ πλεῖον ἄμεινον οἰκοῦσι τὰς πόλεις. Οἱ μὲν γὰρ τῶν τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι τῶν τε ἀεὶ λεγομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι, ὡς ἐν ἄλλοις μείζοσιν οὐκ ἂν δηλώσαντες τὴν γνώμην, καὶ ἐκ τοῦ τοιούτου τὰ πολλὰ σφάλλουσι τὰς πόλεις· οἱ δ᾽ ἀπιστοῦντες τῇ ἑαυτῶν ξυνέσει ἀμαθέστεροι μὲν τῶν νόμων ἀξιοῦσιν εἶναι, ἀδυνατώτεροι δὲ τοῦ καλῶς εἰπόντος μέμψασθαι λόγον, κριταὶ δὲ ὄντες ἀπὸ τοῦ ἴσου μᾶλλον ἢ ἀγωνισταὶ ὀρθοῦνται τὰ πλείω. Ὣς οὖν χρὴ καὶ ἡμᾶς ποιοῦντας μὴ δεινότητι καὶ ξυνέσεως ἀγῶνι ἐπαιρομένους παρὰ δόξαν τῷ ὑμετέρῳ πλήθει παραινεῖν.

38. Ἐγὼ μὲν οὖν ὁ αὐτός εἰμι τῇ γνώμῃ καὶ θαυμάζω

διώς τε ἔπρασσεν—ξυναποστῆναι. iv, 4. ἐγχειρήσαντες—ξυμβαίνοι. Sed uberrimus de hoc usu Schæfer. ad Dionys. de C. V. p. 81. 110. 145. 324. Sed mirum, Popponem αὐτοὶ jungere cum ἀκροῶνται, existimantem αὐτοὶ quodammodo vice pronominis relativi fungi. Significat structuræ genus, de quo Herm. ad Viger. p. 707, 28., cujusque hoc exemplum addit, ἐσπίπτουσιν ἐς οἴκημα μέγα, ὃ ἦν τοῦ τείχους, καὶ αἱ πλησίον θύραι ἀνεῳγμέναι ἔτυχον αὐτοῦ, i. e. καὶ οὗ αἱ θύραι, etc. Sed αὐτοὶ, nisi hic 'ipsi' significet, plane ferri non potest; nam hoc pronomen tantum in casibus obliquis nostris 'he,' 'she,' 'it,' respondere, in vulgus notum est. Quin αὐτοὶ cum βλαπτόμενοι jungendum, et hæc referenda sunt ad illa ἐπικινδύνως ἐς ὑμᾶς. Sensum bene Bauerus reddidit his: audiunt vos secundum illa, propter illa, iis impulsi quæ cum vi imperatis, non ex iis quæ vos illis indulgeatis cum vestra ipsorum fraude, vestro ipsorum damno. Οἱ abest ab A. B. E. F. K. L. M. N. O. P. c. d. e. f. et meo S. οἱ—ὑμῶν omittit H. Paulo ante, πρὸς ἐπιβουλεύοντας ex E. H. recepit Bekker. pro vulgata προσεπιβουλεύοντας. Verba ἐξ ὧν utrimque resolvenda per ἐξ ἐκείνων, ἃ, neque enim abhorret a Græcæ linguæ usu dicere περιγίγνεσθαί τινά τι. Quare non mihi probatur Lehneri ratio in Actis Phil. Monac. t. iii. p. 83., qui alterum ἐξ ὧν dictum ait pro ἐξ ἐκείνων, οἷς, ita ut ἰσχύϊ sit appositio.

πάντων—ἀκολασίας] Stobæus p. 244., ubi est καθίστησιν. Idem adscripsit verba οἵ τε φαυλότεροι—τὰ πλείω, ubi est δηλώσοντες, et τὸν τοῦ καλῶς—λόγον. Idem μέμφεσθαι, et mox διορθοῦνται. Vocem ἀκολασία hinc citant Anecd. Bekker. i. p. 367.

φαυλότεροι] i. e. 'mediocres,' 'simplices homines.' Timæus: φαῦλον· ἁπλοῦν, ῥᾴδιον, εὐτελὲς, ubi v. Ruhnken. Jacobi: 'men of confined understanding.' V. Eurip. Phœn. 498. Plut. Vit. Brut. c. 12. In alio nexu orationis aliud significat, nam e contrario significatio hujus vocis definitur, item ut fit in ἰδιώτης. Conf. Buttm. ad Plat. Men. c. 33. De scriptura vocis v. Popp. Prol. t. i. p. 209. Mox, ἐπὶ τὸ πλεῖον ex libris restitui pro ἐπὶ τὸ πλεῖστον, et τῇ ἑαυτῶν ξυνέσει pro τῇ ἐξ ἑαυτῶν ξυν.

κριταὶ—ἀγωνισταὶ] i. e. 'more impartial judges than rival speakers.' Heilmann. 'and as, therefore, they act now more as impartial judges than as zealous defenders of one or another opinion, they are generally successful.'

παρὰ δόξαν] i. e. 'adversus quam ipse populus scivit.'

38. ὁ αὐτὸς] V. Valcken. ad Eur. Phœn. 927.

μὲν τῶν προθέντων αὖθις περὶ Μυτιληναίων λέγειν καὶ χρόνου διατριβὴν ἐμποιησάντων, ὅ ἐστι πρὸς τῶν ἠδικηκότων μᾶλλον· ὁ γὰρ παθὼν τῷ δράσαντι ἀμβλυτέρᾳ τῇ ὀργῇ ἐπεξέρχεται, ἀμύνασθαι δὲ τῷ παθεῖν ὅτι ἐγγυτάτω κείμενον ἀντίπαλον ὂν μάλιστα τὴν τιμωρίαν ἀναλαμβάνει· θαυμάζω δὲ καὶ ὅστις ἔσται ὁ ἀντερῶν καὶ ἀξιώσων ἀποφαίνειν τὰς μὲν Μυτιληναίων ἀδικίας ἡμῖν ὠφελίμους οὔσας, τὰς δ' ἡμετέρας ξυμφορὰς τοῖς ξυμμάχοις βλάβας καθισταμένας. Καὶ δῆλον ὅτι ἢ τῷ λέγειν πιστεύσας τὸ πάνυ δοκοῦν ἀνταποφῆναι ὡς οὐκ ἔγνωσται ἀγωνίσαιτ' ἄν, ἢ κέρδει ἐπαιρόμενος τὸ εὐπρεπὲς τοῦ λόγου ἐκπονήσας παράγειν πειράσεται. Ἡ δὲ πόλις ἐκ τῶν τοιῶνδε ἀγώνων τὰ μὲν ἆθλα ἑτέροις δίδωσιν, αὐτὴ δὲ τοὺς κινδύνους ἀναφέρει. Αἴτιοι δ' ὑμεῖς κακῶς ἀγωνοθετοῦντες, οἵτινες εἰώθατε θεαταὶ μὲν τῶν λόγων γίγνεσθαι, ἀκροαταὶ δὲ τῶν ἔργων, τὰ μὲν μέλλοντα

αἴτιοι—ἐπιτιμησάντων] Schol. ὥσπερ ἀκροαταὶ τῶν σοφιστικῶν λόγων ἡδονῆς γίγνονται κριταὶ, οὐ πραγμάτων, τὸν αὐτὸν τρόπον καὶ ὑμεῖς τοὺς λόγους σκοπεῖτε, οὐ τὰ πράγματα. Amat hæc historicus exprobrare popularibus, neque uno modo expressam istam sententiam protulit, ut v, 113. ἀλλ' οὖν μόνοι γε ἀπὸ τούτων τῶν βουλευμάτων—τὰ μὲν μέλλοντα τῶν ὁρωμένων σαφέστερα κρίνετε, τὰ δὲ ἀφανῆ τῷ βούλεσθαι ὡς γιγνόμενα ἤδη θεᾶσθε. Nam ut Heliodor. dicit, viii. p. 379, 14. homines ex optato res sibi eventuras confingunt: ἃ γὰρ ἐπιθυμεῖ ψυχὴ, καὶ πιστεύειν φιλεῖ. Charit. vi, 5. p. 139, 20. φύσει γὰρ ὁ ἄνθρωπος ὃ βούλεται τοῦτο καὶ οἴεται, ubi v. Dorv. Dem. Ol. 3. p. 33. ὃ γὰρ βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται. Thuc. iv, 108. med. καὶ γὰρ ἄδεια ἐφαίνετο αὐτοῖς (incolis urbium, qui ab Atheniensibus desciverant) ἐψευσμένοις μὲν (τῆς Ἀθηναίων δυνάμεως) ἐπὶ τοσοῦτον, ὅση ὕστερον διεφάνη, τὸ δὲ πλέον βουλήσει κρίνοντες ἀσαφεῖ, ἢ προνοίᾳ ἀσφαλεῖ· εἰωθότες οἱ ἄνθρωποι, οὗ μὲν ἐπιθυμοῦσιν, ἐλπίδι ἀπερισκέπτῳ διδόναι, ὃ δὲ μὴ προσίενται, λογισμῷ αὐτοκράτορι διωθεῖσθαι. In eandem sententiam hoc loco dicit, τὰ μέλλοντα ἔργα ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες, ὡς δυνατὰ γίγνεσθαι, et iii, 3. dixit. μεῖζον μέρος νέμοντες τῷ μὴ βούλεσθαι ἀληθῆ εἶναι. Solent autem hæc inter se contraria poni, ἀκοαὶ—λόγοι, λόγοι—ὄψεις, ἔργα—λόγοι, ut ab Athenagora ap. Thuc. vi, 40. καὶ εἴ τι μὴ αὐτῶν (rumorum qui de Atheniensibus contra Syracusas navigantibus ferebantur) ἀληθές ἐστιν, (ὥσπερ οὐκ οἴομαι,) οὐ πρὸς τὰς ὑμετέρας ἀγγελίας καταπλαγεῖσα καὶ ἑλομένη ὑμᾶς ἄρχοντας αὐθαίρετον δουλείαν ἐπιβαλεῖται, αὐτὴ δ' ἐφ' ἑαυτῆς σκοποῦσα τούς τε λόγους ἀφ' ὑμῶν ὡς ἔργα δυναμένους κρινεῖ, καὶ τὴν ὑπάρχουσαν ἐλευθερίαν οὐχὶ ἐκ τοῦ ἀκούειν ἀφαιρεθήσεται, ἐκ δὲ τοῦ ἔργῳ φυλασσομένη μὴ ἐπιτρέπειν (τὴν στρατηγίαν) πειράσεται σώζειν, ubi v. Bauer. Ita Athenienses increpat Solon, 19. εἰς γὰρ γλῶσσαν ὁρᾶτε, καὶ εἰς ἔπη αἱμύλου ἀνδρός· εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε. Et apud Æschyl. Agam. 786. Dii cœlites δίκας οὐκ ἀπὸ γλώσσης κλύουσιν, ubi v. Blomf. Hinc patet in verbis οὐ τὸ δρασθὲν πιστότερον ὄψει λαβόντες, ἢ τὸ ἀκουσθὲν, cum jam illa contrariorum oppositio insit in verbis ὄψει et ἀκουσθὲν, et cum optimi libri A. B. E. F. H. K. N. c. d. f. g. sic pro vulgata θεαθὲν habeant, melius δρασθὲν exhiberi. Ibidem λαβόντες accipe dictum pro ὑπολαβόντες, ut in oratione Periclis, ii, 42. Sententia autem loci, quem tractamus, 'quod auditis ex oratoribus vestris, ut vobis persuadere conantur, ita vobis videtur esse,' oratio enim vobis pro factis est (θεαταὶ τῶν λόγων); 'quod factum, ita factum fingitis, ut auditis et persuaderi vobis patimini' (ἀκροαταὶ τῶν ἔργων). Magis ad nostri ævi captum et rationem loquendi Garve: 'that is your own fault; you are such bad judges in these debates, because you know things only by hearsay, and are immediately influenced by the speeches which are held (in your presence) before you.' Huc etiam pertinet locus Platonis d. Rep. vi, 12. p. 498. D. Steph. explicatu difficil-

ἔργα ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες ὡς δυνατὰ γίγνεσθαι, τὰ δὲ πεπραγμένα ἤδη, οὐ τὸ δρασθὲν πιστότερον ὄψει λαβόντες ἢ τὸ ἀκουσθὲν ἀπὸ τῶν λόγῳ καλῶς ἐπιτιμησάντων· καὶ μετὰ καινότητος μὲν λόγου ἀπατᾶσθαι ἄριστοι, μετὰ δεδοκιμασμένου δὲ μὴ ξυνέπεσθαι ἐθέλειν· δοῦλοι ὄντες τῶν ἀεὶ ἀτόπων, ὑπερόπται δὲ τῶν εἰωθότων· καὶ μάλιστα μὲν αὐτὸς εἰπεῖν ἕκαστος βουλόμενος δύνασθαι, εἰ δὲ μὴ, ἀνταγωνιζόμενοι τοῖς τοιαῦτα λέγουσι μὴ ὕστεροι ἀκολουθῆσαι δοκεῖν τῇ γνώμῃ, ὀξέως δέ τι λέγοντος προεπαινέσαι καὶ προαισθέσθαι τε πρόθυμοι εἶναι τὰ λεγόμενα καὶ προνοῆσαι βραδεῖς τὰ ἐξ αὐτῶν ἀποβησόμενα· ζητοῦντές τε ἄλλο τι,

limus: *τὸ μέντοι μὴ πείθεσθαι τοῖς λεγομένοις τοὺς πολλοὺς, θαῦμα οὐδέν· οὐ γὰρ πώποτε ἴδον γενόμενον τὸ νῦν λεγόμενον, ἀλλὰ πολὺ μᾶλλον τοιαῦτ' ἄττα ῥήματα, ἐξεπίτηδες ἀλλήλοις ὡμοιωμένα, ἀλλ' οὐκ ἀπὸ τοῦ αὐτομάτου, ὥσπερ νῦν, συμπεσόντα, ἄνδρα δὲ ἀρετῇ παρισωμένον καὶ ὡμοιωμένον μέχρι τοῦ δυνατοῦ τελέως, ἔργῳ τε καὶ λόγῳ δυναστεύοντα ἐν πόλει ἑτέρᾳ τοιαύτῃ οὐ πώποτε ἑωράκασιν, οὔτε ἕνα οὔτε πλείους.* Non mirum, dicere videtur, multitudinem dictis meis fidem abrogare, quippe quæ tantum quæ sub oculos cadunt, credat, speciem vero viri nunquam ob oculos habuerit, qualem nobis fingimus, i. e. virtute et sapientia, qui cogitari potest, præstantissimum. Re igitur, id quod dico, nunquam experti sunt; multo magis, addit, talia dicta audiverunt de industria inter se assimilata, orationes alteram ex altera imitando expressas, quippe omnes ex theatris rhetorum profectas. Ubi schol. p. 409. Bekk. *πικρὸν τὸ λέγειν*, ait, *ὅτι ἔργῳ μὲν τὰ νῦν λεγόμενα καλῶς οὐκ εἶπον* (leg. *εἶδον*) *οἱ πολλοί, ἀλλὰ πολὺ μᾶλλον τοιαῦτα ῥήματα εἶδον· καὶ γὰρ ὁ Θουκυδίδης, ἐπιπλήττων τοὺς Ἀθηναίους λέγει ὅτι "ὑμεῖς θεαταὶ μέν ἐστε τῶν λόγων, ἀκροαταὶ δὲ τῶν ἔργων."* Obscuriora sunt illa *ἀπὸ τοῦ αὐτομάτου συμπεσόντα*, ubi schol. Plat. p. 410. hæc adnotavit: *ἡ γὰρ ἀλήθεια αὐτομάτως ὡς εἰπεῖν συνέρχεται· οὐ γὰρ ἀγράφῳ γραμματείῳ ἔοικεν ἡ ψυχή.* Unde colligimus eum hæc ita intellexisse: insitas quasdam in mente hominum divinitus rerum species esse, veritatis ipsius, quæ in Deo est, imagines, et ipsam veritatem; quacum Plato dicta sua non quæsito artificio ad persuadendum assimilata, sed sponte et suapte natura, ut quæ neminem imitentur, dicit congruere. *Πόλιν ἑτέραν τοιαύτην* intelligit eam cui optimi, i. e. sapientes, præsunt. Quod autem schol. verbis nostri scriptoris usus est, ideo factum, ut Platonicum *ἴδον ῥήματα* explicet; nam Thucydidem et ipsum dixisse 'spectatores orationum,' 'auditores factorum.' In fine Thucydideæ sententiæ Bekker. jure reposuit scripturam codicum plurimorum *λόγῳ*, pro *λόγων*.

μετὰ καινότητος] Schol. *ταῦτα πρὸς τοὺς Ἀθηναίους αἰνίττεται, οὐδέν τι μελετῶντας πλὴν λέγειν τι καὶ ἀκούειν καινὸν*, Act. Apost. xvii, 21. Dem. Phil. i. p. 43. Hæc est decantata illa Atheniensium *περιεργία*.

δοῦλοι — ἀτόπων] Thom. M. p. 122. Interpretor: 'you are the first to be imposed upon by speeches striking by their novelty, and the last to follow the advice which has been approved of; you are constant slaves of what is extraordinary and adventurous, and you disdain what is ordinary or usual.' The literal translation is, 'you understand perfectly well to be imposed upon, etc. and not to follow, etc.' Tota oratio spirat hominis os durum atque audaciam, quem Theopompus ap. schol. Lucian. t. i. p. 100. scribit, *συνεληλυθότων Ἀθηναίων παρελθεῖν εἰς τὴν ἐκκλησίαν στέφανον ἔχοντα, καὶ κελεῦσαι αὐτοὺς ἀναβαλέσθαι τὸν σύλλογον, τυγχάνειν γὰρ αὐτὸν θύοντα καὶ ξένους ἑστιᾶν μέλλοντα καὶ διαλῦσαι τὴν ἐκκλησίαν.*

καὶ μάλιστα μὲν—ἀποβησόμενα] Repetendum *ὑμεῖς αἴτιοι*: porro infinitivi *μὴ δοκεῖν* et *πρόθυμοι εἶναι* pendent ex *βουλόμενος ἕκαστος* sive *βουλόμενοι*. Participium *ἀνταγωνιζόμενοι* resolvendum in *τῷ ἀνταγωνίζεσθαι*. Vocabulum *τοιαῦτα* ita intelligo, 'talia dicentes, qualia dicendi periti,' ut sensus non alius sit quam si scripsisset *τοῖς εὖ λέγουσι*. Adverbium *ὀξέως* plerique omnes interpretantur, 'acutely,' 'ingeniously,' velut Garve 'you praise him beforehand who says something ingenious:' et Bredovius: 'to anti-

ὡς εἰπεῖν, ἢ ἐν οἷς ζῶμεν, φρονοῦντες δὲ οὐδὲ περὶ τῶν παρόντων ἱκανῶς· ἁπλῶς τε ἀκοῆς ἡδονῇ ἡσσώμενοι καὶ σοφιστῶν θεαταῖς ἐοικότες καθημένοις μᾶλλον ἢ περὶ πόλεως βουλευομένοις.

39. Ὧν ἐγὼ πειρώμενος ἀποτρέπειν ὑμᾶς ἀποφαίνω Μυτιληναίους μάλιστα δὴ μίαν πόλιν ἠδικηκότας ὑμᾶς. Ἐγὼ γάρ, οἵτινες μὲν μὴ δυνατοὶ φέρειν τὴν ὑμετέραν ἀρχὴν ἢ οἵτινες ὑπὸ τῶν πολεμίων ἀναγκασθέντες ἀπέστησαν, ξυγγνώμην ἔχω· νῆσον δὲ οἵτινες ἔχοντες μετὰ τειχῶν καὶ κατὰ θάλασσαν μόνον φοβούμενοι τοὺς ἡμετέρους πολεμίους, ἐν ᾧ καὶ αὐτοὶ τριήρων παρασκευῇ οὐκ ἄφρακτοι ἦσαν πρὸς αὐτούς, αὐτόνομοί τε οἰκοῦντες καὶ τιμώμενοι ἐς τὰ πρῶτα ὑφ' ἡμῶν τοιαῦτα εἰργάσαντο, τί ἄλλο οὗτοι ἢ ἐπεβούλευσάν τε καὶ ἐπανέστησαν μᾶλλον ἢ ἀπέστησαν; ἀπόστασις μέν γε τῶν βίαιόν τι πασχόντων ἐστίν, ἐζήτησάν τε μετὰ τῶν πολεμιωτάτων ἡμᾶς στάντες διαφθεῖραι; καίτοι δεινότερόν ἐστιν

cipate the praise of him who says something ingenious.' Sed ὁ ὀξέως τι λέγων hic contrarius ponitur τῷ εὖ λέγοντι, atque infinitivus προεπαινέσαι pendet ex δοκεῖν, sicut alter infinit. ἀκολουθῆσαι. Igitur vox in malam partem accipienda significat, opinor, nostrum 'striking,' 'shocking.' Hoc dicit, omnes cupere aut non videri secuti esse sententiam bene loquentium, aut post se acerbe dicta priores calculo suo comprobasse. Ex mea quidem sententia hic verborum ordo est: καὶ (αἴτιοι ὑμεῖς) μάλιστα μὲν αὐτὸς εἰπεῖν ἕκαστος βουλόμενος δύνασθαι, εἰ δὲ μή, τῷ ἀνταγωνίζεσθαι τοῖς εὖ λέγουσι (βουλόμενοι) μὴ ὕστεροι ἀκολουθῆσαι δοκεῖν τῇ γνώμῃ, προεπαινέσαι δὲ ὀξέως τι λέγοντος, καὶ (βουλόμενοι) πρόθυμοι εἶναι προαισθέσθαι τε τὰ λεγόμενα, καὶ προνοῆσαι τὰ ἐξ αὐτῶν ἀποβησόμενα βραδεῖς. Ubi hoc tenendum, qui infinitivi ex βουλόμενοι pendent, eos infinitivos præsentis esse, quique rursus ex his præsentibus, eos aoristi infinitivos, δύνασθαι—δοκεῖν (ἀκολουθῆσαι et προεπαινέσαι)—πρόθυμοι εἶναι (προαισθέσθαι)—βραδεῖς εἶναι (προνοῆσαι). Quod est certissimum indicium, verba eo, quo dixi ordine, se excipere. Jam nullus dubito, quin hæc vera interpretatio sit: 'The most earnest wish that the heart of any of your body ever conceived is, to become a speaker; if that be unattainable, you range yourselves in opposition against all who are so, for fear you should seem in judgment their inferiors: when any thing is acutely uttered, you are ready even to go before it with applause, and intimate your own preconception of the point, at the same time dull at discovering whither it will tend.'

ἁπλῶς τε—βουλευομένοις] Schol. ἀκοῇ ῥητορικῶν λόγων καινότερα καὶ παράδοξα ὑμῖν εἰσηγουμένων· σοφιστὰς δὲ λέγει οὐ τοὺς σοφιζομένους τὴν ἀλήθειαν, ἀλλὰ τοὺς ἐν τῇ συνηθείᾳ λεγομένους, τοὺς διδασκάλους τῶν ῥητορικῶν προβλημάτων· θεατὰς δὲ αὐτοὺς τοὺς μαθητὰς καὶ ἀκροατάς—ἡδονῇ δὲ ἀντὶ τοῦ κολακείᾳ. Sophistæ dicti, qui rhetoricen Athenis docebant. Vid. quos Duker. laudat Scaliger. Animadv. in Loc. Controv. Titii, iv, 5. et Cresoll. Theatr. Rhetor. i, 1.

39. μίαν πόλιν] Εἷς constat vim superlativi augere, ut apud Latinos vox 'unus.' Cic. pr. Planc. 41. 'urbem unam mihi amicissimam:' pr. Rabir. 9. 'vir unus totius Græciæ facile doctissimus Plato.' C. Nep. Vit. Cim. 8. 'cum unus maxime floreret.'

ἐπανέστησαν] Huc respexit Alexand. Aphrodis. in Aristot. Topic. 2. p. 86. βουληθεὶς παροξῦναι τοὺς Ἀθηναίους πρὸς τοὺς Μιτυληναίους τὴν ἀπόστασιν αὐτῶν εἰς τὴν μετανάστασιν μετέλαβε, quæ descripsit Suidas in ἐγκράτεια, recte habens ἐπανάστασιν. Dio Cass. lxxi, 24. ἀπόστασις, μᾶλλον δὲ ἐπανάστασις γέγονε. Verba ἐζήτησαν—διαφθεῖραι habet Thom. M. p. 163.

ἢ εἰ καθ' αὑτοὺς δύναμιν κτώμενοι ἀντεπολέμησαν. Παράδειγμα δὲ αὐτοῖς οὔτε αἱ τῶν πέλας ξυμφοραὶ ἐγένοντο ὅσοι ἀποστάντες ἤδη ἡμῶν ἐχειρώθησαν, οὔτε ἡ παροῦσα εὐδαιμονία παρέσχεν ὄκνον μὴ ἐλθεῖν ἐς τὰ δεινά· γενόμενοι δὲ πρὸς τὸ μέλλον θρασεῖς καὶ ἐλπίσαντες μακρότερα μὲν τῆς δυνάμεως, ἐλάσσω δὲ τῆς βουλήσεως, πόλεμον ἤραντο, ἰσχὺν ἀξιώσαντες τοῦ δικαίου προθεῖναι· ἐν ᾧ γὰρ ᾠήθησαν περιέσεσθαι, ἐπέθεντο ἡμῖν οὐκ ἀδικούμενοι. Εἴωθε δὲ τῶν πόλεων αἷς ἂν μάλιστα καὶ δι' ἐλαχίστου ἀπροσδόκητος εὐπραξία ἔλθῃ, ἐς ὕβριν τρέπειν· τὰ δὲ πολλὰ κατὰ λόγον τοῖς ἀνθρώποις εὐτυχοῦντα ἀσφαλέστερα ἢ παρὰ δόξαν· καὶ κακοπραγίαν, ὡς εἰπεῖν, ῥᾷον ἀπωθοῦνται ἢ εὐδαιμονίαν διασώζονται. Χρῆν δὲ Μυτιληναίους καὶ πάλαι μηδὲν διαφέροντας τῶν ἄλλων ὑφ' ἡμῶν τετιμῆσθαι, καὶ οὐκ ἂν ἐς τόδε ἐξύβρισαν· πέφυκε γὰρ καὶ ἄλλως ἄνθρωπος τὸ μὲν θεραπεῦον ὑπερφρονεῖν, τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν. Κολασθήτωσαν δὲ καὶ νῦν ἀξίως τῆς ἀδικίας, καὶ μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε. Πάντες γὰρ ἡμῖν γε ὁμοίως ἐπέθεντο, οἷς γ' ἐξῆν ὡς ἡμᾶς τρεπομένοις νῦν πάλιν ἐν τῇ πόλει εἶναι. Ἀλλὰ τὸν μετὰ τῶν ὀλίγων κίνδυνον ἡγησάμενοι βεβαιότερον ξυναπέστησαν. Τῶν τε ξυμμάχων, σκέψασθε, εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπὸ τῶν πολεμίων καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς αὐτὰς ζημίας προσθήσετε, τίνα οἴεσθε ὅντινα οὐ βραχείᾳ προφάσει ἀποστήσεσθαι, ὅταν ἢ κατορθώσαντι ἐλευθέρωσις ᾖ ἢ σφαλέντι μηδὲν

εἴωθε—τρέπειν] Verba posita sunt pro εἴωθε δὲ ἡ εὐπραξία ἐκείνας τὰς πόλεις ἐς ὕβριν τρέπειν, αἷς ἂν μάλιστα ἀπροσδόκητος ἔλθῃ. Scholiastes: εἴωθε δὲ πρὸς ὕβριν τρέπειν ἡ εὐπραξία τῶν πόλεων ἐκείνας, αἷς ἂν αὕτη ἐξαίφνης ἐγγένηται καὶ ἀπροσδόκητος. Locus insignis commentatione Clementis Alex. Strom. p. 618. D. (p. 738. Oxon.) ὀλίγοις δὲ τῶν καθωμιλημένων καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκίμων ἀνδρῶν χρησάμενος μαρτυρίοις τὸ κλεπτικὸν διελέγξας εἶδος αὐτῶν ἐν διαφόροις τοῖς χρόνοις καταχρώμενος ἐπὶ τὰ ἑξῆς τρέψομαι. Σόλωνος δὲ ποιήσαντος· "τίκτει γὰρ κόρος ὕβριν, ὅτ' ἂν πολὺς ὄλβος ἕπηται" ἄντικρυς ὁ Θεόγνις γράφει· "τίκτει τοι κόρος ὕβριν, ὅτ' ἂν κακῷ ὄλβος ἕπηται." Ὅθεν καὶ ὁ Θουκυδίδης ἐν ταῖς ἱστορίαις· "εἰώθασι δὲ οἱ πολλοὶ τῶν ἀνθρώπων, φησὶν, οἷς ἂν μάλιστα καὶ δι' ἐλαχίστου ἀπροσδόκητος εὐπραγία ἔλθῃ, εἰς ὕβριν τρέπεσθαι." Καὶ Φίλιστος ὁμοίως τὰ αὐτὰ μιμεῖται, ὧδε λέγων· [τὰ δὲ πολλὰ κατὰ λόγον τοῖς ἀνθρώποις εὐτυχοῦντα ἀσφαλέστερα παρὰ δόξαν καὶ κακοπραγίαν . . . .] "εἰώθασι γὰρ μάλιστα οἱ παρὰ δόξαν ἀπροσδοκήτως εὖ πράσσοντες εἰς ὕβριν τρέπεσθαι." Inclusa verba insititia sunt; nam sententiæ Solonis imitatio Thucydidea, quam ibi Clemens ostendit, his verbis εἰώθασι τρέπεσθαι absolvitur. Philistus autem Thucydidem imitatus est illis, εἰώθασι γὰρ μάλιστα, etc., cum qua sententia nihil commune habent hæc, τὰ δὲ πολλὰ, et cetera.

καὶ κακοπραγίαν—διασώζονται] Thom. M. p. 220. 390. Phavorin. in διασώζομαι.

διαφέροντας] Aliquot libri διαφερόντως. Præstat adjectivum. V. ad Dionys. de C. V. p. 211. Jen. et in Addend. p. 301. adde Heind. ad Plat. Phædr. p. 322. Huschk. ad Tibull. i, 7, 52. Dio Cass. xxxviii, 39. in imitatione διαφερόντως.

παθεῖν ἀνήκεστον; ἡμῖν δὲ πρὸς ἑκάστην πόλιν ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί. Καὶ τυχόντες μὲν πόλιν ἐφθαρμένην παραλαβόντες τῆς ἔπειτα προσόδου, δι' ἣν ἰσχύομεν, τὸ λοιπὸν στερήσεσθε, σφαλέντες δὲ πολεμίους πρὸς τοῖς ὑπάρχουσιν ἕξομεν· καὶ ὃν χρόνον τοῖς νῦν καθεστηκόσι δεῖ ἐχθροῖς ἀνθίστασθαι, τοῖς οἰκείοις ξυμμάχοις πολεμήσομεν.

40. Οὔκουν δεῖ προθεῖναι ἐλπίδα οὔτε λόγῳ πιστὴν οὔτε χρήμασιν ὠνητὴν, ὡς ξυγγνώμην ἁμαρτεῖν ἀνθρωπίνως λήψονται. Ἄκοντες μὲν γὰρ οὐκ ἔβλαψαν, εἰδότες δὲ ἐπεβούλευσαν· ξύγγνωμον δ' ἐστὶ τὸ ἀκούσιον. Ἐγὼ μὲν οὖν καὶ τότε πρῶτον καὶ νῦν διαμάχομαι μὴ μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα, μηδὲ τρισὶ τοῖς ἀξυμφορωτάτοις τῇ ἀρχῇ, οἴκτῳ καὶ ἡδονῇ λόγων καὶ ἐπιεικείᾳ, ἁμαρτάνειν. Ἔλεός τε γὰρ πρὸς τοὺς ὁμοίους δίκαιος ἀντιδίδοσθαι, καὶ μὴ πρὸς τοὺς οὔτ' ἀντοικτιοῦντας ἐξ ἀνάγκης τε καθεστῶτας αἰεὶ πολεμίους· οἵ τε τέρποντες λόγῳ ῥήτορες ἕξουσι καὶ ἐν ἄλλοις ἐλάσσοσιν ἀγῶνα, καὶ μὴ ἐν ᾧ ἡ μὲν πόλις βραχέα ἡσθεῖσα μεγάλα ζημιώσεται, αὐτοὶ δὲ ἐκ τοῦ εὖ εἰπεῖν τὸ παθεῖν εὖ ἀντιλήψονται· καὶ ἡ ἐπιείκεια πρὸς τοὺς μέλλοντας ἐπιτηδείους καὶ τὸ λοιπὸν ἔσεσθαι μᾶλλον δίδοται ἢ πρὸς τοὺς ὁμοίους τε καὶ οὐδὲν ἧσσον πολεμίους ὑπολειπομένους. Ἓν δὲ ξυνελὼν λέγω, πειθόμενοι μὲν ἐμοὶ τά τε δίκαια ἐς Μυτιληναίους καὶ τὰ ξύμφορα ἅμα ποιήσετε, ἄλλως δὲ γνόντες τοῖς μὲν οὐ χαριεῖσθε, ὑμᾶς δὲ αὐτοὺς μᾶλλον δικαιώσεσθε.

40. *πιστὴν — ὠνητὴν*] i. e. 'obtained by persuasion, and bought by bribery.' His repetit quæ supra dixerat, *καὶ δῆλον ὅτι ἢ τῷ λέγειν πιστεύσας τὸ πάνυ δοκοῦν ἀνταποφῆναι ὡς οὐκ ἔγνωσται ἀγωνίσαιτ' ἄν, ἢ κέρδει ἐπαιρόμενος τὸ εὐπρεπὲς τοῦ λόγου ἐκπονήσας, παράγειν πειράσεται.* In proximis supple *ξυγγνώμην τοῦ ἁμαρτεῖν.*

ξύγγνωμον—ἀκούσιον] Schol. *συγγνώμης ἄξιον.* Phavorin. in *σύγγνωμον*, et Thom. M. p. 830. Plura in eandem sententiam ex aliis scriptoribus habet Muretus ad Aristot. Ethic. iii, 1. conf. Wessel. ad Diod. xiii, 27.

μηδὲ τρισὶ—ἁμαρτάνειν] Cæsar, ap. Sallust. Cat. 51. 'omnes homines, qui de rebus dubiis consultant, ab odio, amicitia, ira atque misericordia vacuos esse decet.'

πρὸς—ὁμοίους] i. e. 'towards people (of equal) of the same sentiments;' quod statim ipse explicat verbis *καὶ μὴ πρὸς τοὺς οὔτ' ἀντοικτιοῦντας.* Statim, de futuro *ζημιώσεται* v. Pierson. ad Mœris, p. 367.

ὁμοίους—ὑπολειπομένους] Thiersch. in Act. Phil. Monac. t. iii. p. 458. scribi vult *πρὸς τοὺς ὁμοίως τε καὶ οὐδὲν ἧσσον πολεμίους ἐσομένους.* Sed vulgaris scriptura facile explicatur; *οἱ ὅμοιοι πολέμιοι* hostes sunt qui odio sibi constant, et licet clementer habiti, (*οὐδὲν ἧσσον*) tamen hostilem animum servant. Heilm. 'and an indulgent behaviour is more fit for such as may be expected to be obedient in future, than for those who, after all, will ever be our enemies.'

δικαιώσεσθε] Sensus: de vobismet ipsis judicium feretis iniquum, tyrannos vos professi; nam si Mitylenenses impune defecerunt, jure id factum esse existimabitur, vosque non jure imperare. Verba *τοῖς—χαριεῖσθε* verte, 'ab his nullam gra-

Εἰ γὰρ οὗτοι ὀρθῶς ἀπέστησαν, ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε. Εἰ δὲ δὴ καὶ οὐ προσῆκον ὅμως ἀξιοῦτε τοῦτο δρᾶν, παρὰ τὸ εἰκός τοι καὶ τούσδε ξυμφόρως δεῖ κολάζεσθαι, ἢ παύεσθαι τῆς ἀρχῆς καὶ ἐκ τοῦ ἀκινδύνου ἀνδραγαθίζεσθαι. Τῇ τε αὐτῇ ζημίᾳ ἀξιώσατε ἀμύνασθαι καὶ μὴ ἀναλγητότεροι οἱ διαφεύγοντες τῶν ἐπιβουλευσάντων φανῆναι, ἐνθυμηθέντες ἃ εἰκὸς ἦν αὐτοὺς ποιῆσαι κρατήσαντας ὑμῶν ἄλλως τε καὶ προϋπάρξαντας ἀδικίας. Μάλιστα δὲ οἱ μὴ ξὺν προφάσει τινὰ κακῶς ποιοῦντες ἐπεξέρχονται καὶ διόλλυνται, τὸν κίνδυνον ὑφορώμενοι τοῦ ὑπολειπομένου ἐχθροῦ. Ὁ γὰρ μὴ ξὺν ἀνάγκῃ τι παθὼν χαλεπώτερος διαφυγὼν τοῦ ἀπὸ τῆς ἴσης ἐχθροῦ. Μὴ οὖν προδόται γένησθε ὑμῶν αὐτῶν, γενόμενοι δ' ὅτι ἐγγύτατα τῇ γνώμῃ τοῦ πάσχειν καὶ ὡς πρὸ παντὸς ἂν ἐτιμήσασθε αὐτοὺς χειρώσασθαι, νῦν ἀνταπόδοτε μὴ μαλα-

tiam inibitis.' Schol. *δικαίως καθ' ὑμῶν ἀποδείξετε, ὅτι τυραννικῶς ἄρχετε.* Et *εἰ μὲν ἀδίκως ἀπέστησαν οἱ Μιτυληναῖοι, κολασθήτωσαν· εἰ δὲ δικαίως, δῆλον ὅτι ὑμεῖς ἀδίκως ἄρχετε· ᾧ ἕπεται, ὅτι τυραννεῖτε· καὶ κατὰ τοῦτο οὖν πάλιν κολασθήσονται, ὅτι τυράννους ὑμᾶς ἐλογίσαντο, ὁ δὲ τύραννος ἀποτόμως αὐτὰ ἅπερ ποιεῖ εἴωθε ποιεῖν. Κατ' ἄμφω οὖν ὀφείλουσι κολασθῆναι, εἴτε ἐννόμως ἄρχομεν εἴτε τυραννοῦμεν.* "*Δικαιώσετε* corrigendum monuit Elmsleius ad Euripidis Medeam, p. 97. Ac sane Attici, etsi in nonnullis fluctuant inter utramque formam, hanc tamen nisi fallor legem sibi sanxerunt, ut quæ futura media significatu passivo usu essent frequentata, ea ut activo, quæ autem activo, ea ut passivo ne dicerent: cui legi non nescio equidem contraria reperiri, sed quæ pleraque manifesto sint vitiosa." Dindorf. De medio *δικαιώσεσθε* v. Buttm. Gr. Max. ii, 1. p. 53. not. Mox, *τοῦτο δρᾶν* intellige cum scholiis *τὸ ἄρχειν βιαίως*, et vocem *ξυμφόρως* cum iisdem *τοῦ συμφέροντος ἕνεκα τῇ ἀρχῇ*. De proximis Scholiastes, *ἐὰν δὲ μὴ θέλητε κολάζειν, χρὴ παύεσθαι ὑμᾶς τῆς ἀρχῆς καὶ ἀσκεῖν ἀνδραγαθίαν ἀκίνδυνον*, 'on the mere motive of interest, you ought now to chastise them beyond what is right, or immediately to forego your power, and dropping into impotent security, to set about the practice of humanity and virtue.' Conf. ii, 63. iii, 64.

τῇ τε αὐτῇ—ἀδικίας] Schol. *τῇ αὐτῇ ζημίᾳ σπουδάσατε ἀμύνασθαι τοὺς Μιτυληναίους, ᾗ ἂν ἐτιμωρήσαντο καὶ αὐτοὶ ὑμᾶς, περιγενόμενοι ὑμῶν.* Et *τοῦτό φησιν, ὅτι, ἐπεὶ ἤλγουν οἱ Μιτυληναῖοι ὑφ' ὑμῶν τῶν Ἀθηναίων κρατούμενοι, δεῖ καὶ ὑμᾶς ἀλγῆσαι ἐπὶ τῇ αὐτῶν ἀποστάσει*, i. e. ne minori dolore, ne minus moleste ferte eorum defectionem, quam ipsi vestrum imperium tulerunt. Videtur legendum esse *διαφυγόντες*, ut paulo inferius legitur *διαφυγὼν*, nam cum Mitylene, quo tempore hæc loquebatur Cleon, jam capta esset, Athenienses non evadere, sed evasisse dicendi sunt.

μάλιστα—ἐχθροῦ] Verbum *διόλλυνται* non habet activam vim, sed jungendum cum *ὑφορώμενοι* est: 'they cannot bear the idea of apprehending danger from the enemy that has been spared.' Ita Censor libri Popponis in Ephem. Jenensibus. Ut nos, 'they feel miserable (literally, they are undone) at the idea that they are exposed to danger.' *Ἐπεξέρχεσθαι* autem frequens de ultione vocabulum.

ὁ γὰρ—ἐχθροῦ] Aliquot libri *μὴ ξὺν δίκῃ*, quod videtur interpretamentum esse. Hac enunciatione causa redditur, cur qui non lacessiti alios lædant in ulciscendo hoste sæviores sint. Interpretor, Heilmannum secutus, 'for he who suffers from a quarter whence he never deserved it, will not so easily lay down his resentments as when mutual enmity has kindled the contention.' Schol. *τὸν ἀπὸ τῆς ἴσης ἐχθρὸν ὁρίζεται τὸν μὴ προπαθόντα, ἀλλὰ προκαταρχόμενον ἀδικίας.* Rectius dixisset, *τὸν μὴ προπαθόντα, ἀλλὰ καὶ αὐτὸν ἀδικήσαντα.* Aliud scholion: *ἀπὸ τῆς ἴσης] μοίρας δηλονότι*, i. e. 'who has an equal share in the enmity.'

γενόμενοι—ἀνταπόδοτε] Schol. *εἰς ἔννοιαν ἐλθόντες ὧν ἐμέλλετε πάσχειν ὑπὸ Λεσβίων*, 'imagine, as lively as you can, what your lot would have been, and how willingly you would have made any sacrifice to overcome them.' Zonar. *μαλακισθεὶς, ἐνδοὺς, χαυνωθεὶς*, ex schol. ad h. l.

κισθέντες πρὸς τὸ παρὸν αὐτίκα μηδὲ τοῦ ἐπικρεμασθέντος ποτὲ δεινοῦ ἀμνημονοῦντες. Κολάσατε δὲ ἀξίως τούτους τε καὶ τοῖς ἄλλοις ξυμμάχοις παράδειγμα σαφὲς καταστήσατε, ὃς ἂν ἀφιστῆται, θανάτῳ ζημιωσόμενον. Τόδε γὰρ ἢν γνῶσιν, ἧσσον τῶν πολεμίων ἀμελήσαντες τοῖς ὑμετέροις αὐτῶν μαχεῖσθε ξυμμάχοις.

41. Τοιαῦτα μὲν ὁ Κλέων εἶπε. Μετὰ δ' αὐτὸν Διόδοτος ὁ Εὐκράτους, ὅσπερ καὶ ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀντέλεγε μάλιστα μὴ ἀποκτεῖναι Μυτιληναίους, παρελθὼν καὶ τότε ἔλεγε τοιάδε.

42. Οὔτε τοὺς προθέντας τὴν διαγνώμην αὖθις περὶ Μυτιληναίων αἰτιῶμαι οὔτε τοὺς μεμφομένους μὴ πολλάκις περὶ τῶν μεγίστων βουλεύεσθαι ἐπαινῶ, νομίζω δὲ δύο τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος τε καὶ ὀργήν, ὧν τὸ μὲν μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι, τὸ δὲ μετὰ ἀπαιδευσίας καὶ βραχύτητος γνώμης. Τούς τε λόγους ὅστις διαμάχεται μὴ διδασκάλους τῶν πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν ἢ ἰδίᾳ τι αὐτῷ διαφέρει, ἀξύνετος μέν, εἰ ἄλλῳ τινὶ ἡγεῖται περὶ τοῦ μέλλοντος δυνατὸν εἶναι καὶ μὴ ἐμφανοῦς φράσαι,

et supr. c. 37. v, 72. Phot. *μαλακὸς καὶ μαλθακός· Θουκυδίδης δὲ ἄνευ τοῦ θ, καὶ μαλακίζεσθαι, οὐχὶ μαλαθακίζεσθαι.*

42. Post Cleonem Diodotus prodit, qui etiam in priore concione humanitatem commendaverat. Is demonstrat, non esse fraudis insimulandos oratores, ne timore deterreantur, qui cum civibus consilia communicent. Jus enim dicendi æquum esse debere, neque eum, qui erraverit, ignominia afficiendum esse. Sed Atheniensibus ea, quæ simpliciter et ingenue, nullo fuco obducto, dicantur, corruptelæ suspecta videri solere, ut adeo omnes oratores mendacio uti ad id, quod velint, efficiendum, cogantur; cumque æquum sit, non solum suasorem, sed etiam eos qui persuaderi sibi patiantur, pœna affici, si res male evenerit; illius tantum sententiam plecti. Hic autem non agi de facinore Mitylenæorum, sed de consilio capiendo deliberari: iisdemque, si vel maxima patraverint, republica postulante, concedendum; si levissima, illa renuente, in eos animadvertendum esse. Supplicium autem non esse aptum hujus sceleris pœnam: neque enim atrocem satis, neque tamen pœnitentiæ locum esse. Utilius autem esse civitati, urbs opulenta si impensas in ea recipienda factas reddere, ac deinde civitatem Atheniensium tributis juvare posit, quam si crudelitate cogatur ad internecionem usque se defendere. Et malum omnibus sociis exemplum fore, si non solum rebelles, sed etiam insontes, morte afficiantur. Schol. *ἰστέον δὲ, ὅτι ὁ μὲν Κλέων τὸ δίκαιον προβάλλεται, οὗτος δὲ ὁ Διόδοτος τὸ συμφέρον· καὶ σκόπει τὸ τοῦ συγγραφέως ἔθος, χαίροντος ἀεὶ ταῖς ἀντιπάλοις δημηγορίαις.* Similis Diodoteæ oratio extat Cæsaris ap. Sallust. Cat. 51., nam et ipse pœnam capitalem reorum non ita deprecatur, ut a culpa eos liberare conetur; sed si supplicium sumatur, ipsis judicibus aliquando noxium fore, itemque pœnam qualemcunque crimini, de quo agitur, non æqualem, neque ad id in posterum prohibendum satis validam fore, conatur demonstrare.

43. *προθέντας*] respicit verba Cleonis *καὶ θαυμάζω μὲν τῶν προθέντων αὖθις*, sicut mox verba *νομίζω δὲ δύο* spectant ad *εἰ βέβαιον ἡμῖν οὐδὲν καθεστήξει, ὧν ἂν δόξῃ πέρι* in oratione Cleonis, item Diodoti *τούς τε λόγους*, etc. ad illa, *εἰώθατε θεαταὶ μὲν τῶν λόγων γίγνεσθαι.* Itidem verbis *χαλεπώτατοι δὲ καὶ*, etc. respici monet Schol. verba prioris orationis, *αὐτοὶ δὲ ἐκ τοῦ εὖ εἰπεῖν τὸ παθεῖν εὖ ἀντιλήψονται.*

ἢ ἀξύνετος—διαφέρει] Galenus, vol. iii. p. 217. Lips.

διαφέρει δ' αὐτῷ, εἰ βουλόμενός τι αἰσχρὸν πεῖσαι εὖ μὲν εἰπεῖν οὐκ ἂν ἡγεῖται περὶ τοῦ μὴ καλοῦ δύνασθαι, εὖ δὲ διαβαλὼν ἐκπλῆξαι ἂν τούς τε ἀντεροῦντας καὶ τοὺς ἀκουσομένους. Χαλεπώτατοι δὲ καὶ οἱ ἐπὶ χρήμασι προσκατηγοροῦντες ἐπίδειξίν τινα. Εἰ μὲν γὰρ ἀμαθίαν κατῃτιῶντο, ὁ μὴ πείσας ἀξυνετώτερος ἂν δόξας εἶναι ἢ ἀδικώτερος ἀπεχώρει· ἀδικίας δ' ἐπιφερομένης πείσας τε ὕποπτος γίγνεται, καὶ μὴ τυχὼν μετὰ ἀξυνεσίας καὶ ἄδικος. Ἥ τε πόλις οὐκ ὠφελεῖται ἐν τῷ τοιῷδε· φόβῳ γὰρ ἀποστερεῖται τῶν ξυμβούλων. Καὶ πλεῖστ' ἂν ὀρθοῖτο ἀδυνάτους λέγειν ἔχουσα τοὺς τοιούτους τῶν πολιτῶν· ἐλάχιστα γὰρ ἂν πεισθείησαν ἁμαρτάνειν. Χρὴ δὲ τὸν μὲν ἀγαθὸν πολίτην μὴ ἐκφοβοῦντα τοὺς ἀντεροῦντας ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι ἄμεινον λέγοντα, τὴν δὲ σώφρονα πόλιν τῷ τε πλεῖστα εὖ βουλεύοντι μὴ προστιθέναι τιμήν, ἀλλὰ μηδ' ἐλασσοῦν τῆς ὑπαρχούσης καὶ τὸν μὴ τυχόντα γνώμης οὐχ ὅπως ζημιοῦν ἀλλὰ μηδ' ἀτιμάζειν. Οὕτω γὰρ ὅ τε κατορθῶν ἥκιστα ἂν ἐπὶ τῷ ἔτι μειζόνων ἀξιοῦσθαι παρὰ γνώμην τι καὶ πρὸς χάριν λέγοι, ὅ τε μὴ ἐπιτυχὼν ὀρέγοιτο τῷ αὐτῷ χαριζόμενός τι καὶ αὐτὸς προσάγεσθαι τὸ πλῆθος.

43. Ὧν ἡμεῖς τἀναντία δρῶμεν καὶ προσέτι ἤν τις καὶ ὑποπτεύηται κέρδους μὲν ἕνεκα τὰ βέλτιστα δ' ὅμως λέγειν, φθονήσαντες τῆς οὐ βεβαίου δοκήσεως τῶν κερδῶν τὴν φανερὰν ὠφέλειαν τῆς πόλεως ἀφαιρούμεθα. Καθέστηκε δὲ τἀγαθὰ ἀπὸ τοῦ εὐθέος λεγόμενα μηδὲν ἀνυποπτότερα εἶναι τῶν κακῶν, ὥστε δεῖν ὁμοίως τόν τε τὰ δεινότατα βουλόμενον πεῖσαι ἀπάτῃ προσάγεσθαι τὸ πλῆθος καὶ τὸν τὰ ἀμείνω λέγοντα ψευσάμενον πιστὸν γενέσθαι. Μόνην τε πόλιν διὰ τὰς περινοίας εὖ ποιῆσαι ἐκ τοῦ προφανοῦς μὴ ἐξαπατήσαντα ἀδύνατον· ὁ γὰρ διδοὺς φανερῶς τι ἀγαθὸν ἀνθυποπτεύεται ἀφανῶς πῃ πλέον ἕξειν. Χρὴ δὲ πρὸς τὰ μέγιστα καὶ ἐν

χαλεπώτατοι—ἐπίδειξίν τινα] i. e. *προσκατηγοροῦντες ἐπίδειξιν ἐπὶ χρήμασι γεγενημένην*, 'for money;' nisi verba *ἐπὶ χρήμασι* interpretari malis, 'for bribery,' ut nihil suppleatur. Ἐπίδειξις alias est 'ostentatio,' 'oratio ostentandæ facundiæ causa habita.' Hic est oratio non ex sensu, sed *παρὰ γνώμην* oratoris composita, ex voluntate ejus qui sua sibi pecunia in usum suum componendam curavit. Schol. explicat per *συμβουλίαν, φιλοτιμίαν*. Latine dixeris, 'artificium orationis.'

ἀδικίας—καὶ ἄδικος] non injustus fit, sed videtur: supplendum igitur *δοκεῖ*. Monuit Krueger. ad Dionys. p. 297. not. Vocab. *ἀξυνεσίας* ex h. l. citant Anecd. Bekk. i. p. 78. 413.

ὀρέγοιτο] repetendum ex prægressis *ἥκιστα*, ut sit *ἥκιστα ὀρέγοιτο*. Porro, *τῷ αὐτῷ* intellige *τῷ παρὰ γνώμην τι καὶ πρὸς χάριν λέγειν*.

43. *καὶ ἐν—ἀξιοῦντι*] i. e. 'licet in

τῷ τοιῷδε ἀξιοῦντι ἡμᾶς περαιτέρω προνοοῦντας λέγειν ὑμῶν τῶν δι' ὀλίγου σκοπούντων ἄλλως τε καὶ ὑπεύθυνον τὴν παραίνεσιν ἔχοντας πρὸς ἀνεύθυνον τὴν ὑμετέραν ἀκρόασιν. Εἰ γὰρ ὅ τε πείσας καὶ ὁ ἐπισπόμενος ὁμοίως ἐβλάπτοντο, σωφρονέστερον ἂν ἐκρίνετε· νῦν δὲ πρὸς ὀργὴν ἥντινα τύχητε ἔστιν ὅτε σφαλέντες τὴν τοῦ πείσαντος μίαν γνώμην ζημιοῦτε καὶ οὐ τὰς ὑμετέρας αὐτῶν, εἰ πολλαὶ οὖσαι ξυνεξήμαρτον.

44. Ἐγὼ δὲ παρῆλθον οὔτε ἀντερῶν περὶ Μυτιληναίων οὔτε κατηγορήσων. Οὐ γὰρ περὶ τῆς ἐκείνων ἀδικίας ἡμῖν ὁ ἀγὼν εἰ σωφρονοῦμεν, ἀλλὰ περὶ τῆς ἡμετέρας εὐβουλίας. Ἤν τε γὰρ ἀποφήνω πάνυ ἀδικοῦντας αὐτούς, οὐ διὰ τοῦτο καὶ ἀποκτεῖναι κελεύσω, εἰ μὴ ξυμφέρον· ἤν τε καὶ ἔχοντές τι ξυγγνώμης εἶεν, εἰ τῇ πόλει μὴ ἀγαθὸν φαίνοιτο. Νομίζω

tali vestra animi sententia,' licet ita judicetis. Genitivi ὑμῶν—δι' ὀλίγου σκοπούντων (i. e. 'short-sightedly') pendent ex περαιτέρῳ.

ὑπεύθυνον] Hinc illæ γραφαὶ παρανόμων, de quibus uberrimus est Schœmann. in Com. Ath. p. 159. Mox, Bekker. ἐπισπόμενος dedit ex A. B. H. K. f. g., quibus accedit meus S., pro vulgata ἐπισπώμενος. Recte, opinor, cum auditores significare debeat non persuasione attractos, sed proprio judicio secutos.

πρὸς ὀργὴν—τύχητε] i. e. πρὸς ὀργήν, πρὸς ἥντινα τύχητε, et cum πρὸς ὀργὴν idem sit quod ὀργῇ, pro ὀργῇ ᾗτινι. Repetenda igitur præpositio, ut monui etiam ad i, 1. extr. Adde i, 41. ἐν καιροῖς τοιούτοις—οἷς. iii, 18. init. κατὰ τὸν αὐτὸν χρόνον, ὅν. 56. καὶ ἐν καιροῖς, οἷς. 94. περὶ τὸν αὐτὸν χρόνον, ὅν. Nos, 'in the first excitement.' Nihil opus emendatione Dissenii, Disquisit. Philol. p. 19. ἥν τινος.

44. ἥν τε γὰρ—φαίνοιτο] εἴτε γὰρ Q. ἀποφαίνω c. f. ἣν μὴ ξυμφέρον g. εἴτε καὶ ἔχοντες L. O. P. Q. εἰ ἐν τῇ πόλει H. P. Q. b. v. Dissen. Disquis. Phil. Spec. i. p. 24. Thom. M. p. 267. τὸ ἐάν, τὸ ἄν, τὸ κἄν, τὸ ἤν, καὶ τὸ ὅταν ἀεὶ μετὰ ὑποτακτικοῦ παρὰ τοῖς ἀκριβεστάτοις· εἰ γὰρ καὶ εὕρηται ἅπαξ παρὰ Θουκυδίδῃ ἐν τῇ τρίτῃ· ἤν τε καὶ ἔχοντές τι ξυγγνώμης εἶεν· καὶ παρὰ Λουκιανῷ ἐν τοῖς ἀληθινοῖς (V. H. ii, 29.) ἐὰν καταχθείημεν εἰς τὰς νήσους, etc. ἀλλ' οὐ δεῖ ζηλοῦν τὸ ἅπαξ ῥηθέν. Particulam ἤν optativo a Græcis jungi, exemplis docere voluit Schæfer. Mel. Crit. p. 87. contra quem disputat Popp. Obs. p. 57. et in diss. de Particula Ἄν, i. p. 81., docens, hoc fieri in hac atque aliis ex ἄν conflatis particulis tantum in oratione obliqua, velut ap. Thuc. viii, 27. ἐκέλευε—ἐκεῖθεν ἤδη ξυναγαγόντας πάσας τὰς ναῦς, τοὺς ἐπίπλους, ἤν που καιρὸς εἴη, ποιεῖσθαι. V. omnino ejus Prol. t. i. p. 144. Herm. de Præceptis Quibusdam Attic. p. xvi. locum ita scribit, ἤν τε—εἰ μὴ ξυμφέρον, εἴτε καὶ ἔχοντές τι ξυγγνώμης εἶεν, εἰ τῇ πόλει μὴ ἀγαθὸν φαίνοιτο. Non deest, ait, apodosis, quæ est in medio, ad utrumque membrum pertinens: 'nam neque si pœna dignissimos ostendero, necari propterea jubebo, nisi utile sit; neque si quid excusationis habeant, si damnosum putaverim.' Neminem, addit, qui præstantissima scriptoris verba, semper profundæ mentis plena ponderare sciat, latere potuerit, cur et apodosin in medio posuerit, et in altero membro εἴτε εἶεν et εἰ φαίνοιτο, non ἤν ὦσιν et εἰ φανεῖται dixerit: nimirum alterum cogitatione tantum ponit, alterum reapse obtinere dicit; "et εἰ particula est plane logica et quæ simpliciter ad cogitationem refertur; ἐὰν autem ad experientiæ significationem adhibetur:" verba sunt Hermanni ad Viger. p. 833. Conf. Matth. Gr. § 525, 7. c. Herm. mutata sententia ad Viger. p. 822. locum ita scripsit: ἤν τε γὰρ ἀποφήνω—ξυμφέρον· ἤν τε καὶ ἔχοντές τι ξυγγνώμης, εἶεν, i.e. 'sin non omni venia indigni, esto,' sc. οὐ κελεύω διὰ τοῦτο καὶ τυχεῖν συγγνώμης. Ubi non debet offensioni esse participium ἔχοντες sine verbo finito; supplendum ὦσιν. V. ad i, 25. Et facile succurras legendo ἔχοντας, quanquam vetant libri scripti, qui omnes nominativum

δὲ περὶ τοῦ μέλλοντος ἡμᾶς μᾶλλον βουλεύεσθαι ἢ τοῦ παρόντος. Καὶ τοῦτο ὃ μάλιστα Κλέων ἰσχυρίζεται ἐς τὸ λοιπὸν ξυμφέρον ἔσεσθαι πρὸς τὸ ἧσσον ἀφίστασθαι θάνατον ζημίαν προθεῖσι, καὶ αὐτὸς περὶ τοῦ ἐς τὸ μέλλον καλῶς ἔχοντος ἀντισχυριζόμενος τἀναντία γιγνώσκω. Καὶ οὐκ ἀξιῶ ὑμᾶς τῷ εὐπρεπεῖ τοῦ ἐκείνου λόγου τὸ χρήσιμον τοῦ ἐμοῦ ἀπώσασθαι. Δικαιότερος γὰρ ὢν αὐτοῦ ὁ λόγος πρὸς τὴν νῦν ὑμετέραν ὀργὴν ἐς Μυτιληναίους τάχα ἂν ἐπισπάσαιτο· ἡμεῖς δὲ οὐ δικαζόμεθα πρὸς αὐτοὺς, ὥστε τῶν δικαίων δεῖν, ἀλλὰ βουλευόμεθα περὶ αὐτῶν, ὅπως χρησίμως ἕξουσιν.

45. Ἐν οὖν ταῖς πόλεσι πολλῶν θανάτου ζημία πρόκειται καὶ οὐκ ἴσων τῶνδε ἀλλ' ἐλασσόνων ἁμαρτημάτων· ὅμως δὲ τῇ ἐλπίδι ἐπαιρόμενοι κινδυνεύουσι καὶ οὐδείς πω καταγνοὺς ἑαυτοῦ μὴ περιέσεσθαι τῷ ἐπιβουλεύματι ἦλθεν ἐς τὸ δεινόν. Πόλις τε ἀφισταμένη τίς πω ἥσσω τῇ δοκήσει ἔχουσα τὴν

tuentur. Hoc verius contra Hermannum monuit Popp. Obs. p. 56. εἶεν, 'esto' hoc nexu vix aliter intelligi posse quam 'habeant illi veniam.' Idem in Addendis, p. 251. secutus Vallæ versionem, 'neque eis, si nocentes plane asserere volo, idcirco vitam adimi jubebo: neque si qua venia dignos, idcirco veniam dari, nisi constiterit idem civitati conducere,' legit ἔχοντας, delet εἶεν, quod ex interpretamento esse ait ejus qui ἔχοντες, in quod accusativus transierat, explicare volebat. Reisig. Conj. in Aristoph. t. i. p. 278. et ipse εἶεν delet, quod natum ait ex scriptura ἔχοντες εἰ ἐν/εἰ τῇ πόλει—h. e. ἔχοντες, εἰ ἐν τῇ πόλει et ἔχ. ἐν τῇ πόλει. Ad ἔχοντες supplet ἀποφανῶσι, et animo concipit οὐ διὰ τοῦτο ξυγγνώμην λήψονται. Qui autem ex Valla legendum conjiciant ἔχοντας, eos falsos esse ait; nam per Latini sermonis naturam interpreti nominativo 'digni' uti non licuit. Burgessius in Bibl. Crit. Seebod. iii, 6. p. 545. ex conjectura legit, ἥν τε καὶ ἔχοντάς τι ξυγγνώμης, ἐᾶν, εἰ, etc., quibus Dindorf. comparat Plat. Euthyphr. p. 4. B. εἴ τε ἐν δίκῃ ἔκτεινεν ὁ κτείνας εἴτε μὴ, καὶ εἰ μὲν δίκη, ἐᾶν, εἰ δὲ μὴ, ἐπεξιέναι. Quæ mihi ratio probabilissima videtur; sic autem supplendum erit, ἥν τε καὶ ἔχοντάς τι ξυγγνώμης ἀποφήνω, οὐ διὰ τοῦτο καὶ ἐᾶν κελεύσω, εἰ, etc.

προθεῖσι] Poterat etiam προθεῖναι dicere. Ceterum quod K. L. Q. c. e. προσθεῖσι habent, monendum est de differentia inter προτίθημι et προστίθημι ζημίαν. Illud Krueger. ad Dionys. p. 161. ait esse legislatoris crimina cauturi, hoc magistratus eadem ulciscentis. Atque hic bene habet προθεῖσι, cum non tam supplicium Mitylenæorum significetur, quam pœna quæ, his irrogata, ceteris, qui defecturi essent, exspectanda foret omnibus. Contra cap. seq. in verbis διεξεληλύθασι διὰ πασῶν τῶν ζημιῶν οἱ ἄνθρωποι προστιθέντες, εἴ πως ἧσσον ἀδικοῖντο ὑπὸ τῶν κακούργων, quamquam ferri possit vulgatum, tamen se προτιθέντες scripturum esse, Krueger. ait, si codices addicerent. Sane etiam schol. tueri videtur προτιθέντες, ut qui adnotaverit, ἐπραγματεύσαντο περὶ πάσης ἀδικίας καὶ ἁμαρτίας οἱ νομοθέται καὶ ἐξέθεντο ποινάς. Ceterum his verbis tangit illa Cleonis: καὶ τοῖς ἄλλοις ξυμμάχοις παράδειγμα σαφὲς καταστήσατε, ὃς ἂν ἀφιστῆται, θανάτῳ ζημιωσόμενον.

δικαιότερος—ἐπισπάσαιτο] Heilmannus, 'which might easily happen for this reason; because his speech does more justice to your animosity against the Mitylenæans.' An orator sese injustum erga Mitylenæos esse arguit? Πρὸς non est, 'towards,' sed 'with.' Verte, 'for if his speech were juster, you might easily be attracted by it, considering the animosity with which you are now inspired against the Mitylenæans.'

παρασκευὴν ἢ οἰκείαν ἢ ἄλλων ξυμμαχίᾳ τούτῳ ἐπεχείρησε; πεφύκασί τε ἅπαντες καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἁμαρτάνειν καὶ οὐκ ἔστι νόμος ὅστις ἀπείρξει τούτου, ἐπεὶ διεξεληλύθασί γε διὰ πασῶν τῶν ζημιῶν οἱ ἄνθρωποι προστιθέντες, εἴπως ἧσσον ἀδικοῖντο ὑπὸ τῶν κακούργων. Καὶ εἰκὸς τὸ πάλαι τῶν μεγίστων ἀδικημάτων μαλακωτέρας κεῖσθαι αὐτὰς, παραβαινομένων δὲ τῷ χρόνῳ ἐς τὸν θάνατον αἱ πολλαὶ ἀνήκουσι· καὶ τοῦτο ὅμως παραβαίνεται. Ἢ τοίνυν δεινότερόν τι τούτου δέος εὑρετέον ἐστὶν ἢ τόδε γε οὐδὲν ἐπίσχει, ἀλλ' ἡ μὲν πενία ἀνάγκῃ τὴν τόλμαν παρέχουσα, ἡ δ' ἐξουσία ὕβρει τὴν πλεονεξίαν καὶ φρονήματι, αἱ δ' ἄλλαι ξυντυχίαι ὀργῇ τῶν ἀνθρώπων, ὡς ἑκάστη τις κατέχεται ὑπ' ἀνηκέστου τινὸς κρείσσονος, ἐξάγουσιν ἐς τοὺς κινδύνους. Ἥ τε ἐλπὶς καὶ ὁ ἔρως ἐπὶ παντὶ, ὁ μὲν ἡγούμενος, ἡ δ' ἐφεπομένη, καὶ ὁ μὲν τὴν ἐπιβολὴν ἐκφροντίζων, ἡ δὲ τὴν εὐπορίαν τῆς τύχης ὑποτιθεῖσα πλεῖστα βλάπτουσι, καὶ ὄντα ἀφανῆ κρείσσω ἐστὶ τῶν ὁρωμένων δεινῶν. Καὶ ἡ τύχη ἐπ' αὐτοῖς οὐδὲν ἔλασσον ξυμβάλλεται ἐς τὸ ἐπαίρειν· ἀδοκήτως γὰρ ἔστιν ὅτε παρισταμένη καὶ ἐκ τῶν ὑποδεεστέρων κινδυνεύειν τινὰ προάγει καὶ οὐχ ἧσσον τὰς πόλεις, ὅσῳ περὶ τῶν μεγίστων, ἐλευθερίας ἢ ἄλλων ἀρχῆς, καὶ μετὰ πάντων ἕκαστος ἀλογίστως ἐπὶ πλέον τι αὑτὸν ἐδόξασεν. Ἁπλῶς τε ἀδύνατον καὶ πολλῆς εὐηθείας, ὅστις οἴεται τῆς ἀνθρωπείας φύσεως ὁρμωμένης προθύμως τι πρᾶξαι ἀποτροπήν τινα ἔχειν ἢ νόμων ἰσχύϊ ἢ ἄλλῳ τῳ δεινῷ.

46. Οὔκουν χρὴ οὔτε τοῦ θανάτου τῇ ζημίᾳ ὡς ἐχεγγύῳ

45. ἢ ἄλλων ξυμμαχίᾳ] A. B. E. F. H. K. Q. f. g. h. vulgo ξυμμαχίαν. Ad vocem ἀνήκουσι respexit Suidas in ἀνήκει, ubi Θουκυδίδης, ait, ἀνήκουσιν ἀντὶ τοῦ τελευτῶσι, λήγουσι.

ὡς ἑκάστη τις—κρείσσονος] Subjectum vocis ἑκάστη est ξυντυχία, subjectum comparativi κρείσσονος est ὀργή. Paulo ante, in verbis καὶ τοῦτο ὅμως παραβαίνεται, ad τοῦτο supple τὸ θάνατον ζημίαν προκεῖσθαι.

ἥ τε ἐλπὶς—βλάπτουσι] Schol. πρῶτόν τις ἐρᾷ, εἶτα ἐλπίζει, εἶτα ἐγχειρεῖ. Ἡσίοδος· μούνη δ' αὐτόθι ἐλπὶς ἐν ἀῤῥήκτοισι δόμοισιν ἔνδον ἔμιμνε, πίθου ὑπὸ χείλεσιν. Et ἐπὶ παντὶ] ἀπὸ κοινοῦ ἐξάγουσιν ἐς τοὺς κινδύνους. Non recte, nam jungendum est ἥ τε ἐλπὶς καὶ ὁ ἔρως—βλάπτουσι, ut docuit Kistemaker., qui primus post ἐπὶ παντὶ comma, non colon posuit. Mox, Schol. φροντίζων] ἔξω φροντίδος τιθέμενος. Rectius Thom. M. p. 289. per ἐννοῶ explicat, apud quem scribitur ἐπιβουλὴν, quod habent etiam I. c. Hesych. ἐκφροντίζων, βουλευόμενος.

ὅσῳ—ἀρχῆς] Structura ἀπὸ κοινοῦ, repetendum κινδυνεύουσι ex praegresso κινδυνεύειν.

46. ἐχεγγύῳ] Photius ἐχέγγυος, ὁ ἀσφαλὴς ἐγγυήτης, ὁ διὰ πίστεως ἄξιος. Ad quem locum Schleusner. Cur. Nov. p. 28. adnotavit: Mutilam esse hanc glossam, quilibet videt. Scribendum vel ὁ διὰ τὴν ἐγγύην πίστεως ἄξιος, vel διὰ expungen-

πιστεύσαντας χεῖρον βουλεύσασθαι, οὔτε ἀνέλπιστον καταστῆσαι τοῖς ἀποστᾶσιν ὡς οὐκ ἔσται μεταγνῶναι καὶ ὅτι ἐν βραχυτάτῳ τὴν ἁμαρτίαν καταλῦσαι. Σκέψασθε γὰρ ὅτι νῦν μὲν, ἤν τις καὶ ἀποστᾶσα πόλις γνῷ μὴ περιεσομένη, ἔλθοι ἂν ἐς ξύμβασιν δυνατὴ οὖσα ἔτι τὴν δαπάνην ἀποδοῦναι καὶ τὸ λοιπὸν ὑποτελεῖν· ἐκείνως δὲ τίνα οἴεσθε ἥντινα οὐκ ἄμεινον μὲν ἢ νῦν παρασκευάσασθαι, πολιορκίᾳ τε παρατενεῖσθαι ἐς τοὔσχατον, εἰ τὸ αὐτὸ δύναται σχολῇ καὶ ταχὺ ξυμβῆναι; ἡμῖν τε πῶς οὐ βλάβη δαπανᾶν καθημένοις διὰ τὸ ἀξύμβατον, καὶ ἢν ἕλωμεν πόλιν, ἐφθαρμένην παραλαβεῖν καὶ τῆς προσόδου τὸ λοιπὸν ἀπ' αὐτῆς στέρεσθαι; ἰσχύομεν δὲ πρὸς τοὺς πολεμίους τῷδε. Ὥστε οὐ δικαστὰς ὄντας δεῖ ἡμᾶς μᾶλλον τῶν ἐξαμαρτανόντων ἀκριβεῖς βλάπτεσθαι ἢ ὁρᾶν ὅπως ἐς τὸν ἔπειτα χρόνον μετρίως κολάζοντες ταῖς πόλεσιν ἕξομεν ἐς χρημάτων λόγον ἰσχυούσαις χρῆσθαι, καὶ τὴν φυλακὴν μὴ ἀπὸ τῶν νόμων τῆς δεινότητος ἀξιοῦν ποιεῖσθαι, ἀλλ' ἀπὸ τῶν ἔργων τῆς ἐπιμελείας. Οὗ νῦν τἀναντία δρῶντες ἤν τινα ἐλεύθερον καὶ βίᾳ ἀρχόμενον εἰκότως πρὸς αὐτονομίαν ἀποστάντα χειρωσώμεθα, χαλεπῶς οἰόμεθα χρῆναι τιμωρεῖσθαι. Χρὴ δὲ τοὺς ἐλευθέρους οὐκ ἀφισταμένους σφόδρα κολάζειν, ἀλλὰ πρὶν ἀποστῆναι σφόδρα φυλάσσειν καὶ προκαταλαμβάνειν ὅπως μηδ' ἐς ἐπίνοιαν τούτου ἴωσι, κρατήσαντάς τε ὅτι ἐπ' ἐλάχιστον τὴν αἰτίαν ἐπιφέρειν.

47. Ὑμεῖς δὲ σκέψασθε ὅσον ἂν καὶ τοῦτο ἁμαρτάνοιτε Κλέωνι πειθόμενοι. Νῦν μὲν γὰρ ὑμῖν ὁ δῆμος ἐν πάσαις ταῖς πόλεσιν εὔνους ἐστὶ καὶ ἢ οὐ ξυναφίσταται τοῖς ὀλίγοις ἢ ἐὰν βιασθῇ ὑπάρχει τοῖς ἀποστήσασι πολέμιος εὐθὺς, καὶ τῆς ἀντικαθισταμένης πόλεως τὸ πλῆθος ξύμμαχον ἔχοντες ἐς πόλεμον ἐπέρχεσθε. Εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τὸν Μυτιληναίων, ὃς οὔτε μετέσχε τῆς ἀποστάσεως ἐπειδή τε ὅπλων ἐκράτησεν, ἑκὼν παρέδωκε τὴν πόλιν, πρῶτον μὲν ἀδικήσετε τοὺς εὐεργέτας κτείνοντες, ἔπειτα καταστήσετε τοῖς

dum est. Prior emendatio etiam Porsono potior visa est. Pertinet hæc glossa ad hunc ipsum Thucydidis locum, ut apparet ex Zonara, Suida, Phavorino, qui explicant per ἰσχυρὸν, ἐγγυῆσαι δυνάμενον. Hesych. βεβαίῳ, ἐξ αὐτοῦ ἔχοντι τὴν ἐγγύην.

δαπάνην] Respicit ad verba Cleonis ἡμῶν δὲ πρὸς ἑκάστην πόλιν ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί.

ὅτι ἐπ' ἐλάχιστον] respicit iterum ad priorem orationem καὶ μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε.

δυνατοῖς τῶν ἀνθρώπων ὃ βούλονται μάλιστα· ἀφιστάντες γὰρ τὰς πόλεις τὸν δῆμον εὐθὺς ξύμμαχον ἕξουσι προδειξάντων ὑμῶν τὴν αὐτὴν ζημίαν τοῖς τε ἀδικοῦσιν ὁμοίως κεῖσθαι καὶ τοῖς μή. Δεῖ δὲ καὶ εἰ ἠδίκησαν μὴ προσποιεῖσθαι, ὅπως ὃ μόνον ἡμῖν ἔτι ξύμμαχόν ἐστι μὴ πολέμιον γένηται. Καὶ τοῦτο πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθεξιν τῆς ἀρχῆς, ἑκόντας ἡμᾶς ἀδικηθῆναι, ἢ δικαίως οὓς μὴ δεῖ διαφθεῖραι· καὶ τὸ Κλέωνος τὸ αὐτὸ δίκαιον καὶ ξύμφορον τῆς τιμωρίας οὐχ εὑρίσκεται ἐν αὐτῷ δυνατὸν ὂν ἅμα γίγνεσθαι.

48. Ὑμεῖς δὲ γνόντες ἀμείνω τάδε εἶναι καὶ μήτε οἴκτῳ πλέον νείμαντες μήτ' ἐπιεικείᾳ, οἷς οὐδὲ ἐγὼ ἐῶ προσάγεσθαι, ἀπ' αὐτῶν δὲ τῶν παραινουμένων, πείθεσθέ μοι Μυτιληναίων οὓς μὲν Πάχης ἀπέπεμψεν ὡς ἀδικοῦντας κρῖναι καθ' ἡσυχίαν, τοὺς δ' ἄλλους ἐᾶν οἰκεῖν. Τάδε γὰρ ἔς τε τὸ μέλλον ἀγαθὰ καὶ τοῖς πολεμίοις ἤδη φοβερά· ὅστις γὰρ εὖ βουλεύεται πρὸς τοὺς ἐναντίους κρείσσων ἐστὶν ἢ μετ' ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών.

49. Τοιαῦτα δὲ ὁ Διόδοτος εἶπε. Ῥηθεισῶν δὲ τῶν γνωμῶν τούτων μάλιστα ἀντιπάλων πρὸς ἀλλήλας οἱ Ἀθηναῖοι ἦλθον μὲν ἐς ἀγῶνα ὅμως τῆς δόξης καὶ ἐγένοντο ἐν τῇ χειροτονίᾳ ἀγχώμαλοι, ἐκράτησε δὲ ἡ τοῦ Διοδότου. Καὶ τριήρη εὐθὺς ἄλλην ἀπέστελλον κατὰ σπουδήν, ὅπως μὴ φθασάσης τῆς δευτέρας εὕρωσι διεφθαρμένην τὴν πόλιν· προεῖχε δὲ ἡμέρᾳ καὶ νυκτὶ μάλιστα· παρασκευασάντων δὲ τῶν Μυτιληναίων πρέσβεων τῇ νηῒ οἶνον καὶ ἄλφιτα καὶ μεγάλα ὑποσχομένων εἰ φθάσαιεν, ἐγένετο σπουδὴ τοῦ πλοῦ τοιαύτη

47. *μὴ προσποιεῖσθαι*] i.e. 'dissimulare.' V. quos laudat Duker. Budæum Comm. Ling. Gr. p. 296. Stephan. Appendice ad Script. d. Dial. Att. p. 126.

καὶ τοῦτο—τῆς ἀρχῆς] Thom. M. p. 510.

καὶ τὸ Κλέωνος] respicit ad verba Cleonis: *πειθόμενοι μὲν ἐμοὶ τά τε δίκαια ἐς Μυτιληναίους καὶ τὰ ξύμφορα ἅμα ποιήσετε*. Mox, ad verba *ἐν αὐτῷ* suppleo *ἐν τῷ τιμωρεῖσθαι*. Ex h. l. *κάθεξις* citant Anecd. Bekker. i. p. 105.

48. *ὅστις γὰρ—ἐπιὼν*] Stob. p. 366., ubi est *πρὸς τοὺς ἀντιπάλους*.

49. *ἐς ἀγῶνα ὅμως*] sc. etsi eos decreti prius lati jam dudum pœnituerat. Vid. cap. 36.

φθασάσης τῆς δευτέρας] Nisi *δευτέρας* dictum eodem sensu est, quo *ἑτέρας*, quod ipsum habent L. O. P. sicut *προτέρας* d. i., locus sanus non est. Phavorinus, *δεύτερον ἐνίοτε μὲν ἐπὶ τάξεως λέγεται, ἐνίοτε δ' ἐπὶ ἀριθμήσεως*, fortasse ratione hujus loci habita, ubi *ἐπ' ἀριθμήσεως* positam vocem statuas: quanquam differunt *δεύτερος* et *ἕτερος*. Hoc enim unum ex duobus significat sine ulla vel temporis vel ordinis notatione, unde unus ille et prior et posterior esse potest, *δεύτερος* autem nonnisi de posteriore plerumque dicitur. Fusius hanc rem pertractat Popp. Obs. p. 63.

ὥστε ἤσθιόν τε ἅμα ἐλαύνοντες οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα πεφυραμένα καὶ οἱ μὲν ὕπνον ᾑροῦντο κατὰ μέρος, οἱ δὲ ἤλαυνον. Κατὰ τύχην δὲ πνεύματος οὐδενὸς ἐναντιωθέντος καὶ τῆς μὲν προτέρας νεὼς οὐ σπουδῇ πλεούσης ἐπὶ πρᾶγμα ἀλλόκοτον, ταύτης δὲ τοιούτῳ τρόπῳ ἐπειγομένης, ἡ μὲν ἔφθασε τοσοῦτον ὅσον Πάχητα ἀνεγνωκέναι τὸ ψήφισμα καὶ μέλλειν δράσειν τὰ δεδογμένα, ἡ δ' ὑστέρα αὐτῆς ἐπικατάγεται καὶ διεκώλυσε μὴ διαφθεῖραι. Παρὰ τοσοῦτον μὲν ἡ Μυτιλήνη ἦλθε κινδύνου.

50. Τοὺς δ' ἄλλους ἄνδρας οὓς ὁ Πάχης ἀπέπεμψεν ὡς αἰτιωτάτους ὄντας τῆς ἀποστάσεως Κλέωνος γνώμῃ διέφθειραν οἱ Ἀθηναῖοι· ἦσαν δὲ ὀλίγῳ πλείους χιλίων. Καὶ Μυτιληναίων τείχη καθεῖλον καὶ ναῦς παρέλαβον. Ὕστερον δὲ φόρον μὲν οὐκ ἔταξαν Λεσβίοις, κλήρους δὲ ποιήσαντες τῆς γῆς πλὴν τῆς Μηθυμναίων τρισχιλίους τριακοσίους μὲν τοῖς θεοῖς ἱεροὺς ἐξεῖλον, ἐπὶ δὲ τοὺς ἄλλους σφῶν αὐτῶν κληρούχους τοὺς λαχόντας ἀπέπεμψαν· οἷς ἀργύριον Λέσβιοι ταξάμενοι τοῦ κλήρου ἑκάστου τοῦ ἐνιαυτοῦ δύο μνᾶς φέρειν αὐτοὶ εἰργάζοντο τὴν γῆν. Παρέλαβον δὲ καὶ τὰ ἐν τῇ ἠπείρῳ πολίσματα οἱ Ἀθηναῖοι ὅσων Μυτιληναῖοι ἐκράτουν, καὶ ὑπήκουον ὕστερον Ἀθηναίων. Τὰ μὲν κατὰ Λέσβον οὕτως ἐγένετο.

51. Ἐν δὲ τῷ αὐτῷ θέρει μετὰ τὴν Λέσβου ἅλωσιν Ἀθηναῖοι Νικίου τοῦ Νικηράτου στρατηγοῦντος ἐστράτευσαν ἐπὶ Μινώαν τὴν νῆσον, ἣ κεῖται πρὸ Μεγάρων· ἐχρῶντο δὲ αὐτῇ πύργον ἐνοικοδομήσαντες οἱ Μεγαρῆς φρουρίῳ. Ἐβούλετο δὲ Νικίας τὴν φυλακὴν αὐτόθεν δι' ἐλάσσονος τοῖς Ἀθηναίοις καὶ μὴ ἀπὸ τοῦ Βουδόρου καὶ τῆς Σαλαμῖνος εἶναι, τούς τε Πελοποννησίους, ὅπως μὴ ποιῶνται ἔκπλους

ὅσον—ἀνεγνωκέναι] V. Viger. p. 129. ibiq. Herm. p. 726, 88.

παρὰ τοσοῦτον] i. e. tam prope ab exitio aberat Mitylene. V. Matth. Gr. § 588. c. Viger. p. 646. De verbis *ὅσον—ἀνεγνωκέναι* v. Matth. Gr. § 479. Obs. 2. b. et Schæfer. ad Lamb. Bos. p. 607. Conf. i, 2. *ὅσον ἀποζῆν*.

50. *ὅσων Μυτιληναῖοι ἐκράτουν*] Memorat hæc Strab. p. 896. B. Alm.

51. *τούς τε Πελοποννησίους*] Schol. codicis H. *ἐβούλετο δηλονότι*, quod fieri nequit propter sequens *ὅπως μή*. Ex antecedentibus *φυλακὴν εἶναι* repeto *φυλάσσεσθαι* cum Kruegero Comm. Thuc. p. 297. not. Mox, *αὐτόθεν* intellige *ἐκ Νισαίας*, nam ὅ τε Κνῆμος καὶ ὁ Βρασίδας οἱ Σπαρτιᾶται μετὰ τῶν τεσσαράκοντα νεῶν ἀπὸ Νισαίας ἐξαπίνης προσέπεσον τῷ Βουδόρῳ, ὥς φησιν ὁ Συγγραφεὺς ἐν τῇ δευτέρᾳ (cap. 93.) Scholiastes; qui tamen paulo ante minus recte scripsit *ἀπὸ τῆς Μινώας* ad explicandum *αὐτόθεν*.

αὐτόθεν λανθάνοντες τριήρων τε, οἷον καὶ τὸ πρὶν γενόμενοι, καὶ ληστῶν ἐκπομπαῖς, τοῖς τε Μεγαρεῦσιν ἅμα μηδὲν ἐσπλεῖν. Ἑλὼν οὖν ἀπὸ τῆς Νισαίας πρῶτον δύο πύργω προέχοντε μηχαναῖς ἐκ θαλάσσης καὶ τὸν ἔσπλουν ἐς τὸ μεταξὺ τῆς νήσου ἐλευθερώσας, ἀπετείχιζε καὶ τὸ ἐκ τῆς ἠπείρου ᾗ κατὰ γέφυραν διὰ τενάγους ἐπιβοήθεια ἦν τῇ νήσῳ οὐ πολὺ διεχούσῃ τῆς ἠπείρου. Ὡς δὲ τοῦτο ἐξειργάσαντο ἐν ἡμέραις ὀλίγαις, ὕστερον δὴ καὶ ἐν τῇ νήσῳ τεῖχος ἐγκαταλιπὼν καὶ φρουρὰν ἀνεχώρησε τῷ στρατῷ.

52. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου καὶ οἱ Πλαταιῆς οὐκέτι ἔχοντες σῖτον οὐδὲ δυνάμενοι πολιορκεῖσθαι ξυνέβησαν τοῖς Πελοποννησίοις τοιῷδε τρόπῳ. Προσέβαλον αὐτῶν τῷ τείχει, οἱ δὲ οὐκ ἐδύναντο ἀμύνεσθαι. Γνοὺς δὲ ὁ Λακεδαιμόνιος ἄρχων τὴν ἀσθένειαν αὐτῶν βίᾳ μὲν οὐκ ἐβούλετο ἑλεῖν· εἰρημένον γὰρ ἦν αὐτῷ ἐκ Λακεδαίμονος, ὅπως, εἰ σπονδαὶ γίγνοιντό ποτε πρὸς Ἀθηναίους καὶ ξυγχωροῖεν ὅσα πολέμῳ χωρία ἔχουσιν ἑκάτεροι ἀποδίδοσθαι, μὴ ἀνάδοτος εἴη ἡ Πλάταια ὡς αὐτῶν ἑκόντων προσχωρησάντων· προσπέμπει δὲ αὐτοῖς κήρυκα λέγοντα, εἰ βούλονται παραδοῦναι τὴν πόλιν ἑκόντες τοῖς Λακεδαιμονίοις καὶ δικασταῖς ἐκείνοις χρήσασθαι, τούς τε ἀδίκους κολάζειν, παρὰ δίκην δὲ οὐδένα. Τοσαῦτα μὲν ὁ κήρυξ εἶπεν· οἱ δὲ, ἦσαν γὰρ

ἀπετείχιζε] Duabus a partibus insulam Minoam aggressus est, Nisæam versus, ἀπὸ τῆς Νισαίας, i. e. 'on the side towards Nisæa,' sive qua insula septentriones spectat. Postquam ibi duas turres cepit, insulam oppugnavit muro ducto ἐκ τῆς ἠπείρου ᾗ κατὰ γέφυραν διὰ τενάγους ἐπιβοήθεια ἦν τῇ νήσῳ, 'interclusit insulam muro etiam ab ea continentis parte, qua per pontem in vado exstructum auxilium veniebat insulæ,' i. e. qua insula occasum solis spectat. Mox, ἐξειργάσατο aliquot libri; nam præcessit singularis: itaque correctores hic quoque intulerunt hunc numerum; sed transitus fit ab altero in alterum, ut iii, 112. ὡς οὖν ἐνέπεσε Demosthenes τῷ στρατεύματι αὐτῶν, τρέπουσι milites ejus καὶ τοὺς πολλοὺς διέφθειραν. Id fieri solet, ubi loquuntur de re per ducem in bello gesta, ad quam militum auxilio opus est, etiamsi hi non diserte nominati sunt: v. Popp. Prol. t. i. p. 96.

52. γνοὺς δὲ—οὐδένα] Τε, quod est ante ἀδίκους, respondet particulæ sequenti δέ. V. Herm. ad Viger. p. 836, 317. Apodosis incipit verbis τούς τε ἀδίκους. Schol. verbum ἦν post εἰρημένον non legit; scribit enim, ἀντίπτωσις, ἤτοι αἰτιατικὴ ἀντὶ γενικῆς· ἀντὶ τοῦ· εἰρημένου γὰρ αὐτῷ, εἶπεν. Poppo, Obs. p. 26. et ipse ἦν delet, quanquam omnes codices habent. Sed, hoc admisso, etiam δὲ post προσπέμπει delendum, quo ducit ex opinione ejus hoc scholion: προσπέμπει δὲ] οὕτως ὁ δὲ πρὸς τὸν μέν· προεῖπε γὰρ, ὅτι βίᾳ μὲν οὐκ ἐβούλοντο ἑλεῖν. Unde illud δὲ a scholiasta positum esse, Poppo colligit: imo inde colligendum, a scholiasta in suo codice inventum esse. Nihil muto; ad εἰρημένον ἦν suppleo μὴ βίᾳ ἑλεῖν. Poppo post προσχωρησάντων virgula interpungit; sententiam, cui propter prægressa βίᾳ μὲν οὐκ ἐβούλετο particula δὲ præfigenda fuerit, omnino suppressam esse ait, nam ante εἰρημένον γὰρ supplendum esse: "sed alia cogitavit sive aliam viam iniit." Nihil omissum.

ἀνάδοτος] Pollux, vii, 13. μὴ ἀνάδ. εἴη Πλάταια, omisso articulo.

ἤδη ἐν τῷ ἀσθενεστάτῳ, παρέδοσαν τὴν πόλιν. Καὶ τοὺς Πλαταιέας ἔτρεφον οἱ Πελοποννήσιοι ἡμέρας τινὰς ἐν ὅσῳ οἱ ἐκ τῆς Λακεδαίμονος δικασταὶ πέντε ἄνδρες ἀφίκοντο. Ἐλθόντων δὲ αὐτῶν κατηγορία μὲν οὐδεμία προετέθη, ἠρώτων δὲ αὐτοὺς ἐπικαλεσάμενοι τοσοῦτον μόνον εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷ καθεστῶτι ἀγαθόν τι εἰργασμένοι εἰσίν. Οἱ δ' ἔλεγον αἰτησάμενοι μακρότερα εἰπεῖν καὶ προτάξαντες σφῶν αὐτῶν Ἀστύμαχόν τε τὸν Ἀσωπολάου καὶ Λάκωνα τὸν Ἀειμνήστου πρόξενον ὄντα Λακεδαιμονίων. Καὶ ἐπελθόντες ἔλεγον τοιάδε.

53. Τὴν μὲν παράδοσιν τῆς πόλεως, ὦ Λακεδαιμόνιοι, πιστεύσαντες ὑμῖν ἐποιησάμεθα οὐ τοιάνδε δίκην οἰόμενοι ὑφέξειν, νομιμωτέραν δέ τινα ἔσεσθαι, καὶ ἐν δικασταῖς οὐκ ἐν ἄλλοις δεξάμενοι, ὥσπερ καὶ ἐσμὲν, γενέσθαι ἢ ὑμῖν, ἡγούμενοι τὸ ἴσον μάλιστ' ἂν φέρεσθαι. Νῦν δὲ φοβούμεθα μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν· τόν τε γὰρ ἀγῶνα περὶ τῶν δεινοτάτων εἶναι εἰκότως ὑποπτεύομεν καὶ ὑμᾶς μὴ οὐ κοινοὶ ἀποβῆτε, τεκμαιρόμενοι προκατηγορίας τε ἡμῶν οὐ

εἴ τι—ἀγαθόν τι] Delendum puto alterum *τι*. Conf. cap. 54. 68., ubi bis hæc verba extant, et altero loco ne vulgo quidem *τι* repetitur, altero cum codicibus plerisque omnibus Bekker. edidit *ἀγαθὸν* sine *τι*. Id igitur hic quoque recte fieri puto, quanquam sine codicibus. Unus K. hic prius *τι* omittit. Paulo ante, *προετέθη* ita explicat Luzac. in Elegiaca Callimachi, p. 227. "Vocabulo *προτίθεσθαι* respondet 'opponere.' Sic illo usus est Thucydides h. l., Lucian. t. i. p. 659, 49., sic hoc Cicero de Off. iii, 10. 'cum solus vellet regnare Romulus, ad fratrem interimendum muri causam opposuit, neque probabilem neque satis idoneam.' Προέχεσθαι eodem sensu a Thoma M. jam fuit commendatum in *προΐσχω*, ipsius etiam Thucydidis munitum auctoritate, i. p. 92, 57. cui restituendum pro *παρέσχοντο* videtur *τὸ εὐπρεπὲς τῆς δίκης προέσχοντο* i, (80.) Multo quidem frequentius *προΐσχεσθαι*. Altera tamen forma hic illic et quidem propria sua vi reperitur, ut in Aristoph. Nub. 1388. Herodot. ii, 105. et inexspectata neque ab interpretibus intellecta in Ep. Pauli ad Rom. iii, 9. ex Alex. cod. et ex Suid. litera producta scribenda *τί οὖν προεχόμεθα*; 'quid itaque causæ prætexeremus?'"

53. Platæensium oratio, qui se anxios, quid ad quæstionem Lacedæmoniorum respondeant, fatentur; sua de Lacedæmoniis bene merita in memoriam revocant; defectionem ad partes Atheniensium factam defendunt; Lacedæmoniorum erga Thebanos favorem injustitiæ arguunt: ut antiquæ gloriæ suæ consulant servandæ, monent; obsecrant, ut moderatum de se judicium ferant; commiserationem judicum quinqueevirorum implorant. Meminit horum quinquevirorum etiam Pausan. t. i. p. 365. Fac., in iis fuisse Aristomenidam, Agesilai avum, referens.

ἐν δικασταῖς—ἄλλοις] Ordo est: *καὶ ἐν δικασταῖς δεξάμενοι γενέσθαι, οὐκ ἐν ἄλλοις ἢ ὑμῖν*, sive *ἐν δικασταῖς μὲν, οὐκ ἐν ἄλλοις δὲ*, etc. Schol. *κατὰ δύο, φησὶ, τρόπους προὐθυμήθημεν ἐγχειρίσαι ὑμῖν τοῖς Λακεδαιμονίοις τὴν πόλιν, κατά τε τὸ μὴ περὶ θανάτου κριθῆναι, ἀλλὰ περί τινος μαλακωτέρας ζημίας, καὶ καθὸ δικαίους ὑμᾶς κριτὰς ἡγησάμεθα γενέσθαι· νῦν δὲ, φησὶ, φοβούμεθα μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν· καὶ τὴν αἰτίαν εὐθὺς ἐπιφέρει· τόν τε γὰρ ἀγῶνα, φησὶ, καὶ τὰ ἑξῆς.* Indicativo *ἡμαρτήκαμεν* significat, Platæensibus persuasum fuisse, se jure timere, eosque rem fere certo prævidisse. V. Herm. ad Vig. p. 810. Matth. Gr. § 520, 8. Dissen. d. Temp. et Mod. Verbi Gr. p. 34.

τεκμαιρόμενοι] Hoc verbum construitur et cum participii casu absoluto, velut hoc loco cum genitivo et nominativo partici-

προγεγενημένης ἢ χρὴ ἀντειπεῖν, ἀλλ᾽ αὐτοὶ λόγον ᾐτησάμεθα, τό τε ἐπερώτημα βραχὺ ὄν, ᾧ τὰ μὲν ἀληθῆ ἀποκρίνασθαι ἐναντία γίγνεται, τὰ δὲ ψευδῆ ἔλεγχον ἔχει. Πανταχόθεν δὲ ἄποροι καθεστῶτες ἀναγκαζόμεθα καὶ ἀσφαλέστερον δοκεῖ εἶναι εἰπόντας τι κινδυνεύειν· καὶ γὰρ ὁ μὴ ῥηθεὶς λόγος τοῖς ὧδ᾽ ἔχουσιν αἰτίαν ἂν παράσχοι ὡς εἰ ἐλέχθη σωτήριος ἂν ἦν. Χαλεπῶς δὲ ἔχει ἡμῖν πρὸς τοῖς ἄλλοις καὶ ἡ πειθώ. Ἀγνῶτες μὲν γὰρ ὄντες ἀλλήλων ἐπεισενεγκάμενοι μαρτύρια ὧν ἄπειροι ἦτε ὠφελούμεθ᾽ ἄν· νῦν δὲ πρὸς εἰδότας πάντα λελέξεται, καὶ δέδιμεν οὐχὶ μὴ προκαταγνόντες ἡμῶν τὰς ἀρετὰς ἥσσους εἶναι τῶν ὑμετέρων ἔγκλημα αὐτὸ ποιῆτε, ἀλλὰ μὴ ἄλλοις χάριν φέροντες ἐπὶ διεγνωσμένην κρίσιν καθιστώμεθα.

54. Παρεχόμενοι δὲ ὅμως ἃ ἔχομεν δίκαια πρός τε τὰ Θηβαίων διάφορα καὶ ἐς ὑμᾶς καὶ τοὺς ἄλλους Ἕλληνας τῶν εὖ δεδρασμένων ὑπόμνησιν ποιησόμεθα καὶ πείθειν πειρασόμεθα. Φαμὲν γὰρ πρὸς τὸ ἐρώτημα τὸ βραχὺ εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷδε ἀγαθὸν πεποιήκαμεν, εἰ μὲν ὡς πολεμίους ἐρωτᾶτε, οὐκ ἀδικεῖσθαι ὑμᾶς μὴ εὖ παθόντας, φίλους δὲ νομίζοντας αὐτοὺς ἁμαρτάνειν μᾶλλον τοὺς ἡμῖν ἐπιστρατεύσαντας. Τὰ δ᾽ ἐν τῇ εἰρήνῃ καὶ πρὸς τὸν Μῆδον ἀγαθοὶ γεγενήμεθα, τὴν μὲν οὐ λύσαντες νῦν πρότεροι, τῷ δὲ ξυνεπιθέμενοι τότε ἐς ἐλευθερίαν τῆς Ἑλλάδος μόνοι Βοιωτῶν. Καὶ γὰρ ἠπειρῶταί τε ὄντες ἐναυμαχήσαμεν ἐπ᾽ Ἀρτεμισίῳ, μάχῃ τε τῇ ἐν τῇ ἡμετέρᾳ γῇ γενομένῃ παρεγενόμεθα ὑμῖν τε καὶ Παυσανίᾳ· εἴ τέ τι ἄλλο κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐγένετο ἐπικίνδυνον τοῖς Ἕλλησι, πάντων παρὰ δύναμιν μετέσχομεν. Καὶ ὑμῖν, ὦ Λακεδαιμόνιοι, ἰδίᾳ, ὅτεπερ δὴ μέγιστος φόβος περιέστη τὴν Σπάρτην μετὰ τὸν σεισμὸν τῶν ἐς Ἰθώμην Εἱλώτων ἀποστάν-

pii, et sequente ὅτι, ἀπὸ, ἐκ ponitur, et dativo jungitur. V. Krueger. ad Dionys. p. 116. collato Matth. Gr. § 562.

ἀρετὰς] i. e. 'merits,' 'services,' ut ἀρετὴν esse vidimus; 'beneficence' in oratione Periclis, ii, 40. Heilmannus: 'you might find the service we have done to you of less importance than what you have done to us.' Ad proxima pertinet Zonaræ glossa: λελέξεται, ἀντὶ τοῦ λεχθήσεται. V. ad Hesych. s. v.

ἀλλὰ μὴ—καθιστώμεθα] Proprie scribendum erat vel, ἀλλὰ μὴ, ἄλλοις χάριν φέροντες, ἐπὶ διεγνωσμένην κρίσιν ἡμᾶς καθιστῆτε, vel, ὑμῶν φερόντων καθιστώμεθα.

54. τῶν εὖ—ποιησόμεθα] Thom. M. p. 201.

νομίζοντας αὐτοὺς] sc. Thebanos. Participium ita resolve, εἰ ἐνόμιζον φίλους ἡμᾶς, αὐτοὺς, etc.

των, τὸ τρίτον μέρος ἡμῶν αὐτῶν ἐξεπέμψαμεν ἐς ἐπικουρίαν· ὧν οὐκ εἰκὸς ἀμνημονεῖν.

55. Καὶ τὰ μὲν παλαιὰ καὶ μέγιστα τοιοῦτοι ἠξιώσαμεν εἶναι, πολέμιοι δὲ ἐγενόμεθα ὕστερον. Ὑμεῖς δὲ αἴτιοι· δεομένων γὰρ ξυμμαχίας ὅτε Θηβαῖοι ἡμᾶς ἐβιάσαντο, ὑμεῖς ἀπεώσασθε καὶ πρὸς Ἀθηναίους ἐκελεύετε τραπέσθαι ὡς ἐγγὺς ὄντας, ὑμῶν δὲ μακρὰν ἀποικούντων. Ἐν μέντοι τῷ πολέμῳ οὐδὲν ἐκπρεπέστερον ὑπὸ ἡμῶν οὔτε ἐπάθετε οὔτε ἐμελλήσατε. Εἰ δ' ἀποστῆναι Ἀθηναίων οὐκ ἠθελήσαμεν ὑμῶν κελευσάντων, οὐκ ἠδικοῦμεν· καὶ γὰρ ἐκεῖνοι ἐβοήθουν ἡμῖν ἐναντία Θηβαίοις ὅτε ὑμεῖς ἀπωκνεῖτε, καὶ προδοῦναι αὐτοὺς οὐκέτι ἦν καλὸν, ἄλλως τε καὶ οὓς εὖ παθών τις καὶ αὐτὸς δεόμενος προσηγάγετο ξυμμάχους καὶ πολιτείας μετέλαβεν, ἰέναι δὲ ἐς τὰ παραγγελλόμενα εἰκὸς ἦν προθύμως. Ἃ δὲ ἑκάτεροι ἐξηγεῖσθε τοῖς ξυμμάχοις, οὐχ οἱ ἑπόμενοι αἴτιοι εἴ τι μὴ καλῶς ἐδρᾶτε, ἀλλ' οἱ ἄγοντες ἐπὶ τὰ μὴ ὀρθῶς ἔχοντα.

56. Θηβαῖοι δὲ πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἠδίκησαν, τὸ δὲ τελευταῖον αὐτοὶ ξύνιστε δι' ἅπερ καὶ τάδε πάσχομεν. Πόλιν γὰρ αὐτοὺς τὴν ἡμετέραν καταλαμβάνοντας ἐν σπονδαῖς καὶ προσέτι ἱερομηνίᾳ ὀρθῶς ἐτιμωρησάμεθα κατὰ τὸν

55. *δεομένων*] debebat scribere *δεομένους*. Conf. iv, 20. *ἡμῶν γὰρ καὶ ὑμῶν ταὐτὰ λεγόντων τό γε Ἑλληνικὸν ἴστε, ὅτι ὑποδεέστερον ὂν τὰ μέγιστα τιμήσει.* v, 3. *προσβαλόντων τῶν Ἀθηναίων ἠμύνοντο.*

πρὸς—τραπέσθαι] Thom. M. p. 162.

ἄλλως—οὓς] i. e. *ἄλλως τε καὶ ὅτι αὐτούς*. De jure civitatis Plataico v. Boëckh. Staatsh. d. Ath. t. i. p. 282.

εἴ τι—ἐδρᾶτε] Anecd. Bekk. i. p. 143. *ἐδρᾶτο*, quod Reiskius jam e conjectura restitui voluerat, et defendit Popp. Obs. p. 48. Eorum, ait, quæ ipsi male egerint, culpam sustinere eos, penes quos sit potentia, et per se intelligitur, neque facit ad excusandos Platæenses. Sed eorum omnino, quæ non recte gerantur, culpam non iis qui imperio aliorum subditi sint, sed iis qui illos regant, attribuendam esse, hoc dicendum est.

56. *ἱερομηνίᾳ*] 'Festa mensis solennitas' interpretatur Dissen. ad Pind. Nem. iii, 2. Sed quænam mensis dies festa fuerit, ambigitur. "Portus putavit esse *νουμηνίαν*. Et sic cap. 65. Stephanus quoque in marg. ed. secundæ versionem Vallæ 'die solenni' emendat, 'in sacris vel feriis primæ diei mensis,' q. d. 'feriarum menstruarum die.' Fortassis omnis *νουμηνία* recte dici potest *ἱερομηνία*: sed an omnis *ἱερομηνία* quoque sit *νουμηνία*, mihi non liquet: nam Harpocrat. e Demosth. adv. Timocr. *ἱερομηνίας* nihil aliud quam *ἑορτώδεις ἡμέρας* interpretatur. Et sic ex eo Suidas et Hesychius. Nec quidquam de *νουμηνίᾳ* addunt: ac neque quisquam e quamplurimis scriptoribus, quorum verba de sacro *νουμηνίας* adfert Meursius in Græc. feriata v. *Νουμηνία*, hunc diem vocat *ἱερομηνίαν*. Adde quod Thuc. ii, 4. Platæas a Thebanis *τελευτῶντος τοῦ μηνὸς* occupatas dicit. Budæus in Demosthene, qui sæpe *ἱερομηνίαν* memorat, interpretabatur 'sacra stata aliquo mense,' vel generaliter 'diem festum,' et Camerar. in Demosth. adv. Timocr. 'dies festos.' Vide Steph. Thes. Suidas *ἱερομηνία, ἱερὰ ἑορτὴ κατὰ μῆνα.* Sic etiam Etym. M. et insuper *ἡ ἐν τῷ μηνὶ ἱερὰ ἡμέρα*, quæ confirmant interpretationem priorem Budæi. In glossar. *ἱερομηνία*, 'festivi ludi;' quo pertinet quod e Budæo adnotat Steph., *ἱερομηνίαν* ap. Demosthenem etiam esse 'diem ludorum.' Infra v, 54. est *τὰ ἱερομήνια*,

πᾶσι νόμον καθεστῶτα τὸν ἐπιόντα πολέμιον ὅσιον εἶναι ἀμύνεσθαι, καὶ νῦν οὐκ ἂν εἰκότως δι' αὐτοὺς βλαπτοίμεθα. Εἰ γὰρ τῷ αὐτίκα χρησίμῳ ὑμῶν τε καὶ ἐκείνων πολεμίῳ τὸ δίκαιον λήψεσθε, τοῦ μὲν ὀρθοῦ φανεῖσθε οὐκ ἀληθεῖς κριταὶ ὄντες, τὸ δὲ ξυμφέρον μᾶλλον θεραπεύοντες. Καίτοι εἰ νῦν ὑμῖν ὠφέλιμοι δοκοῦσιν εἶναι, πολὺ καὶ ἡμεῖς καὶ οἱ ἄλλοι Ἕλληνες μᾶλλον τότε ὅτε ἐν μείζονι κινδύνῳ ἦτε. Νῦν μὲν γὰρ ἑτέροις ὑμεῖς ἐπέρχεσθε δεινοί· ἐν ἐκείνῳ δὲ τῷ καιρῷ, ὅτε πᾶσι δουλείαν ἐπέφερεν ὁ βάρβαρος, οἵδε μετ' αὐτοῦ ἦσαν. Καὶ δίκαιον ἡμῶν τῆς νῦν ἁμαρτίας εἰ ἄρα ἡμάρτηται ἀντιθεῖναι τὴν τότε προθυμίαν, καὶ μείζω τε πρὸς ἐλάσσω εὑρήσετε καὶ ἐν καιροῖς οἷς σπάνιον ἦν τῶν Ἑλλήνων τινὰ ἀρετὴν τῇ Ξέρξου δυνάμει ἀντιτάξασθαι, ἐπῃνοῦντό τε μᾶλλον· οἱ μὴ τὰ ξύμφορα πρὸς τὴν ἔφοδον αὐτοῖς ἀσφαλείᾳ πράσσοντες, ἐθέλοντες δὲ τολμᾶν μετὰ κινδύνων τὰ βέλτιστα. Ὧν ἡμεῖς γενόμενοι καὶ τιμηθέντες ἐς τὰ πρῶτα νῦν ἐπὶ τοῖς αὐτοῖς δέδιμεν μὴ διαφθαρῶμεν Ἀθηναίους ἑλόμενοι δικαίως μᾶλλον ἢ ὑμᾶς κερδαλέως. Καίτοι χρὴ ταὐτὰ περὶ τῶν

ubi schol. *ἑορτώδης ἡμέρα.*" Duker., cujus nota parum res ad liquidum perducitur. Schol. ad Pind. l. l. *ἱερομηνίᾳ δέ φησι Νεμεάδι, τουτέστι τῇ τῶν ἐπινίκων εὐωχίᾳ· ἱερομηνίαν δὲ λέγουσι κατὰ σύντμησιν τὴν ἱερονουμηνίαν· αἱ γὰρ τῶν μηνῶν ἀρχαὶ ἱεραὶ εἰσι τοῦ Ἀπόλλωνος, καθὸ δ' αὐτὸς δοκεῖ εἶναι τῷ ἡλίῳ — οἱ δὲ ἱερὸν μῆνα καθόλου λέγουσι κεκλῆσθαι, ἐν ᾧ τὰ Νέμεα ἄγεται· ἱερομηνίαι δὲ λέγονται αἱ ἐν τῷ μηνὶ ἱεραὶ ἡμέραι οἱαιδήποτε θεοῖς ἀνειμέναι· τὸν οὖν Δημητριῶνα μῆνά φησι Φιλόχορος ὅλον ψηφίσασθαι τοὺς Ἀθηναίους ἱερομηνίαν λέγεσθαι, οἷον ὅλον ἑορτήν.* Unde patere videtur *ἱερομηνίαν* cum omnem diem festum, tum primam mensis diem sive *νουμηνίαν* dictam esse, id quod disertis verbis declarat schol. in Nazianz. Stelit. ii. p. 106. ap. Albert. ad Hesych. t. ii. p. 26. *τὰς νουμηνίας οἱ Ἕλληνες ἱερομηνίας ἐκάλουν κυρίως· καταχρηστικῶς δὲ καὶ τὴν ἑορτήν*, et ibidem M. Apostol. Lex. Ms. Gr. Lat. *ἱερομηνία*, 'kalendæ,' 'solennitates mensis.' Ibidem Hemsterh. adnotavit: "quam *νεομηνίαν* ex Psalmo Gregor. Nyss. t. iii. p. 339. eandem mox *ἱερομηνίαν* dixit v. Aristid. t. i. p. 256. c." Ubi quos laudat, vide. Rem perficit Petit. Legg. Att. p. 157. Wessel., qui quod locum Plutarchi, t. ii. p. 828. A., quo utitur, ad Græcos retulit, erravit, notavitque jam Wesselingius. Idem Petitus male intellexit Suidam: *ἔξω τῶν ἑορτῶν ἡμέραι τινὲς ἐνομίζοντο Ἀθήνησι θεοῖς τισιν, οἷον νουμηνία καὶ ἑβδόμη Ἀπόλλωνος*, quibus verbis firmantur a scholiaste Pindari dicta: quibus non repugnant a Thucydide, ii, 4. narrata; nam quæ nocte *τελευτῶντος τοῦ μηνὸς* gesta sunt, orator Platæensium *νουμηνίᾳ* gesta dicere potest.

τὸν πᾶσι—καθεστῶτα] hic erat verus verborum ordo, *τὸν νόμον καθεστῶτα πᾶσιν*. Conf. supr. c. 54. *μετὰ τὸν σεισμὸν τῶν ἐς Ἰθώμην Εἱλώτων ἀποστάντων*, i. e. *τῶν Εἱλώτων μετὰ τὸν σεισμὸν ἀποστάντων ἐς Ἰθ.* v. ad i, 10. adde Krueger. de Xenoph. Anab. p. 42.

τῷ αὐτίκα—πολεμίῳ] Trajectio particulæ *τε*, nam ita scribi debebat, *τῷ τε αὐτίκα χρησίμῳ ὑμῶν κ. ἐκ. πολεμίῳ.*

εἰ νῦν—Ἕλληνες τότε] supple, *ὠφέλιμοι ἦμεν*. Conf. i, 86. *ἡμεῖς ὅμοιοι καὶ τότε καὶ νῦν ἐσμέν.*

οἱ μὴ—πράσσοντες] *ἀσφαλείᾳ* est, 'for the sake of their safety;' et verba *πρὸς τὴν ἔφοδον* junge cum *τὰ ξύμφορα*, 'what is useful with regard to,' etc. Dativus *αὐτοῖς* pendet ex *ἔφοδον*, i. e. 'the attack on them.'

καίτοι χρὴ—καθιστῆται] Hæc videtur mens scriptoris esse: Nos Platæenses ut olim in bellis Persicis erga vos, ita nunc in bello isto erga Athenienses fidem præstitimus. Decet autem fidem proborum sociorum, sive alienorum sive propriorum,

αὐτῶν ὁμοίως φαίνεσθαι γιγνώσκοντας καὶ τὸ ξυμφέρον μὴ ἄλλο τι νομίσαι ἢ τῶν ξυμμάχων τοῖς ἀγαθοῖς ὅταν ἀεὶ βέβαιον τὴν χάριν τῆς ἀρετῆς ἔχωσι, καὶ τὸ παραυτίκα που ἡμῖν ὠφέλιμον καθιστῆται.

57. Προσκέψασθέ τε ὅτι νῦν μὲν παράδειγμα τοῖς πολλοῖς τῶν Ἑλλήνων ἀνδραγαθίας νομίζεσθε· εἰ δὲ περὶ ἡμῶν γνώσεσθε μὴ τὰ εἰκότα, οὐ γὰρ ἀφανῆ κρινεῖτε τὴν δίκην τήνδε, ἐπαινούμενοι δὲ περὶ οὐδ' ἡμῶν μεμπτῶν, ὁρᾶτε ὅπως μὴ οὐκ ἀποδέξωνται ἀνδρῶν ἀγαθῶν πέρι αὐτοὺς ἀμείνους ὄντας ἀπρεπές τι ἐπιγνῶναι, οὐδὲ πρὸς ἱεροῖς τοῖς κοινοῖς σκῦλα ἀπὸ ἡμῶν τῶν εὐεργετῶν τῆς Ἑλλάδος ἀνατεθῆναι. Δεινὸν δὲ δόξει εἶναι Πλάταιαν Λακεδαιμονίους πορθῆσαι, καὶ τοὺς μὲν πατέρας ἀναγράψαι ἐς τὸν τρίποδα τὸν ἐν Δελφοῖς δι' ἀρετὴν τὴν πόλιν, ὑμᾶς δὲ καὶ ἐκ παντὸς τοῦ Ἑλληνικοῦ πανοικησίᾳ διὰ Θηβαίους ἐξαλεῖψαι. Ἐς τοῦτο γὰρ δὴ ξυμφορᾶς προκεχωρήκαμεν, οἵτινες Μήδων τε κρατη-

intemeratam vereri et honorare: major enim inde utilitas redundat, quam si, spreto fidæ societatis honore, utilia tantum spectes; quo facto quodammodo sancis propriorum sociorum defectionem; nam quod in alios fieri licere concedis, id in te ipsum fieri, patiendum est. Utilitas igitur nulla in alia re ponenda est, quam in eo, ut res quaslibet præsentes ex proprio commodo componere possis; gratiam tamen fidei sociorum debitam non negligere opus habeas, quæ gratia si quando cum utilitate tua pugnabit, potius in præsentia quidem utilitas posthabenda, quam pernicioso in alios exemplo in fidos socios sæviendum est. Jam ex vulgata scriptura ἔχωσι commodus sensus non elicitur, quippe quod non habeat quo referatur: quare, Heilmannum secutus, lego ἔχουσιν, et ex codicibus A. B. E. 8. d. e. f. g. h. recepto ὑμῖν pro ἡμῖν, locum ita converto: 'however, you ought consistently to form the same opinion of the same action; and think no other conduct profitable, but showing yourself always grateful to faithful allies, and taking advantage of the present moment.' Quodsi retineas vulgatam ἔχωσι et ἡμῖν, oratio non ad Lacedæmonios convertetur, sed ἄνθρωποι supplendum erit. Subjectum postremi membri est τὸ παραυτίκα που, 'that which is present at any time:' ὠφέλιμον est pro εἰς ὠφέλειαν; denique καθιστῆται passivum est.

57. Verba cap. 57—59. partim imitatur, partim repetit Dionys. p. 1210. V. Steph. de Dionysii imitatione Thucydidis in fine.

ἐς τοῦτο γὰρ—κρίνεσθαι] Poppo, Obs. p. 88. de hoc loco ita disserit: "Verba οἵτινες Μήδων κρατησάντων ἀπολλύμεθα Portus vertit 'qui periissemus, si Medi vicissent.' Quodsi ad τότε μὲν, τὴν πόλιν εἰ μὴ παρέδομεν, λιμῷ διαφθαρῆναι simul respicitur, interpretes existimasse videntur, Platæenses tempore pugnæ ad urbem eorum commissæ a Persis fuisse obsessos, ita ut, si Græci fugati essent, iis metuendum esset ne fame ad urbem barbaris tradendam adigerentur. Sed hunc sensum respuunt primum ipsa scriptoris nostri verba; ita enim ἀπωλόμεθα ἂν dicendum erat: deinde repugnat etiam historia; Platæensium enim urbs jam a Xerxe exercitum per Bœotiam in Atticam ducente incendio deleta est, ante cujus adventum ipsi una cum Thespiensibus in Peloponnesum emigrarunt. Conf. Herodot. viii, 50. coll. 44. Diod. Sicul. xi, 13. Jam cum Persæ inde ab hoc tempore usque ad pugnam Platæensem Bœotiam in ditione sua tenerent, Platæenses patet urbem suam restituere, atque in ea obsideri non potuisse. Verba igitur οἵτινες Μήδων κρατησάντων ἀπολλύμεθα vertenda sunt, 'qui cum Medi vicissent ad Thermopylas, periimus,' et significant malum a Xerxe Platæensibus illatum." Hoc vere dixit. Verbum ἀπόλλυσθαι jam in præsenti præteriti temporis notionem habere arbitratus est. Postea, cum censor in Ephem. Jenens. 1816. nr. 12. monuisset, pro perfecto

πάντων ἀπολλύμεθα, καὶ νῦν ἐν ὑμῖν τοῖς πρὶν φιλτάτοις Θηβαίων ἡσσώμεθα καὶ δύο ἀγῶνας τοὺς μεγίστους ὑπέστημεν, τότε μὲν τὴν πόλιν εἰ μὴ παρέδομεν, λιμῷ διαφθαρῆναι, νῦν δὲ θανάτου κρίνεσθαι. Καὶ περιεώσμεθα ἐκ πάντων Πλαταιῆς οἱ παρὰ δύναμιν πρόθυμοι ἐς τοὺς Ἕλληνας ἔρημοι καὶ ἀτιμώρητοι· καὶ οὔτε τῶν τότε ξυμμάχων ὠφελεῖ οὐδεὶς, ὑμεῖς τε, ὦ Λακεδαιμόνιοι, ἡ μόνη ἐλπὶς, δέδιμεν μὴ οὐ βέβαιοι ἦτε.

58. Καίτοι ἀξιοῦμέν γε καὶ θεῶν ἕνεκα τῶν ξυμμαχικῶν ποτε γενομένων καὶ τῆς ἀρετῆς τῆς ἐς τοὺς Ἕλληνας καμφθῆναι ὑμᾶς καὶ μεταγνῶναι εἴ τι ὑπὸ Θηβαίων ἐπείσθητε, τήν τε δωρεὰν ἀνταπαιτῆσαι αὐτοὺς μὴ κτείνειν οὓς μὴ ὑμῖν

tantum, quod hic locum non habet, non autem pro imperfecto vel aoristo poni posse, sententia retractata, scribendum ἀπωλλύμεθα esse censuit, quod codex H. præbet. Mihi præsens retineri posse videtur, quandoquidem etiam vernacula lingua sic loquaris, 'for so disastrous is our fate! first we are ruined by the victory of the Persians, and now we must submit to you, once our best friends.' Verba τὴν πόλιν εἰ μὴ παρέδομεν, λιμῷ διαφθαρῆναι Poppo male intelligere eos ait, qui iis non pristinum urbis infortunium describi, sed inde a verbis καὶ νῦν ἐν ὑμῖν nonnisi de bello Peloponnesiaco sermonem esse putant, ut Platæenses dicantur, nisi urbem Lacedæmoniis dedidissent, fame absumtos esse (conf. c. 52. init.); cum vero potestati eorum se permisissent, eo devenisse, ut, ne capitis condemnarentur, metuerent. Huic interpretationi obstare ait voculas τότε μὲν—νῦν δὲ, ut quæ, cum in νῦν ἐν ὑμῖν Θηβαίων ἡσσώμεθα et in τῶν τότε ξυμμάχων ὠφελεῖ οὐδεὶς temporibus Persici et Peloponnesiaci belli distinguendis inserviant, etiam in τότε μὲν, τὴν πόλιν εἰ μὴ παρέδομεν, λιμῷ διαφθαρῆναι, νῦν δὲ θανάτου κρίνεσθαι eodem modo intelligendæ sint. Platæensium igitur hanc addit oportere mentem esse, sibi cum Xerxes appropinquaret, urbem deserendam fuisse (unde eos se dicere periisse) in qua si remansissent, a Persis obsidione clausi, et cum auxilii spes nulla esset, deficiente commeatu expugnati essent.—Hanc interpretationem falsam esse, verbum παρέδομεν arguit, quippe quo non significetur, urbem desertam, ante adventum hostium relictam, sed obsessoribus traditam esse. Ceterum ne timendum quidem erat, ne urbs Platæensium a Persis obsidione cingeretur, immensa hostium multitudo oppidum primo impetu cepisset. Neque obstant particulæ τότε μὲν—νῦν δὲ, quominus inde a verbis καὶ νῦν ἐν ὑμῖν omnia ad bellum Peloponnesiacum referantur; quidni enim his particulis illic bellum Persicum a Peloponnesiaco, hic iisdem belli Peloponnesiaci duo tempora, alterum antiquius, serius alterum discernantur? cum præsertim præter Persicum bellum nihil sit quo οἱ τότε ξύμμαχοι referantur. Nullus igitur dubito, quin recte Heilm. senserit interpretatus, 'we find ourselves for the second time in so difficult a position. It is not long since we should have been starved, had we not surrendered our city; and now we stand before a tribunal where our life is at stake.'

καὶ περιεώσμεθα—ἀτιμώρητοι] Thom. M. p. 856., qui vocem ἀτιμώρητος explicat per ἀβοήθητος.

ὑμεῖς—ἐλπὶς] Dionys. de C. V. p. 98. Schæf.

58. τήν τε δωρεὰν—αὐτοὺς] i. e. καὶ ἀξιοῦμεν ὑμᾶς τὴν δωρεὰν ἀνταπαιτῆσαι τοὺς Θηβαίους, μὴ κτείνειν, etc. 'we beg of you to entreat the Thebans not to kill those whom it becomes you to spare.' Paulo ante, de particulis καίτοι—γε v. Krueger. ad Dionys. p. 267. De scriptura vocis καμφθῆναι v. Herm. ad Soph. Aj. 1010. Heind. ad Plat. Protag. p. 503. Ad hunc locum spectant glossa Suidæ ἀνταπαιτῆσαι, et Anecd. Bekk. t. i. p. 407. Kruegero indigna est conjectura, quam protulit ad Dionys. p. 158. ἀνταπαιτῆσαι αὐ. τοὺς μὴ κτ., etc., i. e. 'hanc a vobis gratiam reposcimus, ut eos ne interimatis, quos a vobis occidi non par est.' Qui supplicium deprecantur, non reposcent gratiam, veniam petent. In errorem inductus est, quod non vidit, αὐτοὺς ad Thebanos referri.

πρέπει, σώφρονά τε ἀντὶ αἰσχρᾶς κομίσασθαι χάριν, καὶ μὴ ἡδονὴν δόντας ἄλλοις κακίαν αὐτοὺς ἀντιλαβεῖν· βραχὺ γὰρ τὸ τὰ ἡμέτερα σώματα διαφθεῖραι, ἐπίπονον δὲ τὴν δύσκλειαν αὐτοῦ ἀφανίσαι. Οὐκ ἐχθροὺς γὰρ ἡμᾶς εἰκότως τιμωρήσεσθε, ἀλλ᾽ εὔνους, κατ᾽ ἀνάγκην πολεμήσαντας. Ὥστε καὶ τῶν σωμάτων ἄδειαν ποιοῦντες ὅσια ἂν δικάζοιτε καὶ προνοοῦντες ὅτι ἑκόντας τε ἐλάβετε καὶ χεῖρας προϊσχομένους, ὁ δὲ νόμος τοῖς Ἕλλησι μὴ κτείνειν τούτους, ἔτι δὲ καὶ εὐεργέτας γεγενημένους διὰ παντός. Ἀποβλέψατε γὰρ ἐς πατέρων τῶν ὑμετέρων θήκας, οὓς ἀποθανόντας ὑπὸ Μήδων καὶ ταφέντας ἐν τῇ ἡμετέρᾳ ἐτιμῶμεν κατὰ ἔτος ἕκαστον δημοσίᾳ ἐσθήμασί τε καὶ τοῖς ἄλλοις νομίμοις, ὅσα τε ἡ γῆ ἡμῶν ἀνεδίδου ὡραῖα, πάντων ἀπαρχὰς ἐπιφέροντες, εὖνοι μὲν ἐκ φιλίας χώρας, ξύμμαχοι δὲ ὁμαίχμοις ποτὲ γενομένοις. Ὧν ὑμεῖς τοὐναντίον ἂν δράσαιτε, μὴ ὀρθῶς γνόντες. Σκέψασθε δέ· Παυσανίας μὲν γὰρ ἔθαπτεν αὐτοὺς νομίζων ἐν γῇ τε φιλίᾳ τιθέναι καὶ παρ᾽ ἀνδράσι τοιούτοις· ὑμεῖς δὲ εἰ κτενεῖτε ἡμᾶς καὶ χώραν τὴν Πλαταιΐδα Θηβαΐδα ποιήσετε, τί ἄλλο ἢ ἐν πολεμίᾳ τε καὶ παρὰ τοῖς αὐθένταις πατέρας τοὺς ὑμετέρους καὶ ξυγγενεῖς ἀτίμους γερῶν ὧν νῦν ἴσχουσι καταλείψετε; πρὸς δὲ καὶ γῆν ἐν ᾗ ἠλευθερώθησαν οἱ Ἕλληνες δουλώσετε, ἱερά τε θεῶν οἷς εὐξάμενοι Μήδων ἐκράτησαν ἐρημοῦτε, καὶ θυσίας τὰς πατρίους τῶν ἑσαμένων καὶ κτισάντων ἀφαιρήσεσθε.

59. Οὐ πρὸς τῆς ὑμετέρας δόξης, ὦ Λακεδαιμόνιοι, τάδε οὔτε ἐς τὰ κοινὰ τῶν Ἑλλήνων νόμιμα καὶ ἐς τοὺς προγόνους ἁμαρτάνειν οὔτε ἡμᾶς τοὺς εὐεργέτας ἀλλοτρίας ἕνεκα ἔχθρας μὴ αὐτοὺς ἀδικηθέντας διαφθεῖραι, φείσασθαι δὲ καὶ ἐπικλασθῆναι τῇ γνώμῃ οἴκτῳ σώφρονι λαβόντας, μὴ ὧν

σώφρονα—χάριν] i. e. 'we beg you to show a reasonable favour to us instead of a shameful one to them,' sive ut vitæ nostræ parcatis potius, quam supplicium in gratiam Thebanorum de nobis sumatis.

ἐσθήμασι] de hoc more v. Plut. Vit. Alex. c. 21. Marc. c. 30. Pelop. c. 33. Lucian. t. vii. p. 211. Dorv. ad Charit. p. 241. 243. Hujus annui sacri totam rationem multis describit Plut. Vit. Aristid. c. 21. Mox, apud Thom. M. p. 897. male extat *ἐν γῇ φιλίᾳ τίθεται*. Paulo inferius, *αὐτοένταις* scribitur pro *αὐθένταις* in Cyrilli Lex. Ms.

59. *οὐ πρὸς—φείσασθαι δὲ*] i. e. *οὐ πρὸς τῆς ὑμετέρας δόξης τάδε ἐστὶ, οὔτε τὸ—ἁμαρτάνειν, οὔτε τὸ ἡμᾶς διαφθεῖραι· φείσασθαι δὲ πρὸς ὑμετέρας δόξης ἐστίν*. Ad hunc locum pertinet glossa Zonaræ, *ἐπικλαύσωσιν* (scr. *ἐπικλάσωσιν*), *ἐπ᾽ οἶκτον ἀγάγωσιν*. Conf. Suid. et Hesych. Thuc. iv, 37.

οἴκτῳ σώφρονι] A. B. E. F. H. I. M. b. g. h. Vulgo *οἶκτον σώφρονα*. Græce dici potest tum *φείσασθαι οἶκτον λαβόντας*, tum *φ. οἴκτῳ λαβόντας*, pro *φείσασθαι*

πεισόμεθα μόνον δεινότητα κατανοοῦντας, ἀλλ' οἷοί τε ἂν ὄντες πάθοιμεν καὶ ὡς ἀστάθμητον τὸ τῆς ξυμφορᾶς, ᾧτινί ποτ' ἂν καὶ ἀναξίῳ ξυμπέσοι. Ἡμεῖς τε, ὡς πρέπον ἡμῖν καὶ ὡς ἡ χρεία προάγει, αἰτούμεθα ὑμᾶς θεοὺς τοὺς ὁμοβωμίους καὶ κοινοὺς τῶν Ἑλλήνων ἐπιβοώμενοι πεῖσαι τάδε, προφερόμενοι ὅρκους οὓς οἱ πατέρες ὑμῶν ὤμοσαν μὴ ἀμνημονεῖν, ἱκέται γιγνόμεθα ὑμῶν τῶν πατρῴων τάφων, καὶ ἐπικαλούμεθα τοὺς κεκμηῶτας μὴ γενέσθαι ὑπὸ Θηβαίοις μηδὲ τοῖς ἐχθίστοις φίλτατοι ὄντες παραδοθῆναι. Ἡμέρας τε ἀναμιμνήσκομεν ἐκείνης ᾗ τὰ λαμπρότατα μετ' αὐτῶν πράξαντες νῦν ἐν τῇδε τὰ δεινότατα κινδυνεύομεν παθεῖν. Ὅπερ δὲ ἀναγκαῖόν τε καὶ χαλεπώτατον τοῖς ὧδε ἔχουσι,

οἴκτῳ. Conf. v, 15. *ἐπιθυμία τῶν ἀνδρῶν κομίσασθαι.* Sophocl. Electr. 47. *ἄγγελλε ὅρκῳ προστιθείς.* V. Erfurdt. ad Soph. Antig. 23.

ὡς ἀστάθμητον—ξυμπέσοι] *ἀναξίῳ* B. E. F. H. K. g. Vulgo *ἀναξίως.* Attractionis genus est, pro *καὶ ὡς ἀστάθμητον, ᾧτινί ποτ' ἂν καὶ ἀναξίῳ ἡ ξυμφορὰ ξυμπέσοι.* Nos per negationem et particulam, 'if not.' Verte, 'and how uncertain it is, whether misfortune may not happen to one that does not deserve it.' Sic ii, 53. verba *ἄδηλον νομίζων, εἰ πρὶν ἐπ' αὐτὸ ἐλθεῖν διαφθαρήσεται* non aliter interpretanda ac si *εἰ μὴ* scriptum esset. V. Krueger. ad Dionys. p. 185. et de verbo *ἀστάθμητος* v. Heind. ad Plat. Lys. p. 31.

ὡς πρέπον] Thom. M. p. 734. *τὸ μὲν πρέπει ἀεὶ δοτικῇ· τὸ δὲ πρέπον οὐ δοτικῇ μόνον, ἀλλὰ καὶ γενικῇ· Θουκυδίδης· ὡς πρέπον ὑμῶν, καὶ ὡς ἡ χρεία προάγει.* Male. Repetit Phavorin. in *πρέπει.*

αἰτούμεθα — παραδοθῆναι] Hunc locum a nullo fere interprete recte intellectum esse, Popp. dicit, Obs. p. 22. Sed pace præstantissimi viri dicam, mihi miram ejus explicationem videri. Cohærent ibi, ait, verba *αἰτούμεθα ὑμᾶς μὴ γενέσθαι ὑπὸ Θηβαίοις μηδὲ—παραδοθῆναι.* In medio inserta sunt præsidia quibus Platæenses utebantur, ut precum compotes fierent. Quemadmodum igitur, addit, scriptum est *ἐπιβοώμενοι* et *προφερόμενοι,* ita sequi debebat *γιγνόμενοι* et *ἐπικαλούμενοι,* pro quibus mutata structura inferuntur verba finita.—Quid est, quod ita statuamus, quo fit ut tota enunciatio turbetur? Structura hæc est: *αἰτούμεθα ὑμᾶς πεῖσαι τάδε, αἰτούμεθα ὑμᾶς μὴ ἀμνημονεῖν, ἱκέται γιγνόμεθα καὶ ἐπικαλούμεθα μὴ γενέσθαι, μηδὲ—παραδοθῆναι.* Cum priori *αἰτούμεθα ὑμᾶς* juncta est per participium sententia, *ἐπιβοώμενοι θεοὺς τοὺς ὁμοβωμίους καὶ κοινοὺς τῶν Ἑλλήνων,* cum altero *αἰτούμεθα ὑμᾶς* item per participium juncta hæc, *προφερόμενοι ὅρκους, οὓς οἱ πατέρες ὑμῶν ὤμοσαν.* Sic omnia et concinna et plana. Verba autem *ἱκέται γιγνόμεθα ὑμῶν τῶν πατρῴων τάφων καὶ ἐπικαλούμεθα τοὺς κεκμηῶτας* jungenda cum *μὴ γενέσθαι ὑπὸ Θηβαίοις* et sequentibus, vel propter ea quæ extremo cap. proximo dixerat orator, *σκέψασθε δέ· Παυσανίας μὲν γὰρ ἔθαπτεν αὐτοὺς νομίζων,* etc., ubi vide. 'We entreat you, by the bones of our fathers, to protect us; and we ask you, by their ashes, not to allow us to fall into the hands of the Thebans, nor to surrender your best friends to their worst enemies.' Hæc spectat glossa Zonaræ, *ἐπιβοώμενοι, ἐπικαλούμενοι· "καὶ τοὺς θεοὺς ἐπιβοώμενοι."* Sed v. Tittm. ad h. l. Mox, *μεθ' αὐτῶν πράξαντες* plerique codd., vel cum Prisciano p. 1172. *μεθ' ἑαυτῶν.* V. ad iv, 25.

ὁμοβωμίους] "Quibus communiter in eadem ara sacra fiunt; nam etiam pluribus diis una ara sacrabatur. Vid. Kuhn. ad Polluc. vi, 155., ubi quod adnotat de sex aris duodecim diis Olympiæ consecratis, est e scholiaste Pind. Ol. v, 10., qui binos deos, qui in eadem ara colebantur, *συμβώμους* vocat; quemadmodum et Strabo xi. p. 512. Persicos quosdam *δαίμονας,* quibus eadem ædes et ara sacra erat. Add. Spanhem. Ep. 3. ad Morell. p. 183. Quod eosdem *ὁμοχέτας* vocatos dicit Kuhn. id est e Thuc. iv, 97., ubi v. Schol. Hesych. et Suidam." Duker. At *ὁμοβώμιοι θεοὶ* hic videntur dei esse culti in aris quæ universis Græcis communes erant, velut Olympiæ, Delphis. Heilm.: 'deities which all of us worship on common altars.'

ὅπερ δὲ ἀναγκαῖον—παυόμενοι λέγομεν] Sententia per relativum incipiens e more Græcorum præposita; relativum autem

λόγου τελευτᾶν, διότι καὶ τοῦ βίου ὁ κίνδυνος ἐγγὺς μετ' αὐτοῦ, παυόμενοι λέγομεν ἤδη ὅτι οὐ Θηβαίοις παρέδομεν τὴν πόλιν, εἱλόμεθα γὰρ ἂν πρό γε τούτου τῷ αἰσχίστῳ ὀλέθρῳ λιμῷ τελευτῆσαι, ὑμῖν δὲ πιστεύσαντες προσήλθομεν. Καὶ δίκαιον, εἰ μὴ πείθομεν, ἐς τὰ αὐτὰ καταστήσαντας τὸν ξυντυχόντα κίνδυνον ἐᾶσαι ἡμᾶς αὐτοὺς ἑλέσθαι. Ἐπισκήπτομέν τε ἅμα μὴ Πλαταιῆς ὄντες οἱ προθυμότατοι περὶ τοὺς Ἕλληνας γενόμενοι Θηβαίοις τοῖς ἡμῖν ἐχθίστοις ἐκ τῶν ὑμετέρων χειρῶν καὶ τῆς ὑμετέρας πίστεως ἱκέται ὄντες, ὦ Λακεδαιμόνιοι, παραδοθῆναι, γενέσθαι δὲ σωτῆρας ἡμῶν καὶ μὴ τοὺς ἄλλους Ἕλληνας ἐλευθεροῦντας ἡμᾶς διολέσαι.

60. Τοιαῦτα μὲν οἱ Πλαταιῆς εἶπον. Οἱ δὲ Θηβαῖοι δείσαντες πρὸς τὸν λόγον αὐτῶν μὴ οἱ Λακεδαιμόνιοί τι ἐνδῶσι, παρελθόντες ἔφασαν καὶ αὐτοὶ βούλεσθαι εἰπεῖν, ἐπειδὴ καὶ ἐκείνοις παρὰ γνώμην τὴν αὐτῶν μακρότερος λόγος ἐδόθη τῆς πρὸς τὸ ἐρώτημα ἀποκρίσεως. Ὡς δ' ἐκέλευσαν, ἔλεγον τοιάδε.

61. Τοὺς μὲν λόγους οὐκ ἂν ἠτησάμεθα εἰπεῖν, εἰ καὶ αὐτοὶ βραχέως τὸ ἐρωτηθὲν ἀπεκρίναντο, καὶ μὴ ἐπὶ ἡμᾶς τραπόμενοι κατηγορίαν ἐποιήσαντο καὶ περὶ αὐτῶν ἔξω τῶν προκειμένων καὶ ἅμα οὐδὲ ἠτιαμένων πολλὴν τὴν ἀπολογίαν καὶ ἔπαινον ὧν οὐδεὶς ἐμέμψατο. Νῦν δὲ πρὸς μὲν τὰ ἀντειπεῖν δεῖ, τῶν δὲ ἔλεγχον ποιήσασθαι, ἵνα μήτε ἡ ἡμετέρα

per appositionem λόγου τελευτᾶν explicatur, ut ii, 40. iii, 12. V. Matth. Gr. § 476. Sensus igitur idem est quasi scripsisset, παυόμενοι δὲ, ὅπερ ἀναγκαῖόν τε καὶ χαλεπώτατον τοῖς ὧδε ἔχουσι, τὸ λόγου τελευτᾶν δηλονότι, λέγομεν, etc. Genitivus junctus cum τελευτᾶν, ut jungi solet cum λήγειν vel παύεσθαι. Eodem modo βίου τελευτᾶν Xenoph. Cyrop. viii, 7, 17.

αἰσχίστῳ ὀλέθρῳ] Schol. Ὅμηρος· λιμῷ δ' οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν, Od. xii, 342. Laudat Dukerus Casaubon. ad Dionys. A. R. vi, 86. Cerd. ad Virg. Æn. ix, 340. Adde Lobeck. ad Soph. Ajac. 1048.

δίκαιον—καταστήσαντας] A. B. E. F. H. I. K. b. c. d. e. g. h. i. καταστήσαντες. Unde Poppo, Prol. t. i. p. 112. non injuria conjecit reponendum esse δίκαιοι—καταστήσαντες.

61. Oratione Platæensium ne Lacedæmonii moverentur, veriti Thebani, et ipsi fusius dicendi veniam postulant. Itaque coram iisdem quinqueviris, judicibus Platæensium Sparta missis, verba faciunt. Qui origine inimicitiæ cum Platæensibus susceptæ exposita suam in bello Persico agendi rationem defendunt; Platæenses cum Atheniensibus junctos proditionis communis Græciæ salutis accusant; defensionem eo nomine ab illis factam redarguunt; quo jure Platæas invaserint, demonstrant; hos vero auctores dissidii esse, incusant; Lacedæmonios denique ad injuriam a Platæensibus illatam supplicio vindicandam provocant. Qua oratione hoc perfecerunt, ut Platæenses capitis damnarentur, et eorum urbs vastaretur.

πρὸς μὲν τὰ—τῶν δὲ] V. Reiz. de Accentus Inclin. p. 13. Wolf. collata p. 69., ubi docet, utramque particulam et μὲν et δὲ semper in partitione atque oppositione articulum pronominalem sequi debere, non

αὐτοὺς κακία ὠφελῇ μήτε ἡ τούτων δόξα, τὸ δ' ἀληθὲς περὶ ἀμφοτέρων ἀκούσαντες κρίνητε. Ἡμεῖς δὲ αὐτοῖς διάφοροι ἐγενόμεθα πρῶτον ὅτι ἡμῶν κτισάντων Πλάταιαν ὕστερον τῆς ἄλλης Βοιωτίας καὶ ἄλλα χωρία μετ' αὐτῆς ἃ ξυμμίκτους ἀνθρώπους ἐξελάσαντες ἔσχομεν οὐκ ἠξίουν οὗτοι, ὥσπερ ἐτάχθη τὸ πρῶτον, ἡγεμονεύεσθαι ὑφ' ἡμῶν, ἔξω δὲ τῶν ἄλλων Βοιωτῶν παραβαίνοντες τὰ πάτρια, ἐπειδὴ προσηναγκάζοντο, προσεχώρησαν πρὸς Ἀθηναίους καὶ μετ' αὐτῶν πολλὰ ἡμᾶς ἔβλαπτον, ἀνθ' ὧν καὶ ἀντέπασχον.

62. Ἐπειδὴ δὲ καὶ ὁ βάρβαρος ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, φασὶ μόνοι Βοιωτῶν οὐ μηδίσαι, καὶ τούτῳ μάλιστα αὐτοί τε ἀγάλλονται καὶ ἡμᾶς λοιδοροῦσιν. Ἡμεῖς δὲ μηδίσαι μὲν αὐτοὺς οὔ φαμεν διότι οὐδ' Ἀθηναίους, τῇ μέντοι αὐτῇ ἰδέᾳ ὕστερον ἰόντων Ἀθηναίων ἐπὶ τοὺς Ἕλληνας μόνους αὖ Βοιωτῶν ἀττικίσαι. Καίτοι σκέψασθε ἐν οἵῳ εἴδει ἑκάτεροι ἡμῶν τοῦτο ἔπραξαν. Ἡμῖν μὲν γὰρ ἡ πόλις τότε ἐτύγχανεν οὔτε κατ' ὀλιγαρχίαν ἰσόνομον πολιτεύουσα οὔτε κατὰ δημοκρατίαν· ὅπερ δέ ἐστι νόμοις μὲν καὶ τῷ σωφρονεστάτῳ ἐναντιώτατον, ἐγγυτάτω δὲ τυράννου, δυναστεία ὀλίγων ἀνδρῶν εἶχε τὰ πράγματα. Καὶ οὗτοι ἰδίας δυνάμεις ἐλπίσαντες ἔτι μᾶλλον σχήσειν, εἰ τὰ τοῦ Μήδου κρατήσειε, κατέχοντες ἰσχύϊ τὸ πλῆθος ἐπηγάγοντο αὐτόν· καὶ ἡ ξύμπασα πόλις οὐκ αὐτοκράτωρ οὖσα ἑαυτῆς τοῦτ' ἔπραξεν, οὐδ' ἄξιον αὐτῇ ὀνειδίσαι ὧν μὴ μετὰ νόμων ἥμαρτεν. Ἐπειδὴ γοῦν ὅ τε Μῆδος ἀπῆλθε καὶ τοὺς νόμους ἔλαβε, σκέψασθαι χρὴ Ἀθηναίων ὕστερον ἐπιόντων τήν τε ἄλλην Ἑλλάδα καὶ τὴν ἡμετέραν χώραν πειρωμένων ὑφ' αὐτοῖς ποιεῖσθαι καὶ κατὰ στάσιν ἤδη ἐχόντων αὐτῆς τὰ πολλά, εἰ μαχόμενοι ἐν Κορωνείᾳ καὶ νικήσαντες αὐτοὺς ἠλευθερώσαμεν τὴν Βοιωτίαν καὶ τοὺς ἄλλους νῦν προθύμως ξυνελευθεροῦμεν ἵππους τε παρ-

præcedere: quam ob causam notavit jam H. Steph. Comm. de Atticæ Linguæ Idiomatis, p. 184., καινοπρεπῶς loqui Thucydidem in isto loco, πρὸς μὲν τὰ—τῶν δὲ, nam aliam hanc esse quam usitatam sedem particulæ μέν. Et sane, addit, hæc sedes ejus ante articulum pronominalem adeo inusitata est, ut scholiastes acceperit articulum τὰ, quasi esset nomen infinitum τινά: quod fieri non potest. Exempla ibidem vide plura ex aliis scriptoribus petita; adde quos laudat Krueger. ad Dionys. p. 160. Verbum ἡγεμονεύεσθαι ex h. l. excitant Anecd. Bekk. i. p. 98.

62. μὴ μετὰ νόμων] sc. οὖσα, 'constitution.' Quare, paulo post, ἐπειδὴ—τοὺς νόμους ἔλαβε, 'after the constitution had been restored to the state;' ubi simul animadvertenda sunt duo verba ἀπῆλθε et ἔλαβε, quanquam diversis subjectis juxta se posita. Mox, de pugna apud Coroneam v. i, 118.

ἔχοντες καὶ παρασκευὴν ὅσην οὐκ ἄλλοι τῶν ξυμμάχων. Καὶ τὰ μὲν ἐς τὸν μηδισμὸν τοσαῦτα ἀπολογούμεθα.

63. Ὡς δὲ ὑμεῖς μᾶλλόν τε ἠδικήκατε τοὺς Ἕλληνας καὶ ἀξιώτεροί ἐστε πάσης ζημίας, πειρασόμεθα ἀποφαίνειν. Ἐγένεσθε ἐπὶ τῇ ἡμετέρᾳ τιμωρίᾳ, ὡς φατὲ, Ἀθηναίων ξύμμαχοι καὶ πολῖται. Οὐκοῦν χρῆν τὰ πρὸς ἡμᾶς μόνον ὑμᾶς ἐπάγεσθαι αὐτοὺς καὶ μὴ ξυνεπιέναι μετ' αὐτῶν ἄλλοις, ὑπάρχον γε ὑμῖν, εἴ τι καὶ ἄκοντες προσήγεσθε ὑπ' Ἀθηναίων, τῆς τῶν Λακεδαιμονίων τῶνδε ἤδη ἐπὶ τῷ Μήδῳ ξυμμαχίας γεγενημένης, ἣν αὐτοὶ μάλιστα προβάλλεσθε· ἱκανή γε ἦν ἡμᾶς τε ὑμῶν ἀποτρέπειν καὶ τὸ μέγιστον, ἀδεῶς παρέχειν βουλεύεσθαι. Ἀλλ' ἑκόντες καὶ οὐ βιαζόμενοι ἔτι εἵλεσθε μᾶλλον τὰ Ἀθηναίων. Καὶ λέγετε ὡς αἰσχρὸν ἦν προδοῦναι τοὺς εὐεργέτας· πολὺ δέ γε αἴσχιον καὶ ἀδικώτερον τοὺς πάντας Ἕλληνας καταπροδοῦναι οἷς ξυνωμόσατε ἢ Ἀθηναίους μόνους, τοὺς μὲν καταδουλουμένους τὴν Ἑλλάδα, τοὺς δὲ ἐλευθεροῦντας. Καὶ οὐκ ἴσην αὐτοῖς τὴν χάριν ἀνταπέδοτε οὐδὲ αἰσχύνης ἀπηλλαγμένην. Ὑμεῖς μὲν γὰρ ἀδικούμενοι αὐτοὺς, ὡς φατὲ, ἐπηγάγεσθε, τοῖς δὲ ἀδικοῦσιν ἄλλους ξυνεργοὶ κατέστητε. Καίτοι τὰς ὁμοίας χάριτας μὴ ἀντιδιδόναι αἰσχρὸν μᾶλλον ἢ τὰς μετὰ δικαιοσύνης μὲν ὀφειληθείσας, ἐς ἀδικίαν δὲ ἀποδιδομένας.

64. Δῆλόν τε ἐποιήσατε οὐδὲ τότε τῶν Ἑλλήνων ἕνεκα μόνοι οὐ μηδίσαντες, ἀλλ' ὅτι οὐδ' Ἀθηναῖοι, ὑμεῖς δὲ τοῖς μὲν ταὐτὰ βουλόμενοι ποιεῖν, τοῖς δὲ τἀναντία. Καὶ νῦν

63. *καὶ ἀξιώτεροι*] "'Vos injuste fecisse et digniores esse pœna.' Quibusnam digniores? Thebanis vero. At eos pœna dignos quis dicebat? nisi forte *διὰ τὸν Μηδισμόν*. At ne hunc quidem tunc puniendum in Thebanis quisquam dicebat. Solvendus ille comparativus in *μᾶλλον ἄξιοι*, ut *μᾶλλον* non ad *ἄξιοι* pertineat, sed ad totum; 'digni estis pœna potius,' sc. quam venia aut beneficio." Bauer.

ἐπάγεσθαι] Ita cod. O. Vulgo *ὑπάγεσθαι*, quod verbum sensum arcessendi non habet. V. Schæfer. Mel. Crit. p. 104.

καίτοι—ἀποδιδομένας] Hic *αἰσχρὸν μᾶλλον* est 'potius turpe:' conf. iv, 10. Thebani dixerant, Platæenses Atheniensibus non parem gratiam retulisse, sed multo majorem, quippe quæ cum dedecore conjuncta esset. Vel ideo dicit 'non parem gratiam,' quod beneficium ab Atheniensibus collatum justum erat; gratia autem a Platæensibus relata injusta. 'Et tamen,' aiunt, 'hoc potius turpe est, pares gratias non referre, quam (ut etiam turpe sit) non reddere eas quæ cum justitia quidem contractæ sunt, sed sine injustitia solvi nequeunt.' Sive, vos turpe esse dicitis gratias non referre iis a quibus beneficia acceperitis. Sed turpe quidem est pares gratias non referre; neque tamen reprehendi potes, si ei qui beneficia in te contulit, ita ut ipse justitiam tueretur, gratus esse nolis ubi id fieri non potest, nisi ipse injustus sis.

64. *οὐδ' Ἀθηναῖοι, ὑμεῖς δὲ*] supple ex *μηδίσαντες*, repetens, *ἀλλ' ὅτι οὐδ' Ἀθηναῖοι ἐμήδισαν, ὑμεῖς δὲ ἐμηδίσατε*, etc.

ἀξιοῦτε, ἀφ' ὧν δι' ἑτέρους ἐγένεσθε ἀγαθοὶ, ἀπὸ τούτων ὠφελεῖσθαι. Ἀλλ' οὐκ εἰκὸς, ὥσπερ δὲ Ἀθηναίους εἵλεσθε, τούτοις ξυναγωνίζεσθε. Καὶ μὴ προφέρετε τὴν τότε γενομένην ξυνωμοσίαν ὡς χρὴ ἀπ' αὐτῆς νῦν σώζεσθαι. Ἀπελίπετε γὰρ αὐτὴν καὶ παραβάντες ξυγκατεδουλοῦσθε μᾶλλον Αἰγινήτας καὶ ἄλλους τινὰς τῶν ξυνομοσάντων ἢ διεκωλύετε, καὶ ταῦτα οὔτε ἄκοντες ἔχοντές τε τοὺς νόμους οὕσπερ μέχρι τοῦ δεῦρο καὶ οὐδενὸς ὑμᾶς βιασαμένου ὥσπερ ἡμᾶς. Τὴν τελευταίαν τε πρὶν περιτειχίζεσθαι πρόκλησιν ἐς ἡσυχίαν ὑμῶν ὥστε μηδετέροις ἀμύνειν οὐκ ἐδέχεσθε. Τίνες ἂν ὑμῶν δικαιότερον πᾶσι τοῖς Ἕλλησι μισοῖντο, οἵτινες ἐπὶ τῷ ἐκείνων κακῷ ἀνδραγαθίαν προὔθεσθε; καὶ ἃ μέν ποτε χρηστοὶ ἐγένεσθε, ὡς φατὲ, οὐ προσήκοντα νῦν ἐπεδείξατε, ἃ δὲ ἡ φύσις ἀεὶ ἐβούλετο, ἐξηλέγχθη ἐς τὸ ἀληθές. Μετὰ γὰρ Ἀθηναίων ἄδικον ὁδὸν ἰόντων ἐχωρήσατε. Τὰ μὲν οὖν ἐς τὸν ἡμέτερόν τε ἀκούσιον μηδισμὸν καὶ τὸν ὑμέτερον ἑκούσιον ἀττικισμὸν τοιαῦτα ἀποφαίνομεν.

65. Ἃ δὲ τελευταῖά φατε ἀδικηθῆναι, παρανόμως γὰρ ἐλθεῖν ἡμᾶς ἐν σπονδαῖς καὶ ἱερομηνίαις ἐπὶ τὴν ὑμετέραν πόλιν, οὐ νομίζομεν οὐδ' ἐν τούτοις ὑμῶν μᾶλλον ἁμαρτεῖν. Εἰ μὲν γὰρ ἡμεῖς αὐτοὶ πρός τε τὴν πόλιν ἐλθόντες ἐμαχόμεθα καὶ τὴν γῆν ἐδῃοῦμεν ὡς πολέμιοι, ἀδικοῦμεν· εἰ δὲ ἄνδρες ὑμῶν οἱ πρῶτοι καὶ χρήμασι καὶ γένει βουλόμενοι τῆς μὲν ἔξω ξυμμαχίας ὑμᾶς παῦσαι, ἐς δὲ τὰ κοινὰ τῶν πάντων Βοιωτῶν πάτρια καταστῆσαι, ἐπεκαλέσαντο ἑκόντες, τί ἀδικοῦμεν; οἱ γὰρ ἄγοντες παρανομοῦσι μᾶλλον τῶν ἑπομένων. Ἀλλ' οὔτ' ἐκεῖνοι, ὡς ἡμεῖς κρίνομεν, οὔθ' ἡμεῖς· πολῖται δὲ ὄντες ὥσπερ ὑμεῖς καὶ πλείω παραβαλλόμενοι, τὸ ἑαυτῶν τεῖχος ἀνοίξαντες καὶ ἐς τὴν αὐτῶν πόλιν φιλίως, οὐ πολεμίως, κομίσαντες, ἐβούλοντο τούς τε ὑμῶν χείρους μηκέτι

ἐς τὸ ἀληθὲς] 'in verum probata sunt,' i. e. ita comperta sunt ut vera voluntatis vestræ ratio appareret. Similiter Tacit. Annal. iii, 44. 'cuncta, ut mos famæ, in majus credita.' V. ad i, 21. Male interpres ad Callimach. t. i. p. 163. Ern. Mox, vulgo *αἰεί*. Bekk. ubique edidit *ἀεί*. At v. Popp. Prol. t. i. p. 211. Adde Phavorin. et Thom. M. s. v. *ἀεὶ*, et Harpocrat. p. 5. Gronov. qui scribit, *ἀεὶ ἀντὶ τοῦ ἕως*—*Θουκυδίδης ἐν τῷ προοιμίῳ οὕτως ἤρξατο· οὕτω μὲν οὖν μοι δεῦρ' ἀεὶ τείνει λόγους.* Sed hæc poëtæ verba esse, non Thucydidis, metrum indicat: senarii enim particula est.

65. *αὐτοὶ*] i. e. 'sponte,' non ab optimatibus arcessiti. V. Herm. ad Viger. p. 733. Mox *ἀδικοῦμεν* intelligo 'it is our fault,' 'we are guilty of it.' Non igitur præsens positum est concinnitatis causa pro *ἠδικοῦμεν ἂν*, ut voluit Popp. Obs. p. 142. Sic, paulo post, *οἱ ἄγοντες* sunt 'adductores.'

μᾶλλον γενέσθαι, τούς τε ἀμείνους τὰ ἄξια ἔχειν, σωφρονισταὶ ὄντες τῆς γνώμης καὶ τῶν σωμάτων τὴν πόλιν οὐκ ἀλλοτριοῦντες, ἀλλ' ἐς τὴν ξυγγένειαν οἰκειοῦντες, ἐχθροὺς οὐδενὶ καθιστάντες, ἅπασι δ' ὁμοίως ἐνσπόνδους.

66. *Τεκμήριον δὲ ὡς οὐ πολεμίως ἐπράσσομεν· οὔτε γὰρ ἠδικήσαμεν οὐδένα, προείπομέν τε τὸν βουλόμενον κατὰ τὰ πάντων Βοιωτῶν πάτρια πολιτεύειν ἰέναι πρὸς ἡμᾶς. Καὶ ὑμεῖς ἄσμενοι χωρήσαντες καὶ ξύμβασιν ποιησάμενοι τὸ μὲν πρῶτον ἡσυχάζετε, ὕστερον δὲ κατανοήσαντες ἡμᾶς ὀλίγους ὄντας, εἰ ἄρα καὶ ἐδοκοῦμέν τι ἀνεπιεικέστερον πρᾶξαι οὐ μετὰ τοῦ πλήθους ὑμῶν ἐσελθόντες, τὰ μὲν ὁμοῖα οὐκ ἀνταπέδοτε ἡμῖν, μήτε νεωτερίσαι ἔργῳ, λόγοις τε πείσειν ὥστε ἐξελθεῖν, ἐπιθέμενοι δὲ παρὰ τὴν ξύμβασιν, οὓς μὲν ἐν χερσὶν ἀπεκτείνατε, οὐχ ὁμοίως ἀλγοῦμεν· κατὰ νόμον γάρ δή τινα ἔπασχον· οὓς δὲ χεῖρας προϊσχομένους καὶ ζωγρήσαντες ὑποσχόμενοί τε ἡμῖν ὕστερον μὴ κτενεῖν παρανόμως διεφθείρατε, πῶς οὐ δεινὰ εἴργασθε; καὶ ταῦτα τρεῖς ἀδικίας ἐν ὀλίγῳ πράξαντες, τήν τε λυθεῖσαν ὁμολογίαν καὶ*

σωφρονισταὶ] Dicitur quis alium *σωφρονίζειν*, si verbis eum aut re ab erroribus retrahat, et ad sanam mentem reducat; nos, 'to bring one back from his folly to reason.' Thuc. viii, 1. *τῶν τε κατὰ τὴν πόλιν τι εἰς εὐτέλειαν σωφρονίσαι*, ad quæ scholiastes, *τοὺς πολίτας εὐτελέστερον εἶναι βιοῦν*, ubi Hemsterh. scribendum judicat *ἐᾶσαι* pro *εἶναι*, 'sinere seu jubere, ut parcius cives viverent.' Ubi Bekk., nescio unde, edidit *πεῖσαι βιοῦν*. Præter istam notionem adnotant grammatici aliam hanc, qua *σωφρονίζειν* sensu sit idem ferme cum *ταπεινοῦν*. Nos, 'to teach,' 'to make wise.' V. schol. ad Thuc. vi, 78. *Σωφρονιστὴς* apud Hesych. exponitur per *νουθετητής*, jungitque Synesius in Dione *σωφρονιστὴν* et *παιδαγωγόν*. Sic *σωφρονιστὴς* appellatur, qui vitiis atque sceleribus imponit frenum, ut Phrynichus ap. Thucyd. viii, 48. ait, *τὸν δὲ δῆμον σφῶν τε καταφυγὴν εἶναι, καὶ ἐκείνων σωφρονιστήν*. Fuit etiam quoddam magistratuum Athenis genus, quibus decem numero de singula tribu lectis curæ erant juvenum mores, ut casti essent atque pudici. Ea de re plura Etymol. M. Talia de voce dedit Hemsterh. ad Polluc. ix, 138. Adde Geelii Anecdota Hemsterh. t. i. p. 203. Est igitur, 'they would force you to be more reasonable.'

καὶ τῶν σωμάτων—οἰκειοῦντες] Scholiastes, *ὠφελοῦντες καὶ τὰς γνώμας καὶ τὰ σώματα, τὰς μὲν γνώμας, ἵνα μὴ κακῶς βουλεύωνται, τὰ δὲ σώματα, ἵνα μὴ διαρπάζωσιν ἀλλήλους μηδ' ἐξελαύνωσι μηδὲ κακῶς ποιῶσι πολῖται πολίτας· ἵνα λάβωμεν τὸ σωφρονεῖν ἀντὶ τῆς ὠφελείας*. Unde patet eum junxisse *σωμάτων* cum *σωφρονισταὶ*, quod fieri nequit propter sequens *ἀλλοτριοῦντες*. Neque alii vim sententiæ perceperunt: nimirum *σωμάτων* hic est dictum pro *πολιτῶν*. Causa cur id fecerit in aperto est: etenim antitheton quæsivit vocis *γνώμης*. Licuit autem Thucydidi ita loqui, quia Græcis illa vox in usu erat ad omnis conditionis homines sive liberos sive servos, sive mares sive feminas, significandos; quanquam *κατ' ἐξοχὴν* servi *σώματα* dicebantur. V. Lobeck. ad Phrynich. p. 578. Hoc igitur dedit concinnitati orationis; sensus autem hic est, 'a civibus urbem non abalienantes, sed suorum consanguineorum (i. e. Bœotorum) fœderi adjungentes.' Ephorus apud Ammon. d. Diff. Vocab. p. 70. (p. 122. Marx.) ex emendatione Bekkeri ad Apollon. de Pronom. in Museo Antiq. Stud. vol. i. p. 442. *οὗτοι μὲν οὖν συνετάχθησαν εἰς τὴν Βοιωτίαν· τοὺς δὲ τοῖς Ἀθηναίοις ὁμόρους προσοικειοῦντες ἰδίᾳ Θηβαῖοι προσηγάγοντο πολλοῖς ἔτεσιν.*

66. *νεωτερίσαι—πείσειν*] A. B. E. H. I. K. M. b. c. e. f. g. h. Vulgo *νεωτερίσειν*. Popp. Obs. p. 153. etiam *πείσειν* in *πεῖσαι* mutatum vult. Plane, opinor, opus est.

τῶν ἀνδρῶν τὸν ὕστερον θάνατον καὶ τὴν περὶ αὐτῶν ἡμῖν μὴ κτείνειν ψευσθεῖσαν ὑπόθεσιν, ἣν τὰ ἐν τοῖς ἀγροῖς ὑμῖν μὴ ἀδικῶμεν, ὅμως φατὲ ἡμᾶς παρανομῆσαι καὶ αὐτοὶ ἀξιοῦτε μὴ ἀντιδοῦναι δίκην. Οὐκ ἤν γε οὗτοι τὰ ὀρθὰ γιγνώσκωσι· πάντων δὲ αὐτῶν ἕνεκα κολασθήσεσθε.

67. Καὶ ταῦτα, ὦ Λακεδαιμόνιοι, τούτου ἕνεκα ἐπεξήλθομεν καὶ ὑπὲρ ὑμῶν καὶ ἡμῶν, ἵνα ὑμεῖς μὲν εἰδῆτε δικαίως αὐτῶν καταγνωσόμενοι, ἡμεῖς δὲ ἔτι ὁσιώτερον τετιμωρημένοι, καὶ μὴ παλαιὰς ἀρετάς, εἴ τις ἄρα καὶ ἐγένετο, ἀκούοντες ἐπικλασθῆτε, ἃς χρὴ τοῖς μὲν ἀδικουμένοις ἐπικούρους εἶναι, τοῖς δὲ αἰσχρόν τι δρῶσι διπλασίας ζημίας, ὅτι οὐκ ἐκ προσηκόντων ἁμαρτάνουσι. Μηδὲ ὀλοφυρμῷ καὶ οἴκτῳ ὠφελείσθωσαν, πατέρων τε τάφους τῶν ὑμετέρων ἐπιβοώμενοι καὶ τὴν σφετέραν ἐρημίαν. Καὶ γὰρ ἡμεῖς ἀνταποφαίνομεν πολλῷ δεινότερα παθοῦσαν τὴν ὑπὸ τούτων ἡλικίαν ἡμῶν διεφθαρμένην, ὧν πατέρες οἱ μὲν πρὸς ὑμᾶς τὴν Βοιωτίαν ἄγοντες ἀπέθανον ἐν Κορωνείᾳ, οἱ δὲ πρεσβῦται λελειμμένοι καὶ οἰκίαι ἔρημοι πολλῷ δικαιοτέραν ὑμῶν ἱκετείαν ποιοῦνται τούσδε τιμωρήσασθαι. Οἴκτου τε ἀξιώτεροι τυγχάνειν οἱ ἀπρεπές τι πάσχοντες τῶν ἀνθρώπων· οἱ δὲ δικαίως, ὥσπερ οἵδε, τὰ ἐναντία ἐπίχαρτοι εἶναι. Καὶ τὴν νῦν ἐρημίαν δι' ἑαυτοὺς ἔχουσι· τοὺς γὰρ ἀμείνους ξυμμάχους ἑκόντες ἀπεώσαντο. Παρηνόμησάν τε οὐ προπαθόντες ὑφ' ἡμῶν, μίσει δὲ πλέον ἢ δίκῃ κρίναντες καὶ οὐκ ἀνταποδόντες νῦν τὴν ἴσην τιμωρίαν, ἔννομα γὰρ πείσονται, καὶ οὐχὶ ἐκ μάχης χεῖρας προϊσχόμενοι, ὥσπερ φασὶν, ἀλλ' ἀπὸ ξυμβάσεως ἐς δίκην σφᾶς αὐτοὺς παραδόντες. Ἀμύνατε οὖν, ὦ Λακεδαιμόνιοι, καὶ τῷ τῶν Ἑλλήνων νόμῳ ὑπὸ τῶνδε παραβαθέντι καὶ ἡμῖν ἄνομα παθοῦσιν ἀνταπόδοτε χάριν δικαίαν ὧν πρόθυμοι γεγενήμεθα, καὶ μὴ τοῖς τῶνδε λόγοις περιωσθῶμεν ἐν ὑμῖν, ποιήσατε δὲ τοῖς Ἕλλησι παράδειγμα οὐ λόγων τοὺς ἀγῶνας προθήσοντες ἀλλ' ἔργων, ὧν ἀγαθῶν μὲν ὄντων βραχεῖα ἡ ἀπαγγελία ἀρκεῖ, ἁμαρτανομένων δὲ λόγοι ἔπεσι κοσμηθέντες προκαλύμματα γίγνονται. Ἀλλ' ἢν οἱ ἡγε-

67. ἐπίχαρτοι] agnoscit Pollux iii, 101. De augmento verbi παρηνόμησαν v. Matth. Gr. § 170. Mox, pro ἀνταποδόντες corrigendum videtur ἀνταποδιδόντες, quanquam invitis libris. Participia προϊσχόμενοι et παραδόντες pendent ex πείσονται.

ἔπεσι κοσμηθέντες] V. Lobeck. ad Sophocl. Ajac. p. 1085.

μόνες, ὥσπερ νῦν ὑμεῖς, κεφαλαιώσαντες πρὸς τοὺς ξύμπαντας διαγνώμας ποιήσησθε, ἧσσόν τις ἐπ' ἀδίκοις ἔργοις λόγους καλοὺς ζητήσει.

68. Τοιαῦτα δὲ οἱ Θηβαῖοι εἶπον. Οἱ δὲ Λακεδαιμόνιοι δικασταὶ νομίζοντες τὸ ἐπερώτημα σφίσιν ὀρθῶς ἕξειν εἴ τι ἐν τῷ πολέμῳ ὑπ' αὐτῶν ἀγαθὸν πεπόνθασι, διότι τόν τε ἄλλον χρόνον ἠξίουν δῆθεν αὐτοὺς κατὰ τὰς παλαιὰς Παυσανίου μετὰ τὸν Μῆδον σπονδὰς ἡσυχάζειν καὶ ὅτε ὕστερον πρὸ τοῦ περιτειχίζεσθαι προείχοντο αὐτοῖς, κοινοὺς εἶναι κατ' ἐκεῖνα, ἃ οὐκ ἐδέξαντο, ὡς τῇ ἑαυτῶν δικαίᾳ βουλήσει ἔκσπονδοι ἤδη, ἡγούμενοι ὑπ' αὐτῶν κακῶς πεπονθέναι αὖθις τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρωτῶντες εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἀγαθὸν ἐν τῷ πολέμῳ δεδρακότες εἰσὶν, ὁπότε μὴ φαῖεν, ἀπάγοντες ἀπέκτεινον καὶ ἐξαίρετον ἐποιήσαντο οὐδένα. Διέφθειραν δὲ Πλαταιῶν μὲν αὐτῶν οὐκ ἐλάσσους διακοσίων, Ἀθηναίων δὲ πέντε καὶ εἴκοσιν, οἳ ξυνεπολιορκοῦντο· γυναῖκας δὲ ἠνδραπόδισαν. Τὴν δὲ πόλιν ἐνιαυτὸν μέν τινα Θηβαῖοι Μεγαρέων ἀνδράσι κα-

διαγνώμας ποιήσησθε] Verbum accommodatum est sententiæ interpositæ, ut i, 82., ubi *ἐπιβουλευόμεθα* pro *ἐπιβουλεύονται*, ut hic *ποιήσησθε* pro *ποιήσωνται*.

68. *οἱ δὲ Λακεδαιμόνιοι—ἐποιήσαντο οὐδένα*] Vulgo in his ita legitur, *διότι τόν τε ἄλλον χρόνον—καὶ ὅτε ὕστερον ἃ πρὸ τοῦ περιτειχίζεσθαι προείχοντο αὐτοῖς, κοινοὺς εἶναι κατ' ἐκεῖνα, ὡς οὐκ ἐδέξαντο, ἡγούμενοι τῇ ἑαυτῶν δικαίᾳ βουλήσει ἔκσπονδοι ἤδη ὑπ' αὐτῶν κακῶς πεπονθέναι—ἐποιήσαντο οὐδένα*. Quæ verba ita supplendo explicare conati sunt Bredov. et Popp. Obs. p. 199. *οἱ δὲ Λακεδαιμόνιοι—νομίζοντες τὸ ἐπερώτημα—ὀρθῶς ἕξειν,—διότι τόν τε ἄλλον χρόνον ἠξίουν δῆθεν αὐτοὺς κατὰ τὰς παλαιὰς Παυσανίου μετὰ τὸν Μῆδον σπονδὰς ἡσυχάζειν, καὶ ὅτε ὕστερον* (*ἠξίουν* vel *προείχοντο αὐτοῖς*), *ἃ πρὸ τοῦ περιτειχίζεσθαι προείχοντο αὐτοῖς, κοινοὺς εἶναι κατ' ἐκεῖνα, ὡς οὐκ ἐδέξαντο, ἡγούμενοι τῇ ἑαυτῶν δικαίᾳ βουλήσει ἔκσπονδοι ἤδη ὑπ' αὐτῶν κακῶς πεπονθέναι—ἀπέκτεινον*, etc. Ubi, ne dicam quam dura esset omissio verbi, quod omissum statuunt *ἠξίουν*, et quam jejuna oratio, si iterandum esset *προείχοντο αὐτοῖς*, etiamsi hoc supplementum concedatur; tamen non sequi poterat *ὡς οὐκ ἐδέξαντο*, sed, ne oratio abrupta et nexus intercisus esset, *οἱ δὲ* (Platæenses sc.) *οὐκ ἐδέξαντο*. Adde quod *τῇ ἑαυτῶν δικαίᾳ βουλήσει* non ad alios potest referri, quam ad Platæenses: si enim hæc verba referenda essent ad Lacedæmonios, non *βουλήσει* sed *ἀξιώσει* scriptor dixisset; id quod etiam Heilmann. adnotavit. Itaque mihi quidem persuaderi non potest, locum sanum esse. Vide an verborum aliquot in locum suum transpositione sanari possit; quod me assecutum esse puto scribendo, *καὶ ὅτε ὕστερον πρὸ τοῦ περιτειχίζεσθαι προείχοντο αὐτοῖς, κοινοὺς εἶναι κατ' ἐκεῖνα, ἃ οὐκ ἐδέξαντο, ὡς τῇ ἑαυτῶν δικαίᾳ βουλήσει ἔκσπονδοι ἤδη, ἡγούμενοι ὑπ' αὐτῶν κακῶς πεπονθέναι αὖθις—ἐποιήσαντο οὐδένα*. Verba *ἡγούμενοι—πεπονθέναι* de Lacedæmoniis accipienda sunt; nam iis explicatur, cur recte se habere illam quæstionem arbitrati sint.

τὸ αὐτὸ—ἐρωτῶντες] i. e. *ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρωτῶντες*. Trajectio est verborum similis illi, iii, 112. *τὸν μείζω ἔλαβόν τε καὶ ἔφθασαν προκαταλαβόντες*, i. e. *ἔλαβόν τε καὶ ἔφθασαν προκαταλαβόντες τὸν μείζω*, et Theocriteis Epigr. 19. *Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴσιδε*, i. e. *στᾶθι καὶ εἴσιδε Ἀρχίλοχον*. Quibus locis probatur veritas scripturæ apud Plautum Aulul. ii, 3, 3. 'vascula intus pure propera atque elue.' Mox, animadverte pleonasmum *ἐς ἔδαφος ἐκ τῶν θεμελίων*. Pro *Ἡραίῳ* alii *Ἡρῴῳ*, facili permutatione. V. Letronn. Topogr. d. Syrac. p. 97.

τὰ στάσιν ἐκπεπτωκόσι καὶ ὅσοι τὰ σφέτερα φρονοῦντες Πλαταιῶν περιῆσαν, ἔδοσαν ἐνοικεῖν· ὕστερον δὲ καθελόντες αὐτὴν ἐς ἔδαφος πᾶσαν ἐκ τῶν θεμελίων ᾠκοδόμησαν πρὸς τῷ Ἡραίῳ καταγώγιον διακοσίων ποδῶν πανταχῇ κύκλῳ οἰκήματα ἔχον κάτωθεν καὶ ἄνωθεν, καὶ ὀροφαῖς καὶ θυρώμασι τοῖς τῶν Πλαταιῶν ἐχρήσαντο, καὶ τοῖς ἄλλοις ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα, χαλκὸς καὶ σίδηρος, κλίνας κατασκευάσαντες ἀνέθεσαν τῇ Ἥρᾳ, καὶ νεὼν ἑκατόμποδον λίθινον ᾠκοδόμησαν αὐτῇ. Τὴν δὲ γῆν δημοσιώσαντες ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη, καὶ ἐνέμοντο Θηβαῖοι. Σχεδὸν δέ τι καὶ τὸ ξύμπαν περὶ Πλαταιῶν οἱ Λακεδαιμόνιοι οὕτως ἀποτετραμμένοι ἐγένοντο Θηβαίων ἕνεκα, νομίζοντες ἐς τὸν πόλεμον αὐτοὺς ἄρτι τότε καθιστάμενον ὠφελίμους εἶναι. Καὶ τὰ μὲν κατὰ Πλάταιαν ἔτει τρίτῳ καὶ ἐνενηκοστῷ ἐπειδὴ Ἀθηναίων ξύμμαχοι ἐγένοντο οὕτως ἐτελεύτησεν.

69. Αἱ δὲ τεσσαράκοντα νῆες τῶν Πελοποννησίων αἱ Λεσβίοις βοηθοὶ ἐλθοῦσαι ὡς τότε φεύγουσαι διὰ τοῦ πελάγους, ἔκ τε τῶν Ἀθηναίων ἐπιδιωχθεῖσαι καὶ πρὸς τῇ Κρήτῃ χειμασθεῖσαι, καὶ ἀπ' αὐτῆς σποράδες, πρὸς τὴν Πελοπόννησον κατηνέχθησαν, καταλαμβάνουσιν ἐν τῇ Κυλλήνῃ τρεισκαίδεκα τριήρεις Λευκαδίων καὶ Ἀμπρακιωτῶν καὶ Βρασίδαν τὸν Τέλλιδος ξύμβουλον Ἀλκίδᾳ ἐπεληλυθότα. Ἐβούλοντο γὰρ οἱ Λακεδαιμόνιοι, ὡς τῆς Λέσβου ἡμαρτήκεσαν, πλέον τὸ ναυτικὸν ποιήσαντες ἐς τὴν Κέρκυραν πλεῦσαι στασιάζουσαν, δώδεκα μὲν ναυσὶ μόναις παρόντων Ἀθηναίων περὶ Ναύπακτον, πρὶν δὲ πλέον τι ἐπιβοηθῆσαι ἐκ τῶν Ἀθηνῶν ναυτικὸν, ὅπως προφθάσωσι· καὶ παρεσκευάζοντο ὅ τε Βρασίδας καὶ ὁ Ἀλκίδας πρὸς ταῦτα.

70. Οἱ γὰρ Κερκυραῖοι ἐστασίαζον, ἐπειδὴ οἱ αἰχμάλωτοι ἦλθον αὐτοῖς οἱ ἐκ τῶν περὶ Ἐπίδαμνον ναυμαχιῶν ὑπὸ Κορινθίων ἀφεθέντες τῷ μὲν λόγῳ ὀκτακοσίων ταλάντων

ὀροφαῖς] "Pollux vii, 121. ὀρόφοις καὶ θυρώμασι, Θουκυδίδης, sed Mss. et edd. omnes hic ὀροφαῖς exhibent. Utrumque est apud Aristophanem. Vid. schol. ad Nub. 173. Θυρώματα schol. Demosth. in Midiam p. 365. exponit σανίδας ἐπιτηδείας πρὸς θύρας. Glossar. θυρώματα, postes." Duker.

ἃ ἦν—σίδηρος] Thom. M. p. 353. Debebat scribere ἐπίπλοις, χαλκῷ καὶ σιδήρῳ. Sed, ut solet fieri, sententia principalis secuta est sententiam interpositam. De voce ἔπιπλα vid. Eustath. ad Homer. Od. iii. p. 1469. et interpp. ad Polluc. x, 10.

νεὼν ἑκατόμποδον] Alii libri ἑκατόμπεδον. Vid. Lobeck. ad Phryn. p. 546. not.

70. ὀκτακοσίων] Valla, 'ob octoginta talenta, quæ Corcyrensium hospites pro ipsis fidei jusserant.' Fuerunt ducenti quinquaginta Corcyræi, plerique principes

τοῖς προξένοις διηγγυημένοι, ἔργῳ δὲ πεπεισμένοι Κορινθίοις Κέρκυραν προσποιῆσαι. Καὶ ἔπρασσον οὗτοι ἕκαστον τῶν πολιτῶν μετιόντες ὅπως ἀποστήσωσιν Ἀθηναίων τὴν πόλιν. Καὶ ἀφικομένης Ἀττικῆς τε νεὼς καὶ Κορινθίας πρέσβεις ἀγουσῶν καὶ ἐς λόγους καταστάντων, ἐψηφίσαντο Κερκυραῖοι Ἀθηναίοις μὲν ξύμμαχοι εἶναι κατὰ τὰ ξυγκείμενα, Πελοποννησίοις δὲ φίλοι ὥσπερ καὶ πρότερον. Καὶ ἦν γὰρ Πειθίας ἐθελοπρόξενός τε τῶν Ἀθηναίων καὶ τοῦ δήμου προειστήκει, ὑπάγουσιν αὐτὸν οὗτοι οἱ ἄνδρες ἐς δίκην, λέγοντες Ἀθηναίοις τὴν Κέρκυραν καταδουλοῦν. Ὁ δὲ ἀποφυγὼν ἀνθυπάγει αὐτῶν τοὺς πλουσιωτάτους πέντε ἄνδρας, φάσκων τέμνειν χάρακας ἐκ τοῦ τε Διὸς τεμένους καὶ τοῦ Ἀλκίνου· ζημία δὲ καθ' ἑκάστην χάρακα ἐπέκειτο στατήρ. Ὀφλόν-

civitatis. Vid. i, 55. Apud Herodotum, v, 77. Chalcidienses, ab Atheniensibus bello capti, binis minis rediinuntur. Pretium ætate auctum esse, consentaneum est: itaque Æschin. de Fals. Leg. p. 274. scribit mediocris viri libertatis pretium talentum esse: *τάλαντον φέρων, ἑνὸς ἀνδρὸς, οὐδὲ τούτου λίαν εὐπόρου, ἱκανὰ λύτρα.* V. Boëckh. Staatsh. d. Ath. t. i. p. 77. 500. Nihil igitur in vulgata scriptura mutandum.

προσποιῆσαι] Thom. M. p. 164. citat *Κερκυραίοις Κόρινθον προσπ.*

ἦν γὰρ—προειστήκει] i. e. *καὶ Πειθίαν ὑπάγουσιν οὗτοι οἱ ἄνδρες ἐς δίκην, ἦν γὰρ ἐθελοπρόξενός τε τῶν Ἀθηναίων καὶ τοῦ δήμου προειστήκει.* Solent enim Græci sententiam explicativam per *γὰρ* incipientem ei vocabulo vel sententiæ, quam explicant, præmittere. V. Matth. Gr. § 615. et ad i, 31. 104. 135. 137. Pollux, iii, 59. *καὶ παρὰ Θουκυδίδῃ ἐθελοπρόξενος· ὁ μὲν πρόξενος, ὅταν πόλεως δημοσίᾳ προξενῇ τις ἐν ἄλλῃ πόλει ὢν, ὡς ὑποδοχῆς τε τῶν ἐκεῖθεν φροντίζειν καὶ προσόδου τῆς πρὸς τὸν δῆμον καὶ ἕδρας ἐν τῷ θεάτρῳ· ποιεῖ δὲ ταῦτα καὶ ἐθελοπρόξενος, ὁ ἀνάγραπτον τὴν προξενίαν ἔχων· ἰδιόξενος δέ ἐστιν ὁ ἰδίᾳ τινὶ τῶν ξένων φίλῳ χρώμενος, ὡς Περικλῆς Ἀρχιδάμῳ* (v. Thucyd. ii, 13.) *καὶ καταγωγῆς τε αὐτῷ προνοούμενος, καὶ τὰ ἄλλα συνδιοικούμενος, τῶν ἴσων δὲ καὶ αὐτὸς, εἴποτε παρ' ἐκεῖνον ἔλθοι μεταλαμβάνων.* Ubi Jungermannus legit *οὐκ ἀνάγραπτον*, ut qui *ἑκὼν* id susciperet munus, nullo civitatis suæ peculiari jussu; nam *ἐθελοπρόξενος* videtur Kuhnio esse, qui sua sponte alterius urbis legatos hospitio excipit, quamvis nondum ab illa urbe agnitus sit hospes, multo minus in tabulas publice relatum sit, hospitium cum illo contractum esse: cum vero jus hospitii, ait, *ἀνάγραπτον* i. e. publico nomine perscriptum est in civitatis albo, tum demum fit *πρόξενος.* Inscriptio Mustoxidii Corcyræensis: ΕΔΟΞΕ ΤΑΙ ʽΑΛΙΑΙ ΠΡΟΞΕΝΟΝ ΕΙΜΕΝ ΤΑΣ ΠΟΛΙΟΣ ΤΩΝ ΚΟΡΚΥΡΑΙΩΝ ΦΙΛΙΣΤΙΩΝΑ ΘΕΥΔΩΡΟΥ ΛΟΚΡΟΝ ΑΥΤΟΝ ΚΑΙ ΕΚΓΟΝΟΥΣ ΕΙΜΕΝ ΔΕ ΑΥΤΟΙΣ ΓΑΣ ΚΑΙ ΟΙΚΙΑΣ ΕΓΚΤΑΣΙΝ ΚΑΙ ΤΑ ΑΛΛΑ ΤΙΜΙΑ ΟΣΑ ΚΑΙ ΤΟΙΣ ΑΛΛΟΙΣ ΠΡΟΞΕΝΟΙΣ ΚΑΙ ΕΥΕΡΓΕΤΑΙΣ ΓΕΓΡΑΠΤΑΙ ΤΑΝ ΔΕ ΠΡΟΞΕΝΙΑΝ ΓΡΑΨΑΝΤΑΣ ΕΙΣ ΧΑΛΚΩΜΑ ΑΝΑΘΕΜΕΝ ΟΠΕΙ ΚΑ ΔΟΚΗ ΠΡΟΒΟΥΛΟΙΣ ΠΡΟΔΙΚΟΙΣ ΚΑΛΩΣ ΕΧΕΙΝ ΤΟΝ ΔΕ ΤΑΜΙΑΝ ΔΟΜΕΝ ΤΟ ΓΕΝΟΜΕΝΟΝ ΑΝΑΛΩΜΑ ΦΙΛΙΣΤΙΩΝΑ ΘΕΥΔΩΡΟΥ ΛΟΚΡΟΝ . . . . Memorat vocabulum *πρόξενος* e nostro scriptore Ammon. d. Diff. Voc. p. 118. vocabulum *ἐθελοπρόξενος* Anecd. Bekk. i. p. 95. adde Greg. Cor. p. 552. et quos laudant interpretes ad Hesych. s. v. *πρόξενοι.* Scholia ad hunc locum descripsit Suidas in *ἐθελοπρόξενος.* Ulpian. ad Demosth. Midian. p. 374. *πρόξενος — ὑπὸ τῆς πόλεως χειροτονούμενος ἐπὶ τῷ τοὺς πρεσβεύοντας ὑποδέχεσθαι.* V. Wessel. ad Diodor. xiii, 27.—Mox, Phot. *ὑπάγειν εἰς δίκην τὸ ἄγειν καὶ Θουκυδίδης καὶ ἄλλοι.* E Timæi Lex. Platon. p. 263., ubi v. Ruhnk. Scribendum autem *εἰς δίκην ἐνάγειν.* Mox, *ἀποφυγὼν* est 'judicio absolutus,' nota significatione.

καθ' ἑκάστην χάρακα] Statumina vitium intellige, nam ea vis est vocis *χάραξ.* Thom. M. p. 911. *ἡ χάραξ ἐπὶ ἀμπέλου—ὁ χάραξ ἐπὶ στρατοπέδου.* V. Lobeck. ad Phryn. p. 61. Non autem ipsos palos sive canteria ex fano Jovis et Alcinoi, sed materiam tantum, unde statumina pararent, cecidisse cogitandi sunt: quod

των δὲ αὐτῶν καὶ πρὸς τὰ ἱερὰ ἱκετῶν καθεζομένων διὰ πλῆθος τῆς ζημίας, ὅπως ταξάμενοι ἀποδῶσιν, ὁ Πειθίας, ἐτύγχανε γὰρ καὶ βουλῆς ὢν, πείθει ὥστε τῷ νόμῳ χρήσασθαι. Οἱ δ' ἐπειδὴ τῷ τε νόμῳ ἐξείργοντο καὶ ἅμα ἐπυνθάνοντο τὸν Πειθίαν, ἕως ἔτι βουλῆς ἐστι, μέλλειν τὸ πλῆθος ἀναπείσειν τοὺς αὐτοὺς Ἀθηναίοις φίλους τε καὶ ἐχθροὺς νομίζειν, ξυνίσταντό τε καὶ λαβόντες ἐγχειρίδια ἐξαπιναίως ἐς τὴν βουλὴν ἐσελθόντες τόν τε Πειθίαν κτείνουσι καὶ ἄλλους τῶν τε βουλευτῶν καὶ ἰδιωτῶν ἐς ἑξήκοντα. Οἱ δέ τινες τῆς αὐτῆς γνώμης τῷ Πειθίᾳ ὀλίγοι ἐς τὴν Ἀττικὴν τριήρη κατέφυγον ἔτι παροῦσαν.

71. Δράσαντες δὲ τοῦτο καὶ ξυγκαλέσαντες Κερκυραίους εἶπον ὅτι ταῦτα καὶ βέλτιστα εἴη καὶ ἥκιστ' ἂν δουλωθεῖεν ὑπ' Ἀθηναίων, τό τε λοιπὸν μηδετέρους δέχεσθαι ἀλλ' ἢ μιᾷ νηῒ ἡσυχάζοντας, τὸ δὲ πλέον πολέμιον ἡγεῖσθαι. Ὡς δὲ εἶπον, καὶ ἐπικυρῶσαι ἠνάγκασαν τὴν γνώμην. Πέμπουσι δὲ καὶ ἐς τὰς Ἀθήνας εὐθὺς πρέσβεις περί τε τῶν πεπραγμένων διδάξοντας ὡς ξυνέφερε καὶ τοὺς ἐκεῖ καταπεφευγότας

cum non animadvertisset, Heilmannus quæsivit, qui numerus palorum tantus excidi potuerit, ut, etiamsi multa singuli stateres aurei fuerint, quinque opulentissimi cives insulæ beatissimæ ad mendicitatem redigerentur? Ubi eum duplice errore lapsum esse puto, quod non statumina, quorum multo major numerus esse poterat, sed palos, i. e. 'pales,' cæsos esse accepit, et quod ipsos palos, non palorum materiam: nisi statuas, ad fanum vineta fuisse (vid. iv, 90.) unde statumina auferrent. Stater et tetradrachmon idem sunt: drachmæ pretium æquat obolos sex. Staterem intelligo argenteum Atticum; nam stater aureus Atticus æstimabatur viginti drachmarum argenti. V. Boëckh. Staatsh. d. Ath. t. i. p. 16. 22. Ceterum an statere aureo necne multati sint, non constat; illud tamen probabilius propter id ipsum quod Heilm. monuit: unde multa efficeretur in singula statumina viginti ferme imperialium. Conf. Bredov. Mox, verba *ὅπως ταξάμενοι ἀποδῶσιν* verte, 'ut liceret sibi multam exsolvere pensionibus.' Miro errore vocem *βουλῆς* pro nominativo habens, Suidas scripsit, *βουλῆς, βουλῆντος κλίνεται παρὰ Θουκυδίδῃ· σημαίνει δὲ τὸν βουλευτήν·* id quod in lexica manavit. *Βουλῆς* autem utroque loco genitivus est.

ἐξείργοντο] Schol. *ἐξέπιπτον τῆς βουλήσεως αὐτῶν*, senatu lege movebantur. Quam interpretationem veram esse, docet nexus orationis: ipsi numero senatorum excludebantur, Pithias in eo numero manebat, et populo persuasurus erat, ut a partibus Atheniensium stare persisteret. Aliter Manso Spart. vol. ii. p. 81. 414. Mox, ad *τῆς αὐτῆς γνώμης* supple *ὄντες*. Vid. ad i, 122.

71. *ἀλλ' ἢ μιᾷ νηῒ*] V. Herm. ad Viger. p. 812.

τοὺς ἐκεῖ καταπεφευγότας] Thom. M. p. 281., ubi docuit, *ἐκεῖ* locum, non motum significare, addit, *οἱ δὲ ἐναλλὰξ ἀμφότερα* (sc. *ἐκεῖ* et *ἐκεῖσε*) *γράφοντες ἁμαρτάνουσιν. Ὅμηρον γὰρ καὶ τοὺς ἄλλους δοκίμους τῶν ποιητῶν καὶ Θουκυδίδην καὶ Πλάτωνα καὶ Δημοσθένην καὶ Ἀριστείδην εἴ τις ἀκριβῶς ἐξετάσει, οὕτως ὡς ἔφημεν εὑρήσει χρωμένους.* Drakenb. adnotavit, Thucydidem tamen aliter hoc loco locutum esse, ut qui *ἐκεῖ* cum verbo motum significante junxerit. Sed hoc notum breviloquentiæ per attractionem genus est, pro *τοὺς ἐκεῖ ἐκεῖσε καταπεφευγότας*. Inversæ rationis exempla sunt, ubi adverbium locum significans permutatur cum adverbio motum significante, velut *ὁ ἐκεῖθεν πόλεμος δεῦρο ἥξει*, i. e. *ὁ ἐκεῖ πόλεμος ἐκεῖθεν δεῦρο ἥξει*. Vide ad ii, 80. 83. *οἱ ἀπὸ θαλάσσης ἄνω Ἀκαρνᾶνες*, et Buttm. Gr. § 138. 1. extr. Herm. ad Viger. p. 893. conf. ad c. 106. et iv, 14.

πείσοντας μηδὲν ἀνεπιτήδειον πράσσειν, ὅπως μή τις ἐπιστροφὴ γένηται.

72. Ἐλθόντων δὲ οἱ Ἀθηναῖοι τούς τε πρέσβεις ὡς νεωτερίζοντας ξυλλαβόντες καὶ ὅσους ἔπεισαν κατέθεντο ἐς Αἴγιναν. Ἐν δὲ τούτῳ τῶν Κερκυραίων οἱ ἔχοντες τὰ πράγματα ἐλθούσης τριήρους Κορινθίας καὶ Λακεδαιμονίων πρέσβεων ἐπιτίθενται τῷ δήμῳ, καὶ μαχόμενοι ἐνίκησαν. Ἀφικομένης δὲ νυκτὸς ὁ μὲν δῆμος ἐς τὴν ἀκρόπολιν καὶ τὰ μετέωρα τῆς πόλεως καταφεύγει καὶ αὐτοῦ ξυλλεγεὶς ἱδρύθη καὶ τὸν Ὑλλαϊκὸν λιμένα εἶχον· οἱ δὲ τήν τε ἀγορὰν κατέλαβον, οὗπερ οἱ πολλοὶ ᾤκουν αὐτῶν καὶ τὸν λιμένα τὸν πρὸς αὐτῇ καὶ πρὸς τὴν ἤπειρον.

73. Τῇ δ' ὑστεραίᾳ ἠκροβολίσαντό τε ὀλίγα καὶ ἐς τοὺς ἀγροὺς περιέπεμπον ἀμφότεροι τοὺς δούλους παρακαλοῦντές τε καὶ ἐλευθερίαν ὑπισχνούμενοι· καὶ τῷ μὲν δήμῳ τῶν οἰκετῶν τὸ πλῆθος παρεγένετο ξύμμαχον, τοῖς δ' ἑτέροις ἐκ τῆς ἠπείρου ἐπίκουροι ὀκτακόσιοι.

74. Διαλιπούσης δ' ἡμέρας μάχη αὖθις γίγνεται, καὶ νικᾷ ὁ δῆμος χωρίων τε ἰσχύϊ καὶ πλήθει προέχων· αἵ τε γυναῖκες αὐτοῖς τολμηρῶς ξυνεπελάβοντο βάλλουσαι ἀπὸ τῶν οἰκιῶν τῷ κεράμῳ καὶ παρὰ φύσιν ὑπομένουσαι τὸν θόρυβον. Γενομένης δὲ τῆς τροπῆς περὶ δείλην ὀψίαν δείσαντες οἱ ὀλίγοι μὴ αὐτοβοεὶ ὁ δῆμος τοῦ τε νεωρίου κρατήσειεν ἐπελθὼν καὶ σφᾶς διαφθείρειεν, ἐμπιπρᾶσι τὰς οἰκίας τὰς ἐν κύκλῳ τῆς ἀγορᾶς καὶ τὰς ξυνοικίας, ὅπως μὴ ᾖ ἔφοδος, φειδόμενοι οὔτε οἰκείας οὔτε ἀλλοτρίας· ὥστε καὶ χρήματα πολλὰ ἐμπόρων κατεκαύθη καὶ ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι, εἰ ἄνεμος ἐπεγένετο τῇ φλογὶ ἐπίφορος ἐς αὐτήν. Καὶ οἱ μὲν παυσάμενοι τῆς μάχης ὡς ἑκάτεροι ἡσυχάσαντες τὴν νύκτα ἐν φυλακῇ ἦσαν· καὶ ἡ Κορινθία ναῦς τοῦ δήμου κεκρατηκότος ὑπεξανήγετο καὶ τῶν ἐπικούρων οἱ πολλοὶ ἐς τὴν ἤπειρον λαθόντες διεκομίσθησαν.

75. Τῇ δ' ἐπιγιγνομένῃ ἡμέρᾳ Νικόστρατος ὁ Διιτρέ-

72. ἐλθόντων δὲ—τοὺς τε πρέσβεις—καὶ ὅσους] Opineris genitivum participii pro accusativo objecti positum esse; sed cum alterum objectum ad τοὺς πρέσβεις accesserit, καὶ ὅσους, genitivo e regulis syntaxeos usus est. Mox, alii ἱδρύνθη. Thom. Mag. p. 469. et Phavorin. ἱδρύθη, οὐχ ἱδρύνθη. Θουκυδίδης· καὶ αὐτοῦ συλλεγεὶς ἱδρύθη. V. Fischer ad Veller. iii, 1. p. 108.

74. καὶ ἡ—διαφθαρῆναι] Thom. M. p. 164.

φους Ἀθηναίων στρατηγὸς παραγίγνεται βοηθῶν ἐκ Ναυπάκτου δώδεκα ναυσὶ καὶ Μεσσηνίων πεντακοσίοις ὁπλίταις· ξύμβασίν τε ἔπρασσε καὶ πείθει ὥστε ξυγχωρῆσαι ἀλλήλοις δέκα μὲν ἄνδρας τοὺς αἰτιωτάτους κρῖναι, οἳ οὐκέτι ἔμειναν, τοὺς δ' ἄλλους οἰκεῖν σπονδὰς πρὸς ἀλλήλους ποιησαμένους καὶ πρὸς Ἀθηναίους ὥστε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν. Καὶ ὁ μὲν ταῦτα πράξας ἔμελλεν ἀποπλεύσεσθαι· οἱ δὲ τοῦ δήμου προστάται πείθουσιν αὐτὸν πέντε μὲν ναῦς τῶν αὐτοῦ σφίσι καταλιπεῖν, ὅπως ἧσσόν τι ἐν κινήσει ὦσιν οἱ ἐναντίοι, ἴσας δὲ αὐτοὶ πληρώσαντες ἐκ σφῶν αὐτῶν ξυμπέμψειν. Καὶ ὁ μὲν ξυνεχώρησεν, οἱ δὲ τοὺς ἐχθροὺς κατέλεγον ἐς τὰς ναῦς. Δείσαντες δὲ ἐκεῖνοι μὴ ἐς τὰς Ἀθήνας ἀποπεμφθῶσι καθίζουσιν ἐς τὸ τῶν Διοσκούρων ἱερόν. Νικόστρατος δὲ αὐτοὺς ἀνίστη τε καὶ παρεμυθεῖτο. Ὡς δ' οὐκ ἔπειθεν, ὁ δῆμος ὁπλισθεὶς ἐπὶ τῇ προφάσει ταύτῃ, ὡς οὐδὲν αὐτῶν ὑγιὲς διανοουμένων τῇ τοῦ μὴ ξυμπλεῖν ἀπιστίᾳ, τά τε ὅπλα αὐτῶν ἐκ τῶν οἰκιῶν ἔλαβε καὶ αὐτῶν τινας οἷς ἐπέτυχον, εἰ μὴ Νικόστρατος ἐκώλυσε, διέφθειραν ἄν. Ὁρῶντες δ' οἱ ἄλλοι τὰ γιγνόμενα καθίζουσιν ἐς τὸ Ἡραῖον ἱκέται καὶ γίγνονται οὐκ ἐλάσσους τετρακοσίων. Ὁ δὲ δῆμος δείσας μή τι νεωτερίσωσιν ἀνίστησί τε αὐτοὺς πείσας καὶ διακομίζει ἐς τὴν πρὸ τοῦ Ἡραίου νῆσον καὶ τὰ ἐπιτήδεια ἐκεῖσε αὐτοῖς διεπέμπετο.

76. Τῆς δὲ στάσεως ἐν τούτῳ οὔσης τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ μετὰ τὴν τῶν ἀνδρῶν ἐς τὴν νῆσον διακομιδὴν αἱ ἐκ τῆς Κυλλήνης Πελοποννησίων νῆες μετὰ τὸν ἐκ τῆς Ἰωνίας πλοῦν ἔφορμοι οὖσαι παραγίγνονται τρεῖς καὶ πεντήκοντα· ἦρχε δὲ αὐτῶν Ἀλκίδας ὥσπερ καὶ πρότερον καὶ Βρασίδας αὐτῷ ξύμβουλος ἐπέπλει. Ὁρμισάμενοι δὲ ἐς Σύβοτα λιμένα τῆς ἠπείρου ἅμα ἕῳ ἐπέπλεον τῇ Κερκύρᾳ.

77. Οἱ δὲ πολλῷ θορύβῳ καὶ πεφοβημένοι τά τ' ἐν τῇ πόλει καὶ τὸν ἐπίπλουν παρεσκευάζοντό τε ἅμα ἑξήκοντα ναῦς καὶ τὰς ἀεὶ πληρουμένας ἐξέπεμπον πρὸς τοὺς ἐναντίους, παραινούντων Ἀθηναίων σφᾶς τε ἐᾶσαι πρῶτον ἐκπλεῦσαι καὶ ὕστερον πάσαις ἅμα ἐκείνους ἐπιγενέσθαι. Ὡς δὲ αὐτοῖς

77. οἱ δὲ—ἑξήκοντα ναῦς] Greg. Cor. p. 107. παραινούντων—ἐκπλεῦσαι] Thom. M. p. 163.

πρὸς τοῖς πολεμίοις ἦσαν σποράδες αἱ νῆες, δύο μὲν εὐθὺς ηὐτομόλησαν, ἐν ἑτέραις δὲ ἀλλήλοις οἱ ἐμπλέοντες ἐμάχοντο· ἦν δὲ οὐδεὶς κόσμος τῶν ποιουμένων. Ἰδόντες δὲ οἱ Πελοποννήσιοι τὴν ταραχὴν εἴκοσι μὲν ναυσὶ πρὸς τοὺς Κερκυραίους ἐτάξαντο, ταῖς δὲ λοιπαῖς πρὸς τὰς δώδεκα ναῦς τῶν Ἀθηναίων, ὧν ἦσαν αἱ δύο Σαλαμινία καὶ Πάραλος.

78. Καὶ οἱ μὲν Κερκυραῖοι κακῶς τε καὶ κατ' ὀλίγας προσπίπτοντες ἐταλαιπωροῦντο καθ' αὑτούς· οἱ δ' Ἀθηναῖοι φοβούμενοι τὸ πλῆθος καὶ τὴν περικύκλωσιν ἀθρόαις μὲν οὐ προσέπιπτον οὐδὲ κατὰ μέσον ταῖς ἐφ' ἑαυτοὺς τεταγμέναις, προσβαλόντες δὲ κατὰ κέρας καταδύουσι μίαν ναῦν. Καὶ μετὰ ταῦτα κύκλον ταξαμένων αὐτῶν περιέπλεον καὶ ἐπειρῶντο θορυβεῖν. Γνόντες δὲ οἱ πρὸς τοῖς Κερκυραίοις καὶ δείσαντες μὴ ὅπερ ἐν Ναυπάκτῳ γένοιτο ἐπιβοηθοῦσι· καὶ γενόμεναι ἀθρόαι αἱ νῆες ἅμα τὸν ἐπίπλουν τοῖς Ἀθηναίοις ἐποιοῦντο. Οἱ δ' ὑπεχώρουν ἤδη πρύμναν κρουόμενοι καὶ ἅμα τὰς τῶν Κερκυραίων ἐβούλοντο προκαταφυγεῖν ὅτι μάλιστα ἑαυτῶν σχολῇ τε ὑποχωρούντων καὶ πρὸς σφᾶς τεταγμένων τῶν ἐναντίων. Ἡ μὲν οὖν ναυμαχία τοιαύτη γενομένη ἐτελεύτα ἐς ἡλίου δύσιν.

79. Καὶ οἱ Κερκυραῖοι δείσαντες μὴ σφίσιν ἐπιπλεύσαντες 'πὶ τὴν πόλιν ὡς κρατοῦντες οἱ πολέμιοι ἢ τοὺς ἐκ τῆς νήσου ἀναλάβωσιν ἢ καὶ ἄλλο τι νεωτερίσωσι, τούς τε ἐκ τῆς νήσου πάλιν ἐς τὸ Ἡραῖον διεκόμισαν καὶ τὴν πόλιν ἐφύλασσον. Οἱ δ' ἐπὶ μὲν τὴν πόλιν οὐκ ἐτόλμησαν πλεῦσαι κρατοῦντες τῇ ναυμαχίᾳ, τρεῖς δὲ καὶ δέκα ναῦς ἔχοντες τῶν Κερκυραίων ἀπέπλευσαν ἐς τὴν ἤπειρον ὅθενπερ ἀνηγάγοντο. Τῇ δ' ὑστεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲν μᾶλλον ἐπέπλεον καίπερ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας καὶ Βρασίδου παραινοῦντος, ὡς λέγεται, Ἀλκίδᾳ, ἰσοψήφου δὲ οὐκ ὄντος· ἐπὶ δὲ τὴν Λευκίμμην τὸ ἀκρωτήριον ἀποβάντες ἐπόρθουν τοὺς ἀγρούς.

80. Ὁ δὲ δῆμος τῶν Κερκυραίων ἐν τούτῳ περιδεὴς γενόμενος μὴ ἐπιπλεύσωσιν αἱ νῆες τοῖς τε ἱκέταις ᾔεσαν ἐς λόγους καὶ τοῖς ἄλλοις ὅπως σωθήσεται ἡ πόλις. Καί τινας αὐτῶν ἔπεισαν ἐς τὰς ναῦς ἐσβῆναι· ἐπλήρωσαν γὰρ ὅμως

79. *τῇ δ' ὑστεραίᾳ—φόβῳ ὄντας*] Greg. Cor. p. 71., qui his verbis utitur, ut doceat usum Atticorum, *μὴ ἀποδιδόναι τὴν σύνταξιν πρὸς τὴν φωνήν, ἀλλὰ πρὸς τὸ σημαινόμενον*, velut hic legitur *ὄντας* post *πόλιν*, ubi v. interpretes, Dorv. ad Charit. p. 415. Matth. Gr. § 434, 2. Conf. Dionys. p. 802.

80. *ἐσβῆναι*] Ita major pars codicum. Alii *ἐμβῆναι*. Thom. M. p. 369. *ἐσβαίνω*

τριάκοντα [προσδεχόμενοι τὸν ἐπίπλουν]. Οἱ δὲ Πελοποννήσιοι μέχρι μέσου ἡμέρας δῃώσαντες τὴν γῆν ἀπέπλευσαν, καὶ ὑπὸ νύκτα αὐτοῖς ἐφρυκτωρήθησαν ἑξήκοντα νῆες Ἀθηναίων προσπλέουσαι ἀπὸ Λευκάδος· ἃς οἱ Ἀθηναῖοι πυνθανόμενοι τὴν στάσιν καὶ τὰς μετ' Ἀλκίδου ναῦς ἐπὶ Κέρκυραν μελλούσας πλεῖν ἀπέστειλαν καὶ Εὐρυμέδοντα τὸν Θουκλέους στρατηγόν.

81. Οἱ μὲν οὖν Πελοποννήσιοι τῆς νυκτὸς εὐθὺς κατὰ τάχος ἐκομίζοντο ἐπ' οἴκου παρὰ τὴν γῆν· καὶ ὑπερενεγκόντες τὸν Λευκαδίων ἰσθμὸν τὰς ναῦς, ὅπως μὴ περιπλέοντες ὀφθῶσιν, ἀποκομίζονται. Κερκυραῖοι δὲ αἰσθόμενοι τάς τε Ἀττικὰς ναῦς προσπλεούσας τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες τούς τε Μεσσηνίους ἐς τὴν πόλιν ἤγαγον πρότερον ἔξω ὄντας, καὶ τὰς ναῦς περιπλεῦσαι κελεύσαντες ἃς ἐπλήρωσαν ἐς τὸν Ὑλλαϊκὸν λιμένα, ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον· καὶ ἐκ τῶν νεῶν ὅσους ἔπεισαν ἐσβῆναι ἐκβιβάζοντες ἀπεχρῶντο, ἐς τὸ Ἡραῖόν τε

εἰς τὴν ναῦν, καὶ ἐμβαίνω εἰς τὴν ναῦν· ἀμφότερα γὰρ Θουκυδίδης λέγει· ἐμβαίνω δὲ νηΐ, ἀναττικόν.

προσδεχόμενοι τὸν ἐπίπλουν] Hæc verba absunt ab A. F. H. g. at in codicibus B. h. in margine posita sunt: quare a Bekkero seclusa sunt; recte, opinor, quia nihil dicunt quod non paulo ante dictum sit. Ad ὅμως cogitando supplendum, 'quanquam in hoc rerum statu essent.'

ἐφρυκτωρήθησαν] "Hinc colligi potest, φρυκτωρίαν veterum non tam inopem signorum fuisse, quam Polyb. x. 40. describit, dicens eam parum utilitatis attulisse, utpote intra fines paucorum, de quibus conventum esset, indiciorum restrictam. Jam ex his verbis Thucydidis existimare licet, non solum indicatum esse Spartanis, hostes advehi, sed etiam sexaginta et Leucade et Atheniensium advehi: quemadmodum etiam e verbis iii, 22. apparet, Peloponnesios certam quandam rem ignibus accensis Thebanis significare voluisse. Scripsit super hac re M. I. Stilico, Hamburgensis, in disput. περὶ τῆς Φρυκτωρίας, sive de Excubiarum accensis Ignibus Actione, ad illustrandum Thucydidis librum tertium. Witteberg. 1714. 4. Proxime secutis duobus seculis hoc signorum artificium eo usque perfectum est, ut noctium spatiis vere telegraphiæ nostræ loco esset, quare etiam nomen mutavit in pyrsographiam ('torch-writing,' 'signals given by torches'), de cujus usu per ævum suum et paulo ante (annis ante Christum natum 200—146.) vigente v. Polyb. x, 38—44." Bredov., cujus adde dissertationem de Telegraphia Græcorum et Romanorum in Ephemeridibus, quibus titulus Genius der Zeit, 1797. m. Jun. Conf. Thucyd. v, 61. Rei antiquissima vestigia extant in Æschyli Agamemn. init., quin apud Homerum, Il. xviii, 207. Ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται, Τηλόθεν ἐκ νήσου, τὴν δήϊοι ἀμφιμάχονται, Οἵτε πανημέριοι στυγερῷ κρίνονται Ἄρηϊ Ἄστεος ἐκ σφετέρου· ἅμα δ' ἠελίῳ καταδύντι Πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγὴ Γίγνεται ἀΐσσουσα, περικτιόνεσσιν ἰδέσθαι, Αἴ κέν πως σὺν νηυσὶν ἀρῆς ἀλκτῆρες ἵκωνται, etc. Theogn. 561. Ἄγγελος ἄφθογγος πόλεμον πολύδακρυν ἐγείρει, Κύρν' ἀπὸ τηλαυγοῦς φαινόμενος σκοπιῆς, etc. Adde Pausan. Corinthiac. c. 25. t. i. p. 271. Fac. Stephan. Byzant. in Πάρος, ubi profert ex Ephori libro x. fragmentum, editum a Marxio, p. 212. Act. Phil. Monac. t. iii. p. 337.

81. *Κερκυραῖοι δὲ—πρώτη ἐγένετο*] Dionys. p. 883.

ἀπεχρῶντο] Sic in margine F. N. e. ἀνεχώρησαν Dionys. ἀπεχώρησαν vulgo. Quam scripturam si retineas, vides non narrari quid de his hominibus factum sit. Idem in conjectura Hermanni ἀπεχώρισαν reprehendendum. Neque ulla horum hominum posthac mentio fit. Kruegerus ad Dionys. p. 149. vulgatam ita explicandam

ἐλθόντες τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας δίκην ὑποσχεῖν ἔπεισαν καὶ κατέγνωσαν πάντων θάνατον. Οἱ δὲ πολλοὶ τῶν ἱκετῶν ὅσοι οὐκ ἐπείσθησαν ὡς ἑώρων τὰ γιγνόμενα, διέφθειραν αὐτοῦ ἐν τῷ ἱερῷ ἀλλήλους καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο, οἱ δ' ὡς ἕκαστοι ἐδύναντο ἀνηλοῦντο. Ἡμέρας τε ἑπτὰ ἃς ἀφικόμενος ὁ Εὐρυμέδων ταῖς ἑξήκοντα ναυσὶ παρέμεινε Κερκυραῖοι σφῶν αὐτῶν τοὺς ἐχθροὺς δοκοῦντας εἶναι ἐφόνευον, τὴν μὲν αἰτίαν ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν, ἀπέθανον δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα, καὶ

putat, ut statuatur, eos supplices qui navibus vecti fuerant, ceteros Corcyræos ad Heræum comitatos, ibique eandem atque illos qui eo confugerant, sortem expertos esse. Fortasse, ait, ipsis insidiose utebantur populares, ut ceterorum supplicum parti persuaderent *δίκην ὑποσχεῖν*. Sed ne dicam hunc sensum vix ac ne vix quidem extricari posse, aliud obstat vulgatæ, idque gravissimum, neque dum a quoquam notatum, ratio inquam temporum *ἐκβιβάζοντες ἀπεχώρησαν*, cum dicere deberet *ἐκβιβάσαντες ἀπεχώρησαν*. Contra *ἀπεχρῶντο* rectissime cum *ἐκβιβάζοντες* jungitur: 'dum exponunt, interimunt.' Quare, cum quod vulgo extat et ad sensum et ad rationem grammaticam absurdum sit, scripturam illam aliquot codicum recepi. Similis confusio verborum facta est in verbis viii, 40., ubi vulgo *ἐχρήσαντο*, Bekkerus *ἐχώρησαν οἱ* recepit. Aliquid auxilii nostræ emendationi accedit ex grammaticis, Zonara: *ἀπεχρᾶτο*, Ἡρόδοτος *ἀντὶ τοῦ ἀρκεῖν ἡγεῖτο*. Θουκυδίδης *δὲ ἀπεχρῶντο ἀντὶ τοῦ ἀνῄρουν*, ex Suida, qui eadem, Phavorino, Anecdotis Bekkeri, i. p. 423. Idem ex Aristophanis Lemniis affert Suidas, quem locum etiam ante oculos habuit Pollux ix, 154. *τοὺς ἄνδρας ἀπεχρήσαντο* pro *διεχρήσαντο καὶ ἀπέκτειναν*. Pollux viii, 74. *ἐπὶ τοῦ ἀνελόντος ῥητέον ἀνεῖλεν—ἀπεχρήσατο*. Et Hesych. *ἀπεχρήσαντο, ἀπέκτειναν*. Sed fortasse Thucydides non *ἀπεχρῶντο*, sed *ἀνεχρῶντο* reliquerat, quo ducit quod apud Dionysium est *ἀνεχώρησαν*. Vide de verbo *ἀναχρῆσθαι* adnotata ad i, 126.

διέφθειραν—ἀλλήλους] Matthiæum Gr. § 489. III. mirari subit pronomen *ἀλλήλους* hic pro reciproco *ἑαυτοὺς* positum dicere: nempe aliud est 'mutua cædes,' aliud 'sua quemque supplicem manu occubuisse.' Tacitus, Annal. iii, 46. 'illic sua manu, reliqui mutuis ictibus occidere.' Mox, ad vocem *ἀνηλοῦντο*, quam glossam Suidæ adscripsit Dukerus, ea pertinet ad iv, 48., ubi vide not.

τοῖς τὸν δῆμον καταλύουσι] Conjecerunt *ὡς τὸν δ. κ.* Vulgata recte habet; nam sensus est: accusabant tantum eos qui imperii popularis hostes erant, sed eo prætextu usi etiam alios propter privatam inimicitiam necabant. In *καταλύουσι* vis prægnans est, 'statum popularem evertere conatis.' Participium resolvas vernaculo sermone, 'those who wished to destroy or ruin the people.' V. Matth. Gr. § 270. § 278. Obs. 1. et § 557, 4. Eadem est explicatio Hermanni ad Viger. p. 700. "Corcyræi suspectos necando in semet ipsos sæviebant, accusantes hostes democratiæ, sed eo prætextu etiam privatas ulciscentes injurias." Fluctuat Kruegeri ad Dionys. p. 150. interpretatio, qui postquam dixit *τοῖς* pro *αὐτοῖς* accipiendum esse, quod fieri nequit; deinde mutata sententia hic post *αἰτίαν ἐπιφέρειν* articulum eodem modo adhibitum esse scribit, quo post nominandi verba inferri solet, provocans ad Matth. Gr. § 268. ex quo, ut appareat, quid sibi velit, unum saltem exemplum adscribam, Xenoph. Cyrop. iii, 3, 4. *ἀνακαλοῦντες τὸν εὐεργέτην, τὸν ἄνδρα τὸν ἀγαθὸν*, ubi articulus nostra lingua per articulum indefinitum redditur, 'in which they named him a benefactor, an honest man.' Sed nihil hic usus cum nostro loco commune habet. Quod autem contra explicationem nostram monuit, ex ea populares nonnisi parti adversariorum illud crimen intulisse videri, quod ad omnes pertinuisse appareat; prorsus ab eo aberravit, quod scriptor in mente habuit: nimirum hostes tantum quos dicebant reipublicæ ('public enemies,' 'enemies of the state') accusabant, sed etiam privatos inimicos ('private enemies') prætextum atque odii agitandi occasionem nacti necabant. Quæ autem loca affert ad probandum *τοῖς* pro *αὐτοῖς* accipiendum esse, ea eodem modo explicanda sunt quo hic locus; ut taceam, si *τοῖς* eum sensum haberet, *ὡς* adjiciendum fuisse ad participium; id quod ne ipsum quidem Kruegerum fugit; monuit enim in fine adnotationis. De formula *καταλύειν τὸν δῆμον*,

ἄλλοι χρημάτων σφίσιν ὀφειλομένων ὑπὸ τῶν λαβόντων· πᾶσά τε ἰδέα κατέστη θανάτου, καὶ οἷον φιλεῖ ἐν τῷ τοιούτῳ γίγνεσθαι, οὐδὲν ὅ,τι οὐ ξυνέβη καὶ ἔτι περαιτέρω. Καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε καὶ ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντο καὶ πρὸς αὐτοῖς ἐκτείνοντο, οἱ δέ τινες καὶ περιοικοδομηθέντες ἐν τοῦ Διονύσου τῷ ἱερῷ ἀπέθανον.

82. Οὕτως ὠμὴ στάσις προὐχώρησε· καὶ ἔδοξε μᾶλλον, διότι ἐν τοῖς πρώτη ἐγένετο, ἐπεὶ ὕστερόν γε καὶ πᾶν ὡς εἰπεῖν τὸ Ἑλληνικὸν ἐκινήθη, διαφορῶν οὐσῶν ἑκασταχοῦ τοῖς τε τῶν δήμων προστάταις τοὺς Ἀθηναίους ἐπάγεσθαι καὶ τοῖς ὀλίγοις τοὺς Λακεδαιμονίους, καὶ ἐν μὲν εἰρήνῃ οὐκ ἂν ἐχόντων πρόφασιν, οὐδ᾽ ἑτοίμων παρακαλεῖν αὐτούς· πολεμουμένων δὲ καὶ ξυμμαχίας ἅμα ἑκατέροις τῇ τῶν ἐναντίων κακώσει καὶ σφίσιν αὐτοῖς ἐκ τοῦ αὐτοῦ προσποιήσει ῥᾳδίως αἱ ἐπαγωγαὶ τοῖς νεωτερίζειν τι βουλομένοις ἐπορίζοντο.

quæ idem dicit quod *καταλύειν τὴν δημοκρατίαν*, (quare Aristot. Polit. v, 5. promiscue his verbis utitur,) v. Herald. Observ. et Emend. ii, 49. Salmas. Obs. ad Jus Att. et Rom. c. 10. p. 296. Wolf. ad Dem. Leptin. p. 232. Casaubon. ad Strab. p. 20. D.

πᾶσα—ἰδέα] Virg. Æn. ii, 369. 'crudelis ubique Luctus, ubique pavor et plurima mortis imago.' Conf. Thuc. iii, 83. 98. 112. Tacit. Hist. iii, 28. 'omni imagine mortium.'

καὶ οἷον—περαιτέρω] Adnotanda Sallustii imitatio, Jug. 48. 'postremo quæcunque dici aut fingi queunt ignaviæ luxuriæque probra, in illo exercitu cuncta fuere et alia amplius.' Dionys. A. R. xi, 39. *δεινὰ καὶ πέρα δεινῶν*. Verba ita explicanda esse videntur: *καὶ πᾶν* (i. e. *οὐδεν ὅ,τι οὐ*) *οἷον φιλεῖ ἐν τῷ τοιούτῳ γίγνεσθαι, καὶ ἔτι περαιτέρῳ τούτων ξυνέβη*, 'nihil non contigit eorum quæ in hujusmodi casu fieri solent.' Krueger. l. l. p. 151. conjecit *καὶ οἵων φιλεῖ*, etc.

82. *ὠμὴ στάσις*] Krueger. l. l. et de Anab. Xenoph. p. 43. legit *ὠμὴ ἡ στάσις*. Scholiasten quod dicit articulum legisse, non certo colligitur ex ejus adnotatione.

Scriptor postquam narravit Corcyræos sub Atheniensium classis tutela ira grassatos esse in adversarios, partim et privatas inimicitias ultos, eo processisse addit odium et crudelitatem, ut ad aras deorum trucidare vel inde vi abstrahere supplices religio non esset, et filium pater occideret. Et gravior etiam, quam vere fuit, visa est seditio, quod prima. Nunc pergit: Ea crudelitas posthac omnes Græciæ urbes, seditionibus ortis, invasit. Temeritas laudata, insidiæ, dolus, falsa fides; damnata simplicitas, prudens sed lenta consultatio, indulgentia. Illis gloriabantur, has vituperabant. De hoc cap. vide Heeren. Ideen, vol. iii. P. i. p. 516. Gail. Mém. p. 178. Manson. Spart. vol. ii. p. 87. et 416.

ἐπεὶ ὕστερον—τοὺς Λακεδαιμονίους] Dionys. p. 885.

διαφορῶν οὐσῶν—ἐπορίζοντο] Initium vulgo interpretantur, 'quod ubique discordiæ essent:' minus commode, propter sequentem infinitivum. Equidem intelligo cum Heilmanno, 'cum ubivis et principum interesset, Lacedæmonios arcessi, et populi, Athenienses;' quanquam in *διαφοραὶ* (pro quo alibi *διάφορα* usurpat) utrumque inest, et diversa commodi ratio ('interest') et dissidium. Jam Græcis hominibus vox ita sonabat, ut ambas significationes una cogitarent, quasi dicas, 'opposite interest, and differences arising from it.' Sequentium hæc constructio esse videtur: *πολεμουμένων δὲ* (*αὐτῶν*, genitivus absolutus pro casu, quem sequens verbum postulat, i. e. pro dativo, qui pendet ex *ἐπορίζοντο*. Exempla ejusmodi genitivi passim adnotavi) *ῥᾳδίως αἱ ἐπαγωγαὶ ἑκατέροις τοῖς νεωτερίζειν τι βουλομένοις ἐπορίζοντο* (*ἐγένοντο*, 'se offerebant,') *καὶ τῇ τῶν ἐναντίων ξυμμαχίας κακώσει καὶ σφίσιν αὐτοῖς ἅμα ἐκ τοῦ αὐτοῦ ξυμμαχίας προσποιήσει*. Vocabulum *ξυμμαχίας* primo loco posuit, ne opus esset bis poni; nam et ad *κακώσει* et ad *προσποιήσει* pertinet: quos dativos explica, 'propter imminutionem' et 'propter acquisitionem.'

Καὶ ἐπέπεσε πολλὰ καὶ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσι, γιγνόμενα μὲν καὶ ἀεὶ ἐσόμενα ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ, μᾶλλον δὲ καὶ ἡσυχαίτερα καὶ τοῖς εἴδεσι διηλλαγμένα, ὡς ἂν ἕκασται αἱ μεταβολαὶ τῶν ξυντυχιῶν ἐφιστῶνται. Ἐν μὲν γὰρ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσι διὰ τὸ μὴ ἐς ἀκουσίους ἀνάγκας πίπτειν· ὁ δὲ πόλεμος ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ' ἡμέραν βίαιος διδάσκαλος καὶ πρὸς τὰ παρόντα τὰς ὀργὰς τῶν πολλῶν ὁμοιοῖ. Ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων καὶ τὰ ἐφυστερίζοντά που πύστει τῶν προγενομένων πολὺ ἐπέφερε τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει καὶ τῶν τιμωριῶν ἀτοπίᾳ. Καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς

Dativum *ἑκατέροις* paulo remotius a verbo suo *ἐπορίζοντο* posuit, concinnitatis cum *σφίσιν αὐτοῖς* causa. Porro idem dativus noto Græcismo pro *ἑκατέρων* est positus; cogitandum enim *ἑκατέρων τοῖς νεωτερίζειν τι βουλομένοις*. Hic igitur sensus est: 'ac pace quidem nullam ejus rei speciosam causam habuissent; neque ad ipsos arcessendos adeo promti fuissent: bello autem coorto, utrorumque qui rerum novarum studiosi erant, iis facile se offerebat occasio accersendi socios, simul imminuendæ adversæ factionis, et potentiæ sibimet ipsis comparandæ causa.'

καὶ ἐπέπεσε — ἐφιστῶνται] Schol. ad *μᾶλλον δὲ* adnotavit, *μᾶλλον δὲ καὶ ἧττον· οἷον εἰπεῖν, ἐν ἄλλῃ πόλει πᾶλλον, ἐν ἄλλῃ δὲ ἧττον, πῇ μὲν πλέον, πῇ δὲ ἔλαττον, ὡς συνέβαινεν ἑκασταχοῦ.* Illud *μᾶλλον δὲ* redit ad *ἐσόμενα μὲν* (*μὲν* enim ad totum membrum *γιγνόμενα—ἐσόμενα* pertinet). Patrio sermone ita particulæ *δὲ* vim reddas, 'only now more and then less, and in a different way, according to the change of circumstances.' Jungo igitur *μᾶλλον γιγνόμενα καὶ ἐσόμενα*, ut adverbium vice quodammodo adjectivi fungatur, ut iv, 68. *ἀσφάλεια δὲ αὐτοῖς μᾶλλον ἐγίγνετο τῆς ἀνοίξεως.* Conf. ad iv, 61. Neque *μᾶλλον* hoc loco est 'potius,' sed positum pro *χαλεπώτερα*. Verbis *μᾶλλον — διηλλαγμένα* usus est Thom. M. p. 426. sine ulla scripturæ discrepantia. Dio Cass. xxxvi, 3. ex hoc loco, *οὐ γὰρ ἔστιν ὅτε ταῦτ' οὐκ ἐγένετο, οὐδ' ἂν παύσαιτό ποτε, ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ.*

ἐστασίαζε — ἀτοπίᾳ] Dionys. p. 886. In *τὰ τῶν πόλεων* nota periphrasis est. V. Matth. § 285, 2. Sed jam sequi debebat *καὶ αἱ ἐφυστερίζουσαί που στασιάζειν*, quod notavit etiam Dionysius; nam accommodari quidem in istiusmodi circumlocutione structura solet rei quæ circumscribitur, at nonnunquam, ut hic, vocabulo quod periphrasi inservit. Vide ad i, 110. Verba *καὶ τὰ ἐφυστερίζοντα— ἄλλοθεν δύναμιν* iterum habet Dionys. p. 953. cum insigni, ut hic, scripturæ varietate. P. 886. ita explicat, *οἱ δὲ ὑστερίζοντες ἐπιπυνθανόμενοι* (legit enim *ἐπιπύστει*) *τὰ γεγενημένα παρ' ἑτέρων ἐλάμβανον ὑπερβολὴν ἐπὶ τὸ διανοεῖσθαί τι καινότερον.*

τῶν τ' ἐπιχειρήσεων — δικαιώσει] Dionys. p. 887., qui ita interpretatur, *πολλὴν τὴν ἐπίδοσιν ἐλάμβανον εἰς τὸ διανοεῖσθαί τι καινότερον περὶ τὰς τέχνας τῶν ἐπιχειρημάτων καὶ περὶ τὰς ὑπερβολὰς τῶν τιμωριῶν· τά τ' εἰωθότα ὀνόματα ἐπὶ τοῖς πράγμασι λέγεσθαι μετατιθέντες ἄλλως ἠξίουν αὐτὰ καλεῖν.* Verbis *τὴν εἰωθυῖαν—ἀργὸν* usus est Plut. d. Discrim. Adul. et Amic. p. 56. B. Sallust. Cat. 52. 'Jam pridem equidem nos vera rerum vocabula amisimus; quia bona aliena largiri, liberalitas; malarum rerum audacia fortitudo vocatur.' In his *ἀξίωσις τ. ὀνομάτων* est 'the signification of words.' Schol. *ἀξίωσιν μὲν τὴν σημασίαν εἶπε· δικαιώσει δὲ ἀντὶ τοῦ ἑαυτῶν δικαίᾳ κρίσει.* Sed *δικαίᾳ* omittere poterat. Pergit, *βούλεται δὲ εἰπεῖν, ὅτι μετέθεσαν τὰ ὀνόματα· οὐ γὰρ ὡς νενόμιστο πρόσθεν, ἐχρῶντο κατὰ τῶν πραγμάτων, ἀλλὰ μεθήρμοσαν κατὰ τὴν ἑαυτῶν κρίσιν.* Latine dixeris 'arbitratus.' Adnotavit Krueger. p. 153. repugnare verborum *τὴν εἰωθυῖαν—ἐς τὰ ἔργα* conformationem iis quæ de positione articuli Matth. Gr. § 277. disputat; scilicet articulum ex ejus regula inserendum fuisse post *ἀξίωσιν*, ut esset *ἀξίωσιν τὴν ἐς τὰ ἔργα.* Præceptum Matthiæi, ut aliis locis, refellatur, hoc

τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει. Τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρεία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής, τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὸ πρὸς ἅπαν ξυνετὸν ἐπὶ πᾶν ἀργόν. Τὸ δ' ἐμπλήκτως ὀξὺ ἀνδρὸς μοίρᾳ προσετέθη, ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι, ἀποτροπῆς πρόφασις εὔλογος. Καὶ ὁ μὲν χαλεπαίνων

certe non refellitur; nam trajecta verba sunt, sic autem in verum ordinem reponenda, *τὴν ἀξίωσιν ὀνομάτων εἰωθυῖαν ἐς τὰ ἔργα*, ut *ἐς* pendeat ex *εἰωθυῖαν*, et sensus sit, qualem Dionysius expressit; *ἐς τὰ ἔργα* autem pro *ἐπὶ τοῖς ἔργοις* sive *τῶν ἔργων*, et supplendum ad participium, *εἶναι τῶν ἔργων* sive *λέγεσθαι ἐπὶ τοῖς ἔργοις*. De voce *περιτέχνησις* v. Popp. Prol. t. i. p. 253. collato Krueger. ad Dionysium p. liii. Wyttenb. ad Plut. Moral. t. ii. p. 13. Lips. locum ita interpretatur, 'consuetam verborum significationem mutarunt in rebus justitiæ,' i. e. nova corruptaque justitiæ opinione mutarunt rerum consueta nomina. Quo eum induxit prava de sensu vocis *δικαίωσις* opinio, et sequentibus statim exemplis ipsius scriptoris refellitur, ubi non de justitia et injustitia loquitur, sed de vitiis virtutum nominibus insignitis et contra, velut hujus ætatis hominibus temeritatem sit fortitudinem appellatam esse et similia. Equidem ita interpretor, 'Civitatis igitur seditionibus agitabantur, et illæ, in quibus seditiones serius excitabantur, quoniam quæ ante se acciderant, fama acceperant, multum superabant addita solertia novum aliquid excogitandi, inventis tum dolosis inimicorum adoriendorum rationibus, tum inauditis suppliciorum generibus:' nisi præstat 'ultionum generibus: quinetiam usitatam in rebus vocabulorum significationem arbitratu suo immutarunt.'

τόλμα μὲν—ἀργὸν] Dionys. p. 808. Verba *τόλμα—εὐπρεπὴς* idem habet p. 887., ubi sensum ait sic clarius exprimi, *τὴν μὲν γὰρ τόλμαν ἀνδρίαν ἐκάλουν, τὴν δὲ μέλλησιν δειλίαν*. Verba *τόλμα—πρόσχημα* adscripsit Hermogen. d. Ideis, i, 6. habetque partem verborum etiam Aristid. de Dict. Civ. p. 192.

τὸ δὲ σῶφρον—ἀργὸν] Dionys. p. 888., ubi ait *κυριώτερον δ' ἂν οὕτως ἐλέχθη· οἱ δὲ σώφρονες ἄνανδροι καὶ οἱ συνετοὶ πρὸς ἅπαντα ἐν ἅπασιν ἀργοί*. Eadem verba usque ad *πρόσχημα* habet Thom. M. p. 758. Similiter Plato, Polit. viii. p. 560. D. *τὴν μὲν αἰδῶ ἠλιθιότητα ὀνομάζοντες ὠθοῦσιν (οἱ ἀλαζόνες λόγοι) ἔξω ἀτίμως φυγάδα, σωφροσύνην δὲ ἀνανδρίαν καλοῦντές τε καὶ προπηλακίζοντες ἐκβάλλουσι, μετριότητα δὲ καὶ κοσμίαν δαπάνην, ὡς ἀγροικίαν οὖσαν πείθοντες, ὑπερορίζουσι*. Similiter etiam Dionys. A. R. ix, 53. p. 1891. Alia ejusmodi *ὑποκορισμοῦ* exempla addidit Krueger. in Addendis ad Dionys. p. liii. Plut. Solon. c. 15. Phot. p. 460., laudatque in hanc rem Ruhnk. ad Timæum p. 266. Sturz. Lexic. Xenoph. p. 393. Wyttenb. ad Plut. Moral. t. i. p. 362. Addit Wasse Aristot. Rhet. i, 9. p. 724. Philon. d. Fortitud. p. 571. Lucret. iv, 1154., (cujus loco valde similia sunt Horatiana, Serm. i, 3, 40. sqq.) Tacit. Agr. c. 21.

τὸ—ἐμπλήκτως ὀξὺ] i. e. 'inconsiderate passion.' V. Lobeck. ad Soph. Ajac. 1345. Mox, *ἀνδρὸς μοίρᾳ προσετέθη* est 'maris animi loco habebatur,' quod solennius est exprimere per, *ἐν ἀνδρείας μοίρᾳ τιθέναι*. V. Viger. p. 112.

ἀσφάλεια—ὕποπτος] Dionys. p. 888., qui *καὶ ἐν τούτοις*, ait, *πάλιν ἄδηλον μέν ἐστι, τίνα βούλεται δηλοῦν τὸν χαλεπαίνοντα καὶ περὶ τίνος, τίνα δὲ τὸν ἀντιλέγοντα καὶ ἐφ' ὅτῳ*. Krueger. et Popp. Obs. p. 47. dativum præferunt *ἀσφαλείᾳ*, qui est apud Dionysium, sed altero loco p. 954. nominativus extat. Dativus ordine verborum non commendatur; legitur tamen etiam apud Scholiasten, *τὸ ἐπὶ πολὺ βουλεύσασθαι δι' ἀσφάλειαν πρόφασις ἀποτροπῆς ἐνομίζετο*. Scriptura aliquot codicum, *ἀσφάλεια τοῦ ἐπιβουλεύσασθαι*, ex interpretamento orta est. Mihi verum videtur nominativus: *τὸ ἐπιβουλεύσασθαι* autem est, 'quod attinet ad insidias,' 'with respect to snares or ambushes.' V. Herm. ad Sophocl. Ajac. 114. Philoct. 1236. *Ἀποτροπὴν* intelligo 'detrectationem,' 'declining,' 'avoiding,' 'fearing to attack the enemy.' Propter proxime sequentia Dionys. Thucydidem jure notasse videtur. Mihi sensus videtur: qui hostiliter agebat, pro certo homine; qui obloquebatur, i. e. qui amicitiam servandam, pacem obtinendam esse suadebat, suspectus habebatur; est enim pravorum hominum, semper sese pravis adjungere et suspectos habere bonos, ut qui natura sibi adversarii sint. 'He who always showed hostile intentions was depended upon; he who was against

πιστὸς ἀεὶ, ὁ δ' ἀντιλέγων αὐτῷ ὕποπτος. Ἐπιβουλεύσας δέ τις τυχὼν ξυνετὸς καὶ ὑπονοήσας ἔτι δεινότερος· προβουλεύσας δὲ ὅπως μηδὲν αὐτῶν δεήσει, τῆς τε ἑταιρίας διαλυτὴς καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος. Ἁπλῶς δὲ ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾷν ἐπῃνεῖτο, καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον. Καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾷν· οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφελείας αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. Καὶ

him, and endeavoured to preserve peace, was suspected.' Id quod statim sequentibus explanare voluisse videtur.

ἐπιβουλεύσας—ἐκπεπληγμένος] Dionys. p. 888. οὔτε ὁ τυχὼν ἐμφαίνει μᾶλλον ὃ βούλεται δηλοῦν, οὔτε ὁ αὐτὸς τυχών τε καὶ ἐπιβουλεύσας νοεῖσθαι δύναται, εἴγε ὁ μὲν τυχὼν ἐπὶ τοῦ κατορθώσαντος καὶ ἐπιτυχόντος ὃ ἤλπισε λέγεται, ὁ δὲ νοήσας ἐπὶ τοῦ προαισθομένου τὸ μήπω πραχθὲν, ἀλλ' ἔτι μέλλον κακόν· καθαρὸς δὲ καὶ τηλαυγὴς ὁ νοῦς οὕτως ἂν ἦν· οἵ τ' ἐπιβουλεύοντες ἑτέροις, εἰ κατορθώσειαν, δεινοί, καὶ οἱ τὰς ἐπιβουλὰς προεπινοοῦντες, εἰ φυλάξαιντο, ἔτι δεινότεροι, ὁ δὲ προειδόμενος, ὅπως μηδὲν αὐτῷ δεήσει μήτ' ἐπιβουλῆς μήτε φυλακῆς, τάς τε ἑταιρίας διαλύειν ἐδόκει καὶ τοὺς ἐναντίους ἐκπεπλῆχθαι. Minus recte Scholiastes, ὁ δὲ προσκοπῶν, δηλονότι ὅπως μήτε ἐπιβουλεύειν μήτ' ἐπιβουλεύεσθαι ἀνάγκη τις αὐτῷ γένηται, διαλύειν τὴν ἑταιρίαν ὑπωπτεύετο. Ἑταιρία et 'societatem' et 'amicitiam' significare videtur, nisi malis 'factionem.' Alterum præfert Lobeck. ad Soph. Ajac. 682. Heilmannus, 'he who laid snares for others was feared, and he who discovered them passed for sly and cunning; on the contrary, he who took his measures so as to need no such base expedients, was pronounced a false friend, and most shamefully awed by his foes.'

ἁπλῶς—διανοούμενον] Dionys. p. 890. Hæc ne repugnent modo dictis, ὁ φθάσας non cogitandus est qui evitat insidias, sed qui prævertitur eas damnum hosti inferendo.

καὶ μὴν καὶ—τολμᾷν] Dionys. l. l. τὸ ξυγγενὲς, ait, καὶ τὸ ἑταιρικὸν κείμενον μετείληπται, τό τε ἀπροφασίστως τολμᾷν ἄδηλον, εἴτε ἐπὶ τῶν φίλων κεῖται νῦν εἴτε ἐπὶ τῶν συγγενῶν. Αἰτίαν γὰρ ἀποδιδοὺς, δι' ἣν τοὺς συγγενεῖς ἀλλοτριωτέρους ἔκρινον τῶν φίλων ἐπιτίθησιν, ὅτι τόλμαν ἀπροφάσιστον παρείχοντο. Σαφὴς δ' ἂν ἦν λόγος, εἰ τοῦτον ἐξήνεγκε τὸν τρόπον, κατὰ τὴν ἑαυτοῦ βούλησιν σχηματίζων· καὶ μὴν καὶ τὸ ἑταιρικὸν οἰκειότερον ἐγένετο τοῦ συγγενοῦς διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾷν. In eandem sententiam Scholiastes, καὶ μὴν καὶ οἱ συγγενεῖς τῶν φίλων ἀλλοτριώτεροι ἐνομίζοντο διὰ τὸ ἑτοιμότερον τολμᾷν ὑπὲρ τῶν φίλων τοὺς φίλους ἢ τοὺς συγγενεῖς. In hac collocatione verborum sane potius ἀνετοιμότερον exspectes.

οὐ γὰρ μετὰ—πλεονεξίᾳ] Dionys. l. l. ὁ μὲν νοῦς ἐστι τοιόσδε· οὐ γὰρ ἐπὶ ταῖς κατὰ νόμον ὠφελείαις αἱ τῶν ἑταιριῶν ἐγίγνοντο σύνοδοι, ἀλλ' ἐπὶ τῷ παρὰ τοὺς νόμους τι πλεονεκτεῖν. Schol. οὐ γὰρ κατὰ τοὺς κειμένους νόμους ὠφελεῖσθαι θέλοντες τοιαύτας ἐποιοῦντο συστάσεις καὶ ἑταιρίας, ἀλλὰ παρὰ τοὺς ὑπάρχοντας νόμους, διὰ πλεονεξίαν. Cetera quæ in hoc scholio sunt, non pertinent ad hoc lemma, sed ad γενναιότητι] ἀντὶ τοῦ χρηστότητι καὶ ἁπλότητι. His enim addenda quæ vulgo post διὰ πλεονεξίαν in scholio ad nostrum locum leguntur, τοῖς ὀρθῶς—καθεστήκεσαν. Sed quem volunt Dionysius et scholiastes, sensus non inest in verbis scriptoris, nisi reponas ὠφελείᾳ, 'nam hujusmodi sodalitiorum cœtus non utilitatis causa legitimæ, sed ambitione contra leges in republica obtinentes fiebant.' Conjecturam ὠφελείᾳ Valla juvat. Vulgata hunc sensum habere videtur, 'fiebant ejusmodi sodalitia, ut leges latæ adjuvarentur;' qui minus aptus est ad hunc nexum orationis. Sed fortasse vulgatæ interpretationem hanc, 'ob commoda, quæ leges latæ concederent, percipienda,' tuearis loco ii, 39. ubi verba μετὰ νόμων τὸ πλέον ἢ τρόπων ἀνδρείας significant 'fortitudinem quam leges efficiunt in civibus,' contrariam fortitudini insitæ natura. Jam ut νόμων ibi est genitivus subjecti, ita hic erit; ut νόμων ὠφέλεια non sit utilitas legibus allata, sed utilitas νομίμη, quam leges concedunt. Ita nonnunquam fit, ut substantivum genitivo alius substantivi junctum loco adjectivi sit, ut apud Euripidem Bacchis, 388. ὁ τῆς ἡσυχίας βίοτος pro βίος ἥσυχος. V. Matth. Gr. § 430. init. Eodem modo ἄστρων εὐφρόνη ap.

τὰς ἐς σφᾶς αὐτοὺς πίστεις οὐ τῷ θείῳ νόμῳ μᾶλλον ἐκρατύνοντο ἢ τῷ κοινῇ τι παρανομῆσαι. Τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο ἔργων φυλακῇ, εἰ προὔχοιεν, καὶ οὐ γενναιότητι. Ἀντιτιμωρήσασθαί τέ τινα περὶ πλείονος ἦν ἢ αὐτὸν μὴ προπαθεῖν. Καὶ ὅρκοι εἴ που ἄρα γένοιντο ξυναλλαγῆς, ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι ἴσχυον οὐκ ἐχόντων ἄλλοθεν δύναμιν· ἐν δὲ τῷ παρατυχόντι ὁ φθάσας θαρσῆσαι, εἰ ἴδοι ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο ἢ ἀπὸ τοῦ προφανοῦς, καὶ τό τε ἀσφαλὲς ἐλογίζετο καὶ ὅτι ἀπάτῃ περιγενόμενος ξυνέσεως ἀγώνισμα προσελάμβανε. Ῥᾷον δ᾽ οἱ πολλοὶ κακοῦργοι ὄντες δεξιοὶ

Sophocl. Electr. 19. explicatur ab Herm. ad Viger. p. 879., qui pro *εὐφρόνη ἀστερόεσσα* dictum ait. Atque hæc nunc mihi magis placet explicatio. Adde ad iv, 126.

τά τε ἀπὸ τῶν—γενναιότητι] Schol. *ἀντὶ τοῦ χρηστότητι καὶ ἁπλότητι· τοῖς ὀρθῶς ὑπὸ τῶν ἐξ ἐναντίας λεγομένοις ἐπείθοντο οὐ δι᾽ εὐγνωμοσύνην οὐδὲ δι᾽ ἁπλότητα, ἀλλὰ εἰ ἔργῳ κρείσσους ἦσαν αὐτοὶ τῶν ἐναντίων καὶ ἐν τῷ ἀσφαλεῖ καθειστήκεσαν*, quod scholion loco alieno collocatum esse vulgo et huc pertinere modo docui. *Ἔργων φυλακῇ* dictum puto pro *διὰ τὸ ἔργοις πεφυλαγμένοι εἶναι*. Heilmannus, ' they admitted acceptable explanations from their opponents, as far as they found themselves in safe circumstances, not from a noble confidence.'

καὶ ὅρκοι—δύναμιν] Dionys. p. 891. *ἐν τούτοις ὑπέρβατόν τε καὶ περίφρασις· οἱ μὲν γὰρ ὅρκοι τῆς ξυναλλαγῆς τὸ σημαινόμενον ἔχουσι τοιοῦτον· οἱ δὲ περὶ τῆς φιλίας ὅρκοι, εἴ που ἄρα γένοιντο· τὸ δὲ ἴσχυον δι᾽ ὑπερβάτου κείμενον τῷ αὐτίκα ἕπεται· βούλεται γὰρ δηλοῦν· ἐν τῷ παραυτίκα ἴσχυον· τὸ δὲ πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι οὐκ ἐχόντων ἄλλοθεν δύναμιν σαφέστερον ἂν ἦν οὕτως ἐξενεχθέν· διὰ τὸ μηδὲ μίαν ἄλλην ἔχειν δύναμιν κατὰ τὸ ἄπορον ἑκατέρῳ διδόμενοι· τὸ δὲ κατάλληλον τῆς διανοίας ἦν ἂν τοιοῦτο· οἱ δὲ περὶ τῆς φιλίας ὅρκοι, εἴ που ἄρα γένοιντο, ἀπορίᾳ πίστεως ἄλλης ἑκατέρῳ διδόμενοι, ἐν τῷ παραχρῆμα ἴσχυον.* Scholiastes: *καὶ ὁπότε ὅρκους παράσχοιεν ἀλλήλοις περὶ διαλλαγῆς, παραυτίκα μόνον ἴσχυον οἱ ὅρκοι, καὶ μέχρι τούτου ἐπίστευον αὐτοῖς, ἕως ἐν ἀπορίᾳ τοῦ ἄλλως πιστεῦσαι καθεστήκεσαν· ὡς ἂν εἰ ἔλεγεν, εἰ ἦσαν ἐν ἀπορίᾳ τοῦ πιστεῦσαι τῇ ἑαυτῶν δυνάμει καὶ ἐπιθέσθαι τῇ ἑτέρων δυνάμει, ἴσχυον ἐν αὐτοῖς οἱ ὅρκοι· εἰ δὲ συνέβη τινὰ αὐτῶν δυνηθῆναι, παρ᾽ οὐδὲν θέμενος τοὺς ὅρκους ἐπετίθετο.* Verba *καὶ ὅρκοι—ξυναλλαγῆς* adscripsit Thom. M. p. 238.

ἐν δὲ τῷ παρατυχόντι—προσελάμβανε] Dionys. p. 892. *τὸ παρατυχὸν ἀντὶ τοῦ παραχρῆμα κεῖται, τό τε ἄφρακτον ἀντὶ τοῦ ἀφυλάκτου, καὶ τὸ ἥδιον τιμωρεῖσθαι διὰ τὴν πίστιν μᾶλλον ἢ ἀπὸ τοῦ προφανοῦς σκοτεινῶς περιπέφρασται καὶ ἐλλείπει τι μόριον εἰς τὸ συμπληρωθῆναι τὴν νόησιν· εἰκάζειν δέ ἐστιν, ὅτι τοῦτο βούλεται λέγειν· εἰ δέ που παρατύχοι τινὶ καιρὸς καὶ μάθοι τὸν ἐχθρὸν ἀφύλακτον, ἥδιον ἐτιμωρεῖτο, ὅτι πιστεύσαντι ἐπέθετο μᾶλλον ἢ φυλαττομένῳ, καὶ συνέσεως δόξαν προσελάμβανε, τό τε ἀσφαλὲς λογιζόμενος καὶ ὅτι διὰ τὴν ἀπάτην αὐτοῦ περιεγένετο.* Scholiastes non *τό τε*, sed *τότε* legit, ut apparet ex ejus adnotatione: *ἐν δὲ τῷ συμβαίνοντι καὶ τῷ μετὰ ταῦτα χρόνῳ ὁ ἀπὸ τύχης ἐσχηκὼς πρῶτος τὸ θαρρῆσαι καὶ δυνηθῆναι ἡδύτερον μᾶλλον διὰ τὴν πίστιν ἐπετίθετο ἤπερ ἐκ τοῦ προφανοῦς μαχόμενος· καὶ τότε μάλιστα ἀσφαλὲς ἐνόμιζε τὸ ἐπιτίθεσθαι, διὰ τὸ ἄφρακτον εὑρεῖν τὸν ἐναντίον, τοῦ ὅρκου τῷ θάρρει· καὶ διὰ τοῦτο δὲ ἥδιον μετὰ τὸν ὅρκον ἐτιμωρεῖτο, ὅτι δόξαν φρονήσεως ἐλάμβανε, τῇ ἀπάτῃ τοῦ ὅρκου καὶ τῇ τέχνῃ περιγενόμενος.* Male Krueger. p. 158. *τό τε* accipit pro *τοῦτό τε*, nam structura verborum hæc est, *καὶ ἐλογίζετο τό τε ἀσφαλὲς καὶ ὅτι—προσελάμβανε*, ut sibi respondeant *τε* et alterum *καί*. Quare etiam conjectura ejusdem et Reiskii *καὶ ἔτι ἀπάτῃ* rejicienda est, sic enim particula *τε* post *τὸ* supervacanea esset. ' Opportunitate oblata qui prior virium fiduciam nactus esset, si minus munitum animadvertisset adversarium, ob fidem eum libentius ulciscebatur, quam palam, partim quod hoc tutius putabat, partim quod prudentiæ laudem sibi victoriæ præmium accedere.' De hoc significatu vocis *ἀγώνισμα* vide ad i, 22.

ῥᾷον—ἀγάλλονται] Dionys. p. 893. Ad vocem *ἀγαθοὶ* supplendum *ὄντες* esse, putavit Reisk. At Krueger. p. 159. *ὄντες*

κέκληνται ἢ ἀμαθεῖς ἀγαθοὶ, καὶ τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται. Πάντων δ' αὐτῶν αἴτιον ἀρχὴ ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν· ἐκ δ' αὐτῶν καὶ ἐς τὸ φιλονεικεῖν καθισταμένων τὸ πρόθυμον. Οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες μετ' ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς καὶ ἀριστοκρατίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ λόγῳ θεραπεύοντες ἆθλα ἐποιοῦντο, παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι ἐτόλμησάν τε τὰ δεινότατα, ἐπεξῄεσάν τε τὰς τιμωρίας ἔτι μείζους, οὐ μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου προτιθέντες, ἐς δὲ τὸ ἑκατέροις που ἀεὶ ἡδονὴν ἔχον ὁρίζοντες καὶ ἢ μετὰ ψήφου ἀδίκου καταγνώσεως ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν ἑτοῖμοι ἦσαν τὴν αὐτίκα φιλονεικίαν ἐκπιμπλάναι. Ὥστε εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνόμιζον, εὐπρεπείᾳ δὲ λόγου οἷς ξυμβαίη ἐπιφθόνως τι διαπράξασθαι, ἄμεινον ἤκουον. Τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρων ἢ ὅτι οὐ ξυνηγωνίζοντο ἢ φθόνῳ τοῦ περιεῖναι διεφθείροντο.

ex abundantia positum existimat, ut solet poni a Græcis post καλεῖσθαι, (v. Matth. Gr. § 555. Obs. 2.) et locum sic interpretatur, 'vulgus facilius nefarios callidos se dici patiuntur, quam bonos simplices; et hujus quidem nominis eos pudet, illo vero gloriantur.' Non probo; nam sic dixisset κακοῦργοι δεξιοὶ ὄντες—ἀμαθεῖς ἀγαθοί. Vera videtur Reiskii ratio, et nimis quæsita altera; id quod collocatio participii ὄντες indicat. Jacobi: 'for most men would rather pass for wicked and cunning than for true and honest: they are ashamed of the latter, and think the first honourable.'

πάντων δ' αὐτῶν—διεφθείροντο] Dionys. p. 894.

οἱ γὰρ ἐν ταῖς πόλεσι—ἐκπιμπλάναι] De optimatum popularique imperio v. Poppon. Proleg. t. ii. p. 28. Pro dativo προτιμήσει exspectes genitivum προτιμήσεως, qui pendet ex ὀνόματος, vel addere debebat δῆθεν, 'anteponentes scilicet vel civilem populi æquabilitatem, vel moderatam optimatum dominationem.' Latinum fecit hunc locum Sallust. Cat. 38. 'Per illa tempora quicunque rempublicam agitavere, honestis nominibus, alii sicuti jura populi defenderent, pars quo senatus auctoritas maxima foret, bonum publicum simulantes pro sua quisque potentia certabant, neque illis modestia neque modus contentionis erat: utrique victoriam crudeliter exercebant.' In his προστιθέντες habent Dionys. et K. Ferri tamen potest vulgata, quoniam de imperium habentibus, nimirum quos dixit vel imperium populare vel optimatium tuitos esse loquitur. Dionysii scripturam præfert Krueger. p. 161. Vid. de differentia horum verborum ad iii, 44.

εὐσεβείᾳ—ἤκουον] Haack. et qui cum eo hunc errorem communem habet, Krueger. ad Dionys. p. 161. non recordati, νομίζειν nostro scriptori cum dativo jungi, velut ii, 38., ubi vide notam, varie locum tentarunt. Schol. vocabulum ἐπιφθόνως in bonam partem accipiens ita interpretatur, ὥστε μετ' εὐσεβείας μὲν πρᾶξαί τι οὐδετέρῳ φροντὶς ἦν οὐδὲ σπουδή· οἷς τισὶ δὲ συνέβαινεν ἐξαπατήσασι διὰ λόγου τινὸς εὐπρεποῦς πρᾶξαί τι γενναῖον, οὗτοι ἐπῃνοῦντο. Jam quæ sequuntur in eodem scholio ad vocem εὔηθες paulo inferius positam spectant. Et ἐπιφθόνως est 'cum invidia,' 'something hateful,' 'detestable.' De duabus interpretationibus, quas Heilm. proposuit, altera in nota posita præferenda videtur, 'religio neutris ulla erat; sed speciosis nominibus facta obtegentes, si qui nefasti quid perpetrassent, melius audiebant.' Hoc dicit: si religio hos homines et divini numinis metus retinuisset, multa inauditæ adhuc immanitatis admittere horruissent; jam quæ nefaria patrabant, quæ aliis temporibus homines abominati essent, nunc vel excusabant, vel levia esse putabant, vel speciosa nomina prætexentes defendebant; quo factum est, ut conscelerati homines melius audirent.

φθόνῳ] Schol. οἱ δὲ μέσοι τῶν πολιτῶν

83. Οὕτω πᾶσα ἰδέα κατέστη κακοτροπίας διὰ τὰς στάσεις τῷ Ἑλληνικῷ, καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει, καταγελασθὲν ἠφανίσθη, τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τῇ γνώμῃ ἀπίστως ἐπὶ πολὺ διήνεγκεν· οὐ γὰρ ἦν ὁ διαλύσων οὔτε λόγος ἐχυρὸς οὔτε ὅρκος φοβερὸς, κρείσσους δὲ ὄντες ἅπαντες λογισμῷ ἐς τὸ ἀνέλπιστον τοῦ βεβαίου, μὴ παθεῖν μᾶλλον προεσκόπουν ἢ πιστεῦσαι ἐδύναντο. Καὶ οἱ φαυλότεροι γνώμην ὡς τὰ πλείω περιεγίγνοντο· τῷ γὰρ δεδιέναι τό τε αὐτῶν ἐνδεὲς καὶ τὸ τῶν ἐναντίων ξυνετὸν μὴ λόγοις τε ἥσσους ὦσι καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς γνώμης φθάσωσι προεπιβουλευόμενοι, τολμηρῶς πρὸς τὰ ἔργα ἐχώρουν. Οἱ δὲ καταφρονοῦντες κἂν προαισθέσθαι καὶ ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβάνειν ἃ γνώμῃ ἔξεστιν ἄφρακτοι μᾶλλον διεφθείροντο.

84. [Ἐν δ' οὖν τῇ Κερκύρᾳ τὰ πολλὰ αὐτῶν προετολμήθη, καὶ ὁπόσα ὕβρει μὲν ἀρχόμενοι τὸ πλέον ἢ σωφροσύνῃ

(τουτέστιν οἱ μηδετέρῳ μέρει προστιθέμενοι, μήτε τῷ τῶν δημοτικῶν μήτε τῷ τῶν ὀλιγαρχικῶν, ἀλλ' ἡσυχάζοντες καὶ μὴ θέλοντες στασιάζειν) ὑπ' ἀμφοτέρων ἐφθείροντο, ἢ ὅτι οὐ συνηγωνίζοντο τοῖς στασιώταις παρακαλοῦσιν, ἢ φθονούμενοι ὑπὸ τῶν στασιαζόντων, ὡς ἀπειθεῖς αὐτοῖς εἶναι θέλοντες, unde patet περιεῖναι ei visum significare, 'superiores esse,' ideoque 'dicto non audientes.' Mihi videtur significari, 'superstites e certamine esse.' Heilm.: 'or because they could not bear that they should safely escape.'

83. Dionys. p. 895. usque ad finem hujus cap.

τὸ εὔηθες] τὸ ἁπλοῦν, τὸ ἀπόνηρον. Schol. σημείωσαι δὲ, ait, τὸ εὔηθες ἐπὶ καλοῦ. Et huc pertinet scholion alieno loco vulgo positum, τὸ δὲ εὔηθες τὸ ἁπλοῦν καὶ τὸ ἀπόνηρον δηλοῖ. Idem monent Photius, Suidas, Mœris, Anecdota Bekk. i. p. 91. Etym. M. Thom. M. p. 382. Conf. Suidas in ἡδύς· εὐήθης· ἐκάλουν δὲ οὕτω καὶ τοὺς ὑπομώρους. Wesseling. ad Diod. v. p. 383. Albert. ad Hesych. in εὐήθεια et εὔηθες. Foësius Œc. Hippocrat. p. 248. Polluc. iii, 119. Confer nostrum 'simplicity,' quod et ipsum duos significatus habet; Galli 'bonhommie.' Add. Krueger.

κρείσσους—ἐδύναντο] Scholiastes, βέποντες δὲ οἱ ἄνθρωποι τοῖς λογισμοῖς πρὸς τὸ μὴ ἐλπίζειν τινὰ πίστιν καὶ βεβαιότητα προενοοῦντο μᾶλλον, ἵνα μὴ πάθωσιν αὐτοὶ κακῶς· πιστεῦσαι δὲ οὐκ ἐδύναντο. Paulo ante, καταγελασθὲν ἠφανίσθη interpretor 'ridiculo fuit et paulatim evanuit,' et διήνεγκεν cum scholiaste, κρεῖττον ἐγένετο. Mox, de verbis φαυλότεροι γνώμην vide ad iii, 37.

οἱ δὲ καταφρονοῦντες] i. e. οἱ δὲ διὰ καταφρόνησιν αὐτῶν πεποιθότες, κἂν προαισθέσθαι καὶ—δεῖν λαμβάνειν, etc. Sic Herodotus, i, 66. καὶ δή σφιν οὐκέτι ἀπέχρα ἡσυχίην ἄγειν, ἀλλὰ καταφρονήσαντες Ἀρκάδων κρέσσονες εἶναι, ἐχρηστηριάζοντο ἐν Δελφοῖσιν, etc., ubi v. interpp.

84. Ἐν δ' οὖν—αὐτῶν] Memorabile extat scholion ad hoc caput, sani judicii plenum, quod juvat paulo accuratius exsequi, τὰ ὠβελισμένα οὐδενὶ τῶν ἐξηγητῶν ἔδοξε Θουκυδίδου εἶναι. Ἀσαφῆ γὰρ καὶ τῷ τύπῳ τῆς ἑρμηνείας καὶ τοῖς διανοήμασι πολὺν ἐμφαίνοντα τὸν νεωτερισμόν. Verissime, si quid video. Prima enunciatio per tres optativos pendentes ex ὁπόσα continuatur, qui, cum nulla sententia principali inclusi sint, neque in rotunditatem periodi conformati, orationem languidam reddunt, et gressum ejus lentum frigidumque, ideoque ab indole Thucydidis abhorrent. Verbis ὕβρει τὸ πλέον ἢ σωφροσύνῃ comparatio instituitur inepta, quæ historicum nostrum imitatur quidem, sed alieno tempore: ubi enim perpetrata sunt, qualia tunc Corcyræ, quid opus erat dicere ea 'non temperanter' patrata esse! Ἀρχόμενοι dixit respiciens, ut videtur, illa cap. 81. καὶ ἔδοξε μᾶλλον ὠμὴ στάσις, διότι ἐν τοῖς πρώτη ἐγένετο, porro illa cap. 85. οἱ μὲν οὖν κατὰ τὴν πόλιν Κερκυραῖοι τοιαύταις ὀργαῖς ταῖς πρώταις ἐς ἀλλήλους

ὑπὸ τῶν τὴν τιμωρίαν παρασχόντων οἱ ἀνταμυνόμενοι δράσειαν, πενίας δὲ τῆς εἰωθυίας ἀπαλλαξείοντές τινες, μάλιστα δ' ἂν διὰ πάθους ἐπιθυμοῦντες τὰ τῶν πέλας ἔχειν, παρὰ δίκην γιγνώσκοιεν, οἵ τε μὴ ἐπὶ πλεονεξίᾳ ἀπὸ ἴσου δὲ μάλιστα ἐπιόντες, ἀπαιδευσίᾳ ὀργῆς πλεῖστον ἐκφερόμενοι ὠμῶς καὶ ἀπαραιτήτως ἐπέλθοιεν. Ξυνταραχθέντος τε τοῦ βίου ἐς τὸν καιρὸν τοῦτον τῇ πόλει καὶ τῶν νόμων κρατήσασα ἡ ἀνθρωπεία φύσις εἰωθυῖα καὶ παρὰ τοὺς νόμους ἀδικεῖν ἀσμένη ἐδήλωσεν ἀκρατὴς μὲν ὀργῆς οὖσα, κρείσσων δὲ τοῦ δικαίου, πολεμία δὲ τοῦ προὔχοντος· οὐ γὰρ ἂν τοῦ τε ὁσίου τὸ τιμωρεῖσθαι προὐτίθεσαν τοῦ τε μὴ ἀδικεῖν τὸ κερδαίνειν, ἐν ᾧ μὴ βλάπτουσαν ἰσχὺν εἶχε τὸ φθονεῖν. Ἀξιοῦσί τε τοὺς κοινοὺς περὶ τῶν τοιούτων οἱ ἄνθρωποι νόμους, ἀφ' ὧν ἅπασιν ἐλπὶς ὑπόκειται σφαλεῖσι κἂν αὐτοὺς διασώζεσθαι, ἐν

ἐχρήσαντο, quæ verba prorsus præter necessitatem adjecta essent, si quod tractamus caput genuinum esset. Verba ὑπὸ—παρασχόντων non habent unde pendeant. Verbum ἀνταμυνόμενοι nonnisi semel apud Thucydidem iv, 19. legitur, neque id debebat ex hoc loco spurio tanquam Thucydideum afferre Herm. ad Soph. Antig. 639. Deinde non minus absurda sunt illa πενίας τῆς εἰωθυίας et διὰ πάθους, nam et quod consuetum est, facilius toleratur, neque causa fit novarum rerum quærendarum, et quid verba διὰ πάθους sibi velint, velim mihi aliquis explicet. Auctores seditionum ponit primo loco nescio quos ὕβρει ἀρχομένους ἀνταμυνομένους, secundo paupertatis exuendæ cupidos et fortunas alienas occupantes, tertio non habendi cupidos, sed ἀπὸ ἴσου μάλιστα ἐπιόντας, et hos postremos dicit ἀπαιδευσίᾳ ὀργῆς πλεῖστον ἐκφερομένους. At qualis contrariorum positio, μὴ ἐπὶ πλεονεξίᾳ ἀπὸ ἴσου δέ! Ecquid vel cogitari stolidius, vel dici potest obscurius? Nam ἀπὸ ἴσου quidem nihil aliud in hoc nexu esse potest nisi vel 'paribus viribus,' vel 'ex æquo,' quibuscum quam conveniat ἡ ἀπαιδευσία ὀργῆς, intelligis. Profecto hæc si cognita fuissent Dionysio, aut pro eo quod verum est, i. e. pro spuriis habuisset, aut Thucydideæ σκολιότητος exemplum ea ponere non neglexisset. At, puto, meliora quæ sequuntur. Sequitur politici scilicet hominis γνωμολογία, vir plane Thucydideus et ipse Thucydides. Animadverte primum genitivum absolutum, ξυνταραχθέντος τοῦ βίου, quem excipit nominativus absolutus, ἡ ἀνθρωπεία φύσις, quæ verba sumsit e Thuc. i, 22., nisi sic malis, verbis καὶ τῶν νόμων apodosin incipere; id quod ut in tam vili corpore flocci facio. Sed illud, εἰωθυῖα καὶ παρὰ τοὺς νόμους ἀδικεῖν, et illa, ἀσμένως ἐδήλωσεν ἀκρατὴς ὀργῆς οὖσα, i. e. 'vel adversus leges peccare solita' et 'libenter se impotentem iræ esse manifestavit,' qui a sano homine proferri potuisse judices? Deinde velim doceri quinam sit ὁ προὔχων, cui inimica dicitur humana natura. Verba οὐ γὰρ ἂν—τὸ φθονοῦν, qui nullam prorsus de authentia et integritate hujus panni dubitationem habuit, Heilm. ita interpretatur, 'men could not otherwise have awarded the preference to revenge over righteous duty, and to lucre over a habit of justice, if envy had not so pernicious a power over them:' ubi ineptus interpolator male intellectam formulam ἐν ᾧ, quæ nihil aliud significare potest nisi 'dum,' posuit pro εἰ μή. Hoc est illud quod Cicero dixit, 'quosdam, cum mutila quædam et hiantia locuti sunt, quæ vel sine magistro facere potuerunt, germanos se putare Thucydidas.' (Orat. c. 9.) In postremis dicere velle videtur, violare talibus temporibus homines illas leges, quas si non violarent, sperare possent fore ut salvi abirent, si quando ipsi vincantur, et hostibus succumbant: ubi plane non habent verba περὶ τῶν τοιούτων, quo referantur. Abi jam, veterator, non laudo. Recens hæc adjecta esse, probat etiam scholiorum paucitas, et grammaticorum silentium.

ἄλλων τιμωρίαις προκαταλύειν καὶ μὴ ὑπολείπεσθαι, εἴ ποτε ἄρα τις κινδυνεύσας τινὸς δεήσεται αὐτῶν.]

85. Οἱ μὲν οὖν κατὰ τὴν πόλιν Κερκυραῖοι τοιαύταις ὀργαῖς ταῖς πρώταις ἐς ἀλλήλους ἐχρήσαντο, καὶ ὁ Εὐρυμέδων καὶ οἱ Ἀθηναῖοι ἀπέπλευσαν ταῖς ναυσίν· ὕστερον δὲ οἱ φεύγοντες τῶν Κερκυραίων, διεσώθησαν γὰρ αὐτῶν ἐς πεντακοσίους, τείχη τε λαβόντες, ἃ ἦν ἐν τῇ ἠπείρῳ, ἐκράτουν τῆς πέραν οἰκείας γῆς καὶ ἐξ αὐτῆς ὁρμώμενοι ἐλῄζοντο τοὺς ἐν τῇ νήσῳ καὶ πολλὰ ἔβλαπτον, καὶ λιμὸς ἰσχυρὸς ἐγένετο ἐν τῇ πόλει. Ἐπρεσβεύοντο δὲ καὶ ἐς τὴν Λακεδαίμονα καὶ Κόρινθον περὶ καθόδου· καὶ ὡς οὐδὲν αὐτοῖς ἐπράσσετο, ὕστερον χρόνῳ πλοῖα καὶ ἐπικούρους παρασκευασάμενοι διέβησαν ἐς τὴν νῆσον ἑξακόσιοι μάλιστα οἱ πάντες, καὶ τὰ πλοῖα ἐμπρήσαντες, ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς, ἀναβάντες ἐς τὸ ὄρος τὴν Ἰστώνην τεῖχος ἐνοικοδομησάμενοι ἔφθειρον τοὺς ἐν τῇ πόλει καὶ τῆς γῆς ἐκράτουν.

86. Τοῦ δ' αὐτοῦ θέρους τελευτῶντος Ἀθηναῖοι εἴκοσι ναῦς ἔστειλαν ἐς Σικελίαν καὶ Λάχητα τὸν Μελανώπου στρατηγὸν αὐτῶν καὶ Χαροιάδην τὸν Εὐφιλήτου. Οἱ γὰρ Συρακόσιοι καὶ Λεοντῖνοι ἐς πόλεμον ἀλλήλοις καθέστασαν. Ξύμμαχοι δὲ τοῖς μὲν Συρακοσίοις ἦσαν πλὴν Καμαριναίων αἱ ἄλλαι Δωρίδες πόλεις αἵπερ καὶ πρὸς τὴν τῶν Λακεδαιμονίων τὸ πρῶτον ἀρχομένου τοῦ πολέμου ξυμμαχίαν ἐτάχθησαν, οὐ μέντοι ξυνεπολέμησάν γε· τοῖς δὲ Λεοντίνοις αἱ Χαλκιδικαὶ πόλεις καὶ Καμάρινα· τῆς δὲ Ἰταλίας Λοκροὶ μὲν Συρακοσίων ἦσαν, Ῥηγῖνοι δὲ κατὰ τὸ ξυγγενὲς Λεοντίνων. Ἐς οὖν τὰς Ἀθήνας πέμψαντες οἱ τῶν Λεοντίνων ξύμμαχοι κατά τε παλαιὰν ξυμμαχίαν καὶ ὅτι Ἴωνες ἦσαν πείθουσι τοὺς Ἀθηναίους

85. καὶ τὰ πλοῖα—ᾖ] Zonar. p. 242., ubi male οὕτως pro ὅπως. Suidas in ἀπόγνοια. Verba ὅπως—γῆς Thom. M. p. 91. De formula ἄλλο τι (πράττειν) ἢ confer iii, 39. 58. iv, 14. Ernest. Glossar. Liv. 'nihil aliud.' Matth. Gr. § 634, 8.

86. Expeditionem hanc Lachetis memorat etiam schol. Aristoph. Vesp. 240. Causam belli et Gorgiæ legationem fuse narrat Diodor. xii, 53., ubi vide Wesseling.

αἱ ἄλλαι—ξυνεπολέμησαν] Vide an hinc aliquantulum lucis affundatur verbis ii, 7. πρὸς ταῖς αὐτοῦ ὑπαρχούσαις (ναυσὶν) ἐξ Ἰταλίας καὶ Σικελίας. Puto meam sententiam, ibi prolatam, his firmari: cogito, Dorienses Italiæ Siciliæque naves Lacedæmoniis initio belli præbuisse vacuas, propter consanguinitatem; ipsos non militasse, propter longinquitatem viæ. Quare recte puto jungi ibi ταῖς ναυσὶν αὐτοῦ ὑπαρχούσαις ἐξ Ἰτ. κ. Σ.

πέμψαι σφίσι ναῦς· ὑπὸ γὰρ τῶν Συρακοσίων τῆς τε γῆς εἴργοντο καὶ τῆς θαλάσσης. Καὶ ἔπεμψαν οἱ Ἀθηναῖοι τῆς μὲν οἰκειότητος προφάσει, βουλόμενοι δὲ μήτε σῖτον ἐς τὴν Πελοπόννησον ἄγεσθαι αὐτόθεν, πρόπειράν τε ποιούμενοι εἰ σφίσι δυνατὰ εἴη τὰ ἐν τῇ Σικελίᾳ πράγματα ὑποχείρια γενέσθαι. Καταστάντες οὖν ἐς Ῥήγιον τῆς Ἰταλίας τὸν πόλεμον ἐποιοῦντο μετὰ τῶν ξυμμάχων. Καὶ τὸ θέρος ἐτελεύτα.

87. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἡ νόσος τὸ δεύτερον ἐπέπεσε τοῖς Ἀθηναίοις, ἐκλιποῦσα μὲν οὐδένα χρόνον τὸ παντάπασιν, ἐγένετο δέ τις ὅμως διακωχή. Παρέμεινε δὲ τὸ μὲν ὕστερον οὐκ ἔλασσον ἐνιαυτοῦ, τὸ δὲ πρότερον καὶ δύο ἔτη, ὥστε Ἀθηναίων γε μὴ εἶναι ὅ,τι μᾶλλον ἐκάκωσε τὴν δύναμιν. Τετρακοσίων γὰρ ὁπλιτῶν καὶ τετρακισχιλίων οὐκ ἐλάσσους ἀπέθανον ἐκ τῶν τάξεων καὶ τριακοσίων ἱππέων, τοῦ δὲ ἄλλου ὄχλου ἀνεξεύρετος ἀριθμός. Ἐγένοντο δὲ καὶ οἱ πολλοὶ τότε σεισμοὶ τῆς γῆς ἔν τε Ἀθήναις καὶ ἐν Εὐβοίᾳ καὶ ἐν Βοιωτοῖς καὶ μάλιστα ἐν Ὀρχομενῷ τῷ Βοιωτίῳ.

88. Καὶ οἱ μὲν ἐν Σικελίᾳ Ἀθηναῖοι καὶ Ῥηγῖνοι τοῦ αὐτοῦ χειμῶνος τριάκοντα ναυσὶ στρατεύουσιν ἐπὶ τὰς Αἰόλου νήσους καλουμένας· θέρους γὰρ δι' ἀνυδρίαν ἀδύνατα ἦν ἐπιστρατεύειν. Νέμονται δὲ Λιπαραῖοι αὐτὰς Κνιδίων ἄποικοι ὄντες. Οἰκοῦσι δ' ἐν μιᾷ τῶν νήσων οὐ μεγάλῃ, καλεῖται δὲ Λιπάρα· τὰς δὲ ἄλλας ἐκ ταύτης ὁρμώμενοι

87. *ὥστε Ἀθηναίων — δύναμιν*] Locus valde turbatus a librariis, et multa scripturæ varietate insignis. Vulgo ita exhibetur, *ὥστε Ἀθηναίους τε μὴ εἶναι ὅ,τι μᾶλλον τούτου ἐπίεσε καὶ ἐκάκωσε τὴν δύναμιν.* A. B. E. F. H. K. L. N. O. P. c. d. f. g. h. i. *Ἀθηναίων γε.* Q. *Ἀθηναίους γε.* Porro *τούτου* omittunt A. B. E. I. L. N. O. P. c. d. f. h. i. *τούτοις* e. *ἐκάκωσε* A. B. E. F. H. K. N. c. f. g. h. omissis *ἐπίεσε καί.* Valla, 'adeo ut nihil magis Atheniensium vires afflixerit.' Nostram scripturam etiam scholiastes agnoscit. Idem adnotavit, in alio codice inveniri id quod vulgo legitur. *Τούτου* tamen et ipse agnoscit, quod interpretamentum deinde in Basilcensem edit. receptum est. Thucydidem nusquam dicere *πιέζειν τὴν δύναμίν τινος*, sed ubique *πιέζειν τινὰ*, adnotavit Popp. Obs. p. 126., qui ita conjicit legendum esse, *ὥστε Ἀθηναίους γε μὴ εἶναι ὅ,τι μᾶλλον ἐκάκωσε τὴν δύναμιν.* Sic ait intelligi, quomodo alicui in mentem venire potuerit, ut *ἐπίεσε καὶ* inserendum censeret. Paulo ante, verba *ἐγένετο—διακωχὴ* adscripsit Thom. M. p. 217. Cod. Lugdun. ap. Valcken. ad Ammon. p. 24. habet *διοκωχή.* Vide notam ad i, 40.

ἐκ τῶν τάξεων] Schol. *ἐκ τῶν συντάξεων, τῶν πολεμικῶν δηλονότι.* Videntur graviter armati significari, qui alias conscripti *ἐκ καταλόγου* dicuntur, i. e. ex albo militari, unde dicuntur *ὁπλῖται ἐκ καταλόγου*, vi, 43. V. Boëckh. Staatsh. d. Ath. t. i. p. 283. t. ii. p. 35. Hemsterh. ad Lucian. t. i. p. 425. Schneider. ad Aristot. Polit. v, 2, 8. Sturz. Lex. Xenoph. t. ii. p. 688. Conf. ad vii, 20.

γεωργοῦσι Διδύμην καὶ Στρογγύλην καὶ Ἱεράν. Νομίζουσι δὲ οἱ ἐκείνῃ ἄνθρωποι ἐν τῇ Ἱερᾷ ὡς ὁ Ἥφαιστος χαλκεύει, ὅτι τὴν νύκτα φαίνεται πῦρ ἀναδιδοῦσα πολὺ καὶ τὴν ἡμέραν καπνόν. Κεῖνται δὲ αἱ νῆσοι αὗται κατὰ τὴν Σικελῶν καὶ Μεσσηνίων γῆν, ξύμμαχοι δ' ἦσαν Συρακοσίων. Τεμόντες δ' οἱ Ἀθηναῖοι τὴν γῆν, ὡς οὐ προσεχώρουν, ἀπέπλευσαν ἐς τὸ Ῥήγιον. Καὶ ὁ χειμὼν ἐτελεύτα καὶ πέμπτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

89. Τοῦ δ' ἐπιγιγνομένου θέρους Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι μέχρι μὲν τοῦ ἰσθμοῦ ἦλθον ὡς ἐς τὴν Ἀττικὴν ἐσβαλοῦντες Ἄγιδος τοῦ Ἀρχιδάμου ἡγουμένου Λακεδαιμονίων βασιλέως, σεισμῶν δὲ γενομένων πολλῶν ἀπετράποντο πάλιν καὶ οὐκ ἐγένετο ἐσβολή. Καὶ περὶ τούτους τοὺς χρόνους τῶν σεισμῶν κατεχόντων τῆς Εὐβοίας ἐν Ὀροβίαις ἡ θάλασσα ἐπελθοῦσα ἀπὸ τῆς τότε οὔσης γῆς καὶ κυματωθεῖσα ἐπῆλθε τῆς πόλεως μέρος τι, καὶ τὸ μὲν κατέκλυσε, τὸ δ' ὑπενόστησε, καὶ θάλασσα νῦν ἐστι πρότερον οὖσα γῆ καὶ ἀνθρώπους διέφθειρεν ὅσοι μὴ ἐδύναντο φθῆναι πρὸς τὰ μετέωρα ἀναδραμόντες. Καὶ περὶ Ἀταλάντην τὴν ἐπὶ Λοκροῖς τοῖς Ὀπουντίοις νῆσον παραπλησία γίγνεται ἐπίκλυσις καὶ τοῦ τε φρουρίου τῶν Ἀθηναίων παρεῖλε καὶ δύο

88. *νομίζουσι*] "In fabulosis, quæ perpauca duntaxat attigit, *λέγεται* ponere solet Thucydides; quo historicorum principe mihi quidem minus digna videntur, quæ prostant in fine p. 221. [Duk. iii, 88.] *νομίζουσι δὲ*, etc. quo libenter referrem scholion e Ms. ad finem p. 219. [iii, 84.] relatum, *τὰ ὠβελισμένα οὐδενὶ τῶν ἐξηγητῶν ἔδοξε Θουκυδίδου εἶναι.*" Valcken. ad Herodot. vii, 198. Quo jure scholion illud huc retulerit, supra ad cap. 84. vidimus, neque in his quidquam est *ἀθουκυδίδειον*, ex meo quidem sensu. Fortasse offendit verbis *Σικελῶν καὶ Μεσσηνίων*, quibuscum confer *Καύνου καὶ Καρίας*, i, 116. ubi vide.

89. *κατεχόντων*] i. e. 'terræ motu sæviente Orobiis in Eubœa.' Mox legendum videtur *ἐπανελθοῦσα ἀπὸ τῆς τότε γῆς*. Sensus enim est: mare terræ motu a litore repulsum deinde fluctibus agitatum in partem urbis recidisse. Atque tum *ἐπανελθοῦσα* tum *ἀπὸ τῆς ποτὲ γῆς* Scholiastes legisse videtur. Sed *τότε* non mutaverim, vulgatam cum Enenkelio interpretans, 'mare illatum per illam regionem qua tunc terra erat.' Etiam alter Scholiastes *ἐπανελθοῦσα* legisse videtur; utrumque scholion sic habet, *ἐπανελθοῦσα ἡ θάλασσα μέρος ἀπὸ τῆς ποτὲ οὔσης γῆς ἐπῆλθε καὶ κατέλαβε. Καλῶς δὲ εἶπε, τῆς ποτὲ οὔσης γῆς, ὡς νῦν θαλάσσης οὔσης, δηλονότι διὰ τὸν σεισμόν. Ἄλλοι δὲ οὕτως ἡ θάλασσα εἰς ἑαυτὴν ἐπαναχωρήσασα καὶ ὑποστρέψασα ἀπὸ τοῦ λιμένος καὶ τῆς γῆς ἐπὶ τὰ κυματώδη—αὖθις δ' ἐλθοῦσα ἐπὶ τὴν γῆν κατέλαβε μέρος τι ἕτερον τῆς γῆς, ὅπερ πρότερον οὐ κατεῖχε.* Cod. e. *ἐπεξελθοῦσα*. Nisi igitur malis *ἀπελθοῦσα*, certe *ἐπανελθοῦσα* recipiendum videtur. Prius quodammodo suadent grammatici Suidas, Zonaras, et Anecd. Bekk. i. p. 421. *ἀπελθῇ, ἀντὶ τοῦ ἐπανελθῇ*, Θουκυδίδης. Deinde *τὸ μὲν—τὸ δὲ* non possunt non nominativi esse. Huc pertinet Zonaras, *ὑπενόστησεν, ὑπανεχώρησεν.*

νεῶν ἀνειλκυσμένων τὴν ἑτέραν κατέαξεν. Ἐγένετο δὲ καὶ ἐν Πεπαρήθῳ κύματος ἐπαναχώρησίς τις, οὐ μέντοι ἐπέκλυσέ γε· καὶ σεισμὸς τοῦ τείχους τι κατέβαλε καὶ τὸ πρυτανεῖον καὶ ἄλλας οἰκίας ὀλίγας. Αἴτιον δ' ἔγωγε νομίζω τοῦ τοιούτου, ᾗ ἰσχυρότατος ὁ σεισμὸς ἐγένετο, κατὰ τοῦτο ἀποστέλλειν τε τὴν θάλασσαν καὶ ἐξαπίνης πάλιν ἐπισπωμένην βιαιότερον τὴν ἐπίκλυσιν ποιεῖν· ἄνευ δὲ σεισμοῦ οὐκ ἄν μοι δοκεῖ τὸ τοιοῦτο ξυμβῆναι γενέσθαι.

90. Τοῦ δ' αὐτοῦ θέρους ἐπολέμουν μὲν καὶ ἄλλοι ὡς ἑκάστοις ξυνέβαινεν ἐν τῇ Σικελίᾳ, καὶ αὐτοὶ οἱ Σικελιῶται ἐπ' ἀλλήλους στρατεύοντες καὶ οἱ Ἀθηναῖοι ξὺν τοῖς σφετέροις ξυμμάχοις· ἃ δὲ λόγου μάλιστα ἄξια ἢ μετὰ τῶν Ἀθηναίων οἱ ξύμμαχοι ἔπραξαν ἢ πρὸς τοὺς Ἀθηναίους οἱ ἀντιπολέμιοι, τούτων μνησθήσομαι. Χαροιάδου γὰρ ἤδη τοῦ Ἀθηναίων στρατηγοῦ τεθνηκότος ὑπὸ Συρακοσίων πολέμῳ Λάχης ἅπασαν ἔχων τῶν νεῶν τὴν ἀρχὴν ἐστράτευσε μετὰ τῶν ξυμμάχων ἐπὶ Μυλὰς τὰς τῶν Μεσσηνίων. Ἔτυχον δὲ δύο φυλαὶ ἐν ταῖς Μυλαῖς τῶν Μεσσηνίων φρουροῦσαι καί τινα καὶ ἐνέδραν πεποιημέναι τοῖς ἀπὸ τῶν νεῶν. Οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι τούς τε ἐκ τῆς ἐνέδρας τρέπουσι καὶ διαφθείρουσι πολλούς, καὶ τῷ ἐρύματι προσβαλόντες ἠνάγκασαν ὁμολογίᾳ τήν τε ἀκρόπολιν παραδοῦναι καὶ ἐπὶ Μεσσήνην ξυστρατεῦσαι. Καὶ μετὰ τοῦτο ἐπελθόντων οἱ Μεσσήνιοι τῶν τε Ἀθηναίων καὶ τῶν ξυμμάχων προσεχώρησαν καὶ αὐτοὶ ὁμήρους τε δόντες καὶ τἄλλα πιστὰ παρασχόμενοι.

91. Τοῦ δ' αὐτοῦ θέρους οἱ Ἀθηναῖοι τριάκοντα μὲν ναῦς ἔστειλαν περὶ Πελοπόννησον, ὧν ἐστρατήγει Δημοσθένης τε ὁ Ἀλκισθένους καὶ Προκλῆς ὁ Θεοδώρου, ἑξήκοντα δὲ ἐς Μῆλον καὶ δισχιλίους ὁπλίτας, ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου. Τοὺς γὰρ Μηλίους ὄντας νησιώτας καὶ οὐκ ἐθέλοντας ὑπακούειν οὐδὲ ἐς τὸ αὐτῶν ξυμμαχικὸν ἰέναι ἐβούλοντο προσαγαγέσθαι. Ὡς δὲ αὐτοῖς δῃουμένης τῆς γῆς οὐ προσεχώρουν, ἄραντες ἐκ τῆς Μήλου αὐτοὶ μὲν ἔπλευσαν ἐς Ὠρωπὸν τῆς πέραν γῆς, ὑπὸ νύκτα δὲ σχόντες

ἐγένετο—τις] Thom. M. p. 333. ubi est μέντοι pro δὲ καί.

90. πεποιημέναι] πεποιηκέναι L. O. P. unde πεποιηκυῖαι efficit Coraës ad Plutarch. t. i. p. 375.

εὐθὺς ἐπορεύοντο οἱ ὁπλῖται ἀπὸ τῶν νεῶν πεζῇ ἐς Τάναγραν τῆς Βοιωτίας. Οἱ δ' ἐκ τῆς πόλεως πανδημεὶ Ἀθηναῖοι Ἱππονίκου τε τοῦ Καλλίου στρατηγοῦντος καὶ Εὐρυμέδοντος τοῦ Θουκλέους ἀπὸ σημείου ἐς τὸ αὐτὸ κατὰ γῆν ἀπήντων. Καὶ στρατοπεδευσάμενοι ταύτην τὴν ἡμέραν ἐν τῇ Τανάγρᾳ ἐδῄουν καὶ ἐνηυλίσαντο. Καὶ τῇ ὑστεραίᾳ μάχῃ κρατήσαντες τοὺς ἐπεξελθόντας τῶν Ταναγραίων καὶ Θηβαίων τινὰς προσβεβοηθηκότας καὶ ὅπλα λαβόντες καὶ τροπαῖον στήσαντες ἀνεχώρησαν, οἱ μὲν ἐς τὴν πόλιν, οἱ δὲ ἐπὶ τὰς ναῦς. Καὶ παραπλεύσας ὁ Νικίας ταῖς ἑξήκοντα ναυσὶ τῆς Λοκρίδος τὰ ἐπιθαλάσσια ἔτεμε καὶ ἀνεχώρησεν ἐπ' οἴκου.

92. Ὑπὸ δὲ τὸν χρόνον τοῦτον Λακεδαιμόνιοι Ἡράκλειαν τὴν ἐν Τραχινίαις ἀποικίαν καθίσταντο ἀπὸ τοιᾶσδε γνώμης. Μηλιῆς οἱ ξύμπαντες εἰσὶ μὲν τρία μέρη, Παράλιοι, Ἱερῆς, Τραχίνιοι· τούτων δὲ οἱ Τραχίνιοι πολέμῳ ἐφθαρμένοι ὑπὸ Οἰταίων ὁμόρων ὄντων τὸ πρῶτον μελλήσαντες Ἀθηναίοις προσθεῖναι σφᾶς αὐτοὺς, δείσαντες δὲ μὴ οὐ σφίσι πιστοὶ ὦσι, πέμπουσιν ἐς Λακεδαίμονα, ἑλόμενοι πρεσβευτὴν Τισαμενόν. Ξυνεπρεσβεύοντο δὲ αὐτοῖς καὶ Δωριῆς ἡ μητρόπολις τῶν Λακεδαιμονίων τῶν αὐτῶν δεόμενοι· ὑπὸ γὰρ τῶν Οἰταίων καὶ αὐτοὶ ἐφθείροντο. Ἀκούσαντες δὲ οἱ Λακεδαιμόνιοι γνώμην εἶχον τὴν ἀποικίαν ἐκπέμπειν, τοῖς τε Τραχινίοις βουλόμενοι καὶ τοῖς Δωριεῦσι τιμωρεῖν. Καὶ ἅμα τοῦ πρὸς Ἀθηναίους πολέμου καλῶς αὐτοῖς ἐδόκει ἡ πόλις καθίστασθαι· ἐπί τε γὰρ τῇ Εὐβοίᾳ ναυτικὸν παρασκευασθῆναι ἄν, ὥστ' ἐκ βραχέος τὴν διάβασιν γίγνεσθαι, τῆς τε ἐπὶ Θρᾴκης παρόδου χρησίμως ἕξειν. Τό τε ξύμπαν ὥρμηντο τὸ χωρίον κτίζειν. Πρῶτον μὲν οὖν ἐν Δελφοῖς τὸν θεὸν ἐπήροντο· κελεύοντος δὲ ἐξέπεμψαν τοὺς οἰκήτορας αὐτῶν τε καὶ τῶν περιοίκων, καὶ τῶν ἄλλων Ἑλλήνων τὸν βουλόμενον ἐκέλευον ἕπεσθαι πλήν γ' Ἰώνων καὶ Ἀχαιῶν καὶ ἔστιν ὧν ἄλλων ἐθνῶν. Οἰκισταὶ δὲ τρεῖς Λακεδαιμονίων ἡγήσαντο Λέων καὶ Ἀλκίδας καὶ Δαμάγων. Καταστάντες δὲ ἐτείχισαν τὴν πόλιν ἐκ καινῆς, ἣ νῦν Ἡράκλεια καλεῖται, ἀπέχουσα

91. Ἱππονίκου] V. Boëckh. Staatsh. d. Ath. t. ii. p. 14. Heind. ad Plat. Cratyl. p. 5.

92. Δωριῆς] Δώριον Priscian. p. 1099. Putsch.

Θερμοπυλῶν σταδίους μάλιστα τεσσαράκοντα, τῆς δὲ θαλάσσης εἴκοσι. Νεώριά τε παρεσκευάζοντο καὶ ἤρξαντο κατὰ Θερμοπύλας κατ' αὐτὸ τὸ στενὸν, ὅπως εὐφύλακτα αὐτοῖς εἴη.

93. Οἱ δὲ Ἀθηναῖοι τῆς πόλεως ταύτης ξυνοικιζομένης τὸ πρῶτον ἔδεισάν τε καὶ ἐνόμισαν ἐπὶ τῇ Εὐβοίᾳ μάλιστα καθίστασθαι, ὅτι βραχύς ἐστιν ὁ διάπλους πρὸς τὸ Κήναιον τῆς Εὐβοίας. Ἔπειτα μέντοι παρὰ δόξαν αὐτοῖς ἀπέβη· οὐ γὰρ ἐγένετο ἀπ' αὐτῆς δεινὸν οὐδέν. Αἴτιον δὲ ἦν· οἵ τε Θεσσαλοὶ ἐν δυνάμει ὄντες τῶν ταύτῃ χωρίων καὶ ὧν ἐπὶ τῇ γῇ ἐκτίζετο φοβούμενοι μὴ σφίσι μεγάλῃ ἰσχύϊ παροικῶσιν, ἔφθειρον καὶ διὰ παντὸς ἐπολέμουν ἀνθρώποις νεοκαταστάτοις, ἕως ἐξετρύχωσαν γενομένους τὸ πρῶτον καὶ πάνυ πολλούς· πᾶς γάρ τις Λακεδαιμονίων οἰκιζόντων θαρσαλέως ᾔει, βέβαιον νομίζων τὴν πόλιν. Οὐ μέντοι ἥκιστα οἱ ἄρχοντες αὐτῶν τῶν Λακεδαιμονίων οἱ ἀφικνούμενοι τά πράγματά τε ἔφθειρον καὶ ἐς ὀλιγανθρωπίαν κατέστησαν, ἐκφοβήσαντες τοὺς πολλοὺς, χαλεπῶς τε καὶ ἔστιν ἃ οὐ καλῶς ἐξηγούμενοι, ὥστε ῥᾷον ἤδη αὐτῶν οἱ πρόσοικοι ἐπεκράτουν.

94. Τοῦ δ' αὐτοῦ θέρους καὶ περὶ τὸν αὐτὸν χρόνον ὃν ἐν τῇ Μήλῳ οἱ Ἀθηναῖοι κατείχοντο καὶ οἱ ἀπὸ τῶν τριάκοντα νεῶν Ἀθηναῖοι περὶ Πελοπόννησον ὄντες πρῶτον ἐν Ἐλλομένῳ τῆς Λευκαδίας φρουρούς τινας λοχήσαντες διέφθειραν, ἔπειτα ὕστερον ἐπὶ Λευκάδα μείζονι στόλῳ ἦλθον, Ἀκαρνᾶσί τε πᾶσιν, οἳ πανδημεὶ πλὴν Οἰνιαδῶν ξυνέσποντο, καὶ Ζακυνθίοις καὶ Κεφαλλῆσι καὶ Κερκυραίων πεντεκαίδεκα ναυσί. Καὶ οἱ μὲν Λευκάδιοι, τῆς τε ἔξω γῆς δῃουμένης καὶ τῆς ἐντὸς τοῦ ἰσθμοῦ, ἐν ᾗ καὶ ἡ Λευκάς ἐστι καὶ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, πλήθει βιαζόμενοι ἡσύχαζον· οἱ δὲ Ἀκαρνᾶνες ἠξίουν Δημοσθένην τὸν στρατηγὸν τῶν Ἀθηναίων ἀποτειχίζειν αὐτοὺς, νομίζοντες ῥᾳδίως τ' ἂν ἐκπολιορκῆσαι πόλεώς τε ἀεὶ σφίσι πολεμίας ἀπαλλαγῆναι. Δημοσθένης δ' ἀναπείθεται κατὰ τὸν χρόνον τοῦτον ὑπὸ Μεσσηνίων ὡς καλὸν αὐτῷ στρατιᾶς

93. νεοκαταστάτοις] ἀντὶ τοῦ νεωστὶ κατῳκισμένοις explicant Photius, Suidas, Phavorinus.

94. Λευκαδίας] Ita soli habere videntur E. G. ceteri Ἀρκαδίας. Valla jam lectionem receptam in suo codice invenit; nam vertit, 'apud Ellomenum Leucadiæ.' Prorsus ab hoc loco abhorret mentio Arcadiæ.

τοσαύτης ξυνειλεγμένης Αἰτωλοῖς ἐπιθέσθαι, Ναυπάκτῳ τε πολεμίοις οὖσι, καὶ ἢν κρατήσῃ αὐτῶν, ῥᾳδίως καὶ τὸ ἄλλο Ἠπειρωτικὸν τὸ ταύτῃ Ἀθηναίοις προσποιήσειν. Τὸ γὰρ ἔθνος μέγα μὲν εἶναι τὸ τῶν Αἰτωλῶν καὶ μάχιμον, οἰκοῦν δὲ κατὰ κώμας ἀτειχίστους καὶ ταύτας διὰ πολλοῦ καὶ σκευῇ ψιλῇ χρώμενον, οὐ χαλεπὸν ἀπέφαινον, πρὶν ξυμβοηθῆσαι, καταστραφῆναι. Ἐπιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν Ἀποδώτοις, ἔπειτα δὲ Ὀφιονεῦσι, καὶ μετὰ τούτους Εὐρυτᾶσιν, ὅπερ μέγιστον μέρος ἐστὶ τῶν Αἰτωλῶν, ἀγνωστότατοι δὲ γλῶσσαν καὶ ὠμοφάγοι εἰσὶν, ὡς λέγονται· τούτων γὰρ ληφθέντων ῥᾳδίως καὶ τἄλλα προσχωρήσειν.

95. Ὁ δὲ τῶν Μεσσηνίων χάριτι πεισθεὶς καὶ μάλιστα νομίσας ἄνευ τῆς τῶν Ἀθηναίων δυνάμεως τοῖς Ἠπειρώταις ξυμμάχοις μετὰ τῶν Αἰτωλῶν δύνασθαι ἂν κατὰ γῆν ἐλθεῖν ἐπὶ Βοιωτοὺς διὰ Λοκρῶν τῶν Ὀζολῶν ἐς Κυτίνιον τὸ Δωρικὸν ἐν δεξιᾷ ἔχων τὸν Παρνασσὸν, ἕως καταβαίη ἐς Φωκέας, οἳ προθύμως ἐδόκουν κατὰ τὴν Ἀθηναίων ἀεί ποτε φιλίαν ξυστρατεύειν ἢ κἂν βίᾳ προσαχθῆναι· καὶ Φωκεῦσιν ἤδη ὅμορος ἡ Βοιωτία ἐστίν· ἄρας οὖν ξύμπαντι τῷ στρατεύματι ἀπὸ τῆς Λευκάδος ἀκόντων Ἀκαρνάνων παρέπλευσεν ἐς Σόλλιον. Κοινώσας δὲ τὴν ἐπίνοιαν τοῖς Ἀκαρνᾶσιν, ὡς οὐ προσεδέξαντο διὰ τῆς Λευκάδος τὴν οὐ περιτείχισιν, αὐτὸς τῇ λοιπῇ στρατιᾷ, Κεφαλλῆσι καὶ Μεσσηνίοις καὶ Ζακυνθίοις καὶ Ἀθηναίων τριακοσίοις τοῖς ἐπιβάταις τῶν σφετέρων νεῶν, αἱ γὰρ πεντεκαίδεκα τῶν Κερκυραίων ἀπῆλθον νῆες, ἐστράτευσεν ἐπ' Αἰτωλούς. Ὡρμᾶτο δὲ ἐξ Οἰνεῶνος τῆς Λοκρίδος. Οἱ δὲ Ὀζόλαι οὗτοι Λοκροὶ ξύμμαχοι ἦσαν, καὶ ἔδει αὐτοὺς πανστρατιᾷ ἀπαντῆσαι τοῖς Ἀθηναίοις ἐς τὴν μεσόγειαν· ὄντες γὰρ ὅμοροι τοῖς Αἰτωλοῖς καὶ ὁμόσκευοι μεγάλη ὠφέλεια ἐδόκουν εἶναι ξυστρατεύοντες μάχης τε ἐμπειρίᾳ τῆς ἐκείνων καὶ χωρίων.

95. *ἐν δεξιᾷ ἔχων*] A. B. Vulgo *ἔχον*.

ξυστρατεύειν] V. Poppo Proleg. t. i. p. 158. Conf. iv, 24. ubi post *ἤλπιζον* infertur infinitivus tum aoristi tum præsentis.

οὐ περιτείχισιν] Eustath. ad Hom. Il. i. p. 111. Rom. ὅτι μυριαχοῦ φίλον τοῖς ῥήτορσιν ἀντὶ καταφάσεων ἐνδεεῖ χρῆσθαι σχήματι τῷ κατὰ ἀπόφασιν, ὡς καὶ ὅτε εἴπῃ τὸ οὐ γάρ μιν ἀφαυρότατος βάλεν, ἀλλὰ δηλαδὴ ὁ ἰσχυρότατος, οὕτω καὶ ὅτε φησίν· ὡς οὐ γήθησεν Ἀχιλλεὺς ἰδὼν τοὺς ἐκ βασιλέως κήρυκας, ἀλλ' ὑπελυπήθη ἐν τῷ λονότι· τοιοῦτον καὶ τῶν ὕστερον Ἐπικούρου μὲν τὸ οὐ παραγένησις ἤτοι ἀποδημία, καὶ Θουκυδίδου τὸ διὰ τὴν οὐ περιτείχισιν, ἤγουν τὸ ἀτείχιστον. Vid. ad i, 137. Mox, vulgo *μεσόγειον*. Receptam scripturam præbent A. B. E. F. H. Q. e. f. *μεσόγεαν* I. *μεσόγαιαν* S.

96. Αὐλισάμενος δὲ τῷ στρατῷ ἐν τοῦ Διὸς τοῦ Νεμείου τῷ ἱερῷ, ἐν ᾧ Ἡσίοδος ὁ ποιητὴς λέγεται ὑπὸ τῶν ταύτῃ ἀποθανεῖν, χρησθὲν αὐτῷ ἐν Νεμέᾳ τοῦτο παθεῖν, ἅμα τῇ ἕῳ ἄρας ἐπορεύετο ἐς τὴν Αἰτωλίαν. Καὶ αἱρεῖ τῇ πρώτῃ ἡμέρᾳ Ποτιδανίαν καὶ τῇ δευτέρᾳ Κροκύλειον καὶ τῇ τρίτῃ Τείχιον, ἔμενέ τε αὐτοῦ καὶ τὴν λείαν ἐς Εὐπάλιον τῆς Λοκρίδος ἀπέπεμψε· τὴν γὰρ γνώμην εἶχε τἆλλα καταστρεψάμενος οὕτως ἐπὶ Ὀφιονέας, εἰ μὴ βούλοιντο ξυγχωρεῖν, ἐς Ναύπακτον ἐπαναχωρήσας στρατεῦσαι ὕστερον. Τοὺς δὲ Αἰτωλοὺς οὐκ ἐλάνθανεν αὕτη ἡ παρασκευὴ οὔτε ὅτε τὸ πρῶτον ἐπεβουλεύετο, ἐπειδή τε ὁ στρατὸς ἐσεβεβλήκει, πολλῇ χειρὶ ἐπεβοήθουν πάντες, ὥστε καὶ οἱ ἔσχατοι Ὀφιονέων οἱ πρὸς τὸν Μηλιακὸν κόλπον καθήκοντες Βωμιῆς καὶ Καλλιῆς ἐβοήθησαν.

97. Τῷ δὲ Δημοσθένει τοιόνδε τι οἱ Μεσσήνιοι παρῄνουν ὅπερ καὶ τὸ πρῶτον· ἀναδιδάσκοντες αὐτὸν τῶν Αἰτωλῶν ὡς εἴη ῥᾳδία ἡ αἵρεσις ἰέναι ἐκέλευον ὅτι τάχιστα ἐπὶ τὰς κώμας καὶ μὴ μένειν ἕως ἂν ξύμπαντες ἀθροισθέντες ἀντιτάξωνται, τὴν δ' ἐν ποσὶν ἀεὶ πειρᾶσθαι αἱρεῖν. Ὁ δὲ τούτοις τε πεισθεὶς καὶ τῇ τύχῃ ἐλπίσας, ὅτι οὐδὲν αὐτῷ ἠναντιοῦτο, τοὺς Λοκροὺς οὐκ ἀναμείνας οὓς αὐτῷ ἔδει προσβοηθῆσαι, ψιλῶν γὰρ ἀκοντιστῶν ἐνδεὴς ἦν μάλιστα, ἐχώρει ἐπὶ Αἰγιτίου, καὶ κατὰ κράτος αἱρεῖ ἐπιών. Ὑπέφευγον γὰρ οἱ ἄνθρωποι καὶ ἐκάθηντο ἐπὶ τῶν λόφων τῶν ὑπὲρ τῆς πόλεως· ἦν γὰρ ἐφ' ὑψηλῶν χωρίων ἀπέχουσα τῆς θαλάσσης ὀγδοήκοντα σταδίους μάλιστα. Οἱ δὲ Αἰτωλοὶ, βεβοηθηκότες

96. Ἡσίοδος] V. Pindar. Fragmenta, t. iii. p. 137. Heyn. apud Boëckh. vol. ii. P. ii. p. 557. Procli Vit. Hesiodi, p. 3. Dind. μετὰ τὴν νίκην ἥν αὐτὸν νενικηκέναι φασὶν ἐπὶ τῇ τελευτῇ Ἀμφιδάμαντος εἰς Δελφοὺς ἐπορεύθη καὶ ἐδόθη αὐτῷ οὑτοσὶ ὁ χρησμὸς, ei fato destinatum esse in luco Jovis Nemei obire. Ὁ δὲ τὴν ἐν Πελοποννήσῳ Νεμέαν φυγὼν ἐν Οἰνόῃ τῆς Λοκρίδος ὑπὸ Ἀμφιφάνους καὶ Γανύκτορος τῶν Φηγέως παίδων ἀναιρεῖται καὶ ῥίπτεται εἰς τὴν θάλασσαν, ὡς φθείρας τὴν ἀδελφὴν ἐκείνων Κλυμένην, ἐξ ἧς ἐγεννήθη Στησίχορος· ἐκαλεῖτο δὲ ἡ Οἰνόη Διὸς Νεμείου ἱερόν. V. Holsten. ad Stephan. Byzant. in Νεμέα. Fusius causam mortis exponit Plutarch. Dioclis Conviv. versus fin. De casu absoluto χρησθὲν v. Herm. ad Viger. p. 760, 213.

Κροκύλειον] Eustath. ad Homer. Il. ii. p. 307. τὰ Κροκύλεια δὲ καὶ ἑνικῶς εὕρηται τὸ Κροκύλειον· μέμνηται δὲ τῆς νήσου ταύτης καὶ Θουκυδίδης· ἐθνικὸν αὐτῆς Κροτυλεύς. Oppidum erat, non insula. V. Popp. Prol. t. ii. p. 161. De sinu Meliaco v. Strab. p. 651. Alm. et de scriptura Popp. l. l. p. 301. In fine hujus capitis Steph. Byz. legit ἐπεβοήθησαν.

97. τῷ δὲ Δημοσθένει—αἱρεῖν] Schol. non legit ἐκέλευον, ut patet ex ejus explicatione: τῷ δὲ Δημοσθένει τοιόνδε τι παρῄνουν οἱ Μεσσήνιοι, ἰέναι αὐτὸν ἐπὶ κώμην ἑκάστην, διδάσκοντες αὐτὸν ὅτι ῥᾳδία ἐστὶν ἡ αἵρεσις αὐτῶν, πρὶν συστραφῆναι πάντας καὶ ἅμα γενέσθαι. Nec Valla expressit. Nolim tamen invitis codicibus ejicere.

γὰρ ἤδη ἦσαν ἐπὶ τὸ Αἰγίτιον, προσέβαλλον τοῖς Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις καταθέοντες ἀπὸ τῶν λόφων ἄλλοι ἄλλοθεν καὶ ἐσηκόντιζον, καὶ ὅτε μὲν ἐπίοι τὸ τῶν Ἀθηναίων στρατόπεδον, ὑπεχώρουν, ἀναχωροῦσι δὲ ἐπέκειντο· καὶ ἦν ἐπὶ πολὺ τοιαύτη ἡ μάχη, διώξεις τε καὶ ὑπαγωγαὶ, ἐν οἷς ἀμφοτέροις ἥσσους ἦσαν οἱ Ἀθηναῖοι.

98. Μέχρι μὲν οὖν οἱ τοξόται εἶχόν τε τὰ βέλη αὐτοῖς καὶ οἷοί τε ἦσαν χρῆσθαι, οἱ δὲ ἀντεῖχον· τοξευόμενοι γὰρ οἱ Αἰτωλοὶ ἄνθρωποι ψιλοὶ ἀνεστέλλοντο· ἐπειδὴ δὲ τοῦ τε τοξάρχου ἀποθανόντος οὗτοι διεσκεδάσθησαν καὶ αὐτοὶ ἐκεκμήκεσαν [καὶ] ἐπὶ πολὺ τῷ αὐτῷ πόνῳ ξυνεχόμενοι οἵ τε Αἰτωλοὶ ἐνέκειντο καὶ ἐσηκόντιζον, οὕτω δὴ τραπόμενοι ἔφευγον, καὶ ἐσπίπτοντες ἔς τε χαράδρας ἀνεκβάτους καὶ χωρία ὧν οὐκ ἦσαν ἔμπειροι διεφθείροντο· καὶ γὰρ ὁ ἡγεμὼν αὐτοῖς τῶν ὁδῶν Χρόμων ὁ Μεσσήνιος ἐτύγχανε τεθνηκώς. Οἱ δὲ Αἰτωλοὶ ἐσακοντίζοντες πολλοὺς μὲν αὐτοῦ ἐν τῇ τροπῇ κατὰ πόδας αἱροῦντες ἄνθρωποι ποδώκεις καὶ ψιλοὶ διέφθειρον, τοὺς δὲ πλείους τῶν ὁδῶν ἁμαρτάνοντας καὶ ἐς τὴν ὕλην ἐσφερομένους, ὅθεν διέξοδοι οὐκ ἦσαν, πῦρ κομισάμενοι περιεπίμπρασαν· πᾶσά τε ἰδέα κατέστη τῆς φυγῆς καὶ τοῦ ὀλέθρου τῷ στρατοπέδῳ τῶν Ἀθηναίων, μόλις τε ἐπὶ τὴν θάλασσαν καὶ τὸν Οἰνεῶνα τῆς Λοκρίδος, ὅθενπερ καὶ ὡρμήθησαν, οἱ περιγενόμενοι κατέφυγον. Ἀπέθανον δὲ τῶν τε ξυμμάχων πολλοὶ καὶ αὐτῶν Ἀθηναίων ὁπλῖται περὶ εἴκοσι μάλιστα καὶ ἑκατὸν, τοσοῦτοι μὲν τὸ πλῆθος καὶ ἡλικίᾳ ἡ αὐτή· οὗτοι βέλτιστοι δὴ ἄνδρες ἐν τῷ πολέμῳ τῷδε ἐκ τῆς Ἀθηναίων πόλεως διεφθάρησαν. Ἀπέθανε δὲ καὶ ὁ ἕτερος στρατηγὸς Προκλῆς. Τοὺς δὲ νεκροὺς ὑποσπόνδους ἀνελόμενοι παρὰ τῶν Αἰτωλῶν καὶ ἀναχωρήσαντες ἐς Ναύπακτον ὕστερον ἐς τὰς Ἀθήνας ταῖς ναυσὶν ἐκομίσθησαν. Δημοσθένης δὲ περὶ Ναύπακτον καὶ τὰ χωρία ταῦτα ὑπελείφθη, τοῖς πεπραγμένοις φοβούμενος τοὺς Ἀθηναίους.

διώξεις—ὑπαγωγαί] Etym. M. p. 777, 21. Phot. et Suidas in ὑπαγωγάς. Zonar. in ὑπαγωγή.

98. καὶ ἐπὶ πολὺ] Particulam καί, quam omnes libri tuentur, deletam vult Popp. Obs. p. 230. Sed eam defendit Krueger. ad Dionys. p. 274. dicitque vim intendendi habere, sic dici καὶ μάλα, καὶ πάλαι, καὶ ἄγαν, καὶ πάνυ, καὶ πολὺ, καὶ τὸ κάρτα, et similia, quæ cognoscere licet ab ipso; id quod acciperem ad retinendam vulgatam, si καὶ ἐπὶ πολὺ cum ἐκεκμήκεσαν jungi liceret: quod cum fieri non possit, sed particulæ illæ ad ξυνεχόμενοι spectare videa[illegible]

99. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους καὶ οἱ περὶ Σικελίαν Ἀθηναῖοι πλεύσαντες ἐς τὴν Λοκρίδα ἐν ἀποβάσει τέ τινι τοὺς προσβοηθήσαντας Λοκρῶν ἐκράτησαν καὶ περιπόλιον αἱροῦσιν ὃ ἦν ἐπὶ τῷ Ἄληκι ποταμῷ.

100. Τοῦ δ' αὐτοῦ θέρους Αἰτωλοὶ προπέμψαντες πρότερον ἔς τε Κόρινθον καὶ ἐς Λακεδαίμονα πρέσβεις Τόλοφόν τε τὸν Ὀφιονέα καὶ Βοριάδην τὸν Εὐρυτᾶνα καὶ Τίσανδρον τὸν Ἀπόδωτον πείθουσιν ὥστε σφίσι πέμψαι στρατιὰν ἐπὶ Ναύπακτον διὰ τὴν τῶν Ἀθηναίων ἐπαγωγήν. Καὶ ἐξέπεμψαν Λακεδαιμόνιοι περὶ τὸ φθινόπωρον τρισχιλίους ὁπλίτας τῶν ξυμμάχων. Τούτων ἦσαν πεντακόσιοι ἐξ Ἡρακλείας τῆς ἐν Τραχῖνι πόλεως τότε νεοκτίστου οὔσης· Σπαρτιάτης δ' ἦρχεν Εὐρύλοχος τῆς στρατιᾶς καὶ ξυνηκολούθουν αὐτῷ Μακάριος καὶ Μενεδαῖος οἱ Σπαρτιᾶται.

101. Ξυλλεγέντος δὲ τοῦ στρατεύματος ἐς Δελφοὺς ἐπεκηρυκεύετο Εὐρύλοχος Λοκροῖς τοῖς Ὀζόλαις· διὰ τούτων γὰρ ἡ ὁδὸς ἦν ἐς Ναύπακτον, καὶ ἅμα τῶν Ἀθηναίων ἐβούλετο ἀποστῆσαι αὐτούς. Ξυνέπρασσον δὲ μάλιστα αὐτῷ τῶν Λοκρῶν Ἀμφισσῆς, διὰ τὸ τῶν Φωκέων ἔχθος δεδιότες· καὶ αὐτοὶ πρῶτον δόντες ὁμήρους καὶ τοὺς ἄλλους ἔπεισαν δοῦναι φοβουμένους τὸν ἐπιόντα στρατὸν, πρῶτον μὲν οὖν τοὺς ὁμόρους αὐτοῖς Μυονέας, ταύτῃ γὰρ δυσεσβολώτατος ἡ Λοκρὶς, ἔπειτα Ἰπνέας καὶ Μεσσαπίους καὶ Τριταιέας καὶ Χαλαίους καὶ Τολοφωνίους καὶ Ἡσσίους καὶ Οἰανθέας. Οὗτοι καὶ ξυνεστράτευον πάντες. Ὀλπαῖοι δὲ ὁμήρους μὲν ἔδοσαν, ἠκολούθουν δὲ οὔ· καὶ Ὑαῖοι οὐκ ἔδοσαν ὁμήρους πρὶν αὐτῶν εἷλον κώμην Πόλιν ὄνομα ἔχουσαν.

102. Ἐπειδὴ δὲ παρεσκεύαστο πάντα καὶ τοὺς ὁμήρους κατέθετο ἐς Κυτίνιον τὸ Δωρικὸν, ἐχώρει τῷ στρατῷ ἐπὶ τὴν

tur, et *καὶ* structuram verborum turbet; et ipse delendum esse puto. De toxarcho v. Boëckh. Staatsh. d. Ath. t. i. p. 223. t. ii. p. 207. Paulo inferius, *ἐκφερομένους* Bekk. legendum censet pro *ἐσφερομένους*. Idem conjecturam Benedicti *τῷ στρατοπέδῳ* recepit pro *τῶν στρατοπέδων*.

99. *περιπόλιον*] Vulgo per literam majusculam efferunt, at non nomen proprium est. V. Polluc. ix, 16. Suid. in *περιπόλους*. Schol. *οὐ χωρίου ὄνομα τὸ περιπόλιον, ἀλλὰ φρουρίου τινὸς ἐν ᾧ περίπολοι φρουροῦσιν*. V. Duker. ad vi, 45. vii, 48. Conf. infra ad c. 115.

100. *Μενεδαῖος*] *Μενέδατος* A. E. F. I. G. Q. S. b. c. d. e. f. g. h. i. Vulgatam defendit Valcken. ad Herodot. vi, 52. Articulum ante *Σπαρτιᾶται* ejectum vult Krueger. ad Dionys. p. 294. not.

101. *Μυονέας*] Meminit hujus loci Paus. t. ii. p. 198. Fac. De scriptura *Ἀμφισσέας* v. Popp. Proleg. t. ii. p. 167.

ταύτῃ—ἡ Λοκρὶς] Thom. M. p. 255., ubi est *δυσεκβολώτατος*. Alii *δυσεμβολώτατος*. De genere communi superlativi vid. Dorv. ad Chariton. p. 347.

Ναύπακτον διὰ τῶν Λοκρῶν, καὶ πορευόμενος Οἰνεῶνα αἱρεῖ αὐτῶν καὶ Εὐπάλιον· οὐ γὰρ προσεχώρησαν. Γενόμενοι δ' ἐν τῇ Ναυπακτίᾳ, καὶ οἱ Αἰτωλοὶ ἅμα ἤδη προσβεβοηθηκότες ἐδῄουν τὴν γῆν καὶ τὸ προάστειον ἀτείχιστον ὂν εἷλον· ἐπί τε Μολύκρειον ἐλθόντες τὴν Κορινθίων μὲν ἀποικίαν Ἀθηναίων δὲ ὑπήκοον αἱροῦσι. Δημοσθένης δὲ ὁ Ἀθηναῖος, ἔτι γὰρ ἐτύγχανεν ὢν μετὰ τὰ ἐκ τῆς Αἰτωλίας περὶ Ναύπακτον, προαισθόμενος τοῦ στρατοῦ καὶ δείσας περὶ αὐτῆς, ἐλθὼν πείθει Ἀκαρνᾶνας χαλεπῶς διὰ τὴν ἐκ τῆς Λευκάδος ἀναχώρησιν βοηθῆσαι Ναυπάκτῳ. Καὶ πέμπουσι μετ' αὐτοῦ ἐπὶ τῶν νεῶν χιλίους ὁπλίτας, οἳ ἐσελθόντες περιεποίησαν τὸ χωρίον. Δεινὸν γὰρ ἦν μὴ μεγάλου ὄντος τοῦ τείχους, ὀλίγων δὲ τῶν ἀμυνομένων, οὐκ ἀντίσχωσιν. Εὐρύλοχος δὲ καὶ οἱ μετ' αὐτοῦ ὡς ᾔσθοντο τὴν στρατιὰν ἐσεληλυθυῖαν καὶ ἀδύνατον ὂν τὴν πόλιν βίᾳ ἑλεῖν, ἀνεχώρησαν οὐκ ἐπὶ Πελοποννήσου, ἀλλ' ἐς τὴν Αἰολίδα τὴν νῦν καλουμένην Καλυδῶνα καὶ Πλευρῶνα καὶ ἐς τὰ ταύτῃ χωρία καὶ ἐς Πρόσχιον τῆς Αἰτωλίας. Οἱ γὰρ Ἀμπρακιῶται ἐλθόντες πρὸς αὐτοὺς πείθουσιν ὥστε μετὰ σφῶν Ἄργει τε τῷ Ἀμφιλοχικῷ καὶ Ἀμφιλοχίᾳ τῇ ἄλλῃ ἐπιχειρῆσαι καὶ Ἀκαρνανίᾳ, ἅμα λέγοντες ὅτι ἢν τούτων κρατήσωσι, πᾶν τὸ Ἠπειρωτικὸν Λακεδαιμονίοις ξύμμαχον καθεστήξει. Καὶ ὁ μὲν Εὐρύλοχος πεισθεὶς καὶ τοὺς Αἰτωλοὺς ἀφεὶς ἡσύχαζε τῷ στρατῷ περὶ τοὺς χώρους τούτους ἕως τοῖς Ἀμπρακιώταις ἐκστρατευσαμένοις περὶ τὸ Ἄργος δέοι βοηθεῖν. Καὶ τὸ θέρος ἐτελεύτα.

103. Οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι τοῦ ἐπιγιγνομένου χειμῶνος ἐπελθόντες μετὰ τῶν Ἑλλήνων ξυμμάχων καὶ ὅσοι Σικελῶν κατὰ κράτος ἀρχόμενοι ὑπὸ Συρακοσίων καὶ ξύμμαχοι ὄντες ἀποστάντες αὐτοῖς ἀπὸ Συρακοσίων ξυνεπολέμουν, ἐπ' Ἴνησσαν τὸ Σικελικὸν πόλισμα, οὗ τὴν ἀκρόπολιν Συρακόσιοι εἶχον, προσέβαλον· καὶ ὡς οὐκ ἐδύναντο ἑλεῖν, ἀπήεσαν. Ἐν δὲ τῇ ἀναχωρήσει ὑστέροις Ἀθηναίων τοῖς ξυμμάχοις ἀναχωροῦσιν ἐπιτίθενται οἱ ἐκ τοῦ τειχίσματος

102. μετὰ τὰ ἐκ τῆς Αἰτ.] pro μετὰ τὰ ἐν τῇ Αἰτωλίᾳ, quoniam scriptor in mente habuit μετὰ τὴν ἐξ Αἰτωλίας ἀναχώρησιν. Mox, Bekker. scribi vult δείσας περὶ αὐτῇ.

Αἰολίδα] urbem, non, ut Wasse voluit, regionem. V. Valcken. ad Theocrit. i, 56. Popp. Proleg. t. ii. p. 162. not.

103. ἐπ' Ἴνησσαν] Ita legendum esse docuerant Cluverius et Bochartus, quorum postea conjectura firmata est codicibus F. H. g. ἐπὶ Νίσαν L. O. P. Q. S. d. e. i. Vulgo ἐπὶ Νῆσαν. Conf. vi, 94.

Συρακόσιοι, καὶ προσπεσόντες τρέπουσί τε μέρος τι τοῦ στρατοῦ καὶ ἀπέκτειναν οὐκ ὀλίγους. Καὶ μετὰ τοῦτο ἀπὸ τῶν νεῶν ὁ Λάχης καὶ οἱ Ἀθηναῖοι ἐς τὴν Λοκρίδα ἀποβάσεις τινὰς ποιησάμενοι κατὰ τὸν Καικῖνον ποταμὸν τοὺς προσβοηθοῦντας Λοκρῶν μετὰ Προξένου τοῦ Καπάτωνος ὡς τριακοσίους μάχῃ ἐκράτησαν καὶ ὅπλα λαβόντες ἀπεχώρησαν.

104. Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Δῆλον ἐκάθηραν Ἀθηναῖοι κατὰ χρησμὸν δή τινα. Ἐκάθηρε μὲν γὰρ καὶ Πεισίστρατος ὁ τύραννος πρότερον αὐτήν, οὐχ ἅπασαν, ἀλλ' ὅσον ἀπὸ τοῦ ἱεροῦ ἐφεωρᾶτο τῆς νήσου· τότε δὲ πᾶσα ἐκαθάρθη τοιῷδε τρόπῳ. Θῆκαι ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν Δήλῳ πάσας ἀνεῖλον καὶ τὸ λοιπὸν προεῖπον μήτε ἐναποθνήσκειν ἐν τῇ νήσῳ μήτε ἐντίκτειν, ἀλλ' ἐς τὴν Ῥήνειαν διακομίζεσθαι. Ἀπέχει δὲ ἡ Ῥήνεια τῆς Δήλου οὕτως ὀλίγον ὥστε Πολυκράτης ὁ Σαμίων τύραννος ἰσχύσας τινὰ χρόνον ναυτικῷ καὶ τῶν τε ἄλλων νήσων ἄρξας καὶ τὴν Ῥήνειαν ἑλών, ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ ἁλύσει δήσας πρὸς τὴν Δῆλον. Καὶ τὴν πεντετηρίδα τότε πρῶτον μετὰ τὴν κάθαρσιν ἐποίησαν οἱ Ἀθηναῖοι, τὰ Δήλια. Ἦν δέ ποτε καὶ τὸ πάλαι μεγάλη ξύνοδος ἐς τὴν Δῆλον τῶν Ἰώνων τε καὶ περικτιόνων νησιωτῶν· ξύν τε γὰρ γυναιξὶ καὶ παισὶν ἐθεώρουν ὥσπερ νῦν ἐς τὰ Ἐφέσια Ἴωνες, καὶ ἀγὼν ἐποιεῖτο αὐτόθι καὶ γυμνικὸς καὶ μουσικός, χορούς τε ἀνῆγον αἱ πόλεις. Δηλοῖ δὲ μάλιστα Ὅμηρος ὅτι τοιαῦτα ἦν ἐν τοῖς ἔπεσι τοῖσδε, ἅ ἐστιν ἐκ προοιμίου Ἀπόλλωνος·

> ἀλλ' ὅτε Δήλῳ, Φοῖβε, μάλιστά γε θυμὸν ἐτέρφθης,
> ἔνθα τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται
> σὺν σφοῖσιν τεκέεσσι γυναιξί τε σὴν ἐς ἀγυιάν·
> ἔνθα σε πυγμαχίῃ τε καὶ ὀρχηστυῖ καὶ ἀοιδῇ
> μνησάμενοι τέρπουσιν, ὅταν καθέσωσιν ἀγῶνα.

ὅτι δὲ καὶ μουσικῆς ἀγὼν ἦν καὶ ἀγωνιούμενοι ἐφοίτων ἐν

104. Vid. Ruhnken. Ep. Crit. p. 8. De Ephesiis v. Locellam ad Xenophontem Ephes. p. 132.; de significatu vocis *προοίμιον*, i. e. 'hymnus,' Anecd. Hemsterhusiana, t. i. p. 111.

ἀλλ' ὅτε—ἀγῶνα] Hos versus edidi non quales vulgo exhibentur, sed quales in codicibus manuscriptis leguntur. Idem a me factum in versibus paulo inferius a scriptore appositis. Vid. Popp. Obs. p. 156. Herm. ad Hom. Hymn. p. 15. 17. Locum in prosam orationem conversum reddit Aristid. vol. ii. p. 409. V. Hermann. p. 19. Priores quinque versus plane ut excudendos curavi, in codice S. reperiuntur. Posteriorum quarto præbet vul-

τοῖσδε αὖ δηλοῖ, ἅ ἐστιν ἐκ τοῦ αὐτοῦ προοιμίου. Τὸν γὰρ Δηλιακὸν χορὸν τῶν γυναικῶν ὑμνήσας ἐτελεύτα τοῦ ἐπαίνου ἐς τάδε τὰ ἔπη, ἐν οἷς καὶ ἑαυτοῦ ἐπεμνήσθη·

ἀλλ᾿ ἄγεθ᾿, ἱλήκοι μὲν Ἀπόλλων Ἀρτέμιδι ξὺν,
χαίρετε δ᾿ ὑμεῖς πᾶσαι. Ἐμεῖο δὲ καὶ μετόπισθε
μνήσασθ᾿, ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων
ἐνθάδ᾿ ἀνείρηται ταλαπείριος ἄλλος ἐπελθὼν,
ὦ κοῦραι, τίς δ᾿ ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
ἐνθάδε πωλεῖται καὶ τέῳ τέρπεσθε μάλιστα;
ὑμεῖς δ᾿ εὖ μάλα πᾶσαι ὑποκρίνασθ᾿ εὐφήμως,
τυφλὸς ἀνὴρ, οἰκεῖ δὲ Χίῳ ἐνὶ παιπαλοέσσῃ.

Τοσαῦτα μὲν Ὅμηρος ἐτεκμηρίωσεν ὅτι ἦν καὶ τὸ πάλαι μεγάλη ξύνοδος καὶ ἑορτὴ ἐν τῇ Δήλῳ· ὕστερον δὲ τοὺς μὲν χοροὺς οἱ νησιῶται καὶ οἱ Ἀθηναῖοι μεθ᾿ ἱερῶν ἔπεμπον, τὰ δὲ περὶ τοὺς ἀγῶνας καὶ τὰ πλεῖστα κατελύθη ὑπὸ ξυμφορῶν, ὡς εἰκὸς, πρὶν δὴ οἱ Ἀθηναῖοι τότε τὸν ἀγῶνα ἐποίησαν καὶ ἱπποδρομίας, ὃ πρότερον οὐκ ἦν.

105. Τοῦ δ᾿ αὐτοῦ χειμῶνος Ἀμπρακιῶται ὥσπερ ὑποσχόμενοι Εὐρυλόχῳ τὴν στρατιὰν κατέσχον, ἐκστρατεύονται ἐπὶ Ἄργος τὸ Ἀμφιλοχικὸν τρισχιλίοις ὁπλίταις, καὶ ἐσβαλόντες ἐς τὴν Ἀργείαν καταλαμβάνουσιν Ὄλπας, τεῖχος ἐπὶ λόφου ἰσχυρὸν πρὸς τῇ θαλάσσῃ, ὅ ποτε Ἀκαρνᾶνες τειχισάμενοι κοινῷ δικαστηρίῳ ἐχρῶντο· ἀπέχει δὲ ἀπὸ τῆς Ἀργείων πόλεως ἐπιθαλασσίας οὔσης πέντε καὶ εἴκοσι σταδίους μάλιστα. Οἱ δὲ Ἀκαρνᾶνες οἱ μὲν ἐς Ἄργος ξυνεβοήθουν, οἱ δὲ τῆς Ἀμφιλοχίας ἐν τούτῳ τῷ χωρίῳ ὃ Κρῆναι καλεῖται, φυλάσσοντες τοὺς μετὰ Εὐρυλόχου Πελοποννησίους μὴ λάθωσι πρὸς τοὺς Ἀμπρακιώτας διελθόντες, ἐστρατοπεδεύσαντο. Πέμπουσι δὲ καὶ ἐπὶ Δημοσθένην τὸν ἐς τὴν Αἰτωλίαν Ἀθηναίων στρατηγήσαντα, ὅπως σφίσιν ἡγεμὼν γίγνηται, καὶ ἐπὶ τὰς εἴκοσι ναῦς Ἀθηναίων αἳ ἔτυ-

gatam ξεῖνος ταλαπείριος ἐλθών. Versu penultimo item vulgatam ὑποκρίνασθε ἀφήμως.

τοῦ ἐπαίνου] "Hæc non significant 'finem fecit laudis, choro Deliaco tributæ,' sed 'finem fecit hymno in Apollinem,' ut recte intellexit Aristid. ii. p. 409. διαλεγόμενος Homerus ταῖς Δηλιάσι καὶ καταλύων τὸ προοίμιον, εἴ τις ἔροιθ᾿ ὑμᾶς, φησὶν, ὦ κοῦραι, etc., ubi Normannus nihil de hac re suspicatus misere se torquet in explicandis verbis καταλύων τὸ προοίμιον." Ruhnken. Ep. Crit. p. 91. At Hermannus neminem sperat fore, qui verba Thucydidis ἐτελεύτα—ἔπη pro Ruhkenii opinione interpretetur. Gravius, ait, argumentum peti posset e verbis Aristidis, nisi hic e solo Thucydide videretur hunc hymnum cognitum habuisse.

105. Ὄλπας] Hinc sua habet Steph. Byz. in Ὄλπαι.

χον περὶ Πελοπόννησον οὖσαι, ὧν ἦρχεν Ἀριστοτέλης τε ὁ Τιμοκράτους καὶ Ἱεροφῶν ὁ Ἀντιμνήστου. Ἀπέστειλαν δὲ καὶ ἄγγελον οἱ περὶ τὰς Ὄλπας Ἀμπρακιῶται ἐς τὴν πόλιν κελεύοντες σφίσι βοηθεῖν πανδημεὶ, δεδιότες μὴ οἱ μετ' Εὐρυλόχου οὐ δύνωνται διελθεῖν τοὺς Ἀκαρνᾶνας καὶ σφίσιν ἢ μονωθεῖσιν ἡ μάχη γένηται ἢ ἀναχωρεῖν βουλομένοις οὐκ ᾖ ἀσφαλές.

106. Οἱ μὲν οὖν μετ' Εὐρυλόχου Πελοποννήσιοι ὡς ᾔσθοντο τοὺς ἐν Ὄλπαις Ἀμπρακιώτας ἥκοντας, ἄραντες ἐκ τοῦ Προσχίου ἐβοήθουν κατὰ τάχος, καὶ διαβάντες τὸν Ἀχελῷον ἐχώρουν δι' Ἀκαρνανίας οὔσης ἐρήμου διὰ τὴν ἐς Ἄργος βοήθειαν, ἐν δεξιᾷ μὲν ἔχοντες τὴν Στρατίων πόλιν καὶ τὴν φρουρὰν αὐτῶν, ἐν ἀριστερᾷ δὲ τὴν ἄλλην Ἀκαρνανίαν. Καὶ διελθόντες τὴν Στρατίων γῆν ἐχώρουν διὰ τῆς Φυτίας καὶ αὖθις Μεδεῶνος παρ' ἔσχατα, ἔπειτα διὰ Λιμναίας· καὶ ἐπέβησαν τῆς Ἀγραίων, οὐκέτι Ἀκαρνανίας, φιλίας δὲ σφίσι. Λαβόμενοι δὲ τοῦ Θυάμου ὄρους, ὅ ἐστιν ἀγροῖκον, ἐχώρουν δι' αὐτοῦ καὶ κατέβησαν ἐς τὴν Ἀργείαν νυκτὸς ἤδη, καὶ διεξελθόντες μεταξὺ τῆς τε Ἀργείων πόλεως καὶ τῆς ἐπὶ Κρήναις Ἀκαρνάνων φυλακῆς ἔλαθον καὶ προσέμιξαν τοῖς ἐν Ὄλπαις Ἀμπρακιώταις.

107. Γενόμενοι δὲ ἀθρόοι ἅμα τῇ ἡμέρᾳ καθίζουσιν ἐπὶ τὴν Μητρόπολιν καλουμένην καὶ στρατόπεδον ἐποιήσαντο. Ἀθηναῖοι δὲ ταῖς εἴκοσι ναυσὶν οὐ πολλῷ ὕστερον παραγίγνονται ἐς τὸν Ἀμπρακικὸν κόλπον βοηθοῦντες τοῖς Ἀργείοις, καὶ Δημοσθένης Μεσσηνίων μὲν ἔχων διακοσίους ὁπλίτας, ἑξήκοντα δὲ τοξότας Ἀθηναίων. Καὶ αἱ μὲν νῆες περὶ τὰς Ὄλπας τὸν λόφον ἐκ θαλάσσης ἐφώρμουν· οἱ δὲ Ἀκαρνᾶνες καὶ Ἀμφιλόχων ὀλίγοι, οἱ γὰρ πλείους ὑπὸ Ἀμπρακιωτῶν βίᾳ κατείχοντο, ἐς τὸ Ἄργος ἤδη ξυνεληλυθότες παρεσκευάζοντο ὡς μαχούμενοι τοῖς ἐναντίοις, καὶ ἡγεμόνα τοῦ παντὸς ξυμμαχικοῦ αἱροῦνται Δημοσθένη μετὰ τῶν σφετέρων στρατηγῶν. Ὁ δὲ προσαγαγὼν ἐγγὺς τῆς Ὄλπης ἐστρατοπεδεύσατο· χαράδρα δ' αὐτοὺς μεγάλη διεῖργε. Καὶ ἡμέρας μὲν πέντε ἡσύχαζον, τῇ δ' ἕκτῃ ἐτάσσοντο ἀμφότεροι ὡς ἐς μάχην. Καὶ, μεῖζον γὰρ ἐγένετο καὶ περιέσχε τὸ τῶν

106. ἐν Ὄλπαις—ἥκοντας] breviloquentia jam sæpius notata, pro τοὺς ἐν Ὄλπαις εἰς Ὄλπας ἥκοντας. Conf. supra ad c. 71.

Πελοποννησίων στρατόπεδον, ὁ δὲ Δημοσθένης δείσας μὴ κυκλωθῇ λοχίζει ἐς ὁδόν τινα κοίλην καὶ λοχμώδη ὁπλίτας καὶ ψιλοὺς ξυναμφοτέρους ἐς τετρακοσίους, ὅπως κατὰ τὸ ὑπερέχον τῶν ἐναντίων ἐν τῇ ξυνόδῳ αὐτῇ ἐξαναστάντες οὗτοι κατὰ νώτου γίγνωνται. Ἐπεὶ δὲ παρεσκεύαστο ἀμφοτέροις, ᾖεσαν ἐς χεῖρας, Δημοσθένης μὲν τὸ δεξιὸν κέρας ἔχων μετὰ Μεσσηνίων καὶ Ἀθηναίων ὀλίγων· τὸ δὲ ἄλλο Ἀκαρνᾶνες ὡς ἕκαστοι τεταγμένοι ἐπεῖχον καὶ Ἀμφιλόχων οἱ παρόντες ἀκοντισταί. Πελοποννήσιοι δὲ καὶ Ἀμπρακιῶται ἀναμὶξ τεταγμένοι πλὴν Μαντινέων· οὗτοι δὲ ἐν τῷ εὐωνύμῳ μᾶλλον καὶ οὐ τὸ κέρας ἄκρον ἔχοντες ἀθρόοι ἦσαν, ἀλλ' Εὐρύλοχος ἔσχατον εἶχε τὸ εὐώνυμον καὶ οἱ μετ' αὐτοῦ, κατὰ Μεσσηνίους καὶ Δημοσθένην.

108. Ὡς δ' ἐν χερσὶν ἤδη ὄντες περιέσχον τῷ κέρᾳ οἱ Πελοποννήσιοι καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν ἐναντίων, οἱ ἐκ τῆς ἐνέδρας Ἀκαρνᾶνες ἐπιγενόμενοι αὐτοῖς κατὰ νώτου προσπίπτουσί τε καὶ τρέπουσιν ὥστε μήτε ἐς ἀλκὴν ὑπομεῖναι φοβηθέντας τε ἐς φυγὴν καὶ τὸ πλέον τοῦ στρατεύματος καταστῆσαι· ἐπειδὴ γὰρ εἶδον τὸ κατ' Εὐρύλοχον καὶ ὃ κράτιστον ἦν διαφθειρόμενον, πολλῷ μᾶλλον ἐφοβοῦντο. Καὶ οἱ Μεσσήνιοι ὄντες ταύτῃ μετὰ τοῦ Δημοσθένους τὸ πολὺ τοῦ ἔργου ἐξῆλθον. Οἱ δὲ Ἀμπρακιῶται καὶ οἱ κατὰ τὸ δεξιὸν κέρας ἐνίκων τὸ καθ' ἑαυτοὺς καὶ πρὸς τὸ Ἄργος ἀπεδίωξαν· καὶ γὰρ μαχιμώτατοι τῶν περὶ ἐκεῖνα τὰ χωρία τυγχάνουσιν ὄντες. Ἐπαναχωροῦντες δὲ ὡς ἑώρων τὸ πλέον νενικημένον καὶ οἱ ἄλλοι Ἀκαρνᾶνες σφίσι προσέκειντο, χαλεπῶς διεσώζοντο ἐς τὰς Ὄλπας, καὶ πολλοὶ ἀπέθανον αὐτῶν, ἀτάκτως καὶ οὐδενὶ κόσμῳ προσπίπτοντες πλὴν Μαντινέων· οὗτοι δὲ μάλιστα ξυντεταγμένοι παντὸς τοῦ στρατοῦ ἀνεχώρησαν. Καὶ ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ.

108. περιέσχον — οἱ Πελοποννήσιοι] Thom. M. p. 625. 558.

ἕως ὀψὲ] Verba καὶ ἡ—ὀψὲ adscripserunt Phavorin. in ὀψὲ et Thom. M. p. 668. At ἐς ὀψὲ habent H. K. L. O. P. c. d. f. i. ἕως ἐς F. Q. g. ἕως εἰς S. Atque ἐς ὀψὲ cum scholiastes quoque legerit, Bened. hoc prætulit, quem secutus Dœderl. in Philol. Beytr. aus d. Schw. t. i. p. 308., negavit Græce dici posse τελευτᾶν ἕως ὀψέ. "Ἕως ὀψὲ hoc modo intelligendum est, παρέτεινε ἕως ὀψὲ et ὀψὲ ἐτελεύτα, eaque constructio mihi exquisitior videtur, quam ut librariis tribui possit." Lobeck. ad Phrynich. p. 47. not. Beck. Conf. v, 1. αἱ σπονδαὶ διελέλυντο μέχρι Πυθίων, i. e. 'induciæ finem habebant continuatæ usque ad Pythia.' i, 71. μέχρι τοῦδε ὡρίσθω ὑμῶν ἡ βραδυτής, ubi vide. Quanquam fatendum est, legi vii, 23. τῇ αὐτῇ ἡμέρᾳ ἐς ὀψέ. Schol. σημειῶσαι ἐπὶ τῆς ἑσπέρας νῦν μόνον τὸ ὀψέ. "Hoc ad grammaticorum præceptionem spectat, qui πρωῒ et ὀψὲ non de parte al-

109. Μενεδαῖος δὲ τῇ ὑστεραίᾳ Εὐρυλόχου τεθνεῶτος καὶ Μακαρίου αὐτὸς παρειληφὼς τὴν ἀρχὴν καὶ ἀπορῶν μεγάλης ἥσσης γεγενημένης ὅτῳ τρόπῳ ἢ μένων πολιορκήσεται ἔκ τε γῆς καὶ ἐκ θαλάσσης ταῖς Ἀττικαῖς ναυσὶν ἀποκεκλημένος, ἢ καὶ ἀναχωρῶν διασωθήσεται, προσφέρει λόγον περὶ σπονδῶν καὶ ἀναχωρήσεως Δημοσθένει καὶ τοῖς Ἀκαρνάνων στρατηγοῖς, καὶ περὶ νεκρῶν ἅμα ἀναιρέσεως. Οἱ δὲ νεκροὺς μὲν ἀπέδοσαν καὶ τροπαῖον αὐτοὶ ἔστησαν καὶ τοὺς ἑαυτῶν τριακοσίους μάλιστα ἀποθανόντας ἀνείλοντο· ἀναχώρησιν δὲ ἐκ μὲν τοῦ προφανοῦς οὐκ ἐσπείσαντο ἅπασι, κρύφα δὲ Δημοσθένης μετὰ τῶν ξυστρατηγῶν Ἀκαρνάνων σπένδονται Μαντινεῦσι καὶ Μενεδαίῳ καὶ τοῖς ἄλλοις ἄρχουσι τῶν Πελοποννησίων καὶ ὅσοι αὐτῶν ἦσαν ἀξιολογώτατοι ἀποχωρεῖν κατὰ τάχος, βουλόμενος ψιλῶσαι τοὺς Ἀμπρακιώτας τε καὶ τὸν μισθοφόρον ὄχλον τὸν ξενικὸν, μάλιστα δὲ Λακεδαιμονίους καὶ Πελοποννησίους διαβαλεῖν ἐς τοὺς ἐκείνῃ χρῄζων Ἕλληνας ὡς καταπροδόντες τὸ ἑαυτῶν προὐργιαίτερον ἐποιήσαντο. Καὶ οἱ μὲν τούς τε νεκροὺς ἀνείλοντο καὶ διὰ τάχους ἔθαπτον, ὥσπερ ὑπῆρχε, καὶ τὴν ἀποχώρησιν κρύφα οἷς ἐδέδοτο ἐπεβούλευον.

110. Τῷ δὲ Δημοσθένει καὶ τοῖς Ἀκαρνᾶσιν ἀγγέλλεται τοὺς Ἀμπρακιώτας τοὺς ἐκ τῆς πόλεως πανδημεὶ κατὰ τὴν πρώτην ἐκ τῶν Ὀλπῶν ἀγγελίαν ἐπιβοηθεῖν διὰ τῶν Ἀμφιλόχων, βουλομένους τοῖς ἐν Ὄλπαις ξυμμῖξαι, εἰδότας οὐδὲν τῶν γεγενημένων. Καὶ πέμπει εὐθὺς τοῦ στρατοῦ μέρος τι τὰς ὁδοὺς προλοχιοῦντας καὶ τὰ καρτερὰ προκαταληψομένους, καὶ τῇ ἄλλῃ στρατιᾷ ἅμα παρεσκευάζετο βοηθεῖν ἐπ' αὐτούς.

111. Ἐν τούτῳ δ' οἱ Μαντινῆς καὶ οἷς ἔσπειστο πρόφασιν ἐπὶ λαχανισμὸν καὶ φρυγάνων ξυλλογὴν ἐξελθόντες ὑπαπήεσαν κατ' ὀλίγους, ἅμα ξυλλέγοντες ἐφ' ἃ ἐξῆλθον δῆθεν· προκεχωρηκότες δὲ ἤδη ἄποθεν τῆς Ὄλπης θᾶσσον ἀπεχώ-

qua diei, sed de tempore in universum dici volunt. V. Phot. s. πρωΐ. Id ratum habuit Schneiderus, qui in notis ad Aristot. H. A. t. i. p. 439. πρωῒ et ὀψὲ negat de matutino et vespertino tempore dici, nisi addito τῆς ἡμέρας." Lobeck. l. l. Adde Thom. M. in ὀψέ.

109. πολιορκήσεται] V. Popp. Proleg. t. i. p. 137.

σπένδονται] plurali usus est, quia Δημοσθένης μετὰ τῶν ξυστρατηγῶν idem est quod Δημοσθένης καὶ οἱ στρατηγοὶ, in sequentibus Demosthenem solum in mente habens βουλόμενος et χρῄζων scripsit. De Latinis, qui hæc imitantur, v. Grotefend. Gr. § 153. not. 2. et Matth. Gr. § 302. b. Obs.

ρουν. Οἱ δ' Ἀμπρακιῶται καὶ οἱ ἄλλοι ὅσοι μὲν ἐτύγχανον οὕτως ἀθρόοι ξυνελθόντες ὡς ἔγνωσαν ἀπιόντας, ὥρμησαν καὶ αὐτοὶ καὶ ἔθεον δρόμῳ, ἐπικαταλαβεῖν βουλόμενοι. Οἱ δὲ Ἀκαρνᾶνες τὸ μὲν πρῶτον καὶ πάντας ἐνόμισαν ἀπιέναι ἀσπόνδους ὁμοίως, καὶ τοὺς Πελοποννησίους ἐπεδίωκον· καί τινας αὐτῶν τῶν στρατηγῶν κωλύοντας καὶ φάσκοντας ἐσπεῖσθαι αὐτοῖς ἠκόντισέ τις, νομίσας καταπροδίδοσθαι σφᾶς· ἔπειτα μέντοι τοὺς μὲν Μαντινέας καὶ τοὺς Πελοποννησίους ἀφίεσαν, τοὺς δ' Ἀμπρακιώτας ἔκτεινον. Καὶ ἦν πολλὴ ἔρις καὶ ἄγνοια εἴτε Ἀμπρακιώτης τίς ἐστιν εἴτε Πελοποννήσιος. Καὶ ἐς διακοσίους μέν τινας αὐτῶν ἀπέκτειναν· οἱ δ' ἄλλοι διέφυγον ἐς τὴν Ἀγραΐδα ὅμορον οὖσαν, καὶ Σαλύνθιος αὐτοὺς ὁ βασιλεὺς τῶν Ἀγραίων φίλος ὢν ὑπεδέξατο.

112. Οἱ δ' ἐκ τῆς πόλεως Ἀμπρακιῶται ἀφικνοῦνται ἐπ' Ἰδομένην. Ἐστὸν δὲ δύο λόφω ἡ Ἰδομένη ὑψηλώ· τούτοιν τὸν μὲν μείζω νυκτὸς ἐπιγενομένης οἱ προαποσταλέντες ὑπὸ τοῦ Δημοσθένους ἀπὸ τοῦ στρατοπέδου ἔλαθόν τε καὶ ἔφθασαν προκαταλαβόντες, τὸν δ' ἐλάσσω ἔτυχον οἱ Ἀμπρακιῶται προαναβάντες, καὶ ηὐλίσαντο. Ὁ δὲ Δημοσθένης δειπνήσας ἐχώρει, καὶ τὸ ἄλλο στράτευμα ἀπὸ ἑσπέρας εὐθὺς, αὐτὸς μὲν τὸ ἥμισυ ἔχων ἐπὶ τῆς ἐσβολῆς, τὸ δ' ἄλλο διὰ τῶν Ἀμφιλοχικῶν ὀρῶν. Καὶ ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς Ἀμπρακιώταις ἔτι ἐν ταῖς εὐναῖς καὶ οὐ προῃσθημένοις τὰ γεγενημένα, ἀλλὰ πολὺ μᾶλλον νομίσασι τοὺς ἑαυτῶν εἶναι· καὶ γὰρ τοὺς Μεσσηνίους πρώτους ἐπίτηδες ὁ Δημοσθένης προὔταξε, καὶ προσαγορεύειν ἐκέλευε, Δωρίδα τε γλῶσσαν ἱέντας καὶ τοῖς προφύλαξι πίστιν παρεχομένους, ἅμα δὲ καὶ οὐ καθορωμένους τῇ ὄψει νυκτὸς ἔτι οὔσης. Ὡς δ' ἐπέπεσε τῷ στρατεύματι αὐτῶν, τρέπουσι, καὶ τοὺς μὲν πολλοὺς αὐτοῦ διέφθειραν, οἱ δὲ λοιποὶ κατὰ τὰ ὄρη ἐς φυγὴν ὥρμησαν. Προκατειλημμένων δὲ τῶν ὁδῶν, καὶ ἅμα τῶν μὲν Ἀμφιλόχων ἐμπείρων ὄντων τῆς ἑαυτῶν γῆς καὶ ψιλῶν πρὸς ὁπλίτας, τῶν δὲ ἀπείρων καὶ ἀνεπιστημόνων ὅπῃ

111. ἠκόντισέ τις] Schol. post alios explicandi conatus addit, ἴσως δὲ οὐκ ἀδύνατόν ἐστιν, ἵνα πλείω ἀκόντια ἔχοντα πλείους ἀκοντίσαι τῶν στρατηγῶν· δύνατον δὲ τὸ ἠκόντισέ τις καὶ ἐπὶ πλήθους λαμβάνεσθαι, οἷον καὶ ἄλλος καὶ ἄλλος ἠκόντισεν. Ita Homerus sæpissime; ὧδε δέ τις εἴπεσκεν, 'so many a man said.'

112. ἐστὸν—ἡ Ἰδομένη] V. Matth. Gr. § 305. Dorv. ad Chariton. p. 56[illegible].

τράπωνται, ἐσπίπτοντες ἔς τε χαράδρας καὶ τὰς προλελοχισμένας ἐνέδρας διεφθείροντο. Καὶ ἐς πᾶσαν ἰδέαν χωρήσαντες τῆς φυγῆς ἐτράποντό τινες καὶ ἐς τὴν θάλασσαν οὐ πολὺ ἀπέχουσαν, καὶ ὡς εἶδον τὰς Ἀττικὰς ναῦς παραπλεούσας ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ, προσένευσαν, ἡγησάμενοι ἐν τῷ αὐτίκα φόβῳ κρεῖσσον εἶναι σφίσιν ὑπὸ τῶν ἐν ταῖς ναυσὶν, εἰ δεῖ, διαφθαρῆναι ἢ ὑπὸ τῶν βαρβάρων καὶ ἐχθίστων Ἀμφιλόχων. Οἱ μὲν οὖν Ἀμπρακιῶται τοιούτῳ τρόπῳ κακωθέντες ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν ἐς τὴν πόλιν· Ἀκαρνᾶνες δὲ σκυλεύσαντες τοὺς νεκροὺς καὶ τροπαῖα στήσαντες ἀπεχώρησαν ἐς Ἄργος.

113. Καὶ αὐτοῖς τῇ ὑστεραίᾳ ἦλθε κήρυξ ἀπὸ τῶν ἐς Ἀγραίους καταφυγόντων ἐκ τῆς Ὄλπης Ἀμπρακιωτῶν ἀναίρεσιν αἰτήσων τῶν νεκρῶν οὓς ἀπέκτειναν ὕστερον τῆς πρώτης μάχης, ὅτε μετὰ τῶν Μαντινέων καὶ τῶν ὑποσπόνδων ξυνεξῄεσαν ἄσπονδοι. Ἰδὼν δ' ὁ κήρυξ τὰ ὅπλα τῶν ἀπὸ τῆς πόλεως Ἀμπρακιωτῶν ἐθαύμαζε τὸ πλῆθος· οὐ γὰρ ᾔδει τὸ πάθος, ἀλλ' ᾤετο τῶν μετὰ σφῶν εἶναι. Καί τις αὐτὸν ἤρετο ὅ,τι θαυμάζοι καὶ ὁπόσοι αὐτῶν τεθνᾶσιν, οἰόμενος αὖ ὁ ἐρωτῶν εἶναι τὸν κήρυκα ἀπὸ τῶν ἐν Ἰδομέναις. Ὁ δ' ἔφη διακοσίους μάλιστα. Ὑπολαβὼν δ' ὁ ἐρωτῶν εἶπεν, Οὔκουν τὰ ὅπλα ταυτὶ φαίνεται, ἀλλὰ πλέον ἢ χιλίων. Αὖθις δὲ εἶπεν ἐκεῖνος, Οὐκ ἄρα τῶν μεθ' ἡμῶν μαχομένων ἐστίν. Ὁ δ' ἀπεκρίνατο, Εἴπερ γε ὑμεῖς ἐν Ἰδομένῃ χθὲς ἐμάχεσθε. Ἀλλ' ἡμεῖς γε οὐδενὶ ἐμαχόμεθα χθὲς, ἀλλὰ πρώην ἐν τῇ ἀποχωρήσει. Καὶ μὲν δὴ τούτοις γε ἡμεῖς χθὲς ἀπὸ τῆς πόλεως βοηθήσασι τῆς Ἀμπρακιωτῶν ἐμαχόμεθα. Ὁ δὲ κήρυξ ὡς ἤκουσε καὶ ἔγνω ὅτι ἡ ἀπὸ τῆς πόλεως βοήθεια διέφθαρται, ἀνοιμώξας καὶ ἐκπλαγεὶς τῷ μεγέθει τῶν παρόντων κακῶν ἀπῆλθεν εὐθὺς ἄπρακτος καὶ οὐκέτι ἀπῄτει τοὺς νεκρούς. Πάθος γὰρ τοῦτο μιᾷ πόλει Ἑλληνίδι ἐν ἴσαις ἡμέραις μέγιστον δὴ τῶν κατὰ τὸν πόλεμον τόνδε ἐγένετο. Καὶ ἀριθμὸν οὐκ ἔγραψα τῶν ἀποθανόντων, διότι ἄπιστον τὸ πλῆθος λέγεται ἀπολέσθαι ὡς πρὸς τὸ μέγεθος τῆς πόλεως. Ἀμπρακίαν μέντοι οἶδα ὅτι εἰ ἐβουλήθησαν Ἀκαρνᾶνες καὶ

Mox, εἰ δεῖ διαφθαρῆναι pro vulg. ἤδη διαφθ. dedit ex plurimis optimisque libris Bekkerus.

Ἀμφίλοχοι Ἀθηναίοις καὶ Δημοσθένει πειθόμενοι ἐξεῖλον αὐτοβοεὶ ἂν εἶλον· νῦν δ' ἔδεισαν μὴ οἱ Ἀθηναῖοι ἔχωσι αὐτὴν χαλεπώτεροι σφίσι πάροικοι ὦσι.

114. Μετὰ δὲ ταῦτα τρίτον μέρος νείμαντες τῶν σκύλων τοῖς Ἀθηναίοις τὰ ἄλλα κατὰ τὰς πόλεις διείλοντο. Καὶ τὰ μὲν τῶν Ἀθηναίων πλέοντα ἑάλω, τὰ δὲ νῦν ἀνακείμενα ἐν τοῖς Ἀττικοῖς ἱεροῖς Δημοσθένει ἐξῃρέθησαν τριακόσιαι πανοπλίαι, καὶ ἄγων αὐτὰς κατέπλευσε· καὶ ἐγένετο ἅμα αὐτῷ μετὰ τὴν τῆς Αἰτωλίας ξυμφορὰν ἀπὸ ταύτης τῆς πράξεως ἀδεεστέρα ἡ κάθοδος. Ἀπῆλθον δὲ καὶ οἱ ἐν ταῖς εἴκοσι ναυσὶν Ἀθηναῖοι ἐς Ναύπακτον. Ἀκαρνᾶνες δὲ καὶ Ἀμφίλοχοι ἀπελθόντων Ἀθηναίων καὶ Δημοσθένους τοῖς ἐς Σαλύνθιον καὶ Ἀγραίους καταφυγοῦσιν Ἀμπρακιώταις καὶ Πελοποννησίοις ἀναχώρησιν ἐσπείσαντο ἐξ Οἰνιαδῶν, οἵπερ καὶ μετανέστησαν παρὰ Σαλυνθίου. Καὶ ἐς τὸν ἔπειτα χρόνον σπονδὰς καὶ ξυμμαχίαν ἐποιήσαντο ἑκατὸν ἔτη Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι πρὸς Ἀμπρακιώτας ἐπὶ τοῖσδε ὥστε μήτε Ἀμπρακιώτας μετὰ Ἀκαρνάνων στρατεύειν ἐπὶ Πελοποννησίους μήτε Ἀκαρνᾶνας μετὰ Ἀμπρακιωτῶν ἐπ' Ἀθηναίους, βοηθεῖν δὲ τῇ ἀλλήλων καὶ ἀποδοῦναι Ἀμπρακιώτας ὁπόσα ἢ χωρία ἢ ὁμήρους Ἀμφιλόχων ἔχουσι, καὶ ἐπὶ Ἀνακτόριον μὴ βοηθεῖν πολέμιον ὂν Ἀκαρνᾶσι. Ταῦτα

114. *πλέοντα ἑάλω*] Valla legit *πλέονα ἑάλω*.

ἐξῃρέθησαν] Verbum prædicato accommodatum est, ut modo vidimus factum esse cap. 112. Verba *Δημοσθένει—πανοπλίαι* habet Thom. M. p. 321. Ceterum conf. iv, 12. *τὸ χωρίον τοῦτο, ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο.*

τὰ δὲ νῦν—ἱεροῖς] Thom. M. p. 53.

Ἀκαρνᾶνες—Σαλύνθιον] Ita A. B. E. F. H. K. N. P. S. d. f. g. h. i. Vulgo *παρὰ Σαλύνθιον καὶ Ἀγραίους καὶ ἐς*, etc. Porro vulgo legitur *ἐξ Οἰνιαδῶν*, quod sensu cassum esse videtur. Lindavius Spicil. p. 6. proposuit conjecturam *ἔξω Οἰν.*, (non Hemsterhusius; certe ubi eam ab Hemsterh. prolatam Krueger. ad Dionys. p. 234. dicit, ad Lucian. t. i. p. 324., non reperitur ibi, quanquam ibi de particula *ἔξω* disseritur, sed hoc loco Thucyd. non commemorato.) Causa autem cur exclusi Œniades sint induciis, palam est; nam sejunxerant causam suam et arma a reliquis Acarnanibus et soli a partibus Peloponnesiorum steterant. Vide iii, 94. *Ἀκαρνᾶσί τε πᾶσιν, οἳ πανδημεὶ πλὴν Οἰνιαδῶν ξυνέσπεντο.* Verborum autem *οἵπερ καὶ μετανέστησαν παρὰ Σαλύνθιον* non potest hic sensus esse, 'qui confugerant ad Salynthium;' nam ea vis verbi *μετανίστημι* non est. Puto sensum esse, 'qui etiam in partes Salynthii transierunt,' et cum Peloponnesiis adeo fecerunt; nam Salynthius his amicus erat. Vid. cap. 3. extr. et iv, 77. Nisi malis quod magis etiam cum significatu verbi consentaneum est, 'qui ad Salynthium transeuntes sedes ibi fixerunt:' quod equidem præferrem, quia per se intelligitur, Œniades cum Peloponnesiis fecisse, nisi meliora in promtu essent. Etenim recepi conjecturam Hermanni, quam ab ex Popponis ed. Thuc. ii, 1. p. 162. innotuit, quæ sensum plenissimum reddit eademque est facillima. Converte, 'Acarnanes vero et Amphilochi—Ambraciotis et Peloponnesiis, qui ad Salynthium confugerant, fide publica interposita, et Œniadis abeundi potestatem dederant, quo a Salynthio discesserant.'

ξυνθέμενοι διέλυσαν τὸν πόλεμον. Μετὰ δὲ ταῦτα Κορίνθιοι φυλακὴν ἑαυτῶν ἐς τὴν Ἀμπρακίαν ἀπέστειλαν, ἐς τριακοσίους ὁπλίτας, καὶ Ξενοκλείδαν τὸν Εὐθυκλέους ἄρχοντα· οἳ κομιζόμενοι χαλεπῶς διὰ τῆς Ἠπείρου ἀφίκοντο. Τὰ μὲν κατ' Ἀμπρακίαν οὕτως ἐγένετο.

115. Οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι τοῦ αὐτοῦ χειμῶνος ἔς τε τὴν Ἱμεραίαν ἀπόβασιν ἐποιήσαντο ἐκ τῶν νεῶν μετὰ τῶν Σικελιωτῶν ἄνωθεν ἐσβεβληκότων ἐς τὰ ἔσχατα τῆς Ἱμεραίας, καὶ ἐπὶ τὰς Αἰόλου νήσους ἔπλευσαν. Ἀναχωρήσαντες δὲ ἐς Ῥήγιον Πυθόδωρον τὸν Ἰσολόχου Ἀθηναίων στρατηγὸν καταλαμβάνουσιν ἐπὶ τὰς ναῦς διάδοχον ὧν ὁ Λάχης ἦρχεν. Οἱ γὰρ ἐν Σικελίᾳ ξύμμαχοι πλεύσαντες ἔπεισαν τοὺς Ἀθηναίους βοηθεῖν σφίσι πλείοσι ναυσί· τῆς μὲν γὰρ γῆς αὐτῶν οἱ Συρακόσιοι ἐκράτουν, τῆς δὲ θαλάσσης ὀλίγαις ναυσὶν εἰργόμενοι παρεσκευάζοντο ναυτικὸν ξυναγείροντες ὡς οὐ περιοψόμενοι. Καὶ ἐπλήρουν ναῦς τεσσαράκοντα οἱ Ἀθηναῖοι ὡς ἀποστελοῦντες αὐτοῖς, ἅμα μὲν ἡγούμενοι θᾶσσον τὸν ἐκεῖ πόλεμον καταλυθήσεσθαι, ἅμα δὲ βουλόμενοι μελέτην τοῦ ναυτικοῦ ποιεῖσθαι. Τὸν μὲν οὖν ἕνα τῶν στρατηγῶν ἀπέστειλαν Πυθόδωρον ὀλίγαις ναυσὶ, Σοφοκλέα δὲ τὸν Σωστρατίδου καὶ Εὐρυμέδοντα τὸν Θουκλέους ἐπὶ τῶν πλειόνων νεῶν ἀποπέμψειν ἔμελλον. Ὁ δὲ Πυθόδωρος ἤδη ἔχων τὴν τοῦ Λάχητος τῶν νεῶν ἀρχὴν ἔπλευσε τελευτῶντος τοῦ χειμῶνος ἐπὶ τὸ Λοκρῶν φρούριον, ὃ πρότερον Λάχης εἷλε· καὶ νικηθεὶς μάχῃ ὑπὸ τῶν Λοκρῶν ἀνεχώρησεν.

116. Ἐῤῥύη δὲ περὶ αὐτὸ τὸ ἔαρ τοῦτο ὁ ῥύαξ τοῦ πυρὸς ἐκ τῆς Αἴτνης, ὥσπερ καὶ τὸ πρότερον. Καὶ γῆν τινα ἔφθειρε τῶν Καταναίων, οἳ ἐπὶ τῇ Αἴτνῃ τῷ ὄρει οἰκοῦσιν, ὅπερ μέγιστόν ἐστιν ὄρος ἐν τῇ Σικελίᾳ. Λέγεται δὲ πεντηκοστῷ ἔτει ῥυῆναι τοῦτο μετὰ τὸ πρότερον ῥεῦμα, τὸ δὲ ξύμπαν τρὶς γεγενῆσθαι τὸ ῥεῦμα ἀφ' οὗ Σικελία ὑπὸ Ἑλλήνων οἰκεῖται. Ταῦτα μὲν κατὰ τὸν χειμῶνα τοῦτον ἐγένετο. Καὶ ἕκτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

115. Σοφοκλέα] V. Lessing. Vit. Sophocl. p. 24. 133. 165. Thuc. i, 117.
ὁ Λάχης] videtur idem περιπόλιον significari, quod supr. c. 99. memoravit.

116. Conf. Cluver. Sic. Antiq. i, 8. Dorvill. Sicula, p. 241. Uckert. Geogr. Gr. et Rom. vol. i. P. i. p. 337.

ARGUMENTUM LIBRI QUARTI.

Messana in Sicilia ab Atheniensibus descivit; 1. Athenienses Pylum in Peloponneso communiverunt et præsidio firmarunt; 3. Quod cum terra marique Peloponnesii oppugnarent, Atheniensium classis suis opem ferens prœlio navali Peloponnesios vicit; 14. Eo facto, cum quadringentos et viginti delectos Peloponnesios in insula Sphacteria, cujus tutandæ causa ibi locati fuerant, a suis interclusos circumsiderent Athenienses; Lacedæmonios pacem petere coëgerunt; 15. Qua negata, post longam obsidionem tandem egressi in insulam Athenienses Peloponnesios partim occiderunt, partim vivos ceperunt; 38. Post hæc Athenienses Corinthios terrestri prœlio in ipsorum regione fuderunt, Cythera insulam Lacedæmoniis eripuerunt, Nisæam et longos muros Megarensium occuparunt; 44. 45. 69. Corcyræorum seditio finem accepit; 48. Sicilienses fatigati diutino bello pacem inter se fœdusque fecerunt; 65. Brasidas Lacedæmonius dux, parva cum manu per Thessaliam in socios Atheniensium profectus, plurimos ab eorum societate avertit; Amphipolin, Stagirum, Acanthum, Toronen aliaque multa oppida, deditione accepit; 79. 89. 116.

Amphipolis, propter cujus expugnationem Thucydides cap. 104. se in exilium actum esse narrat, Atheniensibus ut colonia et emporium, unde ligna navalia, lanas et alias merces peterent, utilissima, ad proficiscendum in Thraciam opportuna ad Strymonem sita fuit, loco prius Novem Viæ appellato, quem jam antiquissimis temporibus Aristagoras Milesius, Darium fugiens occupare cum tentasset, ab Edonis ejus regionis accolis impeditus est. Triginta duobus ferme annis post, Athenienses in easdem terras colonos decies mille miserunt, quos Thraces subita invasione ad Drabescum ceperunt, partim occiderunt. Viginti novem abhinc annis iidem, duce Hagnone, urbem pulsis Edonis condiderunt. Posthac Cimon, magnis copiis Thracum hic fugatis, rursus oppidum Amphipolin constituit, eoque decem millia Atheniensium in coloniam misit. Anno belli Peloponnesiaci octavo, Brasidas, urbe potitus, quam cum postea Lacedæmonii aliquamdiu habuissent, decimo ejusdem belli anno urbe cesserunt; pace Antalcidæ jus obtinendæ Amphipolis Atheniensibus vindicatum. Quanquam incolæ non jam videntur prompti fuisse ad vetus imperium accipiendum; Amynta certe regnante defecisse narrantur, et voluisse juris esse sui: neque mirum; quippe Lacedæmonii veteribus incolis expulsis novos deduxerunt. Testatur rex Philippus Epistola apud Demosthenem, p. 176. Tauchn. ἐκπολιορκήσας γὰρ τοὺς ὑμᾶς μὲν ἐκβαλόντας, ὑπὸ Λακεδαιμονίων δὲ κατοικισθέντας ἔλαβον τὸ χωρίον Amphipolis. Inter tempora Antalcidæ pacis et insecutæ Iphicrateæ expeditionis Amphipolis in potestate regis Persarum fuit, qui cum Timagoræ quadraginta talenta dedisset, quibus Atheniensium proceres corrumperet, et super his ille mortuus esset, in solutum Amphipolin occupavit, quam tum sibi sociam amicamque urbem esse Athenas nuntiavit. Incidere hæc in tempora Artaxerxis II. Mnemonis Ol. 103½. Vide Xenophon. Hist. Gr.

1, 33—38. Plutarch. Vit. Artaxerx. c. 22. Vit. Pelopid. c. 30. Athen. ii. p. 48. D. Demosth. d. Fals. Leg. p. 54. Tauchn. Posthac Athenienses miserunt Iphicratem, qui quos obsides ab Amphipolitis acceptos tenebat, Charidemo Oritæ servandos tradidit; Charidemus obsidibus ad suos remissis recuperandæ urbis spem duci eripuit. Hinc quo tempore Timotheus missus nullo successu rediit, Amphipolis in ditione Olynthiorum fuit. Auctor incertus argumenti Demosth. Orat. d. Fals. Leg. p. 2. Olynthiorum Amphipolin fuisse tradit, quo tempore bellum sociale exarsit: ἔλαβε, ait, Philippus παρ' Ὀλυνθίων Ἀμφίπολιν, οὖσαν τμῆμα (legendum κτῆμα) τῆς πόλεως (Atheniensium ex legibus pacis Antalcidæ) καὶ ἣν ὑπ' Ὀλυνθίοις καθ' ὃν καιρὸν ἀπέστησαν καὶ οἱ σύμμαχοι. Videtur urbs in fœdere urbium Olynthiaco fuisse circa Olymp. 105, 3., quo anno bellum sociale geri cœpit, et expugnata a Philippo Amphipolis est. Ab Olynthiis enim in potestatem Perdiccæ fratris Philippi transierat, qui Perdiccas de urbe cum Atheniensibus et ipse bellum gessit induciis tandem terminatum. Jam post obitum Perdiccæ, cum Athenienses, quod a regibus Macedoniæ exspectaverant, ab Argæo æmulo Philippi se impetraturos sperarent, ut Amphipolin recuperarent; rex Macedonum, ut vinculum, quo Atheniensibus Argæus jungebatur, divelleret, Amphipolitas præsidio urbe eorum educto liberos esse jussit, at regno suo stabilito cum Amphipolitas multas belli causas præbere incusasset, per ruinas irrumpens urbe potitus est. Ceterum quod Philippus epistola apud Demosth. p. 176. affirmat, jam Alexandrum, Xerxi æqualem regem Macedoniæ, Amphipolim tenuisse, impudens mendacium est, quippe quo tempore nondum in urbibus fuisset. Vid. Auger. apud Jacobs. ad Demosth. Orationes in sermonem patrium conversas, p. 582. Dixi plura in Prolegomenis ad Demosthenis Orationes de republica habitas, p. 5.

Bœoti Athenienses, qui regionem ipsorum ingressi Delium communierant, prœlio in Oropia devicerunt, Delium vi expugnatum receperunt; 96. Tandem inducias Lacedæmonii Atheniensesque annuas fecere.

Δ.

1. ΤΟΥ δ' ἐπιγιγνομένου θέρους περὶ σίτου ἐκβολὴν Συρακοσίων δέκα νῆες πλεύσασαι καὶ Λοκρίδες ἴσαι Μεσσήνην τὴν ἐν Σικελίᾳ κατέλαβον, αὐτῶν ἐπαγαγομένων, καὶ ἀπέστη Μεσσήνη Ἀθηναίων. Ἔπραξαν δὲ τοῦτο μάλιστα οἱ μὲν Συρακόσιοι ὁρῶντες προσβολὴν ἔχον τὸ χωρίον τῆς Σικελίας, καὶ φοβούμενοι τοὺς Ἀθηναίους μὴ ἐξ αὐτοῦ ὁρμώμενοί ποτε σφίσι μείζονι παρασκευῇ ἐπέλθωσιν, οἱ δὲ Λοκροὶ κατὰ ἔχθος τὸ Ῥηγίνων, βουλόμενοι ἀμφοτέρωθεν αὐτοὺς καταπολεμεῖν. Καὶ ἐσεβεβλήκεσαν ἅμα ἐς τὴν Ῥηγίνων οἱ Λοκροὶ πανστρατιᾷ, ἵνα μὴ ἐπιβοηθῶσι τοῖς Μεσσηνίοις, ἅμα δὲ καὶ ξυνεπαγόντων Ῥηγίνων φυγάδων, οἳ ἦσαν παρ' αὐτοῖς· τὸ γὰρ Ῥήγιον ἐπὶ πολὺν χρόνον ἐστασίαζε καὶ ἀδύνατα ἦν ἐν τῷ παρόντι τοὺς Λοκροὺς ἀμύνεσθαι, ᾗ καὶ μᾶλλον ἐπετίθεντο. Δηώσαντες δὲ οἱ μὲν Λοκροὶ τῷ πεζῷ ἀπεχώρησαν, αἱ δὲ νῆες Μεσσήνην ἐφρούρουν· καὶ ἄλλαι αἱ πληρούμεναι ἔμελλον αὐτόσε ἐγκαθορμισάμεναι τὸν πόλεμον ἐντεῦθεν ποιήσεσθαι.

2. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ ἦρος πρὶν τὸν σῖτον ἐν ἀκμῇ εἶναι Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐσέβαλον ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ Ἄγις ὁ Ἀρχιδάμου Λακεδαιμονίων βασιλεύς· καὶ ἐγκαθεζόμενοι ἐδήουν τὴν γῆν. Ἀθηναῖοι δὲ τάς τε τεσσαράκοντα ναῦς ἐς Σικελίαν ἀπέστειλαν, ὥσπερ παρεσκευάζοντο, καὶ στρατηγοὺς τοὺς ὑπολοίπους Εὐρυμέδοντα καὶ Σοφοκλέα· Πυθόδωρος γὰρ ὁ τρίτος αὐτῶν ἤδη προαφῖκτο ἐς Σικελίαν. Εἶπον δὲ τούτοις καὶ Κερκυραίων ἅμα παραπλέοντας τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι, οἳ

1. σίτου ἐκβολὴν] Schol. σίτου ἐκβολὴν τὴν τῶν σταχύων ἐκ τῶν καλύκων γένεσίν φησιν· ἐπιφέρει γὰρ "ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ ἦρος·" ἦρος δὲ στάχυες ἐκφύονται· ἤγουν ὅτε ὁ στάχυς δημιουργεῖται καὶ ἤδη προβάλλεται, ἔχων τὸν κόκκον τοῦ σίτου διατετυπωμένον, οὔπω δὲ ἐς ἀκμὴν προαχθέντα. Eadem Suidas in σίτου, Photius in σίτου ἐκβολὴ ex Eustathio p. 1405., quibus adde Polluc. i, 61. Vide dicta ad ii, 19. Mox, ad αὐτῶν idem scholiastes adnotavit, ἤγουν τῶν Μεσσηνίων. Recte; nam structura est ad sensum facta, latetque subjectum praegresso Μεσσήνην, quo usu apud ... scriptores nihil frequentius est.

προσβολὴν] ἤγουν τόπον ἐπικαι... ἀφ' οὗ ἔστιν ἐξορμᾶν κατὰ τῆς Σικελίας ... προσβολὴν ἀντὶ τοῦ προσόρμισιν καὶ ... τῆς Σικελίας, ἢ πρὸς τὴν Σικελίαν. Sch... Mox, dedi ᾗ καὶ μᾶλλον ex codicibus ... ᾗ μᾶλλον καί, et Vallam secutus, '... etiam magis illi ingruebant.'

2. παραπλέοντας] Scholiastes adnot... sequi debuisse dativum participii, ... transitum factum esse a dativo in accus...

ἐλῃστεύοντο ὑπὸ τῶν ἐν τῷ ὄρει φυγάδων· καὶ Πελοποννησίων αὐτόσε νῆες ἑξήκοντα παρεπεπλεύκεσαν τοῖς ἐν τῷ ὄρει τιμωροὶ, καὶ λιμοῦ ὄντος μεγάλου ἐν τῇ πόλει νομίζοντες κατασχήσειν ῥᾳδίως τὰ πράγματα. Δημοσθένει δὲ ὄντι ἰδιώτῃ μετὰ τὴν ἀναχώρησιν τὴν ἐξ Ἀκαρνανίας αὐτῷ δεηθέντι εἶπον χρῆσθαι ταῖς ναυσὶ ταύταις, ἢν βούληται, περὶ τὴν Πελοπόννησον.

3. Καὶ ὡς ἐγένοντο πλέοντες κατὰ τὴν Λακωνικὴν καὶ ἐπυνθάνοντο ὅτι αἱ νῆες ἐν Κερκύρᾳ ἤδη εἰσὶ τῶν Πελοποννησίων, ὁ μὲν Εὐρυμέδων καὶ Σοφοκλῆς ἠπείγοντο ἐς τὴν Κέρκυραν, ὁ δὲ Δημοσθένης ἐς τὴν Πύλον πρῶτον ἐκέλευε σχόντας αὐτοὺς καὶ πράξαντας ἃ δεῖ τὸν πλοῦν ποιεῖσθαι· ἀντιλεγόντων δὲ κατὰ τύχην χειμὼν ἐπιγενόμενος κατήνεγκε τὰς ναῦς ἐς τὴν Πύλον. Καὶ ὁ Δημοσθένης εὐθὺς ἠξίου τειχίζεσθαι τὸ χωρίον, ἐπὶ τούτῳ γὰρ ξυνεκπλεῦσαι, καὶ ἀπέφαινε πολλὴν εὐπορίαν ξύλων τε καὶ λίθων, καὶ φύσει καρτερὸν ὂν καὶ ἔρημον αὐτό τε καὶ ἐπὶ πολὺ τῆς χώρας· ἀπέχει γὰρ σταδίους μάλιστα ἡ Πύλος τῆς Σπάρτης τετρακοσίους, καὶ ἔστιν ἐν τῇ Μεσσηνίᾳ ποτὲ οὔσῃ γῇ, καλοῦσι δὲ αὐτὴν οἱ Λακεδαιμόνιοι Κορυφάσιον. Οἱ δὲ πολλὰς ἔφασαν εἶναι ἄκρας ἐρήμους τῆς Πελοποννήσου, ἢν βούληται καταλαμβά-

tivum: quæ structura est admodum frequens, dixique ad ii, 11. Locum ita citat Thom. M. p. 164. *εἶπον δὲ τούτοις, καὶ Κερκυραίων τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι.*

ταῖς ναυσὶ ταύταις] Insignes sunt errores scholiastæ ad Aristoph. Eq. 55. dum scribit de Demosthene, *ἀποσταλεὶς εἰς Σικελίαν διὰ τὸν αὐτόθι πόλεμον*, et dum Pylum confundit cum Πύλαις, ubi Leonidas cecidit, et dum Leonidam Macedonum et Lacedæmoniorum regem vocat, nisi librarii lapsus subest.

3. *ἐπὶ πολὺ τῆς χώρας*] i. e. *πολλὴν μοῖραν τῆς χώρας.* Conf. ii, 76. *ἐπὶ μέγα τε (τοῦ τείχους) κατέσεισε*, i. e. *μέγα μέρος τοῦ τείχους.* iv, 30. *ἐμπρήσαντός τινος κατὰ μικρὸν τῆς ὕλης.* 100. *καὶ ἐσεσιδήρωντο ἐπὶ μέγα καὶ τοῦ ἄλλου ξύλου.*

Κορυφάσιον] Poppo Proleg. t. ii. p. 191. Pylus, ait, promontorium est lignis et lapidibus abundans, natura munitum ac tunc desertum et ipsum et magnus vicini agri tractus, a Sparta quadringenta stadia distans. (Conf. Strabo p. 550. c. Alm.) Spartani, addit, eam Coryphasium appellabant.—Sed an urbem, promontoriumne in quo sita erat urbs, ita appellarint, dubium est. Dukerus: "Non Pylum, sed illam partem agri Messeniaci in qua Pylus sita est. Ita Holsten. ad Steph. v. Πύλος. Etiam Pausanias Messen. 36. promontorium vocat Coryphasium, et in eo Pylum sitam esse dicit. Et Ptolemæus, p. 89. Pylum a promontorio Coryphasio distinguit. Item Strabo viii. p. 348. et Stephanus in *Κορυφάσιον.* Idem tamen v. Πύλος· *Πύλος, πόλις ἐν Μεσσήνῃ· ἐκαλεῖτο δὲ Κορυφάσιον.* Et schol. Thucyd. ad v, 18. Coryphasium exponit Pylum. Non necessaria quidem videri possit illa interpretatio: nam ibi nomine Coryphasii, quod restitui Lacedæmoniis inter eos et Athenienses convenerat, contineri potest Pylus, quæ erat in promontorio Coryphasio. Sed confirmat quodammodo Scholiastæ interpretationem ipse Thucydides, qui deinde cap. 35. scribit, Athenienses Lacedæmoniis ex legibus pacis non voluisse reddere Pylum. Casaubon. quoque ad Strab. viii. p. 359. verba hæc Thucydidis *καλοῦσι δὲ αὐτὴν*, non ad proxime præcedentia *ἐν τῇ Μεσσηνίων γῇ*, sed ad ipsam Pylum refert; quam, quia Strabo sub Coryphasio fuisse dicit, ideo ipsam etiam Coryphasium dictam putat."

ρουν. Οἱ δ' Ἀμπρακιῶται καὶ οἱ ἄλλοι ὅσοι μὲν ἐτύγχανον οὕτως ἀθρόοι ξυνελθόντες ὡς ἔγνωσαν ἀπιόντας, ὥρμησαν καὶ αὐτοὶ καὶ ἔθεον δρόμῳ, ἐπικαταλαβεῖν βουλόμενοι. Οἱ δὲ Ἀκαρνᾶνες τὸ μὲν πρῶτον καὶ πάντας ἐνόμισαν ἀπιέναι ἀσπόνδους ὁμοίως, καὶ τοὺς Πελοποννησίους ἐπεδίωκον· καί τινας αὐτῶν τῶν στρατηγῶν κωλύοντας καὶ φάσκοντας ἐσπεῖσθαι αὐτοῖς ἠκόντισέ τις, νομίσας καταπροδίδοσθαι σφᾶς· ἔπειτα μέντοι τοὺς μὲν Μαντινέας καὶ τοὺς Πελοποννησίους ἀφίεσαν, τοὺς δ' Ἀμπρακιώτας ἔκτεινον. Καὶ ἦν πολλὴ ἔρις καὶ ἄγνοια εἴτε Ἀμπρακιώτης τίς ἐστιν εἴτε Πελοποννήσιος. Καὶ ἐς διακοσίους μέν τινας αὐτῶν ἀπέκτειναν· οἱ δ' ἄλλοι διέφυγον ἐς τὴν Ἀγραΐδα ὅμορον οὖσαν, καὶ Σαλύνθιος αὐτοὺς ὁ βασιλεὺς τῶν Ἀγραίων φίλος ὢν ὑπεδέξατο.

112. Οἱ δ' ἐκ τῆς πόλεως Ἀμπρακιῶται ἀφικνοῦνται ἐς Ἰδομένην. Ἐστὸν δὲ δύο λόφω ἡ Ἰδομένη ὑψηλώ· τούτοιν τὸν μὲν μείζω νυκτὸς ἐπιγενομένης οἱ προαποσταλέντες ὑπὸ τοῦ Δημοσθένους ἀπὸ τοῦ στρατοπέδου ἔλαθόν τε καὶ ἔφθησαν προκαταλαβόντες, τὸν δ' ἐλάσσω ἔτυχον οἱ Ἀμπρακιῶται προαναβάντες, καὶ ηὐλίσαντο. Ὁ δὲ Δημοσθένης δειπνήσας ἐχώρει, καὶ τὸ ἄλλο στράτευμα ἀπὸ ἑσπέρας εὐθύς, αὐτὸς μὲν τὸ ἥμισυ ἔχων ἐπὶ τῆς ἐσβολῆς, τὸ δ' ἄλλο διὰ τῶν Ἀμφιλοχικῶν ὀρῶν. Καὶ ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς Ἀμπρακιώταις ἔτι ἐν ταῖς εὐναῖς καὶ οὐ προῃσθημένοις τὰ γεγενημένα, ἀλλὰ πολὺ μᾶλλον νομίσασι τοὺς ἑαυτῶν εἶναι· καὶ γὰρ τοὺς Μεσσηνίους πρώτους ἐπίτηδες ὁ Δημοσθένης προὔταξε, καὶ προσαγορεύειν ἐκέλευε, Δωρίδα τε γλῶσσαν ἱέντας καὶ τοῖς προφύλαξι πίστιν παρεχομένους, ἅμα δὲ καὶ οὐ καθορωμένους τῇ ὄψει νυκτὸς ἔτι οὔσης. Ὡς δὲ ἐπέπεσε τῷ στρατεύματι αὐτῶν, τρέπουσι, καὶ τοὺς μὲν πολλοὺς αὐτοῦ διέφθειραν, οἱ δὲ λοιποὶ κατὰ τὰ ὄρη ἐς φυγὴν ὥρμησαν. Προκατειλημμένων δὲ τῶν ὁδῶν, καὶ ἅμα τῶν μὲν Ἀμφιλόχων ἐμπείρων ὄντων τῆς ἑαυτῶν γῆς καὶ ψιλῶν πρὸς ὁπλίτας, τῶν δὲ ἀπείρων καὶ ἀνεπιστημόνων ὅποι

111. ἠκόντισέ τις] Schol. post alios explicandi conatus addit, ἴσως δὲ οὐκ ἀδύνατόν ἐστιν, ἕνα πλείω ἀκόντια ἔχοντα πλείους ἀκοντίσαι τῶν στρατηγῶν· δύνατον δὲ τὸ ἠκόντισέ τις καὶ ἐπὶ πλήθους λαμβάνεσθαι, οἷον καὶ ἄλλος καὶ ἄλλος ἠκόντισεν. Ita Homerus sæpissime; ὧδε δέ τις εἴπεσκεν, 'so many a man said.'

112. ἐστὸν—ἡ Ἰδομένη] V. Matth. Gr. § 305. Dorv. ad Chariton. p. [illegible]

τράπονται, ἐσπίπτοντες ἔς τε χαράδρας καὶ τὰς προλελοχισμένας ἐνέδρας διεφθείροντο. Καὶ ἐς πᾶσαν ἰδέαν χωρήσαντες τῆς φυγῆς ἐτράποντό τινες καὶ ἐς τὴν θάλασσαν οὐ πολὺ ἀπέχουσαν, καὶ ὡς εἶδον τὰς Ἀττικὰς ναῦς παραπλεούσας ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ, προσένευσαν, ἡγησάμενοι ἐν τῷ αὐτίκα φόβῳ κρεῖσσον εἶναι σφίσιν ὑπὸ τῶν ἐν ταῖς ναυσὶν, εἰ δεῖ, διαφθαρῆναι ἢ ὑπὸ τῶν βαρβάρων καὶ ἐχθίστων Ἀμφιλόχων. Οἱ μὲν οὖν Ἀμπρακιῶται τοιούτῳ τρόπῳ κακωθέντες ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν ἐς τὴν πόλιν· Ἀκαρνᾶνες δὲ σκυλεύσαντες τοὺς νεκροὺς καὶ τροπαῖα στήσαντες ἀπεχώρησαν ἐς Ἄργος.

113. Καὶ αὐτοῖς τῇ ὑστεραίᾳ ἦλθε κήρυξ ἀπὸ τῶν ἐς Ἀγραίους καταφυγόντων ἐκ τῆς Ὄλπης Ἀμπρακιωτῶν ἀναίρεσιν αἰτήσων τῶν νεκρῶν οὓς ἀπέκτειναν ὕστερον τῆς πρώτης μάχης, ὅτε μετὰ τῶν Μαντινέων καὶ τῶν ὑποσπόνδων ξυνεξήεσαν ἄσπονδοι. Ἰδὼν δ' ὁ κήρυξ τὰ ὅπλα τῶν ἀπὸ τῆς πόλεως Ἀμπρακιωτῶν ἐθαύμαζε τὸ πλῆθος· οὐ γὰρ ᾔδει τὸ πάθος, ἀλλ' ᾤετο τῶν μετὰ σφῶν εἶναι. Καί τις αὐτὸν ἤρετο ὅ,τι θαυμάζοι καὶ ὁπόσοι αὐτῶν τεθνᾶσιν, οἰόμενος αὖ ὁ ἐρωτῶν εἶναι τὸν κήρυκα ἀπὸ τῶν ἐν Ἰδομέναις. Ὁ δ' ἔφη διακοσίους μάλιστα. Ὑπολαβὼν δ' ὁ ἐρωτῶν εἶπεν, Οὔκουν τὰ ὅπλα ταυτὶ φαίνεται, ἀλλὰ πλέον ἢ χιλίων. Αὖθις δὲ εἶπεν ἐκεῖνος, Οὐκ ἄρα τῶν μεθ' ἡμῶν μαχομένων ἐστίν. Ὁ δ' ἀπεκρίνατο, Εἴπερ γε ὑμεῖς ἐν Ἰδομένῃ χθὲς ἐμάχεσθε. Ἀλλ' ἡμεῖς γε οὐδενὶ ἐμαχόμεθα χθὲς, ἀλλὰ πρώην ἐν τῇ ἀποχωρήσει. Καὶ μὲν δὴ τούτοις γε ἡμεῖς χθὲς ἀπὸ τῆς πόλεως βοηθήσασι τῆς Ἀμπρακιωτῶν ἐμαχόμεθα. Ὁ δὲ κήρυξ ὡς ἤκουσε καὶ ἔγνω ὅτι ἡ ἀπὸ τῆς πόλεως βοήθεια διέφθαρται, ἀνοιμώξας καὶ ἐκπλαγεὶς τῷ μεγέθει τῶν παρόντων κακῶν ἀπῆλθεν εὐθὺς ἄπρακτος καὶ οὐκέτι ἀπῄτει τοὺς νεκρούς. Πάθος γὰρ τοῦτο μιᾷ πόλει Ἑλληνίδι ἐν ἴσαις ἡμέραις μέγιστον δὴ τῶν κατὰ τὸν πόλεμον τόνδε ἐγένετο. Καὶ ἀριθμὸν οὐκ ἔγραψα τῶν ἀποθανόντων, διότι ἄπιστον τὸ πλῆθος λέγεται ἀπολέσθαι ὡς πρὸς τὸ μέγεθος τῆς πόλεως. Ἀμπρακίαν μέντοι οἶδα ὅτι εἰ ἐβουλήθησαν Ἀκαρνᾶνες καὶ

Mox, εἰ δεῖ διαφθαρῆναι pro vulg. ἤδη διαφθ. dedit ex plurimis optimisque libris Bekkerus.

Ἀμφίλοχοι Ἀθηναίοις καὶ Δημοσθένει πειθόμενοι ἐξελεῖν, αὐτοβοεὶ ἂν εἷλον· νῦν δ' ἔδεισαν μὴ οἱ Ἀθηναῖοι ἔχοντες αὐτὴν χαλεπώτεροι σφίσι πάροικοι ὦσι.

114. Μετὰ δὲ ταῦτα τρίτον μέρος νείμαντες τῶν σκύλων τοῖς Ἀθηναίοις τὰ ἄλλα κατὰ τὰς πόλεις διείλοντο. Καὶ τὰ μὲν τῶν Ἀθηναίων πλέοντα ἑάλω, τὰ δὲ νῦν ἀνακείμενα ἐν τοῖς Ἀττικοῖς ἱεροῖς Δημοσθένει ἐξῃρέθησαν τριακόσιαι πανοπλίαι, καὶ ἄγων αὐτὰς κατέπλευσε· καὶ ἐγένετο ἅμα αὐτῷ μετὰ τὴν τῆς Αἰτωλίας ξυμφορὰν ἀπὸ ταύτης τῆς πράξεως ἀδεεστέρα ἡ κάθοδος. Ἀπῆλθον δὲ καὶ οἱ ἐν ταῖς εἴκοσι ναυσὶν Ἀθηναῖοι ἐς Ναύπακτον. Ἀκαρνᾶνες δὲ καὶ Ἀμφίλοχοι ἀπελθόντων Ἀθηναίων καὶ Δημοσθένους τοῖς ὡς Σαλύνθιον καὶ Ἀγραίους καταφυγοῦσιν Ἀμπρακιώταις καὶ Πελοποννησίοις ἀναχώρησιν ἐσπείσαντο ἐξ Οἰνιαδῶν, οἵπερ καὶ μετανέστησαν παρὰ Σαλυνθίου. Καὶ ἐς τὸν ἔπειτα χρόνον σπονδὰς καὶ ξυμμαχίαν ἐποιήσαντο ἑκατὸν ἔτη Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι πρὸς Ἀμπρακιώτας ἐπὶ τοῖσδε ὥστε μήτε Ἀμπρακιώτας μετὰ Ἀκαρνάνων στρατεύειν ἐπὶ Πελοποννησίους μήτε Ἀκαρνᾶνας μετὰ Ἀμπρακιωτῶν ἐπ' Ἀθηναίους, βοηθεῖν δὲ τῇ ἀλλήλων καὶ ἀποδοῦναι Ἀμπρακιώτας ὁπόσα ἢ χωρία ἢ ὁμήρους Ἀμφιλόχων ἔχουσι, καὶ ἐπὶ Ἀνακτόριον μὴ βοηθεῖν πολέμιον ὂν Ἀκαρνᾶσι. Ταῦτα

114. *πλέοντα ἑάλω*] Valla legit *πλέονα ἑάλω*.

ἐξῃρέθησαν] Verbum prædicato accommodatum est, ut modo vidimus factum esse cap. 112. Verba *Δημοσθένει—πανοπλίαι* habet Thom. M. p. 321. Ceterum conf. iv, 12. *τὸ χωρίον τοῦτο, ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο*.

τὰ δὲ νῦν—ἱεροῖς] Thom. M. p. 53.

Ἀκαρνᾶνες—Σαλύνθιον] Ita A. B. E. F. H. K. N. P. S. d. f. g. h. i. Vulgo *παρὰ Σαλύνθιον καὶ Ἀγραίους καὶ ἐς*, etc. Porro vulgo legitur *ἐξ Οἰνιαδῶν*, quod sensu cassum esse videtur. Lindavius Spicil. p. 6. proposuit conjecturam *ἔξω Οἰν.*, (non Hemsterhusius; certe ubi eam ab Hemsterh. prolatam Krueger. ad Dionys. p. 234. dicit, ad Lucian. t. i. p. 324., non reperitur ibi, quanquam ibi de particula *ἔξω* disseritur, sed hoc loco Thucyd. non commemorato.) Causa autem cur exclusi Œniades sint induciis, palam est; nam sejunxerant causam suam et arma a reliquis Acarnanibus et soli a partibus Peloponnesiorum steterant. Vide iii, 94. *Ἀκαρνᾶσί τε πᾶσιν, οἳ πανδημεὶ πλὴν Οἰνιαδῶν ξυνέσποντο*. Verborum autem *οἵπερ καὶ μετανέστησαν παρὰ Σαλύνθιον* non potest hic sensus esse, 'qui confugerant ad Salynthium;' nam ea vis verbi *μετανίστημι* non est. Puto sensum esse, 'qui etiam in partes Salynthii transierunt,' et cum Peloponnesiis adeo fecerunt; nam Salynthius his amicus erat. Vid. cap. 3. extr. et iv, 77. Nisi malis, quod magis etiam cum significatu verbi consentaneum est, 'qui ad Salynthium transeuntes sedes ibi fixerunt:' quod equidem præferrem, quia per se intelligitur, Œniades cum Peloponnesiis fecisse, nisi meliora in promtu essent. Etenim recepi conjecturam Hermanni, quæ mihi ex Popponis ed. Thuc. ii, 1. p. 162. innotuit, quæ sensum plenissimum reddit, eademque est facillima. Converte, 'Acarnanes vero et Amphilochi—Ambraciotis et Peloponnesiis, qui ad Salynthium—confugerant, fide publica interposita, ex Œniadis abeundi potestatem dederunt, quo a Salynthio discesserant.'

ξυνθέμενοι διέλυσαν τὸν πόλεμον. Μετὰ δὲ ταῦτα Κορίνθιοι φυλακὴν ἑαυτῶν ἐς τὴν Ἀμπρακίαν ἀπέστειλαν, ἐς τριακοσίους ὁπλίτας, καὶ Ξενοκλείδαν τὸν Εὐθυκλέους ἄρχοντα· οἳ κομιζόμενοι χαλεπῶς διὰ τῆς Ἠπείρου ἀφίκοντο. Τὰ μὲν κατ' Ἀμπρακίαν οὕτως ἐγένετο.

115. Οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι τοῦ αὐτοῦ χειμῶνος ἔς τε τὴν Ἱμεραίαν ἀπόβασιν ἐποιήσαντο ἐκ τῶν νεῶν μετὰ τῶν Σικελιωτῶν ἄνωθεν ἐσβεβληκότων ἐς τὰ ἔσχατα τῆς Ἱμεραίας, καὶ ἐπὶ τὰς Αἰόλου νήσους ἔπλευσαν. Ἀναχωρήσαντες δὲ ἐς Ῥήγιον Πυθόδωρον τὸν Ἰσολόχου Ἀθηναίων στρατηγὸν καταλαμβάνουσιν ἐπὶ τὰς ναῦς διάδοχον ὧν ὁ Λάχης ἦρχεν. Οἱ γὰρ ἐν Σικελίᾳ ξύμμαχοι πλεύσαντες ἔπεισαν τοὺς Ἀθηναίους βοηθεῖν σφίσι πλείοσι ναυσί· τῆς μὲν γὰρ γῆς αὐτῶν οἱ Συρακόσιοι ἐκράτουν, τῆς δὲ θαλάσσης ὀλίγαις ναυσὶν εἰργόμενοι παρεσκευάζοντο ναυτικὸν ξυναγείροντες ὡς οὐ περιοψόμενοι. Καὶ ἐπλήρουν ναῦς τεσσαράκοντα οἱ Ἀθηναῖοι ὡς ἀποστελοῦντες αὐτοῖς, ἅμα μὲν ἡγούμενοι θᾶσσον τὸν ἐκεῖ πόλεμον καταλυθήσεσθαι, ἅμα δὲ βουλόμενοι μελέτην τοῦ ναυτικοῦ ποιεῖσθαι. Τὸν μὲν οὖν ἕνα τῶν στρατηγῶν ἀπέστειλαν Πυθόδωρον ὀλίγαις ναυσὶ, Σοφοκλέα δὲ τὸν Σωστρατίδου καὶ Εὐρυμέδοντα τὸν Θουκλέους ἐπὶ τῶν πλειόνων νεῶν ἀποπέμψειν ἔμελλον. Ὁ δὲ Πυθόδωρος ἤδη ἔχων τὴν τοῦ Λάχητος τῶν νεῶν ἀρχὴν ἔπλευσε τελευτῶντος τοῦ χειμῶνος ἐπὶ τὸ Λοκρῶν φρούριον, ὃ πρότερον Λάχης εἷλε· καὶ νικηθεὶς μάχῃ ὑπὸ τῶν Λοκρῶν ἀνεχώρησεν.

116. Ἐρρύη δὲ περὶ αὐτὸ τὸ ἔαρ τοῦτο ὁ ῥύαξ τοῦ πυρὸς ἐκ τῆς Αἴτνης, ὥσπερ καὶ τὸ πρότερον. Καὶ γῆν τινα ἔφθειρε τῶν Καταναίων, οἳ ἐπὶ τῇ Αἴτνῃ τῷ ὄρει οἰκοῦσιν, ὅπερ μέγιστόν ἐστιν ὄρος ἐν τῇ Σικελίᾳ. Λέγεται δὲ πεντηκοστῷ ἔτει ῥυῆναι τοῦτο μετὰ τὸ πρότερον ῥεῦμα, τὸ δὲ ξύμπαν τρὶς γεγενῆσθαι τὸ ῥεῦμα ἀφ' οὗ Σικελία ὑπὸ Ἑλλήνων οἰκεῖται. Ταῦτα μὲν κατὰ τὸν χειμῶνα τοῦτον ἐγένετο. Καὶ ἕκτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

115. Σοφοκλέα] V. Lessing. Vit. Sophocl. p. 24. 133. 165. Thuc. i, 117.
ὁ Λάχης] videtur idem περιπόλιον significari, quod supr. c. 99. memoravit.

116. Conf. Cluver. Sic. Antiq. i, 8. Dorvill. Sicula, p. 241. Uckert. Geogr. Gr. et Rom. vol. i. P. i. p. 337.

ναύτας ἐξ αὐτῶν ὥπλισεν ἀσπίσι τε φαύλαις καὶ οἰσυΐναις ταῖς πολλαῖς· οὐ γὰρ ἦν ὅπλα ἐν χωρίῳ ἐρήμῳ πορίσασθαι, ἀλλὰ καὶ ταῦτα ἐκ λῃστρικῆς Μεσσηνίων τριακοντόρου καὶ κέλητος ἔλαβον, οἳ ἔτυχον παραγενόμενοι. Ὁπλῖταί τε τῶν Μεσσηνίων τούτων ὡς τεσσαράκοντα ἐγένοντο, οἷς ἐχρῆτο μετὰ τῶν ἄλλων. Τοὺς μὲν οὖν πολλοὺς τῶν τε ἀόπλων καὶ ὡπλισμένων ἐπὶ τὰ τετειχισμένα μάλιστα καὶ ἐχυρὰ τοῦ χωρίου πρὸς τὴν ἤπειρον ἔταξε, προειπὼν ἀμύνασθαι τὸν πεζὸν, ἢν προσβάλλῃ· αὐτὸς δὲ ἀπολεξάμενος ἐκ πάντων ἑξήκοντα ὁπλίτας καὶ τοξότας ὀλίγους ἐχώρει ἔξω τοῦ τείχους ἐπὶ τὴν θάλασσαν, ᾗ μάλιστα ἐκείνους προσεδέχετο πειράσειν ἀποβαίνειν ἐς χωρία μὲν χαλεπὰ καὶ πετρώδη πρὸς τὸ πέλαγος τετραμμένα, σφίσι δὲ τοῦ τείχους ταύτῃ ἀσθενεστάτου ὄντος ἐπισπάσασθαι αὐτοὺς ἡγεῖτο προθυμήσεσθαι· οὔτε γὰρ αὐτοὶ ἐλπίζοντες ποτὲ ναυσὶ κρατηθήσεσθαι οὐκ ἰσχυρὸν ἐτείχιζον, ἐκείνοις τε βιαζομένοις τὴν ἀπόβασιν ἁλώσιμον τὸ χωρίον γίγνεσθαι. Κατὰ τοῦτο οὖν πρὸς αὐτὴν τὴν θάλασσαν χωρήσας ἔταξε τοὺς ὁπλίτας ὡς εἴρξων ἢν δύνηται, καὶ παρεκελεύσατο τοιάδε.

10. Ἄνδρες οἱ ξυναράμενοι τοῦδε τοῦ κινδύνου, μηδεὶς

Rom. p. 705. et 698. et Scheffer. de Milit. Naval. ii, 2.

ἐπισπάσασθαι] Schol. mira explicatione, *τὴν κατὰ τοῦτο τὸ μέρος ἀσθένειαν τοῦ τείχους ἀφορμὴν παρέξειν τοῖς Λακεδαιμονίοις, ὥστε ἐπὶ τὸ αὐτὸ ὁρμῆσαι.* Sic vero quid fiet verbo *προθυμήσεσθαι*?—*περιττὸν*, ait, est. Sic si liceret, nihil non liceret. Imo supplendum est *αὐτὸ*, i. e. *τὸ ταύτῃ τεῖχος*, et *ἐπισπάσασθαι* est 'potiri.'

ἐκείνοις τε—γίγνεσθαι] Hæc verba ita accepit Heilmannus: *οὐ γὰρ ἐλπίζοντες, αὐτοί τέ ποτε ναυσὶ κρατηθήσεσθαι, ἐκείνοις τε βιαζομένοις τὴν ἀπόβασιν ἁλώσιμον τὸ χωρίον γίγνεσθαι, οὐκ ἰσχυρὸν ἐτείχιζον·* 'for as they believed themselves the strongest at sea, and as they could not imagine that the enemies would force a landing and threaten the place with an attack from that side, they had it not strongly fortified.' Sed hic sensus postularet scribi *οὔτε ἐκείνοις βιαζομένοις—τὸ χωρίον γίγνεσθαι.* Ni fallor, anacoluthon inest in his verbis ejusmodi, ut auctor orationem ita continuasse statuendus sit, quasi pro *ἐλπίζοντες* præcessisset *ἐλπὶς ἦν αὐτοῖς*, quare cum scholiasta ad *βιαζομένοις* id ipsum, *ἐλπὶς ἦν* suppleo.

10. Demosthenis oratio ad milites.

ξυναράμενοι] Zonaras, *συναίρομαι, ἀντὶ τοῦ συλλαμβάνομαι καὶ συμβοηθῶ.* V. interpp. ad Hesych. v. *συναιρουμένοις.* Conf. Thucyd. v, 28. *οὐ ξυναράμενοι Ἀττικοῦ πολέμου.* Anecd. Bekk. i. p. 173. *συναίρω, συμμετέχω, γενικῇ· Θουκυδίδης τετάρτῳ· ἄνδρες οἱ συναράμενοι τοῦδε τοῦ κινδύνου.* Accusativo junxit verbum istud ii, 71., quem locum laudavit Phavorinus in *ξυνάρασθαι—τῷ δεινὶ κατὰ τὸν κίνδυνον καὶ ξυνάρασθαι τὸν κίνδυνον αἰτιατικῇ μόνῃ. Θουκυδίδης· μετὰ Ἑλλήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυνον τῆς μάχης.* Mox, pro *μᾶλλον ἢ* L. O. P. Q. c. f. g. habent *μᾶλλον δ'*, et A. B. F. H. K. N. e. *μᾶλλον* tantummodo sine et *δ'* et *ἤ*. Mihi præferendum visum est *δ'*, quia *ξυνετὸς*, quocum *ἢ* jungendum foret, nimis remotum est. Sic vero ex prægresso *μηδεὶς* ad *μᾶλλον δὲ χωρῆσαι* arcessendum erit *ἕκαστος*, ut viii, 66. *ἀντέλεγεν οὐδεὶς ἔτι τῶν ἄλλων, δεδιὼς καὶ ὁρῶν πολὺ τὸ συνεστηκός.* V. Wolf. ap. Schneider. ad Xenoph. H. Gr. p. 114. Heind. ad Plat. Gorg. 29. ad Horat. Sat. i, 1, 3. *Δὲ*, non *ἤ*, etiam Scholiastes legisse videtur; nam ita scribit, *ἀντὶ τοῦ μηδεὶς ἐν τοιούτῳ κινδύνῳ γενόμενος ὀξεῖ τε καὶ ἀναγκαίῳ συνετὸς βουλέσθω δοκεῖν εἶναι, καὶ ἐξαριθμείτω τὰ περι-*

ὑμῶν ἐν τῇ τοιᾶδε ἀνάγκῃ ξυνετὸς βουλέσθω δοκεῖν εἶναι, ἐκλογιζόμενος ἅπαν τὸ περιεστὸς ἡμᾶς δεινὸν, μᾶλλον δ' ἀπερισκέπτως εὔελπις ὁμόσε χωρῆσαι τοῖς ἐναντίοις, καὶ ἐκ τούτων ἂν περιγενόμενος. Ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται ὥσπερ τάδε, λογισμὸν ἥκιστα ἐνδεχόμενα κινδύνου τοῦ ταχίστου προσδεῖται. Ἐγὼ δὲ καὶ τὰ πλείω ὁρῶ πρὸς ἡμῶν ὄντα, ἢν ἐθέλωμέν τε μεῖναι καὶ μὴ τῷ πλήθει αὐτῶν καταπλαγέντες τὰ ὑπάρχοντα ἡμῖν κρείσσω καταπροδοῦναι. Τοῦ τε γὰρ χωρίου τὸ δυσέμβατον ἡμέτερον νομίζω, ὃ μενόντων ἡμῶν ξύμμαχον γίγνεται, ὑποχωρήσασι δὲ καίπερ χαλεπὸν ὂν εὔπορον ἔσται μηδενὸς κωλύοντος. Καὶ τὸν πολέμιον δεινότερον ἕξομεν μὴ ῥᾳδίως αὐτῷ πάλιν οὔσης τῆς ἀναχωρήσεως, ἢν καὶ ὑφ' ἡμῶν βιάζηται· ἐπὶ γὰρ ταῖς

εστηκότα δεινὰ, ἀλλὰ τοῖς ἐναντίοις θαρσαλέως ἀντιταττέσθω καταφρονήσας τοῦ περιεστηκότος κινδύνου· μᾶλλον γὰρ ὁ τοιοῦτος κρατήσει τῶν πολεμίων. Verba καὶ ἐκ τούτων ἂν περιγενόμενος junge cum ἕκαστος, quod cogitando supplendum esse dixi, et converte, 'vel ex his malis emersurus.'

ὅσα—προσδεῖται] Stobæus p. 360.

καὶ μὴ—καταπλαγέντες] Dionys. p. 800., qui dicit scribendum fuisse τὸ πλῆθος καταπλ. Sed recte dativus habet, est enim τῷ πλήθει dictum pro ὑπὸ τοῦ πλήθους, 'percelli aliqua re.' Estque verbum hoc loco passivum 'perterrefieri,' quanquam alibi est medium habetque accusativum ut φοβεῖσθαι. V. Buttm. Gr. § 123, 2. not. 1. coll. Poppon. Proleg. t. i. p. 126.

τοῦ τε γὰρ—ἔσται] Dionys. p. 801. Particula τε in τοῦ τε γὰρ respondet his paulo inferius sequentibus τό τε πλῆθος. Poppo Obs. p. 24. deletum vult ὃ, quod est ante μενόντων, et verba μενόντων—ἴσῳ ἤδη parentheseos signis includit. Ac sane ὃ abest ab A. B. F. H. K. L. M. N. O. P. b. d. e. f. g. h. i. Krueger. ad Dionys. p. 233. tuetur vulgatam loco simili, vi, 10. οἴεσθε ἴσως, τὰς γενομένας ὑμῖν σπονδὰς ἔχειν τι βέβαιον, αἳ ἡσυχαζόντων μὲν ὑμῶν ὀνόματι σπονδαὶ ἔσονται—σφαλέντων δέ που ἀξιόχρεῳ δυνάμει ταχεῖαν τὴν ἐπιχείρησιν ἡμῖν οἱ ἐχθροὶ ποιήσονται. Et facile addit ο post ω elidi potuisse, ut factum est iii, 114. ubi vulgo ἐξ Οἰνιαδῶν extat pro ἔξω Οἰν. Inutilis est conjectura Reisigii Conject. ad Aristoph. t. i. p. 310. legentis, τοῦ τε γὰρ—ἡμέτερον νομιζόμενον μενόντων ἡμῶν ξύμμαχον γίγνεται, etc. Censor libri Popponis in Ephem. Jenens. 1816. mens. Januar. n. 12. et ὃ et γίγνεται pro spuriis habens abjicit. Mihi de tali scripturæ varietate libere dijudicandum, sed non temere quidquam in verbis scriptoris mutandum esse visum est. Mira est in proxime sequentibus enallage casuum participii, nam sic potius exspectes, ὃ μένουσιν ἡμῖν ξύμμαχον γίγνεται, ὑποχωρησάντων δὲ καίπερ χαλεπὸν ὂν εὔπορον ἔσται, nam non Atheniensibus sed hostibus eorum εὐεπίβατον erit, si cedent. Historicum contra iniquam Dionysii censuram defendit Krueger. p. 233. Scripsit enim technographus, τὸ μὲν γὰρ γίγνεται τοῦ παρόντος ἐστὶ, τὸ δὲ ἔσται τοῦ μέλλοντος χρόνου δηλωτικόν· γέγονε δὲ καὶ παρὰ τὰς πτώσεις ὁ σχηματισμὸς ἀκατάλληλος· ἐπὶ μὲν γὰρ τῆς γενικῆς πτώσεως ἐξενήνοχε τό τε μετοχικὸν ὄνομα, τὸ μενόντων, καὶ τὸ ἀντωνυμικὸν τὸ ἡμῶν, ἐπὶ τῆς δοτικῆς τὸ ὑποχωρήσασιν· οἰκειότερον δ' ἦν καὶ τοῦτο κατὰ τὴν αὐτὴν ἐξενηνέχθαι πτῶσιν. Sed diversa, ait Kruegerus, utriusque temporis videtur esse potestas. Atque εὔπορόν ἐστι scriptor non dicere poterat, quia sensu postulante ὑποχωρήσασι (i. e. ἢν ὑποχωρήσωμεν), non ὑποχωροῦσι præmiserat. Pro γίγνεται quidem γενήσεται non ineptum esset, sed præsente cum utatur Demosthenes, certo se sperare significat, Athenienses loco non cessuros esse. Nam de qua re ut præsente loquor, cum futura sit, eam eventuram esse confidam necesse est. De ἀκαταλληλίᾳ illa casuum adiri jubet Abreschium Diluc. Thuc. Auctar. p. 333. et Ernest. ad Xenoph. Mem. Socr. ii, 2, 13.

καὶ τὸν πολέμιον—ἀναχωρήσεως] Dionys. p. 798., qui reprehendit scriptorem quod singularem τὸν πολέμιον pro plurali posuerit. At vide Krueger. p. 230. et Popp. Proleg. t. i. p. 91. Sensum ita explanat Scholiastes: οἱ πολέμιοι ὑποχωρη-

ναυσὶ ῥᾷστοί εἰσιν ἀμύνεσθαι, ἀποβάντες δὲ ἐν τῷ ἴσῳ ἤδη. Τό τε πλῆθος αὐτῶν οὐκ ἄγαν δεῖ φοβεῖσθαι· κατ' ὀλίγον γὰρ μαχεῖται καίπερ πολὺ ὂν ἀπορίᾳ τῆς προσορμίσεως. Καὶ οὐκ ἐν γῇ στρατός ἐστιν ἐκ τοῦ ὁμοίου μείζων, ἀλλ' ἀπὸ νεῶν, αἷς πολλὰ τὰ καίρια δεῖ ἐν τῇ θαλάσσῃ ξυμβῆναι. Ὥστε τὰς τούτων ἀπορίας ἀντιπάλους ἡγοῦμαι τῷ ἡμετέρῳ πλήθει, καὶ ἅμα ἀξιῶ ὑμᾶς, Ἀθηναίους ὄντας καὶ ἐπισταμένους ἐμπειρίᾳ τὴν ναυτικὴν ἐπ' ἄλλους ἀπόβασιν ὅτι εἴ τις ὑπομένοι καὶ μὴ φόβῳ ῥοθίου καὶ νεῶν δεινότητος κατάπλου ὑποχωροίη, οὐκ ἄν ποτε βιάζοιτο, καὶ αὐτοὺς νῦν

σάντων ἡμῶν, ἀποβάντες τῶν νεῶν καὶ ἐπελθόντες τῷ τείχει χαλεπώτεροι ἡμῖν ἔσονται· εἰδότες γὰρ ὅτι, ἂν μὴ κρατήσωσιν, οὐ ῥᾳδίως ἀποχωρῆσαι δυνήσονται ὀπίσω διὰ τὴν χαλεπότητα τοῦ χωρίου, μετὰ ἀπονοίας ἡμῖν μαχοῦνται, ἢ ἀπολέσθαι ζητοῦντες ἢ κρατῆσαι τοῦ χωρίου· ῥᾷστον γὰρ (φησὶν) ἐστὶν ἔτι αὐτοὺς ὄντας ἐπὶ τῶν νεῶν ἀμύνασθαι. Pro ῥᾳδίως, quod dedi ex B. F. H. K. N. b. h. ceteri codices habent ῥᾳδίας. Alterum exquisitius visum est: nam etiam ubi εἶναι et γίγνεσθαι copulæ sunt, quædam adverbia, maxime δίχα et χωρὶς, atque etiam οὕτως, (ut ii, 47. οὐδὲ φθορὰ οὕτως ἀνθρώπων ἐμνημονεύετο γενέσθαι,) ὅμοια et ἴσα (v. Popp. Prol. t. i. p. 104.) iis adduntur, ut hic ῥᾳδίως. V. Matth. Gr. § 309. c. Popp. l. l. p. 169. Kuster. (Reisig.) ad Xenoph. Œcon. p. 74. Viger. p. 376. Et sic Latini, velut Cic. pro Rosc. Amerin. c. 5. 'omnes hanc quæstionem te prætore de manifestis maleficiis quotidianoque sanguine remissius sperant futuram.' Sallust. Jug. 73. 'ea res frustra fuit,' et sic 'abunde' Cat. 58. Jug. 14. 'ut ubivis tutius quam in regno meo essem.' 87. 'Romanos laxius licentiusque futuros.' 94. 'uti prospectus nisusque per saxa facilius foret,' quod exemplum nostro simillimum est. Tacit. Annal. i, 72. 'facta arguebantur, dicta impune erant.' Adde Thiersch. Gr. § 307, 5. Bast. ad Greg. Cor. p. 83. Schæfer. ad Dionys. de C. V. p. 76.

πλήθει] Huc spectat glossa Suidæ: πλῆθος παρὰ Θουκυδίδῃ καὶ ἐπ' ὀλίγων λέγεται, quam descripsit Phavorinus. Et eadem Scholiastes, addens locum Homeri Il. xvii, 330. πλήθει τε σφετέρῳ καὶ ὑπερδέα δῆμον ἔχοντες, ubi v. Heyn. t. vii. p. 342. Totam sententiam καὶ οὐκ ἐν γῇ—πλήθει ita explanat Scholiastes: καὶ μείζων μέν ἐστιν ὁ στρατὸς αὐτῶν, ἀλλ' οὐκ ἀπὸ γῆς ὁρμώμενος οὐδὲ ἐν γῇ παρατασσόμενος, ὅπου πλεονεκτοῦσι Λακεδαιμόνιοι, ἀλλ' ἐν θαλάσσῃ, ὅπου πολλὰ γίνεται ἀπροσδόκητα καὶ ἀπὸ τοῦ κλυδωνίου καὶ ἀπὸ τῶν ἀνέμων καὶ ἐξ ἄλλων πολλῶν. Sensus est (nam quod difficillimum explicatu est ἐκ τοῦ ὁμοίου, plane omisit explicare): exercitus eorum non in continente est, ubi ceteris paribus major nostro futurus esset, sed in navibus collocatus, ubi quibus incommodis laborant, æstu, ventis, et similibus, iis nostra paucitas quodammodo compensatur, ita ut multitudo eorum non ex æquo major sit, quanto futura esset, si in continente pugnaturi essent. Heilm.: 'and then their troops, though superior in number, will not be able to take as great advantage of their superiority on land as on board of their ships, which, of course, are subject to many accidents in the sea.' Ἀπὸ νεῶν dixit, in mente habens motum e navibus pugnantium. Vid. Matth. Gr. § 596. de permutatione præpositionum quietem et motum indicantium multa passim commentatores, velut Wesseling. ad Diod. t. v. p. 550. 540. 545. Bauer. ad Thucyd. vi, 22. Duker. ad vii. p. 454. 504. Eadem permutatione utuntur Latini, velut Ovid. Fast. iii, 664. 'plebs vetus—fugit, et in sacri vertice montis abit.' Adde dicta ad v, 68. ἐξ ἧς κρατεῖν δεῖ, ἢ μὴ ῥᾳδίως ἀποχωρεῖν. Diversa est hæc ratio permutatarum præpositionum, ubi ad sensum facta structura est, ab altera ubi permutatio orta est ex brevitatis studio; quem usum tetigi ad ii, 80.

ἀξιῶ—βιάζοιτο] Krueger. ad Dionys. p. 133. per attractionem dictum putat pro ἐπισταμένους, ὅτι ἡ ἀπόβασις οὐκ ἄν ποτε βιάζοιτο, quod se neminem dum vidisse miratur. Vocabulum ῥόθιον scholiastæ est ὁ ἦχος τῆς εἰρεσίας. Harpocratio: ῥόθιον καλεῖται παρὰ τὸν ῥόθον τὸν ἐκ τῶν κωπῶν ἀκουόμενον, ὅταν σφοδρῶς ἐλαύνωσιν· τοὔνομα παρὰ πολλοῖς καὶ παρ' Ἀριστοφάνει ἐν Ἱππεῦσι καὶ Θουκυδίδῃ ἐν τετάρτῃ. Conf. Duker. ad h. l. Ῥαχία scholiastæ audit πετρώδης τόπος, περὶ ὃν περιῤῥήγνυται ἡ

μεῖναί τε καὶ ἀμυνομένους παρ' αὐτὴν τὴν ῥαχίαν σώζειν ἡμᾶς τε αὐτοὺς καὶ τὸ χωρίον.

11. Τοσαῦτα τοῦ Δημοσθένους παρακελευσαμένου οἱ Ἀθηναῖοι ἐθάρσησάν τε μᾶλλον καὶ ἐπικαταβάντες ἐτάξαντο παρ' αὐτὴν τὴν θάλασσαν. Οἱ δὲ Λακεδαιμόνιοι ἄραντες τῷ τε κατὰ γῆν στρατῷ προσέβαλλον τῷ τειχίσματι καὶ ταῖς ναυσὶν ἅμα οὔσαις τεσσαράκοντα καὶ τρισί· ναύαρχος δὲ αὐτῶν ἐπέπλει Θρασυμηλίδας ὁ Κρατησικλέους Σπαρτιάτης. Προσέβαλλε δὲ ᾗπερ ὁ Δημοσθένης προσεδέχετο, καὶ οἱ μὲν Ἀθηναῖοι ἀμφοτέρωθεν, ἔκ τε γῆς καὶ ἐκ θαλάσσης, ἠμύνοντο· οἱ δὲ κατ' ὀλίγας ναῦς διελόμενοι, διότι οὐκ ἦν πλείοσι προσχεῖν, καὶ ἀναπαύοντες ἐν τῷ μέρει τοὺς ἐπίπλους ἐποιοῦντο, προθυμίᾳ τε πάσῃ χρώμενοι καὶ παρακελευσμῷ, εἴ πως ὠσάμενοι ἕλοιεν τὸ τείχισμα. Πάντων δὲ φανερώτατος Βρασίδας ἐγένετο. Τριηραρχῶν γὰρ καὶ ὁρῶν τοῦ χωρίου χαλεποῦ ὄντος τοὺς τριηράρχους καὶ κυβερνήτας εἴ πῃ καὶ δοκοίη δυνατὸν εἶναι σχεῖν ἀποκνοῦντας καὶ φυλασσομένους τῶν νεῶν μὴ ξυντρίψωσιν, ἐβόα λέγων ὡς οὐκ εἰκὸς εἴη ξύλων φειδομένους τοὺς πολεμίους ἐν τῇ χώρᾳ περιϊδεῖν τεῖχος πεποιημένους, ἀλλὰ τάς τε σφετέρας ναῦς βιαζομένους τὴν ἀπόβασιν καταγνύναι ἐκέλευε, καὶ τοὺς ξυμμάχους μὴ ἀποκνῆσαι ἀντὶ μεγάλων εὐεργεσιῶν τὰς ναῦς τοῖς Λακεδαιμονίοις ἐν τῷ παρόντι ἐπι-

θάλασσα καὶ ὁ κλύδων καὶ ἡ τῆς θαλάσσης ὁρμή· ὅθεν, addit, καὶ τὸ νώτιον ὀστῶδες ῥάχις καλεῖται, ὡς ἀπὸ τῆς ῥαχίας τῆς πέτρας. Photius: ῥαχίαν οἱ Ἀττικοὶ τὴν ἀκτὴν καὶ τὸν τόπον αὐτὸν, ᾧ προσαράττει τὸ κῦμα· καὶ Θουκυδίδης οὕτως· οἱ δὲ Ἴωνες τὴν ἄμπωτιν καὶ τὴν ἀναχώρησιν τῆς θαλάττης. Eadem Suidas. Conf. Eustath. p. 1540, 27. Zonaras: ῥαχίας, τὰς ἐκ θαλάσσης πέτρας, ἡ ῥαχία τόπος ὑψηλός. Adde Hesych. in v. Respicit huc Plutarch. de Glor. Athen. p. 618. ex citatione Dukeri, ὁ παρὰ τὴν ῥαχίαν αὐτῆς τῆς Πύλου παρατάττων τοὺς Ἀθηναίους Δημοσθένης.

11. παρ' αὐτὴν τὴν θάλασσαν] i. e. 'close by the sea.' Non habet αὐτὴν Thom. M. p. 678., ubi citat hæc verba.

προθυμίᾳ—παρακελευσμῷ] Thom. M. p. 686.

πάντων δὲ—ἐβόα λέγων] Huc respicit Lucian. t. iv. p. 209., ubi v. quos laudant interpretes p. 533. De forma τριήραρχος v. ad ii, 24. adde Popp. Prol. t. i. p. 220. Pro particula γὰρ, quæ est post τριηραρχῶν, g. habet δὲ, omittit particulam γὰρ d. Valla interpretatur, 'inter quos maxime extabat Brasidas, unus e trierarchis; qui quum cerneret,' etc. Poppo Obs. p. 27. his inductus interpunctione mutata γὰρ abjiciendum censet, quo ducere ait quodammodo etiam scholia. Ex scholiis nihil ejusmodi colligi potest; nihil enim habent nisi hoc, σπουδαιότατος καὶ ἐπίδηλος ὑπὲρ πάντας ὁ Βρασίδας ἐγένετο ἐν ἐκείνῳ τῷ ἔργῳ εἰς προθυμίαν· καὶ ὁρῶν τοὺς τριηράρχους ὀκνοῦντας διὰ τὸ χαλεπὸν τοῦ χωρίου περὶ τῶν νεῶν φυλασσομένους, ὅπως μὴ συντρίψωσιν αὐτάς. Neque in vulgata quidquam est cur tot codicum auctoritatem deseras, et si τριηραρχῶν ad priora trahens, interpungens post hoc participium, orationem per καὶ ὁρῶν continues; vides, potius ὁρῶν γὰρ, quam καὶ ὁρῶν sequi debere. De genitivo τῶν νεῶν juncto cum φυλασσομένους v. Matth. Gr. § 348.

δοῦναι, ὀκείλαντας δὲ καὶ παντὶ τρόπῳ ἀποβάντας τῶν τε ἀνδρῶν καὶ τοῦ χωρίου κρατῆσαι.

12. Καὶ ὁ μὲν τούς τε ἄλλους τοιαῦτα ἐπέσπερχε καὶ τὸν ἑαυτοῦ κυβερνήτην ἀναγκάσας ὀκεῖλαι τὴν ναῦν ἐχώρει ἐπὶ τὴν ἀποβάθραν· καὶ πειρώμενος ἀποβαίνειν ἀνεκόπη ὑπὸ τῶν Ἀθηναίων, καὶ τραυματισθεὶς πολλὰ ἐλειποψύχησέ τε καὶ πεσόντος αὐτοῦ ἐς τὴν παρεξειρεσίαν ἡ ἀσπὶς περιεῤῥύη ἐς τὴν θάλασσαν, καὶ ἐξενεχθείσης αὐτῆς ἐς τὴν γῆν οἱ Ἀθηναῖοι ἀνελόμενοι ὕστερον πρὸς τὸ τροπαῖον ἐχρήσαντο ὃ ἔστησαν τῆς προσβολῆς ταύτης. Οἱ δ' ἄλλοι προὐθυμοῦντο μὲν ἀδύνατοι δ' ἦσαν ἀποβῆναι τῶν τε χωρίων χαλεπότητι καὶ τῶν Ἀθηναίων μενόντων καὶ οὐδὲν ὑποχωρούντων. Ἐς τοῦτό τε περιέστη ἡ τύχη, ὥστε Ἀθηναίους μὲν ἐκ γῆς τε καὶ ταύτης Λακωνικῆς ἀμύνεσθαι ἐκείνους ἐπιπλέοντας, Λακεδαιμονίους δὲ ἐκ νεῶν τε καὶ ἐς τὴν ἑαυτῶν πολεμίαν οὖσαν ἐπ' Ἀθηναίους ἀποβαίνειν· ἐπὶ πολὺ γὰρ ἐποίει τῆς δόξης ἐν τῷ τότε τοῖς μὲν ἠπειρώταις μάλιστα εἶναι καὶ τὰ πεζὰ κρατίστοις, τοῖς δὲ θαλασσίοις τε καὶ ταῖς ναυσὶ πλεῖστον προέχειν.

12. ἐπέσπερχε] Zonar. ἐπέσπερχεν ἀντὶ τοῦ διήγειρε καὶ παρέθηγεν· ὃς δὲ μάλιστα ἐπέσπερχεν αὐτόν. Extat etiam apud Suidam. Conf. Dio Cass. xl, 20. Verba ἐχώρει—παρεξειρεσίαν Demetr. d. Elocut. p. 32. Schneid. affert memoriter. Atque τραυματισθῆναι ἀντὶ τοῦ τρωθῆναι ex hoc loco citant grammatici Suidas, Phot., Anecd. Bekk. i. p. 114. Pollux i, 125. et iv, 189. e nostro scriptore citat τραυματισθεισῶν τῶν νεῶν. Idem, iii, 106. ex hoc loco affert verbum λειποψυχεῖν.

παρεξειρεσίαν] Schol. παρεξειρεσία ἐστὶν ὁ ἔξω τῆς εἰρεσίας τῆς νεὼς τόπος, καθ' ὃ μέρος οὐκέτι κώπαις κέχρηνται. Idem ad vii, 34. παρεξειρεσία ἐστὶ τὸ κατὰ τὴν πρῷραν πρὸ τῶν κωπῶν· ὡς ἂν εἴποι τις τὸ παρὲξ τῆς εἰρεσίας, ubi v. Duker. Conf. Phot. in παρεξειρεσίαν, Phavorin. in ead. voce, Suidas in eadem bis, qui sua e schol. petierunt. Item Pollux i, 124. et Hesych., apud quem est παρεξειρέσιον.

πεσόντος—θάλασσαν] Dionys. p. 795. In verbis ἐπὶ Ἀθηναίους ἀποβαίνειν conatus inest, non actio. Vid. interpp. ad Cic. Cat. i, 5, 13.

ἐπὶ πολὺ—προέχειν] i. e. πολλὴν (v. ad iv, 8.) γὰρ δόξαν ἐποίει ἐν τῷ τότε τοῖς μὲν τὸ ἠπειρώτας μάλιστα εἶναι καὶ τὰ πεζὰ κρατίστους, τοῖς δὲ τὸ θαλασσίους τε εἶναι καὶ ταῖς ναυσὶ πλεῖστον προέχειν. Dixi de hoc loco ad ii, 8. ubi vide. Quia plerique omnes non animadverterunt quodnam verbi ἐποίει subjectum sit, et ἐπὶ πολὺ τῆς δόξης idem esse quod πολλὴν sive μεγάλην δόξαν, varie locum tentarunt, velut Censor Observationum Popponis, peritus hujus scriptoris interpres, in Ephem. Jenens. 1813. n. 81. conjecit, ἐποίει τὰ τῆς δόξης, secutus procul dubio verba scholiastæ, κατὰ πολὺ γὰρ ἐν τοῖς χρόνοις ἐκείνοις ἔῤῥεπε τὰ τῆς δόξης, etc. Bene sensum expressit Bredovius: 'so strangely fortune changed on this occasion; for the Spartans had just at that time the highest reputation as the best land-troops and the bravest foot-soldiers, and the Athenians as being far superior to them by their skill in the navy and by their fleet.' Nunc vero, ait, qui putabantur terra fortissimi, mari pugnabant, in propriam terram conantes escendere; qui autem plerumque mari versarentur, terra arcebant illos. Tam incredibilem fortunæ et rerum humanarum vicissitudinem Thucydides miratus hæc verba adjecit. Recte quoque Bauer.: 'multum gloriæ afferebat tunc temporis illis, Atheniensibus, quod essent navales et mari maxime omnium pollerent; his, Lacedæmoniis, quod essent continentis potentes, et terrestri certamine potiores.' Sed dum verbis ἐν τῷ

13. Ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ τῆς ὑστεραίας μέρος τι προσβολὰς ποιησάμενοι ἐπέπαυντο· καὶ τῇ τρίτῃ ἐπὶ ξύλα ἐς μηχανὰς παρέπεμψαν τῶν νεῶν τινας ἐς Ἀσίνην, ἐλπίζοντες τὸ κατὰ τὸν λιμένα τεῖχος ὕψος μὲν ἔχειν, ἀποβάσεως δὲ μάλιστα οὔσης ἑλεῖν μηχαναῖς. Ἐν τούτῳ δὲ αἱ ἐκ τῆς Ζακύνθου νῆες τῶν Ἀθηναίων παραγίγνονται τεσσαράκοντα· προσεβοήθησαν γὰρ τῶν τε φρουρίδων τινὲς αὐτοῖς τῶν ἐκ Ναυπάκτου καὶ Χῖαι τέσσαρες. Ὡς δὲ εἶδον τήν τε ἤπειρον ὁπλιτῶν περίπλεων τήν τε νῆσον, ἔν τε τῷ λιμένι οὔσας τὰς ναῦς καὶ οὐκ ἐκπλεούσας, ἀπορήσαντες ὅπῃ καθορμίσωνται, τότε μὲν ἐς Πρώτην τὴν νῆσον, ἣ οὐ πολὺ ἀπέχει ἔρημος οὖσα, ἔπλευσαν καὶ ηὐλίσαντο, τῇ δ' ὑστεραίᾳ παρασκευασάμενοι ὡς ἐπὶ ναυμαχίαν ἀνήγοντο, ἢν μὲν ἀντεκπλεῖν ἐθέλωσι σφίσιν ἐς τὴν εὐρυχωρίαν, εἰ δὲ μή, ὡς αὐτοὶ ἐπεσπλευσούμενοι. Καὶ οἱ μὲν οὔτε ἀντανήγοντο οὔτε ἃ διενοήθησαν φράξαι τοὺς ἔσπλους ἔτυχον ποιήσαντες, ἡσυχάζοντες δ' ἐν τῇ γῇ τάς τε ναῦς ἐπλήρουν καὶ παρεσκευάζοντο, ἢν ἐσπλέῃ τις, ὡς ἐν τῷ λιμένι ὄντι οὐ μικρῷ ναυμαχήσοντες.

14. Οἱ δ' Ἀθηναῖοι γνόντες καθ' ἑκάτερον τὸν ἔσπλουν ὥρμησαν ἐπ' αὐτούς, καὶ τὰς μὲν πλείους καὶ μετεώρους ἤδη τῶν νεῶν καὶ ἀντιπρώρους προσπεσόντες ἐς φυγὴν κατέστησαν, καὶ ἐπιδιώκοντες ὡς διὰ βραχέος ἔτρωσαν μὲν πολλάς, πέντε δ' ἔλαβον, καὶ μίαν τούτων αὐτοῖς ἀνδράσι· ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ καταπεφευγυίαις ἐνέβαλλον. Αἱ δὲ καὶ πλη-

τότε nimis angustum sensum tribuit, et *τοῖς μὲν* ad Athenienses, *τοῖς δὲ* ad Lacedæmonios refert (nam ego quidem verba tantum ejus, non ordinem quo posuerat, dedi); rursus omnia turbat. Etenim non hoc voluit scriptor dicere, in illa causa Pylia Lacedæmonios navales visos esse et mari pollentes, Athenienses nunc maris propugnatores, et terrestri pugna potiores; quippe et Lacedæmonii mari non vicerunt, imo victi sunt, nec uno successu famam, quam Bauerus Atheniensibus hic tribui dicit, hi adepti sunt.

13. *μάλιστα οὔσης*] i. e. 'if they only had first landed, 'ante omnia escensione facta.' Non recte *μάλιστα* cum *ἑλεῖν* jungere videtur Krueger. ad Dionys. p. 296.

τεσσαράκοντα] *πεντήκοντα* N. quæ erat conjectura Æm. Porti. Nam cap. 23. naves postquam accesserunt viginti, dicuntur septuaginta fuisse; neque ibi ulla est scripturæ varietas. Quadraginta Athenis profectæ erant, cap. 2., quarum quidem quinque Demosthenes retinuit, cap. 5., at harum duas remiserat, cap. 8., ut apud Zacynthum jam naves essent triginta septem. Atque cum accessissent quatuor Chiæ, et Naupacto aliquot; necesse est, universorum numerum fuisse majorem quadraginta.

ἃ διενοήθησαν] Relativum, ut solet, per appositionem illustratur, per infinitivum *φράξαι*, et pluralis *ἃ* positus pro *ὅ*. Confer ad iii, 12. et 59. *ὅπερ δὲ ἀναγκαῖόν τε καὶ χαλεπώτατον τοῖς ὧδε ἔχουσι, λόγου τελευτᾶν, λέγομεν ἤδη·* et infra cap. 125. *ὅπερ φιλεῖ μεγάλα στρατόπεδα ἀσαφῶς ἐκπλήγνυσθαι.* De voce *μικρῷ* (vulgo *σμικρῷ*) v. Popp. Prol. t. i. p. 210.

14. *ἐν τῇ γῇ καταπεφευγυίαις*] Popp. Proleg. t. i. p. 178. verba *ἐν τῇ γῇ* cum *ἐνέβαλλον* proxime jungenda ait, ut ad

ρούμεναι ἔτι πρὶν ἀνάγεσθαι ἐκόπτοντο· καί τινας καὶ ἀναδούμενοι κενὰς εἷλκον τῶν ἀνδρῶν ἐς φυγὴν ὡρμημένων. Ἃ ὁρῶντες οἱ Λακεδαιμόνιοι καὶ περιαλγοῦντες τῷ πάθει, ὅτιπερ αὐτῶν οἱ ἄνδρες ἀπελαμβάνοντο ἐν τῇ νήσῳ, παρεβοήθουν, καὶ ἐπεσβαίνοντες ἐς τὴν θάλασσαν ξὺν τοῖς ὅπλοις ἀνθεῖλκον ἐπιλαμβανόμενοι τῶν νεῶν, καὶ ἐν τούτῳ κεκωλῦσθαι ἐδόκει ἕκαστος ᾧ μή τινι καὶ αὐτὸς ἔργῳ παρῆν. Ἐγένετό τε ὁ θόρυβος μέγας καὶ ἀντηλλαγμένος τοῦ ἑκατέρων τρόπου περὶ τὰς ναῦς· οἵ τε γὰρ Λακεδαιμόνιοι ὑπὸ προθυμίας καὶ ἐκπλήξεως ὡς εἰπεῖν ἄλλο οὐδὲν ἢ ἐκ γῆς ἐναυμάχουν, οἵ τε Ἀθηναῖοι κρατοῦντες καὶ βουλόμενοι τῇ παρούσῃ τύχῃ ὡς ἐπὶ πλεῖστον ἐπεξελθεῖν ἀπὸ νεῶν ἐπεζομάχουν. Πολύν τε πόνον παρασχόντες ἀλλήλοις καὶ τραυματίσαντες διεκρίθησαν, καὶ οἱ Λακεδαιμόνιοι τὰς κενὰς ναῦς πλὴν τῶν τὸ πρῶτον ληφθεισῶν διέσωσαν. Καταστάντες δὲ ἑκάτεροι ἐς τὸ στρατόπεδον οἱ μὲν τροπαῖόν τε ἔστησαν καὶ νεκροὺς ἀπέδοσαν καὶ ναυαγίων ἐκράτησαν, καὶ τὴν νῆσον εὐθὺς περιέπλεον καὶ ἐν φυλακῇ εἶχον, ὡς τῶν ἀνδρῶν ἀπειλημμένων· οἱ δ᾽ ἐν τῇ ἠπείρῳ Πελοποννήσιοι καὶ ἀπὸ πάντων ἤδη βεβοηθηκότες ἔμενον κατὰ χώραν ἐπὶ τῇ Πύλῳ.

15. Ἐς δὲ τὴν Σπάρτην ὡς ἠγγέλθη τὰ γεγενημένα περὶ Πύλον, ἔδοξεν αὐτοῖς ὡς ἐπὶ ξυμφορᾷ μεγάλῃ τὰ τέλη

καταπεφευγυίαις suppleatur εἰς τὴν γῆν seu ἐκεῖ, et perfectum significare 'qui ad terram confugerant et ibi erant,' quod i, 47. accuratius dicitur ἦσαν δὲ καὶ τοῖς Κορινθίοις ἐν τῇ ἠπείρῳ πολλοὶ τῶν βαρβάρων παραβεβοηθηκότες. Similem locum addit vii, 87. ὅσα εἰκὸς ἐν τοιούτῳ χωρίῳ ἐμπεπτωκότας κακοπαθῆσαι, et substantivum quoque καταφυγὴ hanc sibi adsciscere structuram, viii, 11. τὰ περὶ τὴν ἐν τῷ Πειραιῷ τῶν νεῶν καταφυγὴν ἠγγέλθη. Et adiri jubet Sturz. Lex. Xenophont. t. ii. p. 166. Sola verba vii, 17. παρεσκευάζοντο αὐτοὶ ἀποστελοῦντες ὁπλίτας ἐν τῇ Σικελίᾳ se excusare posse negat, ubi cod. H. habet ἐς τὴν Σικελίαν. Nihilominus, ait, codices huic similem scripturam exhibent etiam viii, 101. περαιοῦνται (pro vulgata δειπνοποιοῦνται) ἐν Ἀργινούσαις. Addit Marcellin. § 46. ἀπελθὼν ἐν τῇ Θράκῃ τὸ κάλλος ἐκεῖ τῆς συγγραφῆς συνέθηκε, et confert § 55.—Similia prorsus nostro loco sunt Platonica Sophist. p. 260. c. H. Steph. τὸν δέ γε σοφιστὴν ἔφαμεν ἐν τούτῳ που τῷ τόπῳ καταπεφευγέναι, ubi Heindorf. p. 427. confert Xenophon. Hist. Gr. iv, 5, 5. οἱ δὲ ἐν τῷ Ἡραίῳ καταπεφευγότες ἐξῄεσαν, ubi præcessit ἐς δὲ τὸ Ἥραιον κατέφυγον καὶ ἄνδρες, etc. Neque hanc verbi structuram nisi in perfecto tempore reperiri arbitratur, similiter ut βεβηκέναι ἐπί τινος, ἔν τινι dicitur, βῆναι ἔν τινι non item. Vide exempla ab ipso allata, et conf. ad iii, 71. 106. Pleraque non huc pertinentia miscet Bauer. d. Lect. Thuc. p. 16. Adde interpretes ad Herodot. ii, 56.

καί τινας—εἷλκον] Thom. M. p. 50., cujus citationem male vulgo ad verba ii, 90. referunt.

ἀντηλλαγμένος] Ordo verborum est, ἐγένετό τε ὁ θόρυβος περὶ τὰς ναῦς μέγας καὶ ἀντηλλαγμένος τοῦ ἑκατέρων τρόπου, i. e. 'exchanged with respect to the manner of fighting on both sides.'

ἀπὸ πάντων] Schol. οἵ τε ἐκ τῆς Πελοποννήσου καὶ οἱ ἀπὸ τῶν ἄλλων ξυμμάχων αὐτοῖς προσελθόντες νῦν.

καταβάντας ἐς τὸ στρατόπεδον βουλεύειν πρὸς τὸ χρῆμα ὁρῶντας ὅ,τι ἂν δοκῇ. Καὶ ὡς εἶδον ἀδύνατον ὂν τιμωρεῖν τοῖς ἀνδράσι καὶ κινδυνεύειν οὐκ ἐβούλοντο ἢ ὑπὸ λιμοῦ τι παθεῖν αὐτοὺς ἢ ὑπὸ πλήθους βιασθέντας κρατηθῆναι, ἔδοξεν αὐτοῖς πρὸς τοὺς στρατηγοὺς τῶν Ἀθηναίων, ἢν ἐθέλωσι, σπονδὰς ποιησαμένους τὰ περὶ Πύλον, ἀποστεῖλαι ἐς τὰς Ἀθήνας πρέσβεις περὶ ξυμβάσεως, καὶ τοὺς ἄνδρας ὡς τάχιστα πειρᾶσθαι κομίσασθαι.

16. Δεξαμένων δὲ τῶν στρατηγῶν τὸν λόγον ἐγίγνοντο σπονδαὶ τοιαίδε, Λακεδαιμονίους μὲν τὰς ναῦς ἐν αἷς ἐναυμάχησαν καὶ τὰς ἐν τῇ Λακωνικῇ πάσας ὅσαι ἦσαν μακραὶ παραδοῦναι κομίσαντας ἐς Πύλον Ἀθηναίοις, καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ τειχίσματι μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν, Ἀθηναίους δὲ τοῖς ἐν τῇ νήσῳ ἀνδράσι σῖτον ἐᾶν τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους ἐκπέμπειν τακτὸν καὶ μεμαγμένον, δύο χοίνικας ἑκάστῳ Ἀττικὰς ἀλφίτων καὶ δύο κοτύλας οἴνου καὶ κρέας, θεράποντι δὲ τούτων ἡμίσεα· ταῦτα δὲ ὁρώντων τῶν Ἀθηναίων ἐσπέμπειν καὶ πλοῖον μηδὲν ἐσπλεῖν λάθρα· φυλάσσειν δὲ καὶ τὴν νῆσον Ἀθηναίους μηδὲν ἧσσον ὅσα μὴ ἀποβαίνοντας, καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ Πελοποννησίων στρατῷ μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν. Ὅ,τι δ' ἂν τούτων παραβαίνωσιν ἑκάτεροι καὶ ὁτιοῦν, τότε λελύ-

15. *πρὸς τὸ χρῆμα*] *παραχρῆμα* A. B. F. H. I. K. L. N. O. Q. S. c. d. e. f. g. h. i., quod recepit Bekkerus. Dindorfio alterum multo aptius exquisitiusque visum est, quanquam illud male factum dicit, quod Dukerus *πρὸς τὸ χρῆμα βουλεύειν* conjunxit, quum ad *ὁρῶντας* deberet referre *πρὸς τὸ χρῆμα*. Hoc modo loquuti sunt, addit, Aristophanes Avibus 1330. *σὺ δὲ τὰ πτερὰ πρῶτον διάθες τάδε κόσμῳ, τά τε μούσιχ' ὁμοῦ τά τε μαντικὰ καὶ θαλάττι'· ἔπειτα δ' ὅπως φρονίμως πρὸς ἄνδρ' ὁρῶν πτερώσεις*, Dionys. Hal. de Structur. Verbor. p. 190. Schæfer. *καὶ αὐτοί τε δὴ κατασκευάζουσιν οἱ ποιηταὶ καὶ λογογράφοι πρὸς χρῆμα ὁρῶντες οἰκεῖα καὶ δηλωτικὰ τῶν ὑποκειμένων τὰ ὀνόματα*, quæ inepte vertit interpres Latinus, 'rem ipsam oculis subjicientes.' Articulo autem, addit, quo Thucydides carere non potuit, illi recte non sunt usi.

βιασθέντες κρατηθῆναι] I. L. O. P. Q. S. d. e. f. g. h. i. *βιασθέντες κρατηθῆναι* c. *βιασθέντας ἢ κρατηθῆναι* A. B. F. H. N. Vulgo *βιασθέντας ἢ κρατηθέντας*. Conf. Bredov.

16. *σῖτον ἐκπέμπειν—μεμαγμένον*] Thom. M. p. 600. "Quod Thucydides dicit *δύο χοίνικας ἀλφίτων*, id sine dubio de binis in diem accipiendum est. Hoc Portus Lacedæmonios de industria pactos putat, ut si inter ipsos et Athenienses non conveniret, suis in insula aliquantum commeatus superesset: nam vulgo una *χοῖνιξ* in diurnum alimentum hominis sufficere credebatur. V. Perizon. ad Ælian. V. H. i, 26. De voce *κοτύλη* vid. ad vii, 87." Duker. V. Boëckh. Staatsh. d. Ath. t. i. p. 99. ubi agitur de chœnice et cotyle et alimento hominum diurno. Conf. p. 84. *σῖτος μεμαγμένος* sive *μάζα* est 'barley-bread;' *ἄλφιτα* modo significat 'peeled barley grains,' modo panis quoddam genus inde factum. V. Boëckh. l. l. p. 106. Ex hoc pacto fortasse lusus Aristophanis ortus est, de quo Suidas agit in v. *μάζα*. Vid. Equites v. 55.

ὅ,τι δ' ἂν—ὁτιοῦν] Krueger. ad Dionys. p. 274. legit *ὅτι δ' ἐὰν*, etc., procul dubio vocibus *ὅ,τι* et *ὁτιοῦν* juxta se positis offensus. *Ὅτι* cum infinitivo jungi posse, doceri ait a Bornemanno de Gemina Cyrop. Rec. p. 18.

σθαι τὰς σπονδάς. Ἐσπεῖσθαι δὲ αὐτὰς μέχρι οὗ ἐπανέλθωσιν οἱ ἐκ τῶν Ἀθηνῶν Λακεδαιμονίων πρέσβεις· ἀποστεῖλαι δὲ αὐτοὺς τριήρει Ἀθηναίους καὶ πάλιν κομίσαι. Ἐλθόντων δὲ τάς τε σπονδὰς λελύσθαι ταύτας καὶ τὰς ναῦς ἀποδοῦναι Ἀθηναίους ὁμοίας οἵασπερ ἂν παραλάβωσιν. Αἱ μὲν σπονδαὶ ἐπὶ τούτοις ἐγένοντο, καὶ αἱ νῆες παρεδόθησαν οὖσαι περὶ ἑξήκοντα, καὶ οἱ πρέσβεις ἀπεστάλησαν. Ἀφικόμενοι δὲ ἐς τὰς Ἀθήνας ἔλεξαν τοιάδε.

17. Ἔπεμψαν ἡμᾶς Λακεδαιμόνιοι, ὦ Ἀθηναῖοι, περὶ τῶν ἐν τῇ νήσῳ ἀνδρῶν πράξοντας ὅ,τι ἂν ὑμῖν τε ὠφέλιμον ὂν τὸ αὐτὸ πείθωμεν καὶ ἡμῖν ἐς τὴν ξυμφορὰν ὡς ἐκ τῶν παρόντων κόσμον μάλιστα μέλλῃ οἴσειν. Τοὺς δὲ λόγους μακροτέρους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν, ἀλλ' ἐπιχώριον ὂν ἡμῖν οὗ μὲν βραχεῖς ἀρκῶσι μὴ πολλοῖς χρῆσθαι, πλείοσι δὲ ἐν ᾧ ἂν καιρὸς ᾖ διδάσκοντάς τι τῶν προὔργου λόγοις τὸ δέον πράσσειν. Λάβετε δὲ αὐτοὺς μὴ πολεμίως μηδ' ὡς ἀξύνετοι διδασκόμενοι, ὑπόμνησιν δὲ τοῦ καλῶς βουλεύσασθαι πρὸς εἰδότας ἡγησάμενοι. Ὑμῖν γὰρ εὐτυχίαν τὴν παροῦσαν ἔξεστι καλῶς θέσθαι, ἔχουσι μὲν ὧν κρατεῖτε, προσλαβοῦσι δὲ τιμὴν καὶ δόξαν, καὶ μὴ παθεῖν ὅπερ οἱ ἀήθως τι ἀγαθὸν λαμβάνοντες τῶν ἀνθρώπων· ἀεὶ γὰρ τοῦ πλέονος ἐλπίδι ὀρέγονται διὰ τὸ καὶ τὰ παρόντα ἀδοκήτως εὐτυχῆσαι. Οἷς δὲ πλεῖσται μεταβολαὶ ἐπ' ἀμφότερα ξυμβεβήκασι, δίκαιοί εἰσι καὶ ἀπισ-

17. Spartæ legatorum oratio coram Atheniensibus habita. Declarant Lacedæmoniorum pacis desiderium, docentque hoc tempore Atheniensibus et utile et gloriosum apud omnes Græcos fore si æquis conditionibus pacem concesserint. Princeps legationis erat Archeptolemus. V. Aristoph. Equit. 793., ubi scholiastes male allegat Thucyd. iv, 117. Ad hanc legationem spectant etiam dicta a Dionysio p. 843.

ὡς ἐκ τῶν παρόντων] i. e. 'as well as it can be done under the present circumstances.' V. Viger. p. 570.

οὐ μηκυνοῦμεν] i. e. *οὐ ποιήσομεν*, præcessit enim *οὐ μακροτέρους*. In sequentibus anacoluthon est; nam sic scribere debebat, *οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν, ἐπιχώριον ὂν ἡμῖν*, etc. Jam sic interposuit ἀλλὰ, quasi pergere voluisset, *ἀλλὰ βραχυτέρους ποιήσομεν*. Mox, *οὗ μὲν ἂν βραχεῖς ἀρκῶσι* legi vult Dissen. Disquis. Philol. p. 19. Sed pronomini relativo interdum a Thucydide conjunctivum sine *ἂν* addi, exemplis docuit Popp. Proleg. t. i. p. 141. Sic supra iii, 43. *ἥν τινα τύχητε*, et sequente capite, *σωφρόνων δὲ ἀνδρῶν οἵτινες τὸν πόλεμον νομίσωσι*, etc. vii, 77. *ἐν ᾧ ἀναγκασθῇ*. Verbis *ἔξεστι καλῶς θέσθαι* usus est Thom. M. p. 165.

καὶ μὴ—εὐτυχῆσαι] Schol. *ἀεὶ γὰρ ὀρέγονται τοῦ πλείονος ἐλπίζοντες αὐτοῦ τεύξεσθαι. Προσυπακοῦσαι δὲ δεῖ ἔξωθεν τὸ καὶ διὰ τοῦτο ἐκπίπτουσι τῆς εὐτυχίας.* Locum ante oculos habuit Livius in oratione Asdrubalis ad Romanos, xxx, 42. 'Raro simul hominibus bonam fortunam bonamque mentem dari; populum Romanum eo invictum esse, quod in secundis rebus sapere et consulere meminissent.' Demosthenes: *Ὀλίγοι γάρ εἰσιν, οἷς μετὰ τοῦ εὐτυχεῖν παραγίγνεται τὸ φρονεῖν· οἱ πλεῖστοι δὲ φρενῶν δέονται ἀνεπιδέκτων*.

τότατοι εἶναι ταῖς εὐπραγίαις. Ὃ τῇ τε ὑμετέρᾳ πόλει δι' ἐμπειρίαν καὶ ἡμῖν μάλιστ' ἂν ἐκ τοῦ εἰκότος προσείη.

18. Γνῶτε δὲ καὶ ἐς τὰς ἡμετέρας νῦν ξυμφορὰς ἀπιδόντες, οἵτινες ἀξίωμα μέγιστον τῶν Ἑλλήνων ἔχοντες ἥκομεν παρ' ὑμᾶς πρότερον αὐτοὶ κυριώτεροι νομίζοντες εἶναι δοῦναι ἐφ' ἃ νῦν ἀφιγμένοι ὑμᾶς αἰτούμεθα. Καίτοι οὔτε δυνάμεως ἐνδείᾳ ἐπάθομεν αὐτὸ οὔτε μείζονος προσγενομένης ὑβρίσαντες, ἀπὸ δὲ τῶν ἀεὶ ὑπαρχόντων γνώμῃ σφαλέντες, ἐν ᾧ πᾶσι τὸ αὐτὸ ὁμοίως ὑπάρχει. Ὥστε οὐκ εἰκὸς ὑμᾶς διὰ τὴν παροῦσαν νῦν ῥώμην πόλεώς τε καὶ τῶν προσγεγενημένων καὶ τὸ τῆς τύχης οἴεσθαι ἀεὶ μεθ' ὑμῶν ἔσεσθαι. Σωφρόνων δὲ ἀνδρῶν οἵτινες τἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο· καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ εὐξυνετώτερον ἂν προσφέροιντο, τόν τε πόλεμον νομίσωσι μὴ καθ' ὅσον ἄν τις αὐτοῦ μέρος βούληται μεταχειρίζειν, τούτῳ ξυνεῖναι, ἀλλ' ὡς ἂν αἱ τύχαι αὐτῶν ἡγήσωνται. Καὶ ἐλάχιστ' ἂν οἱ τοιοῦτοι πταίοντες διὰ τὸ μὴ τῷ ὀρθουμένῳ αὐτοῦ πιστεύοντες ἐπαίρεσθαι ἐν τῷ εὐτυχεῖν ἂν μάλιστα καταλύοιντο. Ὃ νῦν ὑμῖν, ὦ Ἀθηναῖοι, καλῶς ἔχει πρὸς ἡμᾶς πρᾶξαι, καὶ μήποτε ὕστερον, ἢν ἄρα μὴ πειθόμενοι σφαλῆτε, ἃ πολλὰ ἐνδέχεται, νομισθῆναι τύχῃ καὶ τὰ νῦν προχωρήσαντα κρατῆσαι, ἐξὸν

18. *αὐτοὶ—δοῦναι*] Thom. M. p. 168.

σωφρόνων δὲ—νομίσωσι] Stob. Serm. p. 160. Schow. Dixi de hoc loco ad ii, 44. Est commixtio duarum locutionum, *σωφρόνων ἀνδρῶν ἐστὶ θέσθαι καὶ νομίζειν* et *σώφρονες ἄνδρες εἰσὶν οἵτινες ἔθεντο νομίσωσί τε*, ubi, ut solet fieri, transitus factus est ab indicativo in conjunctivum, ut contra transitus fit ex conjunctivo in indicativum. Vide ad ii, 44. Verba *καὶ ταῖς ξυμφοραῖς—προσφέροιντο* quasi per parenthesin interpositis structura paulisper turbatur. V. Matth. Gr. § 481. Obs. 3. Hanc structuræ explicationem tuentur tot tamque diserta exempla, ubi eadem reperitur, quare mihi non probatur difficilis illa ratio quam protulit Poppo Proleg. t. i. p. 118. Is judicat scriptorem proprie *καὶ ἐλάχιστ' ἂν οἱ τοιοῦτοι πταίοιεν* dicere voluisse, ut sequentia *διὰ τὸ μὴ—ἐπαίρεσθαι, ἐν τῷ εὐτυχεῖν ἂν μάλιστα καταλύοιντο* tanquam apodosis ad *σωφρόνων δὲ ἀνδρῶν οἵτινες ἔθεντο νομίσωσί τε* referrentur; sed ob longiorem periodum atque sententias in medio positas initii oblitum vel nexum obscuriorem fore arbitratum, recepto participio *πταίοντες* apodosin primariæ sententiæ cum parenthesi arcte junxisse. Quibus admissis oratio ita procederet, *σωφρόνων δὲ ἀνδρῶν οἵτινες τἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο—καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ εὐξυνετώτερον ἂν προσφέροιντο—τόν τε πόλεμον νομίσωσι, μὴ καθ' ὅσον ἄν τις αὐτοῦ μέρος βούληται μεταχειρίζειν, τούτῳ ξυνεῖναι, ἀλλ' ὡς ἂν αἱ τύχαι αὐτῶν ἡγῶνται,—καὶ ἐλάχιστ' ἂν οἱ τοιοῦτοι πταίοιεν·—διὰ τὸ μὴ, τῷ ὀρθουμένῳ αὐτοῦ πιστεύοντες, ἐπαίρεσθαι, ἐν τῷ εὐτυχεῖν ἂν μάλιστα καταλύοιντο.* Scholiastes sententiam esse ait, *σώφρονές εἰσιν, οἵτινες οἴονται τὰ ἐκ τῶν πολέμων μὴ κατὰ προαίρεσιν ἡμετέραν ἀποβαίνειν, ἀλλὰ κατὰ τύχην.* Ubi quæstio est, quonam referatur *αὐτῶν*? Poppo Obs. p. 145. refert ad notionem collectivam in *καθ' ὅσον μέρος*, vel etiam in *τις*. Bredov. *αὐτῷ* emendat. Mihi *αὐτῶν* videtur genitivus objecti esse pendens ex *ἡγῶνται*. Porro scholiastes dicit, *τὸ ὀρθούμενον τὴν εὐπραγίαν λέγει*, et *καταλύοιντο* explicat per *ἀναπαύοιντο*. Recte. Idem ad ὁ adnotavit, *ἐν εὐπραγίᾳ καταλύεσθαι, ἀντὶ τοῦ ἀποθέσθαι τὸν πόλεμον.*

ἀκίνδυνον δόκησιν ἰσχύος καὶ ξυνέσεως ἐς τὸ ἔπειτα καταλιπεῖν.

19. Λακεδαιμόνιοι δὲ ὑμᾶς προκαλοῦνται ἐς σπονδὰς καὶ διάλυσιν πολέμου, διδόντες μὲν εἰρήνην καὶ ξυμμαχίαν καὶ ἄλλην φιλίαν πολλὴν καὶ οἰκειότητα ἐς ἀλλήλους ὑπάρχειν, ἀνταιτοῦντες δὲ τοὺς ἐκ τῆς νήσου ἄνδρας, καὶ ἄμεινον ἡγούμενοι ἀμφοτέροις μὴ διακινδυνεύεσθαι, εἴτε βίᾳ διαφύγοιεν παρατυχούσης τινὸς σωτηρίας εἴτε καὶ ἐκπολιορκηθέντες μᾶλλον ἂν χειρωθεῖεν. Νομίζομέν τε τὰς μεγάλας ἔχθρας μάλιστ' ἂν διαλύεσθαι βεβαίως, οὐκ ἢν ἀνταμυνόμενός τις καὶ ἐπικρατήσας τὰ πλέω τοῦ πολέμου κατ' ἀνάγκην ὅρκοις ἐγκαταλαμβάνων μὴ ἀπὸ τοῦ ἴσου ξυμβῇ, ἀλλ' ἢν παρὸν τὸ αὐτὸ δρᾶσαι πρὸς τὸ ἐπιεικὲς καὶ ἀρετῇ αὐτὸ νικήσας παρὰ ἃ προσεδέχετο μετρίως ξυναλλαγῇ. Ὀφείλων γὰρ ἤδη ὁ ἐναντίος μὴ ἀνταμύνεσθαι ὡς βιασθεὶς, ἀλλ' ἀνταποδοῦναι ἀρετὴν, ἑτοιμότερός ἐστιν αἰσχύνῃ ἐμμένειν οἷς ξυνέθετο. Καὶ μᾶλλον πρὸς τοὺς μειζόνως ἐχθροὺς τοῦτο δρῶσιν οἱ ἄνθρωποι ἢ πρὸς τοὺς τὰ μέτρια διενεχθέντας· πεφύκασί τε τοῖς μὲν ἑκουσίως ἐνδοῦσιν ἀνθησσᾶσθαι μεθ' ἡδονῆς, πρὸς δὲ τὰ ὑπεραυχοῦντα καὶ παρὰ γνώμην διακινδυνεύειν.

19. *προκαλοῦνται*] Huc spectat Photius, *προκαλεῖσθαι, οὐ τὸ εἰς ἀγῶνα καὶ μάχην, ἀλλὰ τὸ εἰς συμβάσεις καὶ συνθήκας· Θουκυδίδης· οἱ δὲ δικανικοὶ ἐπὶ πάσης προκλήσεως* (i. e. 'legal agreement').

τοὺς ἐκ τῆς νήσου] i. e. 'vicissim poscentes, ut ex insula nobis reddantur viri qui ibi inclusi tenentur.' V. Popp. Prol. t. i. p. 176. Breviloquentiæ quoddam genus est.

τὸ αὐτὸ δρᾶσαι] i. e. *τὸ ξυμβῆναι κατ' ἀνάγκην ἐγκαταλαμβάνοντα ὅρκοις.* Mox, vulgo legitur *αὐτὸς νικήσας.* At *αὐτὸ* habent A. B. F. H. N. P. Q. S. e. f. g. *αὐτὸν* K. Difficile dictu est quonam referatu ristud *αὐτό*: nam *αὐτὸς* quidem minus aptum huic loco; *αὐτὸν* unius tantum codicis auctoritate nititur. Equidem *αὐτὸ* ad *τὸ ἐπιεικὲς* refero, hoc sensu: 'virtute animum inductus ad clementiam,' quasi dicas 'obtaining it by victory.' Mox, *προσεδέχετο* active videtur positum vulgo, ita ut suppleant *τις.* Sed cum Poppone, Obs. p. 89. not. passive est accipiendum.

ὀφείλων—ἀρετὴν] Thom. M. p. 163. Ad sequentia statim spectat glossa in Anecd. Bekk. i. p. 107. *μειζόνως ἀντὶ τοῦ μεῖζον. Θουκυδίδης τετάρτῳ, Πλάτων Πολιτείας τρίτῳ.* De forma adverbii comparativi v. Elmsl. ad Eur. Heracl. 544.

ἑκουσίως] Anecd. Bekk. i. p. 126. citant *τοῖς ἑκοῦσιν ἐνδοῦσιν*, ubi sunt verba *πεφύκασι—ἡδονῆς.* Est hoc solenne verbum ad significandam amicorum voluntati cessionem. V. Lobeck. ad Soph. Ajac. 1340., quocum interpretare, 'libenter et ipsi vicissim cedunt.' *Ἡσσᾶσθαι* alibi construitur cum genitivo; hic structuram sequitur verborum *ἐνδιδόναι, εἴκειν, ὑπείκειν,* quemadmodum vicissim *νικᾶσθαι* nonnunquam cum genitivo struitur. V. Popp. Proleg. t. i. p. 126.

παρὰ γνώμην] "*γνώμη* in universum significat judicium consulto et cum rerum reputatione latum, et studia ex hac consultatione nata; quo sensu est contrarium *ὀργῇ*, sive cœco animi impetui, id quod luculentissime apparet e Thucyd. iii, 42., ubi junguntur *ὀργὴ* et *βραχύτης γνώμης*, item ex ii, 65., ubi Pericles dicitur *δυνατὸς ἀξιώματι καὶ τῇ γνώμῃ*, et cap. 65. est *γνώμης ἁμάρτημα.* Hoc igitur dicunt Lacedæmonii, 'an enemy will, under these circumstances, venture the utmost, although reason shows him the impossibility of it.'" Heilmannus. Paulo ante, ad *τοῦτο δρῶσιν* supple *τὸ ἀνταμύνεσθαι.*

20. Ἡμῖν δὲ καλῶς, εἴπερ ποτὲ, ἔχει ἀμφοτέροις ἡ ξυναλλαγὴ, πρίν τι ἀνήκεστον διὰ μέσου γενόμενον ἡμᾶς καταλαβεῖν, ἐν ᾧ ἀνάγκη ἀΐδιον ὑμῖν ἔχθραν πρὸς τῇ κοινῇ καὶ ἰδίαν ἔχειν, ὑμᾶς δὲ στερηθῆναι ὧν νῦν προκαλούμεθα. Ἔτι δ' ὄντων ἀκρίτων καὶ ὑμῖν μὲν δόξης καὶ ἡμετέρας φιλίας προσγιγνομένης, ἡμῖν δὲ πρὸ αἰσχροῦ τινος ξυμφορᾶς μετρίως καταπιθεμένης, διαλλαγῶμεν, καὶ αὐτοί τε ἀντὶ πολέμου εἰρήνην ἑλώμεθα καὶ τοῖς ἄλλοις Ἕλλησιν ἀνάπαυσιν κακῶν ποιήσωμεν· οἳ καὶ ἐν τούτῳ ὑμᾶς αἰτιωτέρους ἡγήσονται. Πολεμοῦνται μὲν γὰρ ἀσαφῶς ὁποτέρων ἀρξάντων· καταλύσεως δὲ γιγνομένης, ἧς νῦν ὑμεῖς τὸ πλέον κύριοί ἐστε, τὴν χάριν ὑμῖν προσθήσουσιν. Ἤν τε γνῶτε, Λακεδαιμονίοις ἔξεστιν ὑμῖν φίλους γενέσθαι βεβαίως, αὐτῶν τε προκαλεσαμένων, χαρισαμένοις τε μᾶλλον ἢ βιασαμένοις. Καὶ ἐν τούτῳ τὰ ἐνόντα ἀγαθὰ σκοπεῖτε ὅσα εἰκὸς εἶναι· ἡμῶν γὰρ καὶ ὑμῶν ταὐτὰ λεγόντων τό γε ἄλλο Ἑλληνικὸν ἴστε ὅτι ὑποδεέστερον ὂν τὰ μέγιστα τιμήσει.

21. Οἱ μὲν οὖν Λακεδαιμόνιοι τοσαῦτα εἶπον, νομίζοντες τοὺς Ἀθηναίους ἐν τῷ πρὶν χρόνῳ σπονδῶν μὲν ἐπιθυμεῖν, σφῶν δὲ ἐναντιουμένων κωλύεσθαι, διδομένης δὲ εἰρήνης ἀσμένως δέξεσθαί τε καὶ τοὺς ἄνδρας ἀποδώσειν. Οἱ δὲ τὰς μὲν σπονδὰς, ἔχοντες τοὺς ἄνδρας ἐν τῇ νήσῳ, ἤδη σφίσιν ἐνόμιζον ἑτοίμους εἶναι ὁπόταν βούλωνται ποιεῖσθαι πρὸς αὐτοὺς, τοῦ δὲ πλέονος ὠρέγοντο. Μάλιστα δὲ αὐτοὺς ἐνῆγε Κλέων ὁ Κλεαινέτου, ἀνὴρ δημαγωγὸς κατ' ἐκεῖνον τὸν χρόνον ὢν καὶ τῷ πλήθει πιθανώτατος· καὶ ἔπεισεν ἀποκρί-

20. *καὶ ἰδίαν*] Schol. *νῦν μὲν κοινὴν ἔχομεν Πελοποννήσιοι πάντες πρὸς ὑμᾶς ἔχθραν· εἰ δὲ μὴ εἴξετε τοῖς λόγοις ἡμῶν, καὶ ἰδίᾳ Λακεδαιμόνιοι ἐχθροὶ ὑμῶν ἐσόμεθα.*

ἀκρίτων] Schol. *ἔτι δὲ ὄντων ἀδιακρίτων καὶ ἀμφιβόλων τῶν πραγμάτων τῶν κατὰ τὴν Σφακτηρίαν, εἴτε ἁλίσκονται οἱ ἄνδρες εἴτε διαφεύγουσι, καὶ ὑμῖν μὲν δόξης προσγινομένης καὶ φιλίας παρ' ἡμῶν, ἐὰν σπεισώμεθα ὥσπερ νῦν ἔχομεν, ἡμῖν δὲ τοῖς Λακεδαιμονίοις, πρὶν αἰσχροῦ τινος πειραθῆναι (ἀντὶ τοῦ πρὶν ἁλῶναι τοὺς ἄνδρας) τῆς συμφορᾶς μετρίως κατατιθεμένης, διαλλαγῶμεν.*

ἡμῶν γὰρ καὶ ὑμῶν] genitivus absolutus pro accusativo, quem sequens verbum postulat, ut v, 3. *προσβαλόντων τῶν Ἀθηναίων ἠμύνοντο.*

21. Ad hoc caput respicit Dionys. p. 843. conf. schol. ad Aristoph. Equit. 665.

ἀσμένως] Alii libri sic, alii *ἀσμένους*, quod recepit Haack. Et in vulgatis hic ordo est, *δέξεσθαί τε ἀσμένως*. Krueger. ad Dionys. p. 38. adverbium tuetur his locis; ii, 8. *ἡ νεότης οὐκ ἀκουσίως ὑπὸ ἀπειρίας ἥπτετο τοῦ πολέμου.* viii, 68. *ἐς δῆμον οὐ παριὼν, οὐδ' ἐς ἄλλον ἀγῶνα ἑκουσίως οὐδένα*, ut ibi habent A. F. H. L. O. Q. S. g. k. viii, 66. *ἀλλήλοις ἅπαντες ὑπόπτως προσῄεσαν.*

ἑτοίμους εἶναι] Structura *ἀπὸ κοινοῦ*, nam *ποιεῖσθαι* bis cogitandum, sic, *τὰς μὲν σπονδὰς ἤδη σφίσιν ἐνόμιζον ἑτοίμους εἶναι ποιεῖσθαι ὁπόταν βούλωνται ποιεῖσθαι πρὸς αὐτοὺς*, ita ut locus prorsus similis sit verbis *καὶ αὐτὸν ἐμέλλησαν μὲν ἐς τὸν Κεάδαν, οὗπερ τοὺς κακούργους εἰώθεσαν ἐμβάλλειν*, ubi vide annotata.

πιθανώτατος] Alias Græci dicunt, ut

νασθαι ὡς χρὴ τὰ μὲν ὅπλα καὶ σφᾶς αὐτοὺς τοὺς ἐν τῇ νήσῳ παραδόντας πρῶτον κομισθῆναι Ἀθήναζε, ἐλθόντων δὲ ἀποδόντας Λακεδαιμονίους Νίσαιαν καὶ Πηγὰς καὶ Τροιζῆνα καὶ Ἀχαΐαν, ἃ οὐ πολέμῳ ἔλαβον ἀλλ' ἀπὸ τῆς προτέρας ξυμβάσεως Ἀθηναίων ξυγχωρησάντων κατὰ ξυμφορὰς καὶ ἐν τῷ τότε δεομένων τι μᾶλλον σπονδῶν, κομίσασθαι τοὺς ἄνδρας καὶ σπονδὰς ποιήσασθαι ὁπόσον ἂν δοκῇ χρόνον ἀμφοτέροις.

22. Οἱ δὲ πρὸς μὲν τὴν ἀπόκρισιν οὐδὲν ἀντεῖπον, ξυνέδρους δὲ σφίσιν ἐκέλευον ἑλέσθαι οἵτινες λέγοντες καὶ ἀκούοντες περὶ ἑκάστου ξυμβήσονται κατὰ ἡσυχίαν ὅ,τι ἂν πείθωσιν ἀλλήλους. Κλέων δὲ ἐνταῦθα δὴ πολὺς ἐνέκειτο, λέγων γιγνώσκειν μὲν καὶ πρότερον οὐδὲν ἐν νῷ ἔχοντας δίκαιον αὐτούς, σαφὲς δ' εἶναι καὶ νῦν, οἵτινες τῷ μὲν πλήθει οὐδὲν ἐθέλουσιν εἰπεῖν, ὀλίγοις δὲ ἀνδράσι ξύνεδροι βούλονται γίγνεσθαι· ἀλλὰ εἴ τι ὑγιὲς διανοοῦνται, λέγειν ἐκέλευσεν ἅπασιν. Ὁρῶντες δὲ οἱ Λακεδαιμόνιοι οὔτε σφίσιν οἷόν τε ὂν ἐν πλήθει εἰπεῖν, εἴ τι καὶ ὑπὸ τῆς ξυμφορᾶς ἐδόκει αὐτοῖς ξυγχωρεῖν, μὴ ἐς τοὺς ξυμμάχους διαβληθῶσιν εἰπόντες καὶ οὐ τυχόντες, οὔτε τοὺς Ἀθηναίους ἐπὶ μετρίοις ποιήσοντας ἃ προὐκαλοῦντο, ἀνεχώρησαν ἐκ τῶν Ἀθηνῶν ἄπρακτοι.

23. Ἀφικομένων δὲ αὐτῶν διελύοντο εὐθὺς αἱ σπονδαὶ αἱ περὶ Πύλον, καὶ τὰς ναῦς οἱ Λακεδαιμόνιοι ἀπῄτουν, καθάπερ ξυνέκειτο· οἱ δ' Ἀθηναῖοι ἐγκλήματα ἔχοντες ἐπιδρομήν τε τῷ τειχίσματι παράσπονδον καὶ ἄλλα οὐκ ἀξιόλογα δοκοῦντα εἶναι οὐκ ἀπεδίδοσαν, ἰσχυριζόμενοι ὅτι δὴ εἴρητο, ἐὰν καὶ ὁτιοῦν παραβαθῇ, λελύσθαι τὰς σπονδάς. Οἱ δὲ Λακεδαιμόνιοι ἀντέλεγόν τε καὶ ἀδίκημα ἐπικαλέσαντες τὸ τῶν νεῶν ἀπελθόντες ἐς πόλεμον καθίσταντο. Καὶ τὰ περὶ Πύλον ὑπ' ἀμφοτέρων κατὰ κράτος ἐπολεμεῖτο, Ἀθηναῖοι μὲν δυοῖν ἐναντίαιν ἀεὶ τὴν νῆσον περιπλέοντες τῆς ἡμέ-

Suidas docet, πιθανοὺς τοὺς εὐπειθεῖς, at hic, ut alibi, eodem Suida monente, φοβεροὺς τοὺς φοβουμένους Thucydides dixit: πιθανώτατος est, ut Photii verbis utar, ὁ πείθων τοὺς ἄλλους. Vid. Albert. in Miscell. Crit. p. 285.

22. ξυμβήσονται] futurum simplex pro futuri periphrastici tempore imperfecto, ut viii, 1. ἐδόκει ἀρχήν τινα πρεσβυτέρων ἀνδρῶν ἑλέσθαι, οἵτινες—προβουλεύσουσι, ubi pronomen relativum structuram particulæ ὅπως sequitur. V. Popp. Prol. t. i. p. 160.

πολὺς ἐνέκειτο] Sallust. Jug. 84. 'multus instabat.' Imitatur etiam Dio Cass. xxxvii, 50. xxxviii, 16.

εἴ τι καὶ] Sic emendavit Poppo Obs. p. 136. et expressit Valla. Libri omnes εἴ τε.

23. Ἀθηναῖοι μὲν—Πελοποννήσιοι δὲ] Sæpissime participium in nominativo ponitur, ita ut scriptor verbum ei accommo-

ρας, τῆς δὲ νυκτὸς καὶ ἅπασαι περιώρμουν, πλὴν τὰ πρὸς τὸ πέλαγος, ὁπότε ἄνεμος εἴη· καὶ ἐκ τῶν Ἀθηνῶν αὐτοῖς εἴκοσι νῆες ἀφίκοντο ἐς τὴν φυλακὴν, ὥστε αἱ πᾶσαι ἑβδομήκοντα ἐγένοντο· Πελοποννήσιοι δὲ ἐν τῇ ἠπείρῳ στρατοπεδευόμενοι, καὶ προσβολὰς ποιούμενοι τῷ τείχει, σκοποῦντες καιρὸν εἴ τις παραπέσοι ὥστε τοὺς ἄνδρας σῶσαι.

24. Ἐν τούτῳ δὲ οἱ ἐν τῇ Σικελίᾳ Συρακόσιοι καὶ οἱ ξύμμαχοι πρὸς ταῖς ἐν Μεσσήνῃ φρουρούσαις ναυσὶ τὸ ἄλλο ναυτικὸν ὃ παρεσκευάζοντο προσκομίσαντες τὸν πόλεμον ἐποιοῦντο ἐκ τῆς Μεσσήνης. Καὶ μάλιστα ἐνῆγον οἱ Λοκροὶ τῶν Ῥηγίνων κατὰ ἔχθραν· καὶ αὐτοὶ δὲ ἐσβεβλήκεσαν πανδημεὶ ἐς τὴν γῆν αὐτῶν. Καὶ ναυμαχίας ἀποπειρᾶσθαι ἐβούλοντο, ὁρῶντες τοῖς Ἀθηναίοις τὰς μὲν παρούσας ὀλίγας ναῦς, ταῖς δὲ πλείοσι καὶ μελλούσαις ἥξειν πυνθανόμενοι τὴν νῆσον πολιορκεῖσθαι. Εἰ γὰρ κρατήσειαν τῷ ναυτικῷ, τὸ Ῥήγιον ἤλπιζον πεζῇ τε καὶ ναυσὶν ἐφορμοῦντες ῥᾳδίως χειρώσασθαι, καὶ ἤδη σφῶν ἰσχυρὰ τὰ πράγματα γίγνεσθαι· ξύνεγγυς γὰρ κειμένου τοῦ τε Ῥηγίου ἀκρωτηρίου τῆς Ἰταλίας τῆς τε Μεσσήνης τῆς Σικελίας, τοῖς Ἀθηναίοις τε οὐκ ἂν εἶναι ἐφορμεῖν καὶ τοῦ πορθμοῦ κρατεῖν. Ἔστι δὲ ὁ πορθμὸς ἡ μεταξὺ Ῥηγίου θάλασσα καὶ Μεσσήνης, ᾗπερ βραχύτατον Σικελία τῆς ἠπείρου ἀπέχει· καὶ ἔστιν ἡ Χάρυβδις κληθεῖσα τοῦτο, ᾗ Ὀδυσσεὺς λέγεται διαπλεῦσαι. Διὰ στενότητα δὲ καὶ ἐκ μεγάλων πελαγῶν, τοῦ τε Τυρσηνικοῦ καὶ τοῦ Σικελικοῦ, ἐσπίπτουσα ἡ θάλασσα ἐς αὐτὸ καὶ ῥοώδης οὖσα εἰκότως χαλεπὴ ἐνομίσθη.

25. Ἐν τούτῳ οὖν τῷ μεταξὺ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ναυσὶν ὀλίγῳ πλείοσιν ἢ τριάκοντα ἠναγκάσθησαν ὀψὲ τῆς ἡμέρας ναυμαχῆσαι περὶ πλοίου διαπλέοντος, ἀντ-

datum vel præcessisse putet, ut hic, vel subjicere in mente habeat, pro quo deinde structura mutata aliud dictionis genus infertur. Itaque hoc loco structuram ita continuavit, quasi antea scripsisset *τὰ περὶ Πύλον ἀμφότεροι κατὰ κράτος ἐπολέμουν*. Plane similia verba Popp. Prol. t. i. p. 109. contulit ex v, 70. *καὶ μετὰ ταῦτα ἡ ξύνοδος ἦν· Ἀργεῖοι μὲν καὶ οἱ ξύμμαχοι ἐντόνως καὶ ὀργῇ χωροῦντες, Λακεδαιμόνιοι δὲ βραδέως.*

περιώρμουν] *περιορμεῖν* est, ut ait Pollux i, 122. *τὸ ἐν κύκλῳ περιπλεῖν νῆσον, καὶ προσκαθῆσθαι πολιορκητικῶς νήσῳ ἀπὸ νεῶν.*

24. *χειρώσασθαι*] V. Popp. Proleg. t. i. p. 158. Mox, Bekker. ex A. B. F. H. K. g. correxit vulgatam *ἀνεῖναι ἐφορμεῖν*, quibus codicibus nunc accedit meus S. Monuerat jam Heilmannus.

τοῦτο, ᾗ] Schol. supplet *τὸ μέρος τῆς θαλάσσης*. De hoc loco lectu dignissimus est Dorvill. Siculis p. 9. Mox, ad *βραχύτατον* supple *διάστημα*, nam si neutrum superlativi pro adverbio dictum esset, e more Græcorum dixisset *βραχύτατα*.

ἐπαναγόμενοι πρός τε Ἀθηναίων ναῦς ἑκκαίδεκα καὶ Ῥηγίνας ὀκτώ. Καὶ νικηθέντες ὑπὸ τῶν Ἀθηναίων διὰ τάχους ἀπέπλευσαν ὡς ἕκαστοι ἔτυχον ἐς τὰ οἰκεῖα στρατόπεδα, τό τε ἐν τῇ Μεσσήνῃ καὶ ἐν τῷ Ῥηγίῳ, μίαν ναῦν ἀπολέσαντες· καὶ νὺξ ἐπεγένετο τῷ ἔργῳ. Μετὰ δὲ τοῦτο οἱ μὲν Λοκροὶ ἀπῆλθον ἐκ τῆς Ῥηγίνων· ἐπὶ δὲ τὴν Πελωρίδα τῆς Μεσσήνης συλλεγεῖσαι αἱ τῶν Συρακοσίων καὶ ξυμμάχων νῆες ὥρμουν καὶ ὁ πεζὸς αὐτοῖς παρῆν. Προσπλεύσαντες δὲ οἱ Ἀθηναῖοι καὶ Ῥηγῖνοι ὁρῶντες τὰς ναῦς κενὰς ἐνέβαλον, καὶ χειρὶ σιδηρᾷ ἐπιβληθείσῃ μίαν ναῦν αὐτοὶ ἀπώλεσαν τῶν ἀνδρῶν ἀποκολυμβησάντων. Καὶ μετὰ τοῦτο τῶν Συρακοσίων ἐσβάντων ἐς τὰς ναῦς καὶ παραπλεόντων ἀπὸ κάλω ἐς τὴν Μεσσήνην, αὖθις προσβαλόντες οἱ Ἀθηναῖοι, ἀποσιμωσάντων ἐκείνων καὶ προεμβαλόντων, ἑτέραν ναῦν ἀπολλύουσι.

25. *τό τε ἐν—Ῥηγίῳ*] Ita emendaverat Poppo, Obs. p. 63. not. vulgatam *ἐς τὰ οἰκεῖα στρατόπεδα τότε, ἐν τῇ Μεσσήνῃ καὶ ἐν τῷ Ῥηγίῳ*, cum postea in Addendis ab amico se induci passus est, ut priori sententia mutata scriberet *ἐς τὰ οἰκεῖα στρατόπεδα, τότε ἐν τῇ—Ῥηγίῳ*. Quæ si vera scriptura esset, plane inutilia essent et frustra adjecta verba *τότε—Ῥηγίῳ*. Nam cum scriptor jam prius regionem, qua pugnatum est, verbis *ἐν τούτῳ τῷ μεταξὺ* initio capitis designaverit, et cum prorsus nulla alia, quam hac ipsa pugna navis illa amitti potuerit; quid potest esse ineptius, quam tale additamentum? Retinenda igitur emendatio. Nam quod amicus Popponis obloquitur, a Syracusanis eorumque sociis non satis prudenter factum esse, si vicinis hostibus, a quibus jam victi erant, se separassent, atque aliæ naves Messanam, aliæ Rhegium abiissent; quod quum nondum cepissent, eos non potuisse ibi in tuto loco in statione esse; satis hoc argumentum refellunt verba scriptoris, *διὰ τάχους ἀπέπλευσαν, ὡς ἕκαστοι ἔτυχον*, quippe cum tempus non esset, circumspicere perfugium, sed manus hostium quam celerrime effugere.

καὶ χειρὶ—ἀπώλεσαν] Schol. legit *αὐτοὶ ἀπώλεσαν*, nam ejus interpretatio hæc est, *δηλονότι ὑπὸ τῶν Συρακουσίων ἐπιβληθείσῃ Ἀττικῇ νηΐ· μίαν οὖν ἀπώλεσαν οἱ Ἀθηναῖοι*. Quam scripturam Poppo quoque ascivit, his argumentis inductus, Obs. p. 63.: Syracusani atque socii dicuntur victi in castra se recepisse, una navi amissa. Paulo post Syracusanorum et sociorum naves ad Peloridem collectæ in statione erant; quas quum Athenienses vacuas vidissent, impetu facto unam navem hostibus perdiderunt. Sequuntur hæc: *καὶ μετὰ τοῦτο τῶν Συρακοσίων ἐμβάντων ἐς τὰς ναῦς—αὖθις προσβαλόντες οἱ Ἀθηναῖοι—ἑτέραν ναῦν ἀπολλύουσιν*. Ubi Portus vertit, 'Athenienses alteram navem amiserunt.' Sed quomodo ii alteram navem amisisse dicantur, quos nondum legimus, ait, neque legemus una privatos esse? Heilmannus igitur verbo *ἀπολλύναι* alteram notionem tribuit, ut sit 'perdere' sive 'corrumpere.' Sed primum, addit, ne ita quidem recte dixeris *ἑτέραν*, quum Syracusani ex hac interpretatione tres naves amisissent. Deinde repugnant quæ statim subjiciuntur, *καὶ ἐν τῷ παράπλῳ καὶ τῇ ναυμαχίᾳ τοιουτοτρόπῳ γενομένῃ οὐκ ἔλασσον ἔχοντες οἱ Συρακόσιοι παρεκομίσθησαν ἐς τὸν ἐν τῇ Μεσσήνῃ λιμένα*. Tum sanæ interpretationis regulis non convenit, si verbum *ἀπολλύναι* in eadem orationis serie bis explicemus 'corrumpere' et semel (initio capitis) 'amittere.' Denique difficultas inest in verbis *προσπλεύσαντες δὲ οἱ Ἀθηναῖοι—ἀποκολυμβησάντων*. Quomodo enim, si naves erant vacuæ, *κεναί*, una earum corrumpi potuit *τῶν ἀνδρῶν ἀποκολυμβησάντων*? Igitur ex K. N. d. e. f. g. et Valla legit *αὐτοί*. Quo spectat etiam scholion, *οἱ Ἀθηναῖοι δηλονότι*, cui falso caput *μίαν ναῦν ἀπολέσαντες* præfixum est.

ἀπὸ κάλω] Scholiastes, *τῷ λεγομένῳ παρόλκῳ· οἱ γὰρ παρ' αὐτὴν τὴν γῆν πλέοντες οὐ δύνανται ἐρέττειν*. Pollux, i, 113. *ἐπλέομεν ἀπὸ κάλων* et *ἐν χρῷ τῆς γῆς παραπλέοντες, ἐκ κάλων ἕλκοντες τὴν ναῦν*. Latini 'remulco trahere' et 'trahi.'

ἀποσιμωσάντων] Scholiastes, *ὑπαναχωρησάντων καὶ μετεωρισάντων τὰς ναῦς, ἵνα ἐκ πολλοῦ διαστήματος δυνηθῶσι μετὰ μεί-*

Καὶ ἐν τῷ παράπλῳ καὶ τῇ ναυμαχίᾳ τοιουτοτρόπῳ γενομένῃ οὐκ ἔλασσον ἔχοντες οἱ Συρακόσιοι παρεκομίσθησαν ἐς τὸν ἐν τῇ Μεσσήνῃ λιμένα. Καὶ οἱ μὲν Ἀθηναῖοι, Καμαρίνης ἀγγελθείσης προδίδοσθαι Συρακοσίοις ὑπ' Ἀρχίου καὶ τῶν μετ' αὐτοῦ, ἔπλευσαν ἐκεῖσε· Μεσσήνιοι δ' ἐν τούτῳ πανδημεὶ κατὰ γῆν καὶ ταῖς ναυσὶν ἅμα ἐστράτευσαν ἐπὶ Νάξον τὴν Χαλκιδικὴν ὅμορον οὖσαν. Καὶ τῇ πρώτῃ ἡμέρᾳ τειχήρεις ποιήσαντες τοὺς Ναξίους ἐδῄουν τὴν γῆν, τῇ δ' ὑστεραίᾳ ταῖς μὲν ναυσὶ περιπλεύσαντες κατὰ τὸν Ἀκεσίνην ποταμὸν τὴν γῆν ἐδῄουν, τῷ δὲ πεζῷ πρὸς τὴν πόλιν ἐσέβαλλον. Ἐν τούτῳ δὲ οἱ Σικελοὶ ὑπὲρ τῶν ἄκρων πολλοὶ κατέβαινον βοηθοῦντες ἐπὶ τοὺς Μεσσηνίους. Καὶ οἱ Νάξιοι ὡς εἶδον, θαρσήσαντες καὶ παρακελευόμενοι ἐν ἑαυτοῖς ὡς οἱ Λεοντῖνοι σφίσι καὶ οἱ ἄλλοι Ἕλληνες ξύμ-

ξονος ὁρμῆς ἐμβάλλειν τοῖς Ἀθηναίοις. Hoc dicit: vehementiam motus navi in gyrum versa agebant, et deinde rostro naves hostium petebant easque deprimere conabantur. Suidas: *ἀποσιμῶσαι, τὸ ἐπικύψαι καὶ τὴν πυγὴν προσθεῖναι γυμνήν. Θουκυδίδης δὲ τὸ μετεωρίσαι τὰς ναῦς.* Eadem Phavorinus in *ἀποσιμῶσαι*, qui exscripserunt Eustathium ad Hom. Il. ξ. p. 965. Rom. Eadem repetuntur in Anecd. Bekk. i. p. 434. et a Phavorino s. v. *Κρόσσαι.* V. Schneider. Vocab. Gr. s. v. Etym. M. *λέγεται καὶ ἐπὶ νεῶν τὸ ἐκ διαστήματος ἐμβάλλειν.* Hesych. ex emendatione Salmasii *σίμαι γὰρ αἱ μετέωροι προσαναβάσεις*, in v. *ἀπεσίμωσεν.* Conf. idem in v. *ἀποσιμοῦν*, et in ead. v. Etym. M. Coraës ad Heliodor. p. 113.

Ἀκεσίνην] Popp. Prol. t. ii. p. 530. not. scribi vult *Ἀσίνης* ex Plin. H. N. iii, 8. 'colonia Taurominium, quæ antea Naxos. Flumen Asines.'

ἐν ἑαυτοῖς] i. e. *ἐν ἀλλήλοις.* Coraës ad Heliodorum p. 7. *ταύτην τὴν χρῆσιν* (*πρὸς ἑαυτοὺς* scilicet quod Heliodorus dixit pro *πρὸς ἀλλήλους*) *Ἡσύχιος, Σουΐδας, Πρισκιανὸς, καὶ ἄλλοι πλεῖστοι τῶν Ἀττικῶν εἶναί φασιν. Ὁ μέντοι Εὐστάθιος περὶ αὐτῆς ταῦτα λέγει* (*Ὀδυσσ.* E. 481.) "*τὸ μὲν γὰρ ἑαυτοὺς, ὥς φασιν οἱ παλαιοὶ, ἐπὶ τῶν καθ' αὑτὸ λεγομένων τέθειται· οἷον, Αἴας καὶ Μενοικεὺς, φασιν, ὁ Κρέοντος ἑαυτοὺς ἀνεῖλον, ἤγουν ἑκάτερος ἑαυτόν· τὸ δὲ Ἀλλήλους ἐπί τινων* (*γρ. ἐπὶ τῶν*) *συμπεπλεγμένων κεῖται· οἷον οἱ τοῦ Οἰδίποδος παῖδες ἀλλήλους ἀπέκτειναν, ἤτοι ἕτερος τὸν ἕτερον. Μένανδρος οὖν, φασὶν, ἁμαρτάνει, Οὐκ ἠρκέσαμεν ἑαυτοῖς· ἐχρῆν γὰρ Ἀλλήλοις εἰπεῖν.*" Vide quos laudat Meinecke Reliquiis Menandr. et Philem. p. 276. Etym. M. in v. *ἀλλήλους* cum Eustathio consentit. Adde Suidam in *ἀλλήλων*, Phavorin. in *ἀλλήλους*, Anecd. Bekk. i. p. 378. Suidam in *ἐγεύσαντο.* Pergit Coraës: *ἀλλ' εἰ Μένανδρος ἁμαρτάνει, ἥμαρτε δήπου καὶ Θουκυδίδης* h. l. Laudat præterea Soph. Antig. 53. 145., ubi pro *αὐτοκτενοῦντε* legi jubet *αὐτοκτονοῦντε*, minus tamen recte nostro loco *ἐν* delet. Repugnant hæc: v, 69. extr. viii, 76. *καὶ παραινέσεις — ἐποιοῦντο ἐν σφίσιν* et *ἐν σφίσιν αὐτοῖς—τὴν παρακέλευσιν—ἐποιοῦντο.* Præpositionem *ἐν* præcedente particula *ἂν* obliteratam redde Pausaniæ t. ii. p. 39. Fac. *ἴδοι τις ἂν ἐν Ἕλλησι.* Apud Plutarch. Vit. Marcell. c. 14. legerim ex cod. Monac. n. 85. *πολλοὺς διέφθειρε Ῥωμαίων ἐν Λεοντίνοις*, nam Livius, xxiv, 29. in earundem rerum enarratione posuit 'in Leontinis.' Supra allatis adde Phavorinum iterum in *ἀλλήλους*, quod, ait, *ταυτοπάθειαν σημαίνει ἢ ἑτεροπάθειαν· οἷον Αἴας ὁ Τελαμώνιος καὶ Μενοικεὺς ὁ Κρέοντος ἑαυτοὺς ἀπέκτειναν, ἑκάτερος ἑαυτόν· τὸ δὲ ἀλλήλους ἐπὶ τῶν συμπεπλεγμένων*, etc., quæ exscripsit ex Eustathii commentariis; et Matth. Gr. § 489. III. Heindorf. ad Plat. Lys. p. 32. ad Parmenid. p. 211. Eundemque usum explicat Priscianus, xviii. p. 1172. ubi citat Thucydidis verba, iii, 59. *ἡμέρας τε ἀναμιμνήσκομεν ἐκείνης, ᾗ τὰ λαμπρότατα μεθ' ἑαυτῶν* (sic enim legit pro *μετ' αὐτῶν*, et cum Prisciano faciunt etiam K. M. N., *μετ' αὐτῶν* habent A. B. E. H. I. g.) *πράξαντες, νῦν ἐν τῇδε τὰ δεινότατα κινδυνεύομεν παθεῖν*, dicitque *μεθ' ἑαυτῶν* esse pro *μετ' ἀλλήλων.* Ac sane ibi

μαχοι ἐς τιμωρίαν ἐπέρχονται, ἐκδραμόντες ἄφνω ἐκ τῆς πόλεως προσπίπτουσι τοῖς Μεσσηνίοις, καὶ τρέψαντες ἀπέκτεινάν τε ὑπὲρ χιλίους καὶ οἱ λοιποὶ χαλεπῶς ἀπεχώρησαν ἐπ' οἴκου· καὶ γὰρ οἱ βάρβαροι ἐν ταῖς ὁδοῖς ἐπιπεσόντες τοὺς πλείστους διέφθειραν. Καὶ αἱ νῆες σχοῦσαι ἐς τὴν Μεσσήνην ὕστερον ἐπ' οἴκου ἕκασται διεκρίθησαν. Λεοντῖνοι δὲ εὐθὺς καὶ οἱ ξύμμαχοι μετὰ Ἀθηναίων ἐς τὴν Μεσσήνην ὡς κεκακωμένην ἐστράτευον, καὶ προσβάλλοντες οἱ μὲν Ἀθηναῖοι κατὰ τὸν λιμένα ταῖς ναυσὶν ἐπείρων, ὁ δὲ πεζὸς πρὸς τὴν πόλιν. Ἐπεκδρομὴν δὲ ποιησάμενοι οἱ Μεσσήνιοι καὶ Λοκρῶν τινες μετὰ τοῦ Δημοτέλους, οἳ μετὰ τὸ πάθος ἐγκατελείφθησαν φρουροὶ, ἐξαπιναίως προσπεσόντες τρέπουσι τοῦ στρατεύματος τῶν Λεοντίνων τὸ πολὺ καὶ ἀπέκτειναν πολλούς. Ἰδόντες δὲ οἱ Ἀθηναῖοι καὶ ἀποβάντες ἀπὸ τῶν νεῶν ἐβοήθουν, καὶ κατεδίωξαν τοὺς Μεσσηνίους πάλιν ἐς τὴν πόλιν, τεταραγμένοις ἐπιγενόμενοι· καὶ τροπαῖον στήσαντες ἀνεχώρησαν ἐς τὸ Ῥήγιον. Μετὰ δὲ τοῦτο οἱ μὲν ἐν τῇ Σικελίᾳ Ἕλληνες ἄνευ τῶν Ἀθηναίων κατὰ γῆν ἐστράτευον ἐπ' ἀλλήλους.

26. Ἐν δὲ τῇ Πύλῳ ἔτι ἐπολιόρκουν τοὺς ἐν τῇ νήσῳ Λακεδαιμονίους οἱ Ἀθηναῖοι καὶ τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον τῶν Πελοποννησίων κατὰ χώραν ἔμενεν. Ἐπίπονος δ' ἦν τοῖς Ἀθηναίοις ἡ φυλακὴ σίτου τε ἀπορίᾳ καὶ ὕδατος· οὐ γὰρ ἦν κρήνη ὅτι μὴ μία ἐν αὐτῇ τῇ ἀκροπόλει τῆς Πύλου καὶ αὕτη οὐ μεγάλη, ἀλλὰ διαμώμενοι τὸν κάχληκα οἱ πλεῖστοι ἐπὶ τῇ θαλάσσῃ ἔπινον οἷον εἰκὸς ὕδωρ. Στενο-

in vulgata est, quod me jam dudum pupugit. Μετ' αὐτῶν nimirum refertur ad patres Spartanorum, quibuscum Platæenses se dicunt pugnasse apud urbem suam contra Persas. Cum vero hi ipsi, qui loquuntur, æquales sint præsentium Lacedæmoniorum; temporum ratio repugnat, quominus cum patribus horum adversus communes hostes pugnaverint; nisi sic te expedias, πράξαντες sive resoluto participio ἐπράξαμεν esse, 'noster populus pugnavit.' Sic vero obstat κινδυνεύομεν, quod solum ad nunc loquentes pertinere potest. Quare nunc dubito, an scriptura optimorum codicum aliquot et Prisciani, simulque hujus explicatio, quam ille ex vetustis interpretibus hausisse videtur, præferenda vulgatæ sit.

ἐπείρων] A. B. F. H. I. K. L. N. O. P. c. f. g. h. i. Vulgo ἐπειρῶντο. Schol. ἐπειρῶντο legit, sed addidit γράφεται ἐπείρων. V. ad i, 59. 61.

26. διαμώμενοι] Schol. explicat per διακόπτοντες· βούλεται δὲ, addit, εἰπεῖν, ὅτι διαστέλλοντες τὸν κάχληκα καὶ βόθρους ἐπὶ τὸν αἰγιαλὸν ποιοῦντες ηὕρισκον ὕδωρ, οἷον ἂν τις εἰς ἀνάγκην πίοι δι' ἄκραν δίψαν. Zonaras: "διαμησάμενος, διορύξας·" διαμησάμενος πᾶσαν τὴν τοῦ Ὀλύμπου ἄμμον, ubi v. Tittm. Suidas διαμώμενος, θερίζων καὶ διαμώμενοι, διασκάπτοντες, ζητοῦντες. Θουκυδίδης διαμώμενοι—ὕδωρ, ubi omissum οἱ πλεῖστοι. Vide omnino Hemsterh. ad Hesych. v. διαμώμενοι, qui de imitatione nostri scriptoris apud Arrian. Exped. Alex. vi, 23. monuit, χαλεπῶς διαμωμένους τὸν κάχληκα, et apud Appian. p. 21. D. H. Steph. διαμώμενος τὴν ψάμ-

χωρία τε ἐν ὀλίγῳ στρατοπεδευομένοις ἐγίγνετο, καὶ τῶν νεῶν οὐκ ἐχουσῶν ὅρμον αἱ μὲν σῖτον ἐν τῇ γῇ ᾑροῦντο κατὰ μέρος, αἱ δὲ μετέωροι ὥρμουν. Ἀθυμίαν τε πλείστην ὁ χρόνος παρεῖχε παρὰ λόγον ἐπιγιγνόμενος, οὓς ᾤοντο ἡμερῶν ὀλίγων ἐκπολιορκήσειν, ἐν νήσῳ τε ἐρήμῃ καὶ ὕδατι ἁλμυρῷ χρωμένους. Αἴτιον δὲ ἦν οἱ Λακεδαιμόνιοι προειπόντες ἐς τὴν νῆσον ἐσάγειν σῖτόν τε τὸν βουλόμενον ἀληλεμένον καὶ οἶνον καὶ τυρὸν καὶ εἴ τι ἄλλο βρῶμα οἷον ἂν ἐς πολιορκίαν ξυμφέρῃ, τάξαντες ἀργυρίου πολλοῦ, καὶ τῶν Εἱλώτων τῷ ἐσαγαγόντι ἐλευθερίαν ὑπισχνούμενοι. Καὶ ἐσῆγον ἄλλοι τε παρακινδυνεύοντες καὶ μάλιστα οἱ Εἵλωτες, ἀπαίροντες ἀπὸ τῆς Πελοποννήσου ὁπόθεν τύχοιεν καὶ καταπλέοντες ἔτι νυκτὸς ἐς τὰ πρὸς τὸ πέλαγος τῆς νήσου. Μάλιστα δὲ ἐτήρουν ἀνέμῳ καταφέρεσθαι· ῥᾷον γὰρ τὴν φυλακὴν τῶν τριήρων ἐλάνθανον, ὁπότε πνεῦμα ἐκ πόντου εἴη· ἄπορον γὰρ ἐγίγνετο περιορμεῖν, τοῖς δὲ ἀφειδὴς ὁ κατάπλους καθεστήκει· ἐπώκελλον γὰρ τὰ πλοῖα τετιμημένα χρημάτων, καὶ οἱ ὁπλῖται περὶ τὰς κατάρσεις τῆς νήσου ἐφύλασσον. Ὅσοι δὲ γαλήνῃ κινδυνεύσειαν, ἡλίσκοντο. Ἐσένεον δὲ καὶ κατὰ τὸν λιμένα κολυμβηταὶ ὕφυδροι, καλῳδίῳ ἐν ἀσκοῖς ἐφέλκοντες μήκωνα μεμελιτωμένην καὶ λίνου σπέρμα κεκομμένον· ὧν τὸ πρῶτον λανθανόντων φυλακαὶ ὕστερον ἐγένοντο. Παντί

μον. Adde Gosselin. ad Strab. t. i. p. 424. Huc spectat etiam Etym. M. in κόχλος, scribens, καὶ Θουκυδίδης ἐν τῇ τετάρτῃ διὰ τοῦ α λέγει κάχλακας.

καὶ τῶν νεῶν—ὥρμουν] Suidas in σῖτος, qui omittit κατὰ μέρος. Eadem glossa extat apud Photium. Mox, verba οὓς ᾤοντο intellige quasi scripta sint pro ὅτι αὐτοὺς ᾤοντο.

νήσῳ—ἐρήμῃ] Thom. M. ἔρημος χώρα dicit esse Atticum, ἐρήμη χώρα poëticum. Sed Eustath. in Odyss. γ'. p. 1467. τὸ δὲ ἐρήμη οὐ μόνον ποιητικόν ἐστιν, ἀλλὰ καὶ ἄλλως Ἀττικόν· ὡς δηλοῖ καὶ ὁ γράψας τό· ἐρήμην αὐτὴν ἄνεμοι καταπνέουσιν. Et in Odyss. μ'. p. 1725. τὸ ἐρήμη σύνηθες τοῖς ῥήτορσιν, οἳ οὐ μόνον ἔρημον, ἀλλὰ καὶ ἐρήμην φασίν. Nimirum in formula δίκη ἐρήμη. Xenophon quoque et Lucianus habent ἐρήμη χώρα. V. Popp. Proleg. t. i. p. 101. ἐρήμῳ L. O. Q.

αἴτιον—Λακεδαιμόνιοι] Verbum prædicato accommodatum est, non subjecto. Conf. iii, 114. τὰ νῦν ἀνακείμενα ἐν τοῖς Ἀττικοῖς ἱεροῖς σκῦλα Δημοσθένει ἐξῃρέθησαν τριακόσιαι πανοπλίαι. iv, 102. τὸ χωρίον τοῦτο, ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο. viii, 9. αἴτιον δ' ἐγένετο οἱ πολλοὶ οὐκ εἰδότες. V. Matth. Gr. § 305. Dorv. ad Charit. p. 565.

ἀληλεμένον] A. F. K. ceteri ἀληλεσμένον. Citat verba σῖτόν τε—πολλοῦ, sed valde immutata Suidas in voce. Quem de more exscripsit Phavorinus. Mox, ξυμφέρῃ recte edidit Bekker. ex A. H. h. ξυμφέρον e. Vulgo et in S. ξυμφέροι.

ἐπώκελλον—χρημάτων] Suidas in τετιμημένα. Sic enim legit. Mox, idem verba ἐσένεον—κεκομμένον habet in ὕφυδρος.

μήκωνα] Memorat h. l. Eustath. ad Homer. Odyss. α'. p. 1390. Rom. Schol. apte ad hunc locum aduotavit: εἶδος βοτάνης ἡ μήκων, ἧς ὁ μὲν ὀπὸς θανάσιμος, ὡς λέγεται, τὸ δὲ σῶμα γλυκύτατον· δύναται δὲ πείνης ἀπαλλάττειν μιγνυμένη μέλιτι, et ad λίνου σπέρμα κεκομμένον dicit, τοῦτο δίψης ἀπαλλάττει· θεραπεύει γὰρ αὐτὴν πρὸς ὀλίγον τινὰ καιρόν· ὅθεν καὶ τοῖς πυρέττουσι προσάγεται παρὰ τῶν ἰατρῶν.

τε τρόπῳ ἑκάτεροι ἐτεχνῶντο, οἱ μὲν ἐσπέμπειν τὰ σιτία, οἱ δὲ μὴ λανθάνειν σφᾶς.

27. Ἐν δὲ ταῖς Ἀθήναις πυνθανόμενοι περὶ τῆς στρατιᾶς ὅτι ταλαιπωρεῖται καὶ σῖτος τοῖς ἐν τῇ νήσῳ ὅτι ἐσπλεῖ, ἠπόρουν καὶ ἐδεδοίκεσαν μὴ σφῶν χειμὼν τὴν φυλακὴν ἐπιλάβοι, ὁρῶντες τῶν τε ἐπιτηδείων τὴν περὶ τὴν Πελοπόννησον κομιδὴν ἀδύνατον ἐσομένην ἅμα ἐν χωρίῳ ἐρήμῳ καὶ οὐδ᾽ ἐν θέρει οἷοί τε ὄντες ἱκανὰ περιπέμπειν, τόν τε ἔφορμον χωρίων ἀλιμένων ὄντων οὐκ ἐσόμενον, ἀλλ᾽ ἢ σφῶν ἀνέντων τὴν φυλακὴν περιγενήσεσθαι τοὺς ἄνδρας ἢ τοῖς πλοίοις ἃ τὸν σῖτον αὐτοῖς ἦγε χειμῶνα τηρήσαντας ἐκπλεύσεσθαι. Πάντων δὲ ἐφοβοῦντο μάλιστα τοὺς Λακεδαιμονίους, ὅτι ἔχοντάς τι ἰσχυρὸν αὐτοὺς ἐνόμιζον οὐκέτι σφίσιν ἐπικηρυκεύεσθαι· καὶ μετεμέλοντο τὰς σπονδὰς οὐ δεξάμενοι. Κλέων δὲ γνοὺς αὐτῶν τὴν ἐς αὐτὸν ὑποψίαν περὶ τῆς κωλύμης τῆς ξυμβάσεως οὐ τἀληθῆ ἔφη λέγειν τοὺς ἐξαγγέλλοντας. Παραινούντων δὲ τῶν ἀφιγμένων, εἰ μὴ σφίσι πιστεύουσι, κατασκόπους τινὰς πέμψαι, ἡρέθη κατάσκοπος αὐτὸς μετὰ Θεογένους ὑπὸ Ἀθηναίων. Καὶ γνοὺς ὅτι ἀναγκασθήσεται ἢ ταὐτὰ λέγειν οἷς διέβαλλεν ἢ τἀναντία εἰπὼν ψευδὴς φανήσεσθαι, παρῄνει τοῖς Ἀθηναίοις, ὁρῶν αὐτοὺς καὶ ὡρμημένους τι τὸ πλέον τῇ γνώμῃ στρατεύειν, ὡς χρὴ κατασκόπους μὲν μὴ πέμπειν μηδὲ διαμέλλειν καιρὸν παριέντας, εἰ δὲ δοκεῖ αὐτοῖς ἀληθῆ εἶναι τὰ ἀγγελλόμενα, πλεῖν ἐπὶ τοὺς ἄνδρας. Καὶ ἐς Νικίαν τὸν Νικηράτου στρατηγὸν ὄντα ἀπεσήμαινεν, ἐχθρὸς ὢν καὶ ἐπιτιμῶν, ῥᾴδιον εἶναι παρασκευῇ, εἰ ἄνδρες εἶεν οἱ στρατηγοί, πλεύσαντας λαβεῖν τοὺς ἐν τῇ νήσῳ, καὶ αὐτός γ᾽ ἄν, εἰ ἦρχε, ποιῆσαι τοῦτο.

28. Ὁ δὲ Νικίας τῶν τε Ἀθηναίων τι ὑποθορυβησάντων

27. *ἐν χωρίῳ ἐρήμῳ*] Scribere debebat *ἐς χωρίον ἔρημον*. V. supra ad cap. 14. Mox, *ὄντες* pendet ex *ὁρῶντες*, quæ est nota structura verborum sentiendi, videndi, audiendi, et similium. V. Matth. Gr. § 548. et 549. et respondent inter se *ἅμα ἐν χωρίῳ ἐρήμῳ* et *καὶ οὐδ᾽ ἐν θέρει οἷοί τε ὄντες*, ut ex altera parte *τῶν τε ἐπιτηδείων—κομιδὴν* et *τόν τε ἔφορμον—οὐκ ἐσόμενον*. Memoriter Thom. M. p. 399. *τόν τε ἔφορμον οὐκ εἶχον χωρίων ἀλιμένων ὄντων*. V. Duker. ad vi, 48. 90.

ἐπικηρυκεύεσθαι] Quod Popp. Prol. t. i. p. 154. dicit infinitivum præsentis pro futuri infinitivo hunc esse, non intelligo cur opus sit sic accipere: etenim jam nunc non mittebant caduceatores pacis agitandæ causa. Zonaras: *ἐπικηρυκεύεσθαι, διὰ κήρυκος συνθήκας τινὰς ἢ πρεσβείας ποιεῖσθαι*, ubi v. Tittmann.

φανήσεσθαι] Scriptor a structura per *ὅτι* ad infinitivum transiit, nisi malis infinitivum cum *ἀναγκασθήσεται* conjungere. Vide ad i, 27. iii, 86. De nomine *Θεογένους* (aliquot codices *Θεαγένους*) vid. Lobeck. ad Phrynich. p. 653.

ἐς τὸν Κλέωνα, ὅτι οὐ καὶ νῦν πλεῖ, εἰ ῥᾴδιόν γε αὐτῷ φαίνεται, καὶ ἅμα ὁρῶν αὐτὸν ἐπιτιμῶντα, ἐκέλευεν ἥν τινα βούλεται δύναμιν λαβόντα τὸ ἐπὶ σφᾶς εἶναι ἐπιχειρεῖν. Ὁ δὲ τὸ μὲν πρῶτον οἰόμενος αὐτὸν λόγῳ μόνον ἀφιέναι ἑτοῖμος ἦν, γνοὺς δὲ τῷ ὄντι παραδωσείοντα ἀνεχώρει καὶ οὐκ ἔφη αὐτὸς ἀλλ᾽ ἐκεῖνον στρατηγεῖν, δεδιὼς ἤδη καὶ οὐκ ἂν οἰόμενός οἱ αὐτὸν τολμῆσαι ὑποχωρῆσαι· αὖθις δὲ ὁ Νικίας ἐκέλευε καὶ ἐξίστατο τῆς ἐπὶ Πύλῳ ἀρχῆς καὶ μάρτυρας τοὺς Ἀθηναίους ἐποιεῖτο. Οἱ δὲ, οἷον ὄχλος φιλεῖ ποιεῖν, ὅσῳ μᾶλλον ὁ Κλέων ὑπέφευγε τὸν πλοῦν καὶ ἐξανεχώρει τὰ εἰρημένα, τόσῳ ἐπεκελεύοντο τῷ Νικίᾳ παραδιδόναι τὴν ἀρχὴν καὶ ἐκείνῳ ἐπεβόων πλεῖν. Ὥστε οὐκ ἔχων ὅπως τῶν εἰρημένων ἔτι ἐξαπαλλαγῇ, ὑφίσταται τὸν πλοῦν, καὶ παρελθὼν οὔτε φοβεῖσθαι ἔφη Λακεδαιμονίους πλεύσεσθαί τε λαβὼν ἐκ μὲν τῆς πόλεως οὐδένα, Λημνίους δὲ καὶ Ἰμβρίους τοὺς παρόντας καὶ πελταστὰς οἳ ἦσαν ἔκ τε Αἴνου βεβοηθηκότες καὶ ἄλλοθεν τοξότας τετρακοσίους· ταῦτα δὲ ἔχων ἔφη πρὸς τοῖς ἐν Πύλῳ στρατιώταις ἐντὸς ἡμερῶν εἴκοσιν ἢ ἄξειν Λακεδαιμονίους ζῶντας ἢ αὐτοῦ ἀποκτενεῖν. Τοῖς δὲ Ἀθηναίοις ἐνέπεσε μέν τι καὶ γέλωτος τῇ κουφολογίᾳ αὐτοῦ, ἀσμένοις δ᾽ ὅμως ἐγίγνετο τοῖς σώφροσι τῶν ἀνθρώπων, λογιζομένοις δυοῖν ἀγαθοῖν τοῦ ἑτέρου τεύξεσθαι, ἢ Κλέωνος ἀπαλλαγήσεσθαι, ὃ μᾶλλον ἤλπιζον, ἢ σφαλεῖσι γνώμης Λακεδαιμονίους σφίσι χειρώσασθαι.

29. Καὶ πάντα διαπραξάμενος ἐν τῇ ἐκκλησίᾳ, καὶ ψηφισαμένων Ἀθηναίων αὐτῷ τὸν πλοῦν, τῶν τε ἐν Πύλῳ στρατηγῶν ἕνα προσελόμενος Δημοσθένην, τὴν ἀγωγὴν διὰ τάχους ἐποιεῖτο. Τὸν δὲ Δημοσθένην προσέλαβε πυνθανόμενος τὴν ἀπόβασιν αὐτὸν ἐς τὴν νῆσον διανοεῖσθαι. Οἱ γὰρ στρατιῶται κακοπαθοῦντες τοῦ χωρίου τῇ ἀπορίᾳ καὶ

28. *πλέει*] V. Popp. ad Lucian. D. D. p. 34. Mox, de formula *τὸ ἐπὶ σφᾶς εἶναι* v. Matth. Gr. § 283.

ἐξανεχώρει τὰ εἰρημένα] Thom. M. p. 320. explicat per *ἐκφέρομαι* et *παραβαίνειν*, adscriptis his verbis. Eadem Phavorinus in v. Melius scholiastes, *ἀνεδύετο ποιεῖν ἅπερ ὑπέσχετο, ἀπέφευγεν*. Verba *ταῦτα δὲ—ἀποκτενεῖν* habet Thom. M. p. 166. Conf. schol. Arist. Equit. 55.

ἐξαπαλλαγῇ] Post *οὐκ ἔχων ὅπως* solennius est futurum. Conjunctivus tamen legitur etiam ii, 52. v, 65. Ita etiam post *εἴτε* legitur *ἔλθωσι* vii, 1. quem modum aliquot codices exhibent etiam in simili loco, ii, 4. fin. V. Popp. Proleg. t. i. p. 137.

29. *ἀγωγὴν*] Bekker. dedit ex A. B. F. H. pro vulgata *ἀναγωγὴν*, coll. vi, 29.

μᾶλλον πολιορκούμενοι ἢ πολιορκοῦντες ὥρμηντο διακινδυνεῦσαι. Καὶ αὐτῷ ἔτι ῥώμην καὶ ἡ νῆσος ἐμπρησθεῖσα παρέσχε. Πρότερον μὲν γὰρ αὐτῆς οὔσης ὑλώδους ἐπὶ τὸ πολὺ καὶ ἀτριβοῦς διὰ τὴν ἀεὶ ἐρημίαν, ἐφοβεῖτο, καὶ πρὸς τῶν πολεμίων τοῦτο ἐνόμιζε μᾶλλον εἶναι· πολλῷ γὰρ ἂν στρατοπέδῳ ἀποβάντι ἐξ ἀφανοῦς χωρίου προσβάλλοντας αὐτοὺς βλάπτειν. Σφίσι μὲν γὰρ τὰς ἐκείνων ἁμαρτίας καὶ παρασκευὴν ὑπὸ τῆς ὕλης οὐκ ἂν ὁμοίως δῆλα εἶναι, τοῦ δὲ αὐτῶν στρατοπέδου καταφανῆ ἂν εἶναι πάντα τὰ ἁμαρτήματα, ὥστε προσπίπτειν ἂν αὐτοὺς ἀπροσδοκήτως ᾗ βούλοιντο· ἐπ᾽ ἐκείνοις γὰρ ἂν εἶναι τὴν ἐπιχείρησιν. Εἰ δ᾽ αὖ ἐς δασὺ χωρίον βιάζοιτο ὁμόσε ἰέναι, τοὺς ἐλάσσους ἐμπείρους δὲ τῆς χώρας κρείττους ἐνόμιζε τῶν πλεόνων ἀπείρων· λανθάνειν τε ἂν τὸ ἑαυτῶν στρατόπεδον πολὺ ὂν διαφθειρόμενον, οὐκ οὔσης τῆς προσόψεως, ᾗ χρῆν ἀλλήλοις ἐπιβοηθεῖν.

30. Ἀπὸ δὲ τοῦ Αἰτωλικοῦ πάθους, ὃ διὰ τὴν ὕλην μέρος τι ἐγένετο, οὐχ ἥκιστα αὐτὸν ταῦτα ἐσῄει. Τῶν δὲ στρατιωτῶν ἀναγκασθέντων διὰ τὴν στενοχωρίαν, τῆς νήσου τοῖς ἐσχάτοις προσίσχοντας ἀριστοποιεῖσθαι διὰ προφυλακῆς, καὶ ἐμπρήσαντός τινος κατὰ μικρὸν τῆς ὕλης ἄκοντος καὶ ἀπὸ τούτου πνεύματος ἐπιγενομένου τὸ πολὺ αὐτῆς ἔλαθε κατακαυθέν. Οὕτω δὴ τούς τε Λακεδαιμονίους μᾶλλον κατιδὼν πλείους ὄντας, ὑπονοῶν πρότερον ἐλάσσοσι τὸν σῖτον αὐτοῦ ἐσπέμπειν, τότε δὲ ὡς ἐπ᾽ ἀξιόχρεων τοὺς Ἀθηναίους μᾶλλον σπουδὴν ποιεῖσθαι, τήν τε νῆσον εὐαποβατωτέραν οὖσαν, τὴν ἐπιχείρησιν παρεσκευάζετο στρατιάν τε μεταπέμπων ἐκ τῶν ἐγ-

ὥρμηντο διακινδυνεῦσαι] Thom. M. p. 164.

30. *διὰ τὴν στενοχωρίαν, τῆς νήσου*] Non significantur milites Peloponnesii, quia his non poterat in causa esse, ut ad litus prandium pararent, angustia insulæ. Vulgo enim comma post *στενοχωρίαν* omittunt: neque militibus in insula collocatis ad præsidium convenit verbum *προσίσχοντας*. Recte igitur scholiastes monuit, Atheniensium milites intelligendos esse. Sed ne his quidem angustia insulæ causa esse poterat, ut ad litus prandérent; quia quo angustior insula, eo propius a navibus aberant. Comma igitur cum Haackio ponendum est post *στενοχωρίαν*, et intelligenda est angustia spatii in quo naves stationem habebant. Quare supra cap. 26. scripsit, *στενοχωρία τε ἐν ὀλίγῳ στρατοπεδευομένοις ἐγίγνετο· καὶ τῶν νεῶν οὐκ ἐχουσῶν ὅρμον αἱ μὲν σῖτον ἐν τῇ γῇ ᾑροῦντο κατὰ μέρος, αἱ δὲ μετέωροι ὥρμουν.* Sic jam facile intelliguntur verba *διὰ προφυλακῆς*, quippe custodia passim collocata sibi a repentino Spartanorum impetu cavebant.

οὕτω δὴ—παρεσκευάζετο] Verba *τούς τε Λακεδαιμονίους κατιδὼν πλείους ὄντας, τήν τε νῆσον εὐαποβατωτέραν οὖσαν* conjungenda esse, infinitivum autem *ποιεῖσθαι*, ut paulo ante *ἐσπέμπειν*, ex *ὑπονοῶν* sive quod in eo inest *νομίζων* pendere, manifestum

γὺς ξυμμάχων καὶ τὰ ἄλλα ἑτοιμάζων. Κλέων δὲ ἐκείνῳ τε προπέμψας ἄγγελον ὡς ἥξων καὶ ἔχων στρατιὰν ἣν ἠτήσατο, ἀφικνεῖται ἐς Πύλον. Καὶ ἅμα γενόμενοι πέμπουσι πρῶτον ἐς τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον κήρυκα, προκαλούμενοι εἰ βούλοιντο ἄνευ κινδύνου τοὺς ἐν τῇ νήσῳ ἄνδρας σφίσι τά τε ὅπλα καὶ σφᾶς αὐτοὺς κελεύειν παραδοῦναι, ἐφ' ᾧ φυλακῇ τῇ μετρίᾳ τηρήσονται, ἕως ἄν τι περὶ τοῦ πλέονος ξυμβαθῇ.

31. Οὐ προσδεξαμένων δὲ αὐτῶν μίαν μὲν ἡμέραν ἐπέσχον, τῇ δ' ὑστεραίᾳ ἀνηγάγοντο μὲν νυκτὸς ἐπ' ὀλίγας ναῦς τοὺς ὁπλίτας πάντας ἐπιβιβάσαντες, πρὸ δὲ τῆς ἕω ὀλίγον ἀπέβαινον τῆς νήσου ἑκατέρωθεν, ἔκ τε τοῦ πελάγους καὶ πρὸ τοῦ λιμένος, ὀκτακόσιοι μάλιστα ὄντες ὁπλῖται, καὶ ἐχώρουν δρόμῳ ἐπὶ τὸ πρῶτον φυλακτήριον τῆς νήσου. Ὧδε γὰρ διετετάχατο. Ἐν ταύτῃ μὲν τῇ πρώτῃ φυλακῇ ὡς τριάκοντα ἦσαν ὁπλῖται, μέσον δὲ καὶ ὁμαλώτατόν τε καὶ περὶ τὸ ὕδωρ οἱ πλεῖστοι αὐτῶν καὶ Ἐπιτάδας ὁ ἄρχων εἶχε, μέρος δέ τι οὐ πολὺ αὐτὸ τὸ ἔσχατον ἐφύλασσε τῆς νήσου τὸ πρὸς τὴν Πύλον, ὃ ἦν ἔκ τε θαλάσσης ἀπόκρημνον καὶ ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον· καὶ γάρ τι καὶ ἔρυμα αὐτόθι ἦν παλαιὸν λίθων λογάδην πεποιημένον, ὃ ἐνόμιζον σφίσιν ὠφέλιμον ἂν εἶναι, εἰ καταλαμβάνοι ἀναχώρησις βιαιοτέρα.

32. Οὕτω μὲν τεταγμένοι ἦσαν. Οἱ δὲ Ἀθηναῖοι τοὺς μὲν πρώτους φύλακας, οἷς ἐπέδραμον, εὐθὺς διαφθείρουσιν, ἔν τε ταῖς εὐναῖς ἔτι ἀναλαμβάνοντας τὰ ὅπλα καὶ λαθόντες

est: quapropter cum Poppone, Obs. p. 231. scribendum *τότε δὲ*, nam vulgo *δὲ* omittunt. *Αὐτοῦ*, Poppo ait, si pro *αὐτόσε* poni posse neges, atque subjectum desideres, quod non videtur commode abesse posse, probaverim Baueri conjecturam, *αὐτοὺς ἐσπέμπειν*. Nam lenior quidem nonnullis videatur medela, si restitueris *αὐτοὺς πέμπειν*, sed compositum *ἐσπέμπειν* satis confirmatur c. 16. et 26.

31. *μέσον*] Quia adjectivum pro substantivo positum est, desideres articulum. Sed etiam similibus in locis, ii, 81. *καὶ τὸ μέσον μὲν ἔχοντες*, iv, 96. *μέχρι τοῦ μέσου*, ubi editiones articulum addunt, codices eum proscribunt. Sic etiam ante *δεξιὸν κέρας* deest, vi, 67. V. Popp. Proleg. t. i. p. 195. Sed paulo post vulgo ante *ἔσχατον* omittunt articulum, codices A. B. F. H. K. L. N. O. P. d. e. f. g. h. i. addunt. Bekker. præfert *τοὔσχατον*, coll. iii, 36. Verba *ἐκ—ἐπίμαχον* habet Thom. M. p. 350. Sic mox cap. 35. et supr. cap. 4.

εἰ καταλαμβάνοι] Verbum in malam partem usurpant Græci de periculis et casibus qui inopinati repentino impetu superveniunt. V. Hemsterh. ad Lucian. Somn. t. i. p. 192. Quare hic legendum *βιαιοτέρα* ex B. F. H. I. L. N. O. Q. e. h. i. et correcto A. pro vulgata *βεβαιοτέρα*. Paulo ante, quæ leguntur verba, *τῇ πρώτῃ φυλακῇ*, ita interpretatur Scholiastes, *πρώτην φυλακήν φησιν αὐτοὺς τοὺς φύλακας·* (nam alibi hæc verba significant 'primam vigiliam:') *ἐπιφέρει γὰρ ὅτι τρία τάγματα ἦν Λακεδαιμονίων τὰ φυλάττοντα τὴν νῆσον, ἓν μὲν ἐν τῷ ἄκρῳ τῆς νήσου τῷ πρὸς τὸ πέλαγος, ἕτερον δὲ ἐν τῷ ἄκρῳ τῷ πρὸς τὸν λιμένα, ἕτερον δὲ ἐν τῷ μέσῳ τῆς νήσου, ὅπου τὸ ὕδωρ. Πρώτην οὖν φυλακὴν λέγει τὴν πρὸς τὸ πέλαγος.*

τὴν ἀπόβασιν, οἰομένων αὐτῶν τὰς ναῦς κατὰ τὸ ἔθος εἰς ἔφορμον τῆς νυκτὸς πλεῖν. Ἅμα δὲ ἕῳ γιγνομένῃ καὶ ὁ ἄλλος στρατὸς ἀπέβαινον, ἐκ μὲν νεῶν ἑβδομήκοντα καὶ ὀλίγῳ πλειόνων πάντες πλὴν θαλαμίων ὡς ἕκαστοι ἐσκευασμένοι, τοξόται τε ὀκτακόσιοι καὶ πελτασταὶ οὐκ ἐλάσσους τούτων, Μεσσηνίων τε οἱ βεβοηθηκότες καὶ ἄλλοι ὅσοι περὶ Πύλον κατεῖχον πάντες πλὴν τῶν ἐπὶ τοῦ τείχους φυλάκων. Δημοσθένους δὲ τάξαντος διέστησαν κατὰ διακοσίους τε καὶ πλείους, ἔστι δ' ᾗ ἐλάσσους, τῶν χωρίων τὰ μετεωρότατα λαβόντες, ὅπως ὅτι πλείστη ἀπορία ᾖ τοῖς πολεμίοις πανταχόθεν κεκυκλωμένοις, καὶ μὴ ἔχωσι πρὸς ὅ,τι ἀντιτάξωνται, ἀλλ' ἀμφίβολοι γίγνωνται τῷ πλήθει, εἰ μὲν τοῖς πρόσθεν ἐπίοιεν, ὑπὸ τῶν κατόπιν βαλλόμενοι, εἰ δὲ τοῖς πλαγίοις, ὑπὸ τῶν ἑκατέρωθεν παρατεταγμένων. Κατὰ νώτου τε ἀεὶ ἔμελλον αὐτοῖς ᾗ χωρήσειαν οἱ πολέμιοι ἔσεσθαι ψιλοὶ καὶ οἱ ἀπορώτατοι τοξεύμασι καὶ ἀκοντίοις καὶ λίθοις καὶ σφενδόναις ἐκ πολλοῦ ἔχοντες ἀλκήν. Οἷς μηδὲ ἐπελθεῖν οἷόν τε ἦν· φεύγοντές τε γὰρ ἐκράτουν καὶ ἀναχωροῦσιν ἐπέκειντο. Τοιαύτῃ μὲν γνώμῃ ὁ Δημοσθένης τότε πρῶτον τὴν ἀπόβασιν ἐπενόει καὶ ἐν τῷ ἔργῳ ἔταξεν.

33. Οἱ δὲ περὶ τὸν Ἐπιτάδαν καὶ ὅπερ ἦν πλεῖστον τῶν ἐν τῇ νήσῳ ὡς εἶδον τό τε πρῶτον φυλακτήριον διεφθαρμένον καὶ στρατὸν σφίσιν ἐπιόντα, ξυνετάξαντο καὶ τοῖς ὁπλίταις τῶν Ἀθηναίων ἐπῆεσαν, βουλόμενοι ἐς χεῖρας ἐλθεῖν· ἐξ ἐναντίας γὰρ οὗτοι καθεστήκεσαν, ἐκ πλαγίου δὲ οἱ ψιλοὶ

32. ἅμα—ἕῳ] Huc spectant verba Thomæ M. p. 402. ἕως, οὐκ ἠώς. Θουκυδίδης, ἅμα ἕῳ.

θαλαμίων] "Thalamii infimus remigum ordo, medius Zygitæ, superior vero Thranitæ. Vide Palmerium in Gr. Auct. p. 176. et Schefferum de Milit. Naval. ii, 2." Hudson. Addit Duker.: "item Meibonium in libello de Fabrica Triremium, et qui eum confutavit, Oppelium, i. e. Schefferum. Quod in Suida v. θαλαμακεῖς legitur, ἡ δὲ ἄνω θρανῖται· ἡ θρανίτης ὁ πρὸς τῇ πρώρᾳ, vel corruptum, vel negligenter e scholiaste Aristophanis ad Ran. 1106. descriptum est: nam hic ita scribit, ἡ δὲ ἄνω θρανῖται· θρανίτης οὖν, ὁ πρὸς τὴν πρύμναν· ζυγίτης, ὁ μέσος· θαλαμίτης, ὁ πρὸς πρώραν. Et sic ipse Suidas deinde in Θρανίτης." Duker. Vid. Boëckh. Staats. d. Ath. t. i. p. 302.

ἀμφίβολοι] Schol. ἑκατέρωθεν βαλλόμενοι. Hesych. ἀμφίβολοι, ἑκατέρωθεν παραβαλλόμενοι, ὡς Θουκυδίδης.

οἱ ἀπορώτατοι] Schol. οἱ μὲν ἐξηγήσαντο, οἱ ἄποροι ὅπλων καὶ τοξεύμασι μόνοις χρώμενοι· οἱ δὲ λέγουσιν, οἱ εἰς ἀπορίαν καθιστάντες τοὺς ἀντιτεταγμένους τοῖς τοξεύμασιν· ὃ καὶ βέλτιον· καὶ γὰρ καὶ Ὅμηρος ἐχρήσατο τῇ τοιαύτῃ λέξει, χλωρὸν εἰπὼν δέος (Il. vii, 479.) οὐκ αὐτὸ ἔχον τὴν χλωρότητα, ἀλλ' ἑτέροις αὐτὴν ἐμποιοῦν· καὶ τὸν Διόνυσόν φασι μαινόμενον, οὐχ ὅτι αὐτὸς μαίνεται, ἀλλ' ὅτι ποιεῖ μαίνεσθαι. Heilm. addit, ut πρᾶγμα ἄπορον rem significat quæ angit hominem; ita ἄποροι στρατιῶται sunt milites qui adversarios angunt.

καὶ κατὰ νώτου. Τοῖς μὲν οὖν ὁπλίταις οὐκ ἠδυνήθησαν προσμῖξαι, οὐδὲ τῇ σφετέρᾳ ἐμπειρίᾳ χρήσασθαι. Οἱ γὰρ ψιλοὶ ἑκατέρωθεν βάλλοντες εἶργον, καὶ ἅμα ἐκεῖνοι οὐκ ἀντεπῄεσαν ἀλλ' ἡσύχαζον· τοὺς δὲ ψιλοὺς ᾗ μάλιστα αὐτοῖς προσθέοντες προσκέοιντο ἔτρεπον, καὶ οἱ ὑποστρέφοντες ἠμύνοντο, ἄνθρωποι κούφως τε ἐσκευασμένοι καὶ προλαμβάνοντες ῥᾳδίως τῆς φυγῆς, χωρίων τε χαλεπότητι καὶ ὑπὸ τῆς πρὶν ἐρημίας τραχέων ὄντων, ἐν οἷς οἱ Λακεδαιμόνιοι οὐκ ἠδύναντο διώκειν, ὅπλα ἔχοντες.

34. Χρόνον μὲν οὖν τινα ὀλίγον οὕτω πρὸς ἀλλήλους ἠκροβολίσαντο· τῶν δὲ Λακεδαιμονίων οὐκέτι ὀξέως ἐπεκθεῖν ᾗ προσπίπτοιεν δυναμένων, γνόντες αὐτοὺς οἱ ψιλοὶ βραδυτέρους ἤδη ὄντας τῷ ἀμύνασθαι, καὶ αὐτοὶ τῇ τε ὄψει τοῦ θαρσεῖν τὸ πλεῖστον εἰληφότες πολλαπλάσιοι φαινόμενοι, καὶ ξυνειθισμένοι μᾶλλον μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως σφίσι φαίνεσθαι, ὅτι οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν, ὥσπερ ὅτε πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι ὡς ἐπὶ Λακεδαιμονίους, καταφρονήσαντες καὶ ἐμβοήσαντες ἀθρόοι ὥρμησαν ἐπ' αὐτούς, καὶ ἔβαλλον λίθοις τε καὶ τοξεύμασι καὶ ἀκοντίοις, ὡς ἕκαστός τι πρόχειρον εἶχε. Γενομένης δὲ τῆς βοῆς ἅμα τῇ ἐπιδρομῇ ἔκπληξίς τε ἐνέπεσεν ἀνθρώποις ἀήθεσι τοιαύτης μάχης καὶ ὁ κονιορτὸς τῆς ὕλης νεωστὶ κεκαυμένης ἐχώρει πολὺς ἄνω, ἄπορόν τε ἦν ἰδεῖν τὸ πρὸ

34. βραδύτερον] Phavorin. in βράδιον ex Phrynicho p. 101. Lobeck. βράδιον, καὶ τοῦτο Ἡσίοδος μὲν λέγει, βράδιον δὲ Πανελλήνεσσι φαείνει. Πλάτων δὲ καὶ Θουκυδίδης, καὶ οἱ δόκιμοι βραδύτερον, ubi vide interpretem.

τῇ τε ὄψει] ut vi, 31. τῇ ὄψει ἀνεθάρσουν. vi, 49. τῇ γνώμῃ ἀναθαρσοῦντας ἀνθρώπους καὶ τῇ ὄψει, καταφρονεῖν μᾶλλον. Mox, ad verba ὡς ἐπὶ Λακεδαιμονίους supple ἀποβαίνοντες.

δεδουλωμένοι—ἐπ' αὐτοὺς] Dionys. p. 873. Krueger. p. 136. confert Platon. Menexen. p. 240. αἱ γνῶμαι δεδουλωμέναι ἁπάντων ἀνθρώπων ἦσαν. Legg. viii. p. 839. c. φαμὲν καθιερωθὲν τοῦτο ἱκανῶς τὸ νόμιμον πᾶσαν ψυχὴν δουλώσεσθαι καὶ παντάπασι μετὰ φόβου ποιήσειν πείθεσθαι τοῖς τεθεῖσι νόμοις. Scholiastes: ὡς ἂν εἰ ἔλεγε, τεταπεινωμένοι φόβῳ, ἕνεκα τῆς ὑπολήψεως τῶν Λακεδαιμονίων, ἣς εἶχον περὶ αὐτῶν, ὡς ὅτι σφόδρα εἰσὶ πεζομάχοι καὶ πολεμικοί. Observat Kuhn. ad Ælian. V. H. ii, 14. imitari hoc Arrianum Exped. Alex. ii, 10. καὶ ταύτῃ εὐθὺς δῆλος ἐγένετο Darius τοῖς ἀμφ' Ἀλέξανδρον τῇ γνώμῃ δεδουλωμένος. Dicit Dionysius, collocationem membrorum hujus periodi contortam facere orationem, et ostendit quo ordine ex sententia sua collocari debuissent, ut clarior et suavior fieret oratio. Ἀγκυλωτέρα μὲν οὖν, ait, ἡ φράσις οὕτω σχηματισθεῖσα γέγονε καὶ δεινοτέρα, σαφεστέρα δὲ καὶ ἡδίων ἐκείνως ἂν κατασκευασθεῖσα· "τῶν δὲ Λακεδαιμονίων οὐκέτι ἀπελθεῖν ἢ προσπίπτειν δυναμένων, γνόντες αὐτοὺς οἱ ψιλοὶ βραδυτέρους ἤδη, συστραφέντες καὶ ἐμβοήσαντες ὥρμησαν ἐπ' αὐτοὺς ἀθρόοι, ἔκ τε τῆς ὄψεως τὸ θαῤῥεῖν προειληφότες, ὅτι πολλαπλάσιοι ἦσαν, καὶ ἐκ τοῦ μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως σφίσι φαίνεσθαι καταφρονήσαντες, ἐπειδὴ οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν, ἣν ἔσχον ὑπόληψιν, ὅτε πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι, ὡς ἐπὶ Λακεδαιμονίους, ubi Dukerus suspicatur legendum esse ἐπελθεῖν ἢ προσπίπτειν, at Krueger. emendat ἐπελθεῖν ᾗ προσπίπτοιεν.

αὐτοῦ ὑπὸ τῶν τοξευμάτων καὶ λίθων ἀπὸ πολλῶν ἀνθρώπων μετὰ τοῦ κονιορτοῦ ἅμα φερομένων. Τό τε ἔργον ἐνταῦθα χαλεπὸν τοῖς Λακεδαιμονίοις καθίστατο. Οὔτε γὰρ οἱ πῖλοι ἔστεγον τὰ τοξεύματα, δοράτιά τε ἐναποκέκλαστο βαλλομένων, εἶχόν τε οὐδὲν σφίσιν αὐτοῖς χρήσασθαι ἀποκεκλημένοι μὲν τῇ ὄψει τοῦ προορᾶν, ὑπὸ δὲ τῆς μείζονος βοῆς τῶν πολεμίων τὰ ἐν αὐτοῖς παραγγελλόμενα οὐκ ἐσακούοντες, κινδύνου τε πανταχόθεν περιεστῶτος καὶ οὐκ ἔχοντες ἐλπίδα καθ' ὅτι χρὴ ἀμυνομένους σωθῆναι.

35. Τέλος δὲ τραυματιζομένων ἤδη πολλῶν διὰ τὸ ἀεὶ ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι, ξυγκλήσαντες ἐχώρησαν ἐς τὸ ἔσχατον ἔρυμα τῆς νήσου, ὃ οὐ πολὺ ἀπεῖχε, καὶ τοὺς ἑαυτῶν φύλακας. Ὡς δὲ ἐνέδοσαν, ἐνταῦθα ἤδη πολλῷ ἔτι πλέονι βοῇ τεθαρσηκότες οἱ ψιλοὶ ἐπέκειντο, καὶ τῶν Λακεδαιμονίων ὅσοι μὲν ὑποχωροῦντες ἐγκατελαμβάνοντο, ἀπέθνησκον, οἱ δὲ πολλοὶ διαφυγόντες ἐς τὸ ἔρυμα μετὰ τῶν ταύτῃ φυλάκων ἐτάξαντο παρὰ πᾶν ὡς ἀμυνούμενοι ἧπερ ἦν ἐπίμαχον. Καὶ οἱ Ἀθηναῖοι ἐπισπόμενοι περίοδον μὲν αὐτῶν καὶ κύκλωσιν χωρίου ἰσχύϊ οὐκ εἶχον, προσιόντες δὲ ἐξ ἐναντίας ὤσασθαι ἐπειρῶντο, καὶ χρόνον μὲν πολὺν καὶ τῆς

οἱ πῖλοι] Schol. *πῖλοί εἰσι τὰ ἐξ ἐρίου πηκτὰ ἐνδύματα, ὥσπερ θωράκιά τινα ὑπὸ τὰ στήθη, ἃ ἐνδυόμεθα· οἱ δὲ τὰ ἐπικείμενα ταῖς περικεφαλαίαις.* Cum hoc altero scholio Bauerus et Haack. *πίλους* intelligunt 'galeas.' Conf. Schneider. Vocab. Gr. s. v. At recte monet Levesq. *πίλους* hoc loco non esse 'pileos;' mirum enim fuisse, si Thucydides sola capitis tegumenta observaverit. Sequitur igitur prius scholion, *ἃ ὑπὸ στήθη ἐνδυόμεθα*, atque Thucydidis verba reddit, 'their felt cuirasses,' coll. Polluce, Onom. vii, 11. Primam vocis *πῖλος* notionem fuisse monet 'villum,' 'felt;' ex villis factos esse pileos; sandalia iis esse munita; tentoria tecta.—In verbis scholiastæ nihil est emendandum. Verbis *τὰ στήθη* significat loricam, verbo *θωράκια* alteram subter illam indutam, quo et tela arcerentur et externa lorica ænea levius insisteret, minus membra militis urens. Mox, ad *βαλλομένων* supple *αὐτῶν*, et intellige *Λακεδαιμονίων*.

τῇ ὄψει] i. e. *τῆς ὄψεως τῇ κωλύσει*: nam non raro res ipsa pro defectu rei ponitur. Vid. Heyn. ad Hom. Il. t. vi. p. 25. Schæfer. ad Sophocl. t. i. p. 234. Herm. ad Soph. Ajac. 659. Lobeck. ibid. v. 705. Jacobs. ad Liv. p. 389. Hæc observatio adhibenda est Ciceroni de N. D. ii, 19. 'primusque sol, qui astrorum obtinet principatum, ita movetur, ut quum terras larga luce compleverit, easdem modo his modo illis partibus opacet.' Cui loco simillimus est Horatianus Od. iii, 6, 45. 'portare fustes, sol ubi montium mutaret umbras et juga demeret bobus fatigatis, amicum tempus agens abeunte curru.' Virgil. Georg. iv, 484. 'atque Ixionii vento rota constitit orbis.' Sic apud Horatium intelligenda verba, 'somno fatigatum meroque.' Hinc etiam sanus putandus est locus Livii multum vexatus, xxxiii, 7. 'deinde postquam nuntii instabant, et jam juga montium detexerat nebula, et in conspectu erant Macedones,' etc. Nempe 'nebula detexerat' cessando. Horatianum ex Homer. Il. κ'. 98. petitum est, *καμάτῳ ἀδδηκότες ἠδὲ καὶ ὕπνῳ.* V. Huschk. ad Tibull. i, 7, 40.

35. *ξυγκλήσαντες*] 'conglobati.' V. Popp. Prol. t. i. p. 186. Mox, ad *τοὺς ἑαυτῶν φύλακας* supple *πρὸς*, quæ præpositio repetenda ex prægressa *ἐς*.

πλέονι βοῇ] A. F. H. I. K. L. N. O. S. c. e. f. g. i. Vulgo *πλέον*. Mox, *ἐπισπόμενοι* A. B. F. H. S. Vulgo *ἐπιστάμενοι*. Verba *ὤσασθαι ἐπειρῶντο* habet Thom. M. p. 164. Vide de hoc verbo et proxime sequente Poppon. l. l. p. 188.

ἡμέρας τὸ πλεῖστον ταλαιπωρούμενοι ἀμφότεροι ὑπό τε τῆς μάχης καὶ δίψους καὶ ἡλίου ἀντεῖχον, πειρώμενοι οἱ μὲν ἐξελάσασθαι ἐκ τοῦ μετεώρου, οἱ δὲ μὴ ἐνδοῦναι, ῥᾷον δ' οἱ Λακεδαιμόνιοι ἠμύναντο ἢ ἐν τῷ πρὶν, οὐκ οὔσης σφῶν τῆς κυκλώσεως ἐς τὰ πλάγια.

36. Ἐπειδὴ δὲ ἀπέραντον ἦν, προσελθὼν ὁ τῶν Μεσσηνίων στρατηγὸς Κλέωνι καὶ Δημοσθένει ἄλλως ἔφη πονεῖν σφᾶς. Εἰ δὲ βούλονται ἑαυτῷ δοῦναι τῶν τοξοτῶν μέρος τι καὶ τῶν ψιλῶν περιϊέναι κατὰ νώτου αὐτοῖς ὁδῷ ᾗ ἂν αὐτὸς εὕρῃ, δοκεῖν βιάσασθαι τὴν ἔφοδον. Λαβὼν δὲ ἃ ᾐτήσατο, ἐκ τοῦ ἀφανοῦς ὁρμήσας ὥστε μὴ ἰδεῖν ἐκείνους, κατὰ τὸ αἰεὶ παρεῖκον τοῦ κρημνώδους τῆς νήσου προβαίνων καὶ ᾗ οἱ Λακεδαιμόνιοι χωρίου ἰσχύϊ πιστεύσαντες οὐκ ἐφύλασσον χαλεπῶς τε καὶ μόλις περιελθὼν ἔλαθε, καὶ ἐπὶ τοῦ μετεώρου ἐξαπίνης ἀναφανεὶς κατὰ νώτου αὐτῶν τοὺς μὲν τῷ ἀδοκήτῳ ἐξέπληξε, τοὺς δὲ ἃ προσεδέχοντο ἰδόντας πολλῷ μᾶλλον ἐπέῤῥωσε. Καὶ οἱ Λακεδαιμόνιοι βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι, ὡς μικρὸν μεγάλῳ εἰκάσαι, τῷ ἐν Θερμοπύλαις, ἐκεῖνοί τε γὰρ τῇ ἀτραπῷ περιελθόντων τῶν Περσῶν διεφθάρησαν, οὗτοί τε ἀμφίβολοι ἤδη ὄντες οὐκέτι ἀντεῖχον, ἀλλὰ πολλοῖς τε

36. ἄλλως] Schol. ματαίως. Schol. Venet. ad Homer. Il. ψ. 144. καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἀντὶ τοῦ μάτην ἐχρῶντο οἱ Ἀττικοὶ τῷ ἄλλως· καὶ παρὰ Θουκυδίδῃ συνεχῶς ἐστιν αὐτὸ εὑρεῖν κείμενον, ex Etym. M. p. 68, 44. V. Ruhnken. ad Timæ. p. 198.

κατὰ τὸ ἀεὶ παρεῖκον] F. H. I. L. N. O. P. S. b. i. et correctus A. Vulgo παρῆκον. Dixi de hoc loco ad i, 2. init. Vulgata hunc sensum habet, 'per continentem tractum præruptarum rupium:' nam Græci regiones, montes, et alia dicunt ἀνήκειν, διήκειν, καθήκειν et παρήκειν, quod Latini, 'porrigi,' 'pertinere,' 'pertingere.' V. Duker. ad h. l. Atqui si continens tractus fuisset rupium, dux Messeniorum non potuisset in editiora eniti; jam vero enitebatur, prout præruptum insulæ litus aliquem aditum dabat, i. e. κατὰ τὸ ἀεὶ παρεῖκον. Conf. Heilm. Abresch. Misc. Obs. vol. iii. p. 305. Mox, dedi προβαίνων ex B. d. g. pro vulgata προσβαίνων.

καὶ οἱ Λακεδαιμόνιοι—ὑπεχώρουν] Structura horum verborum similis est verbis iii, 34. ὁ δὲ προκαλεσάμενος—ἐν φυλακῇ ἀδέσμῳ εἶχε, ubi v. conf. infra ad iv, 80. Scriptor initio dicere voluit οἱ Λακεδαιμόνιοι γενόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι τοῖς ἐν Θερμοπύλαις περιελθόντων τῶν Περσῶν διαφθαρεῖσιν, οὐκέτι ἀντεῖχον. Sic vulgata hujus loci distinctio comparatione aliorum locorum admodum similium satis defenditur, a qua Krueger. ad Dionys. p. 269. abiit, ita locum constituens: οἱ Λακεδαιμόνιοι βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι, ὡς μικρὸν μεγάλῳ εἰκάσαι, τῷ ἐν Θερμοπύλαις, ἐκεῖνοί τε γὰρ, τῇ ἀτραπῷ περιελθόντων τῶν Περσῶν, διεφθάρησαν, οὗτοί τε· (sc. περιελθόντων τῶν Ἀθηναίων διεφθάρησαν. Sed ex ratione linguæ nihil hic repeti posset nisi διεφθάρησαν, quod non sufficit) ἀμφίβολοι ἤδη ὄντες οὐκέτι ἀντεῖχον. Igitur postquam dictum est διεφθάρησαν οἱ Λακεδαιμόνιοι, jam sequitur hoc tantum leviusculum, si cum illo compares, οὐκέτι ἀντεῖχον. Ceterum confert Eurip. Iphig. T. 1333. κεῖνοί τε γὰρ σίδηρον οὐκ εἶχον χεροῖν, ἡμεῖς τε, et Thuc. v, 17. extr. οἱ Λακεδαιμόνιοι—ποιοῦνται τὴν ξύμβασιν καὶ ἐσπείσαντο πρὸς τοὺς Ἀθηναίους καὶ ὤμοσαν, ἐκεῖνοί τε πρὸς τοὺς Ἀθηναίους τάδε. Qui loci nihil probant. De formula ὡς εἰκάσαι v. Herm. ad Viger. p. 744. De vocabulo ἀμφίβολοι v. paulo superius.

ὀλίγοι μαχόμενοι καὶ ἀσθενείᾳ σωμάτων διὰ τὴν σιτοδείαν ὑπεχώρουν· καὶ οἱ Ἀθηναῖοι ἐκράτουν ἤδη τῶν ἐφόδων.

37. Γνοὺς δὲ ὁ Κλέων καὶ ὁ Δημοσθένης ὅτι εἰ καὶ ὁποσονοῦν μᾶλλον ἐνδώσουσι, διαφθαρησομένους αὐτοὺς ὑπὸ τῆς σφετέρας στρατιᾶς, ἔπαυσαν τὴν μάχην καὶ τοὺς ἑαυτῶν ἀπεῖρξαν, βουλόμενοι ἀγαγεῖν αὐτοὺς Ἀθηναίοις ζῶντας, εἴ πως τοῦ κηρύγματος ἀκούσαντες ἐπικλασθεῖεν τῇ γνώμῃ τὰ ὅπλα παραδοῦναι καὶ ἡσσηθεῖεν τοῦ παρόντος δεινοῦ. Ἐκήρυξάν τε εἰ βούλοιντο τὰ ὅπλα παραδοῦναι καὶ σφᾶς αὐτοὺς Ἀθηναίοις ὥστε βουλεῦσαι ὅ,τι ἂν ἐκείνοις δοκῇ.

38. Οἱ δὲ ἀκούσαντες παρῆκαν τὰς ἀσπίδας οἱ πλεῖστοι καὶ τὰς χεῖρας ἀνέσεισαν δηλοῦντες προσίεσθαι τὰ κεκηρυγμένα. Μετὰ δὲ ταῦτα γενομένης τῆς ἀνακωχῆς ξυνῆλθον ἐς λόγους ὅ τε Κλέων καὶ ὁ Δημοσθένης καὶ ἐκείνων Στύφων ὁ Φάρακος τῶν πρότερον ἀρχόντων τοῦ μὲν πρώτου τεθνηκότος Ἐπιτάδου, τοῦ δὲ μετ᾽ αὐτὸν Ἱππαγρέτου ἐφῃρημένου ἐν τοῖς νεκροῖς ἔτι ζῶντος κειμένου ὡς τεθνεῶτος, αὐτὸς τρίτος ἐφῃρημένος ἄρχειν κατὰ νόμον, εἴ τι ἐκεῖνοι πάσχοιεν. Ἔλεγε δὲ ὁ Στύφων καὶ οἱ μετ᾽ αὐτοῦ ὅτι βούλονται διακηρυκεύσασθαι πρὸς τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους ὅ,τι χρὴ σφᾶς ποιεῖν. Καὶ ἐκείνων μὲν οὐδένα ἀφέντων, αὐτῶν δὲ τῶν Ἀθηναίων καλούντων ἐκ τῆς ἠπείρου κήρυκας καὶ γενομένων ἐπερωτήσεων δὶς ἢ τρὶς ὁ τελευταῖος διαπλεύσας αὐτοῖς ἀπὸ τῶν ἐκ τῆς ἠπείρου Λακεδαιμονίων ἀνὴρ ἀπήγγειλεν ὅτι οἱ

Adde Zonar. p. 144. Imitatur Appianus B. M. 77.

37. *γνοὺς δὲ—ὅτι—διαφθαρησομένους*] Schol. *τὸ τῆς συντάξεως ἀπαιτεῖ ὅτι—διαφθαρήσονται—ἀλλὰ ἡ σύνταξις ἐνήλλακται.* Similia dabit Heindorf. ad Plat. Gorg. p. 115. Popp. Proleg. t. i. p. 198. obs. p. 185. not.

38. *Ἱππαγρέτου*] "De Hippagretis apud Lacedæmonios agit etiam Cragius de Rep. Laced. ii, 14. Videtur ergo Thucydides secundum hunc ducem non proprio, ut alios, sed muneris nomine appellare. Paulo post, conjungo *ἐφῃρημένος κατὰ νόμον*, nam indicat Thucydides, quod etiam illa *εἴ τι ἐκεῖνοι πάσχοιεν* ostendunt, horum ducum alios aliis non suffragiis militum, qui in præsidio erant, sed antequam hi in insulam trajicerentur, publice ex lege subrogatos fuisse, ut in locum priorum, si quid his accidisset, succederent: quemadmodum in militia navali navarcho legatus addi solebat, quem *ἐπιστολέα* vocat Xenoph. Hist. Gr. [i, 1, 15. ii, 1, 5. iv, 8, 11. v, 1. 5. 6. et vi, 2, 25., ubi v. Schneider. coll. Valcken. ad Theocr. p. 263. et Schneider. in ind. s. v.], de quo Jungerm. ad Polluc. i, 96. et Scheffer. de Milit. Nav. iv, 5. Stephanus conjungit *ἄρχειν κατὰ νόμον*, ac vertit 'qui legitimum imperium obtineret:' nec tamen negat *κατὰ νόμον* etiam ad *ἐφῃρημένος* referri posse. Hoc melius est: nam hic solo verbo *ἄρχειν* satis significatur legitimum imperium, et supervacuum est ei addi *κατὰ νόμον*. Sic paulo ante, *τῶν μὲν πρότερον ἀρχόντων*, et supra cap. 9. *ἦρχε δ᾽ αὐτῶν Ἐπιτάδας*, ubi nemo desiderat illa *κατὰ νόμον*." Duker. De Hippagretis vid. Mans. Spart. i, 1. p. 153. Odofr. Mueller. d. Dor. P. ii. p. 241. Ad principium hujus capitis, verba *ἀνέσεισαν τὰς χεῖρας*, quod signum deditionis erat, v. interpretes ad Tacit. Annal. Hist. i, 54.

Λακεδαιμόνιοι κελεύουσιν ὑμᾶς αὐτοὺς περὶ ὑμῶν αὐτῶν βουλεύεσθαι, μηδὲν αἰσχρὸν ποιοῦντας. Οἱ δὲ καθ' ἑαυτοὺς βουλευσάμενοι τὰ ὅπλα παρέδοσαν καὶ σφᾶς αὐτούς. Καὶ ταύτην μὲν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα ἐν φυλακῇ εἶχον αὐτοὺς οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι τροπαῖον στήσαντες ἐν τῇ νήσῳ τἆλλα διεσκευάζοντο ὡς ἐς πλοῦν, καὶ τοὺς ἄνδρας τοῖς τριηράρχοις διεδίδοσαν ἐς φυλακήν, οἱ δὲ Λακεδαιμόνιοι κήρυκα πέμψαντες τοὺς νεκροὺς διεκομίσαντο. Ἀπέθανον δ' ἐν τῇ νήσῳ καὶ ζῶντες ἐλήφθησαν τοσοίδε· εἴκοσι μὲν ὁπλῖται διέβησαν καὶ τετρακόσιοι οἱ πάντες· τούτων ζῶντες ἐκομίσθησαν ὀκτὼ ἀποδέοντες τριακόσιοι, οἱ δὲ ἄλλοι ἀπέθανον. Καὶ Σπαρτιᾶται τούτων ἦσαν τῶν ζώντων περὶ εἴκοσι καὶ ἑκατόν. Ἀθηναίων δὲ οὐ πολλοὶ διεφθάρησαν· ἡ γὰρ μάχη οὐ σταδία ἦν.

39. Χρόνος δὲ ὁ ξύμπας ἐγένετο ὅσον οἱ ἄνδρες οἱ ἐν τῇ νήσῳ ἐπολιορκήθησαν ἀπὸ τῆς ναυμαχίας μέχρι τῆς ἐν τῇ νήσῳ μάχης ἑβδομήκοντα ἡμέραι καὶ δύο. Τούτων περὶ εἴκοσιν ἡμέρας ἐν αἷς οἱ πρέσβεις περὶ τῶν σπονδῶν ἀπῆσαν ἐσιτοδοτοῦντο, τὰς δὲ ἄλλας τοῖς ἐσπλέουσι λάθρα διετρέφοντο. Καὶ ἦν σῖτος ἐν τῇ νήσῳ καὶ ἄλλα βρώματα ἐγκατελήφθη· ὁ γὰρ ἄρχων Ἐπιτάδας ἐνδεεστέρως ἑκάστῳ παρεῖχεν ἢ πρὸς τὴν ἐξουσίαν. Οἱ μὲν δὴ Ἀθηναῖοι καὶ οἱ Πελοποννήσιοι ἀνεχώρησαν τῷ στρατῷ ἐκ τῆς Πύλου ἑκάτεροι ἐπ' οἴκου, καὶ τοῦ Κλέωνος καίπερ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέβη· ἐντὸς γὰρ εἴκοσιν ἡμερῶν ἤγαγε τοὺς ἄνδρας, ὥσπερ ὑπέστη.

40. Παρὰ γνώμην τε δὴ μάλιστα τῶν κατὰ τὸν πόλεμον τοῦτο τοῖς Ἕλλησιν ἐγένετο· τοὺς γὰρ Λακεδαιμονίους οὔτε λιμῷ οὔτ' ἀνάγκῃ οὐδεμιᾷ ἠξίουν τὰ ὅπλα παραδοῦναι, ἀλλὰ ἔχοντας καὶ μαχομένους ὡς ἐδύναντο ἀποθνήσκειν·

οἱ πάντες] i. e. 'in all.' V. Herm. ad Viger. p. 727. conf. Thucyd. i, 100. vi, 31. extr. vii, 24. Verbis *ἀπέθανον—διεφθάρησαν* usus est Dionys. p. 841.

39. *ἐνδεεστέρως*] V. Elmsl. ad Eur. Heracl. 544. p. 101,

καίπερ—ἀπέβη] Thom. M. p. 594.

ὑπέστη] Thom. Magister p. 879. scribit, poëtas *ὑφίσταμαι* dicere pro *ὑπισχνοῦμαι*, sed Duker. docuit, etiam Platonem Alcibiade secundo sic loqui, non longe a principio. Alios scriptores prosæ orationis, qui verbo hoc sensu usi sunt, indicavit Dorv. ad Charit. p. 380. et 569. adde Valcken. ad Theocrit. ii, 164. t. i. p. 69. Heind. Phavorinus: *ὑφίσταμαι, οὐ μόνον ἀντὶ τοῦ ὑπισχνοῦμαι· Θουκυδίδης, ὥσπερ ὑπέστη, ἀλλὰ καὶ ἀντὶ τοῦ ὑποδέχομαι*, etc.

ἀπιστοῦντές τε μὴ εἶναι τοὺς παραδόντας τοῖς τεθνεῶσιν ὁμοίους. Καί τινος ἐρομένου ποτὲ ὕστερον τῶν Ἀθηναίων ξυμμάχων δι' ἀχθηδόνα ἕνα τῶν ἐκ τῆς νήσου αἰχμαλώτων εἰ οἱ τεθνεῶτες αὐτῶν καλοὶ κἀγαθοὶ, ἀπεκρίνατο αὐτῷ πολλοῦ ἂν ἄξιον εἶναι τὸν ἄτρακτον, λέγων τὸν οἰστὸν, εἰ τοὺς ἀγαθοὺς διεγίγνωσκε, δήλωσιν ποιούμενος ὅτι ὁ ἐντυγχάνων τοῖς τε λίθοις καὶ τοξεύμασι διεφθείρετο.

41. Κομισθέντων δὲ τῶν ἀνδρῶν οἱ Ἀθηναῖοι ἐβούλευσαν δεσμοῖς μὲν αὐτοὺς φυλάσσειν μέχρι οὗ τι ξυμβῶσιν· ἢν δ' οἱ Πελοποννήσιοι πρὸ τούτου ἐς τὴν γῆν ἐσβάλλωσιν, ἐξαγαγόντες ἀποκτεῖναι. Τῆς δὲ Πύλου φυλακὴν κατεστήσαντο· καὶ οἱ ἐκ τῆς Ναυπάκτου Μεσσήνιοι ὡς ἐς πατρίδα ταύτην, ἔστι γὰρ ἡ Πύλος τῆς Μεσσηνίδος ποτὲ οὔσης γῆς, πέμψαντες σφῶν αὐτῶν τοὺς ἐπιτηδειοτάτους ἐλῄζόν τε τὴν Λακωνικὴν καὶ πλεῖστα ἔβλαπτον ὁμόφωνοι ὄντες. Οἱ δὲ Λακεδαιμόνιοι ἀμαθεῖς ὄντες ἐν τῷ πρὶν χρόνῳ λῃστείας καὶ τοιούτου πολέμου, τῶν τε Εἱλώτων αὐτομολούντων καὶ φοβούμενοι μὴ καὶ ἐπὶ μακρότερον σφίσι τι νεωτερισθῇ τῶν κατὰ τὴν χώραν, οὐ ῥᾳδίως ἔφερον, ἀλλὰ καίπερ οὐ βου-

40. *ἀπιστοῦντές τε — ὁμοίους*] Ambiguum est utrum hæc verba prioribus an sequentibus annectenda sint. Utraque ratio difficultate laborat. Illud si præferas, participium et particulam posita esse cogitabis pro verbo finito *ἠπίστουν τε*, ut suppleatur *ἦσαν*; quæ ratio nec per se commendatur, quia non intelligitur cur scriptor particulam *τε* plane supervacuam addiderit; et sententia sequentis periodi flagitare videtur, ut secum illa verba jungantur, et puncto distinguatur post *ἀποθνήσκειν*. Nam propter id ipsum, quod induci non poterant ad credendum, similes mortuorum esse eos qui arma tradiderant; extitit, qui unum in insula captorum illud interrogaret. Sic igitur anacoluthon in verbis esset statuendum, posito nominativo pro genitivo absoluto participii; id quod nihil est, quo excuses. Igitur nunc in ea sententia sum, ut dicam repetendum esse *ἠξίουν* ad participium *ἀπιστοῦντες* hoc sensu, 'and they wished that no one should be considered to be a Lacedæmonian, who surrendered his arms.' Mox etiam de sensu verborum *δι' ἀχθηδόνα* disceptatio est. Atque Scholiastes quidem has interpretationes proposuit *διὰ λύπην*. *Ἡ διάνοια· Ἀθηναίων σύμμαχός τις ἀχθόμενος, ἤτοι τοῖς Ἀθηναίοις ὡς φορτικῶς ἄρχουσιν, ἢ ἀχθόμενος ἐπὶ τῇ τῶν Λακεδαιμονίων συμφορᾷ, ἤρετο*, etc. Sed ex responso Lacedæmonii patet, sensum esse quem Portus expressit, 'ut ei cum insultatione dolorem inureret, 'to mortify,' quanquam fateor solennius id dici *ἐπ' ἀχθηδόνι, πρὸς ἀχθηδόνα.*

ἄτρακτον] Memorat ex h. l. Pollux i, 137. Adde Etym. M. et Suidam h. v., ibiq. Kuster. Galenus in glossis Hippocrateis, *ἄτρακτον, οὐ μόνον τὸν εἰς τὸ ἐριουργεῖν* (sic emendat Dukerus pro *ἱερουργὸν*) *χρήσιμον, ἀλλὰ καὶ τὸ ξύλον τοῦ βέλους.* Bredovius ait, Spartanum illum consulto illa voce usum esse, quæ respondet nostro 'spindle, or the distaff,' et 'the wooden part of the arrow, without the steel point,' contemtim loquens de armis quibus petiti sint; non enim viritim pugnatum esse, neque cominus; ligna sibi ingessisse hostes, non manus conseruisse; eminus autem ingesta vulnera fortuito in hunc vel illum dirigi. In eandem sententiam alter ejus gentis dixit, *οὐ μέλει μοι τοῦτο, ὅτι ἀποθανοῦμαι, ἀλλ' ὅτι ὑπὸ γύννιδος τοξότου.* Simile quid in pugna Leuctrica quidam, *λεγόντων τινῶν δεῖξειν τὴν ἡμέραν ταύτην τὸν ἀγαθὸν, πολλοῦ*, inquit, *τὴν ἡμέραν ἀξίαν εἶναι δυναμένην τὸν ἀγαθὸν δεῖξαι σῶον.* Monuit Wasse.

λόμενοι ἔνδηλοι εἶναι τοῖς Ἀθηναίοις ἐπρεσβεύοντο παρ' αὐτοὺς καὶ ἐπειρῶντο τήν τε Πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι. Οἱ δὲ μειζόνων τε ὠρέγοντο καὶ πολλάκις φοιτώντων αὐτοὺς ἀπράκτους ἀπέπεμπον. Ταῦτα μὲν τὰ περὶ Πύλον γενόμενα.

42. Τοῦ δ' αὐτοῦ θέρους μετὰ ταῦτα εὐθὺς Ἀθηναῖοι ἐς τὴν Κορινθίαν ἐστράτευσαν ναυσὶν ὀγδοήκοντα καὶ δισχιλίοις ὁπλίταις ἑαυτῶν καὶ ἐν ἱππαγωγοῖς ναυσὶ διακοσίοις ἱππεῦσιν· ἠκολούθουν δὲ καὶ τῶν ξυμμάχων Μιλήσιοι καὶ Ἄνδριοι καὶ Καρύστιοι, ἐστρατήγει δὲ Νικίας ὁ Νικηράτου τρίτος αὐτός. Πλέοντες δὲ ἅμα ἕῳ ἔσχον μεταξὺ Χερσονήσου τε καὶ Ῥείτου ἐς τὸν αἰγιαλὸν τοῦ χωρίου ὑπὲρ οὗ ὁ Σολύγειος λόφος ἐστὶν, ἐφ' ὃν Δωριῆς τὸ πάλαι ἱδρυθέντες τοῖς ἐν τῇ πόλει Κορινθίοις ἐπολέμουν οὖσιν Αἰολεῦσι· καὶ κώμη νῦν ἐπ' αὐτοῦ Σολύγεια καλουμένη ἐστίν. Ἀπὸ δὲ τοῦ αἰγιαλοῦ τούτου ἔνθα αἱ νῆες κατέσχον ἡ μὲν κώμη αὕτη δώδεκα σταδίους ἀπέχει, ἡ δὲ Κορινθίων πόλις ἑξήκοντα, ὁ δὲ ἰσθμὸς εἴκοσι. Κορίνθιοι δὲ προπυθόμενοι ἐξ Ἄργους ὅτι ἡ στρατιὰ ἥξει τῶν Ἀθηναίων ἐκ πλείονος, ἐβοήθησαν ἐς ἰσθμὸν πάντες πλὴν τῶν ἔξω ἰσθμοῦ· καὶ ἐν Ἀμπρακίᾳ καὶ ἐν Λευκαδίᾳ ἀπῆσαν αὐτῶν πεντακόσιοι φρουροί· οἱ δ' ἄλλοι πανδημεὶ ἐπετήρουν τοὺς Ἀθηναίους οἷ κατασχήσουσιν. Ὡς δὲ αὐτοὺς ἔλαθον νυκτὸς καταπλεύσαντες καὶ τὰ σημεῖα αὐτοῖς ἤρθη, καταλιπόντες τοὺς ἡμίσεις αὐτῶν ἐν Κεγχρειᾷ, ἢν ἄρα οἱ Ἀθηναῖοι ἐπὶ τὸν Κρομμύωνα ἴωσιν, ἐβοήθουν κατὰ τάχος.

41. *φοιτώντων*] Huc respicit Aristoph. Pac. 636. 637., ubi vid. Scholiasten.

42. *ἀπὸ δὲ—κατέσχον*] Thom. M. p. 748.

ὁ δὲ ἰσθμὸς εἴκοσι] Palmerius emendat *εἴκοσι καὶ ἑκατὸν*, de qua conjectura tacet Poppo Prol. t. ii. p. 230., ubi pertractat situm harum regionum.

ἐν Λευκαδίᾳ ἀπῆσαν] vulgo *ἀπῄεσαν*, quam scripturam ita explicant, ut in *ἀπῄεσαν* simul *ἀπῆσαν* inesse dicant, ut vicissim dicitur *παραγίγνεσθαι* sive *παρεῖναι εἴς τινα τόπον*. Bekker. edidit *ἀπῆσαν*, lectore de vulgata non monito.

ἐπετήρουν—κατασχήσουσιν] Thom. M. p. 748., ubi est *ᾗ*.

τὰ σημεῖα] articulum addit, significans signa de quibus convenerat. Scholiastes: *αὐτοῖς τοῖς Κορινθίοις ἤρθη τὰ σημεῖα παρὰ τῶν φίλων αὐτῶν τῶν ἐν τῇ χώρᾳ, σημαινόντων αὐτοῖς ὅτι πολέμιοι ἐπῆλθον· δεῖ δὲ προσυπακοῦσαι τὸ ἡμέρας γενομένης.* Negant Bauer. et Bredov. ignifera signa hic indicari; hæc enim non posse vocabulo *σημεῖα* dici. Quare *αὐτοῖς* non referunt ad Corinthios, sed ad Athenienses, 'et cum Atheniensibus signa sublata essent,' i. e. signa humo fixa erepta, quo juberetur exercitus iter ingredi: quo nihil cogitari potest ineptius; nam ne dicam, in eadem sententiæ particula modo *αὐτοὺς* ad Corinthios, modo *αὐτοῖς* ad Athenienses referri; quid signa ab Atheniensibus humo fixa, quibus ipsis, quando castra movenda essent, indicabatur ad Corinthios spectant? Nempe sequuntur verba *καταλιπόντες τοὺς ἡμίσεις αὐτῶν* Corinthii *ἐβοήθουν κατὰ τάχος*. Itane vero hi tum

43. Καὶ Βάττος μὲν ὁ ἕτερος τῶν στρατηγῶν, δύο γὰρ ἦσαν ἐν τῇ μάχῃ οἱ παρόντες, λαβὼν λόχον ἦλθεν ἐπὶ τὴν Σολύγειαν κώμην φυλάξων ἀτείχιστον οὖσαν, Λυκόφρων δὲ τοῖς ἄλλοις ξυνέβαλε. Καὶ πρῶτον μὲν τῷ δεξιῷ κέρᾳ τῶν Ἀθηναίων εὐθὺς ἀποβεβηκότι πρὸ τῆς Χερσονήσου οἱ Κορίνθιοι ἐπέκειντο, ἔπειτα δὲ καὶ τῷ ἄλλῳ στρατεύματι. Καὶ ἦν ἡ μάχη καρτερὰ καὶ ἐν χερσὶ πᾶσα. Καὶ τὸ μὲν δεξιὸν κέρας τῶν Ἀθηναίων καὶ Καρυστίων, οὗτοι γὰρ παρατεταγμένοι ἦσαν ἔσχατοι, ἐδέξαντό τε τοὺς Κορινθίους καὶ ἐώσαντο μόλις· οἱ δὲ ὑποχωρήσαντες πρὸς αἱμασιάν, ἦν γὰρ τὸ χωρίον πρόσαντες πᾶν, βάλλοντες τοῖς λίθοις καθύπερθεν ὄντες καὶ παιωνίσαντες ἐπῄεσαν αὖθις, δεξαμένων δὲ τῶν Ἀθηναίων ἐν χερσὶν ἦν πάλιν ἡ μάχη. Λόχος δέ τις τῶν Κορινθίων ἐπιβοηθήσας τῷ εὐωνύμῳ κέρᾳ ἑαυτῶν ἔτρεψε τῶν Ἀθηναίων τὸ δεξιὸν κέρας καὶ ἐπεδίωξεν ἐς τὴν θάλασσαν· πάλιν δὲ ἀπὸ τῶν νεῶν ἀνέστρεψαν οἵ τε Ἀθηναῖοι καὶ οἱ Καρύστιοι. Τὸ δὲ ἄλλο στρατόπεδον ἀμφοτέρωθεν ἐμάχετο συνεχῶς, μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν Κορινθίων, ἐφ᾽ ᾧ ὁ Λυκόφρων ὢν κατὰ τὸ εὐώνυμον τῶν Ἀθηναίων ἠμύνετο· ἤλπιζον γὰρ αὐτοὺς ἐπὶ τὴν Σολύγειαν κώμην πειράσειν.

44. Χρόνον μὲν οὖν πολὺν ἀντεῖχον οὐκ ἐνδιδόντες ἀλλήλοις· ἔπειτα, ἦσαν γὰρ τοῖς Ἀθηναίοις οἱ ἱππῆς ὠφέλιμοι ξυμμαχόμενοι, τῶν ἑτέρων οὐκ ἐχόντων ἵππους, ἐτράποντο οἱ Κορίνθιοι καὶ ὑπεχώρησαν πρὸς τὸν λόφον, καὶ ἔθεντο τὰ ὅπλα καὶ οὐκέτι κατέβαινον, ἀλλ᾽ ἡσύχαζον. Ἐν δὲ τῇ τροπῇ ταύτῃ κατὰ τὸ δεξιὸν κέρας οἱ πλεῖστοί τε αὐτῶν ἀπέθανον καὶ Λυκόφρων ὁ στρατηγός. Ἡ δὲ ἄλλη στρατιὰ τούτῳ τῷ τρόπῳ οὐ κατὰ δίωξιν πολλὴν οὐδὲ ταχείας φυγῆς γενομένης, ἐπεὶ ἐβιάσθη, ἐπαναχωρήσασα πρὸς τὰ μετέωρα ἱδρύθη. Οἱ δὲ Ἀθηναῖοι, ὡς οὐκέτι αὐτοῖς ἐπῄεσαν ἐς

demum profecti sunt, postquam Athenienses appulsi signum profectionis terrestris dederant? Nihil obstat quominus *σημεῖα* accipiamus signa Corinthiis ex illa regione ubi Athenienses noctu appulerant, a suis data. Sic infr. cap. 111. postquam scriptor dixit Brasidam peltastas suos jussisse *ὅπως ὁπότε—τὸ σημεῖον ἀρθείη ὃ ξυνέκειτο, πρῶτοι ἐσδράμοιεν*, exeunte capite subjicit, *ἔπειτα τὸ σημεῖον τοῦ πυρὸς, ὡς εἴρητο, ἀνέσχον*. Omitto illud quod Corinthii ab Atheniensibus longius aberant, quam ut signorum sublationem cernerent.

43. *πειράσειν*] Schol. supplendum ait *ἐλθεῖν*. Poppo Prol. t. i. p. 293. cum nostro ‘to try an attack on the place’ comparat. Sed hoc sensu ubique genitivum cum verbo jungit, velut i, 61. iv, 70. Quare Heilmannus conjecit legendum esse *περάσειν*.

μάχην, τούς τε νεκροὺς ἐσκύλευον καὶ τοὺς ἑαυτῶν ἀνῃροῦντο, τροπαῖόν τε εὐθέως ἔστησαν. Τοῖς δ' ἡμίσεσι τῶν Κορινθίων, οἳ ἐν τῇ Κεγχρειᾷ ἐκάθηντο φύλακες μὴ ἐπὶ τὸν Κρομμύωνα πλεύσωσι, τούτοις οὐ κατάδηλος ἡ μάχη ἦν ὑπὸ τοῦ ὄρους τοῦ Ὀνείου· κονιορτὸν δὲ ὡς εἶδον καὶ ὡς ἔγνωσαν, ἐβοήθουν εὐθύς. Ἐβοήθησαν δὲ καὶ οἱ ἐκ τῆς πόλεως πρεσβύτεροι τῶν Κορινθίων, αἰσθόμενοι τὸ γεγενημένον· ἰδόντες δὲ οἱ Ἀθηναῖοι ξύμπαντας αὐτοὺς ἐπιόντας, καὶ νομίσαντες τῶν ἐγγὺς ἀστυγειτόνων Πελοποννησίων βοήθειαν ἐπιέναι, ἀνεχώρουν κατὰ τάχος ἐπὶ τὰς ναῦς, ἔχοντες τὰ σκυλεύματα καὶ τοὺς ἑαυτῶν νεκροὺς πλὴν δυοῖν οὓς ἐγκατέλιπον οὐ δυνάμενοι εὑρεῖν. Καὶ ἀναβάντες ἐπὶ τὰς ναῦς ἐπεραιώθησαν ἐς τὰς ἐπικειμένας νήσους, ἐκ δ' αὐτῶν ἐπικηρυκευσάμενοι τοὺς νεκροὺς οὓς ἐγκατέλιπον ὑποσπόνδους ἀνείλοντο. Ἀπέθανον δὲ Κορινθίων μὲν ἐν τῇ μάχῃ δώδεκα καὶ διακόσιοι, Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους πεντήκοντα.

45. Ἄραντες δὲ ἐκ τῶν νήσων οἱ Ἀθηναῖοι ἔπλευσαν αὐθημερὸν ἐς Κρομμύωνα τῆς Κορινθίας· ἀπέχει δὲ τῆς πόλεως εἴκοσι καὶ ἑκατὸν σταδίους. Καὶ καθορμισάμενοι τήν τε γῆν ἐδῄωσαν καὶ τὴν νύκτα ηὐλίσαντο. Τῇ δ' ὑστεραίᾳ παραπλεύσαντες ἐς τὴν Ἐπιδαυρίαν πρῶτον καὶ ἀπόβασίν τινα ποιησάμενοι ἀφίκοντο ἐς Μεθώνην τὴν μεταξὺ Ἐπιδαύρου καὶ Τροιζῆνος, καὶ ἀπολαβόντες τὸν τῆς Χερσονήσου ἰσθμὸν ἐτείχισαν, ἐν ᾧ ἡ Μεθώνη ἐστὶ, καὶ φρούριον καταστησάμενοι ἐλῄστευον τὸν ἔπειτα χρόνον τήν τε Τροιζηνίαν γῆν καὶ Ἁλιάδα καὶ Ἐπιδαυρίαν. Ταῖς δὲ ναυσὶν, ἐπειδὴ ἐξετείχισαν τὸ χωρίον, ἀπέπλευσαν ἐπ' οἴκου.

46. Κατὰ δὲ τὸν αὐτὸν χρόνον ὃν ταῦτα ἐγίγνετο, καὶ Εὐρυμέδων καὶ Σοφοκλῆς, ἐπειδὴ ἐκ τῆς Πύλου ἀπῆραν ἐς τὴν Σικελίαν ναυσὶν Ἀθηναίων, ἀφικόμενοι ἐς Κέρκυραν ἐστράτευσαν μετὰ τῶν ἐκ τῆς πόλεως ἐπὶ τοὺς ἐν τῷ ὄρει

45. ἀφίκοντο ἐς Μεθώνην] Strab. p. 575. B. Alm. μεταξὺ δὲ Τροιζῆνος καὶ Ἐπιδαύρου χωρίον ἦν ἐρυμνὸν Μέθανα—παρὰ Θουκυδίδῃ δὲ ἔν τισιν ἀντιγράφοις Μεθώνη φέρεται ὁμώνυμος τῇ Μακεδονικῇ.

46. χρόνον ὃν] χρόνον ταῦτα A. B. F. H. N. h. et sic edidit Bekker. Vulgo χρόνον καθ' ὃν ταῦτα. Ego ratione habita loquendi usus Thucydidei ὃν retinui. Vide ad i, 1. extr. iii, 43. Adde iii, 17. κατὰ τὸν χρόνον τοῦτον ὃν, etc. Mox, in verbis quæ vulgo eduntur, ὥστε ἂν τις ἁλῷ, scripsi ἐὰν, quia altera scriptura ab hoc scriptore aliena esse videtur, et sic habet cod. d. Vide Popp. Obs. p. 139, not. Proleg. t. i. p. 230. Krueger. ad Dionys. p. 274. Ἂν pro ἐὰν præter hunc locum tantum ter legitur, vi, 13. 18. viii, 75. Vid. Matth. Gr. § 595.

τῆς Ἰστώνης Κερκυραίων καθιδρυμένους, οἳ τότε μετὰ τὴν στάσιν διαβάντες ἐκράτουν τε τῆς γῆς καὶ πολλὰ ἔβλαπτον. Προσβαλόντες δὲ τὸ μὲν τείχισμα εἷλον· οἱ δὲ ἄνδρες καταπεφευγότες ἀθρόοι πρὸς μετέωρόν τι ξυνέβησαν ὥστε τοὺς μὲν ἐπικούρους παραδοῦναι, περὶ δὲ σφῶν τὰ ὅπλα παραδόντων τὸν Ἀθηναίων δῆμον διαγνῶναι. Καὶ αὐτοὺς ἐς τὴν νῆσον οἱ στρατηγοὶ τὴν Πτυχίαν ἐς φυλακὴν διεκόμισαν ὑποσπόνδους, μέχρι οὗ Ἀθήναζε πεμφθῶσιν, ὥστε ἐάν τις ἁλῷ ἀποδιδράσκων, ἅπασι λελύσθαι τὰς σπονδάς. Οἱ δὲ τοῦ δήμου προστάται τῶν Κερκυραίων δεδιότες μὴ οἱ Ἀθηναῖοι τοὺς ἐλθόντας οὐκ ἀποκτείνωσι μηχανῶνται τοιόνδε τι. Τῶν ἐν τῇ νήσῳ πείθουσί τινας ὀλίγους, ὑποπέμψαντες φίλους καὶ διδάξαντες ὡς κατ' εὔνοιαν δὴ λέγειν ὅτι κράτιστον αὐτοῖς εἴη ὡς τάχιστα ἀποδρᾶναι, πλοῖον δέ τι αὐτοὶ ἑτοιμάσειν· μέλλειν γὰρ δὴ τοὺς στρατηγοὺς τῶν Ἀθηναίων παραδώσειν αὐτοὺς τῷ δήμῳ τῶν Κερκυραίων.

47. *Ὡς δὲ ἔπεισαν καὶ μηχανησαμένων τὸ πλοῖον ἐκπλέοντες ἐλήφθησαν, ἐλέλυντό τε αἱ σπονδαὶ καὶ τοῖς Κερκυραίοις παρεδέδοντο οἱ πάντες. Ξυνελάβοντο δὲ τοῦ τοιούτου οὐχ ἥκιστα, ὥστε ἀκριβῆ τὴν πρόφασιν γενέσθαι καὶ τοὺς τεχνησαμένους ἀδεέστερον ἐγχειρῆσαι, οἱ στρατηγοὶ τῶν Ἀθηναίων, κατάδηλοι ὄντες τοὺς ἄνδρας μὴ ἂν βούλεσθαι ὑπ' ἄλλων κομισθέντας, διότι αὐτοὶ ἐς Σικελίαν ἔπλεον, τὴν τιμὴν τοῖς ἄγουσι προσποιῆσαι. Παραλαβόντες δὲ αὐτοὺς οἱ Κερκυραῖοι ἐς οἴκημα μέγα καθεῖρξαν, καὶ ὕστερον ἐξάγοντες κατὰ εἴκοσιν ἄνδρας διῆγον διὰ δυοῖν στοίχοιν ὁπλιτῶν ἑκατέρωθεν παρατεταγμένων, δεδεμένους τε πρὸς ἀλ-*

τοὺς ἐλθόντας] Krueger. ad Dionys. p. 150. dictum putat pro *αὐτοὺς ἐλθόντας*, i. e. 'eos (optimates in Ptychiam trajectos) ubi advenissent,' collatis his locis, v, 27. *Κορίνθιοι ἐς Ἄργος τραπόμενοι πρῶτον λόγους ποιοῦνται πρός τινας τῶν ἐν τέλει ὄντων Ἀργείων, ὡς χρὴ—ἀποδεῖξαι ἄνδρας ὀλίγους ἀρχὴν αὐτοκράτορας καὶ μὴ πρὸς τὸν δῆμον τοὺς λόγους εἶναι, τοῦ μὴ καταφανεῖς γίγνεσθαι τοὺς μὴ πείσαντας τὸ πλῆθος.* v, 65. *ἐβούλετο τοὺς ἀπὸ τοῦ λόφου βοηθοῦντας ἐπὶ τὴν τοῦ ὕδατος ἐκτροπὴν, ἐπειδὰν πύθωνται, καταβιβάσαι, τοὺς Ἀργείους καὶ τοὺς ξυμμάχους.* iv, 131. *προσβαλόντες αὐτῷ (τῷ λόφῳ) κατὰ κράτος καὶ μάχῃ ἐκκρούσαντες τοὺς ἐπιόντας ἐστρατοπεδεύσαντο.* Qui loci nihil cum nostro commune habent, nam in iis non interpretandum est 'eos populo non persuadentes,' non 'eos occurrentes, impetum excipientes,' sed 'eos qui populo non persuaserant,' et 'eos qui impetum exceperant.' V. Matth. Gr. § 270. § 278. Obs. 1. et § 557, 4. Hic sane exspectes *αὐτοὺς ἐλθόντας*, 'after they had arrived,' 'after their arrival.' Mox, Bekker. *δὴ* dedit pro vulgata *δῆθεν* ex A. B. F. H. I. K. L. N. O. P. d. e. g. h. i. In cod. S. est *δὴ*, ad marginem ejus *δῆθεν*, in cod. c. *μή*. Ac paulo inferius vulgo parum Græce legitur *ἀποδιδράναι*. V. Buttm. Gr. Max. ii, 1. p. 110. Correxit idem ex A. B. F. H. K. L. N. O. P. Q. c. d. e. g., quibus accedit S.

λήλους καὶ παιομένους καὶ κεντουμένους ὑπὸ τῶν παρατεταγμένων, εἴ πού τίς τινα ἴδοι ἐχθρὸν ἑαυτοῦ· μαστιγοφόροι τε παριόντες ἐπετάχυνον τῆς ὁδοῦ τοὺς σχολαίτερον προσιόντας.

48. Καὶ ἐς μὲν ἄνδρας ἑξήκοντα ἔλαθον τοὺς ἐν τῷ οἰκήματι τούτῳ τῷ τρόπῳ ἐξαγαγόντες καὶ διαφθείραντες· ᾤοντο γὰρ αὐτοὺς μεταστήσαντάς ποι ἄλλοσε ἄγειν· ὡς δὲ ᾔσθοντο καί τις αὐτοῖς ἐδήλωσε, τούς τε Ἀθηναίους ἐπεκαλοῦντο καὶ ἐκέλευον σφᾶς, εἰ βούλονται, αὐτοὺς διαφθείρειν, ἔκ τε τοῦ οἰκήματος οὐκέτι ἤθελον ἐξιέναι, οὐδ' ἐσιέναι ἔφασαν κατὰ δύναμιν περιόψεσθαι οὐδένα. Οἱ δὲ Κερκυραῖοι κατὰ μὲν τὰς θύρας οὐδ' αὐτοὶ διενοοῦντο βιάζεσθαι, ἀναβάντες δὲ ἐπὶ τὸ τέγος τοῦ οἰκήματος καὶ διελόντες τὴν ὀροφὴν ἔβαλλον τῷ κεράμῳ καὶ ἐτόξευον κάτω. Οἱ δὲ ἐφυλάσσοντό τε ὡς ἠδύναντο καὶ ἅμα οἱ πολλοὶ σφᾶς αὐτοὺς διέφθειρον, ὀϊστούς τε οὓς ἀφίεσαν ἐκεῖνοι ἐς τὰς σφαγὰς καθιέντες καὶ ἐκ κλινῶν τινων αἳ ἔτυχον αὐτοῖς ἐνοῦσαι τοῖς σπάρτοις καὶ ἐκ τῶν ἱματίων παραιρήματα

48. *ἀναβάντες—κεράμῳ*] Usus est hoc loco Eustathius ad Homer. Odyss. α. p. 1421. Rom. ad probandum usum vocis *τέγος* pro *στέγος*. Conf. Thom. M. p. 808., ibiq. Oudend. et Reisig. Conjectan. in Aristoph. p. 17.

καὶ ἅμα οἱ πολλοὶ—διεφθάρησαν] Poppo, Obs. p. 33. restitutum vult *παντί τε τρόπῳ* ad fulciendam orationem, cujus duo quasi membra sunt; alterum, *σφᾶς αὐτοὺς διέφθειρον, ὀϊστούς τε—ἀπαγχόμενοι*, alterum, *παντί τε τρόπῳ—διεφθάρησαν*. Quam emendationem egregie juvare videtur Valla, interpretatus 'omni denique ratione.' Verba autem *παντί τε τρόπῳ* optime jungas non cum *ἀναλοῦντες*, sed cum *διεφθάρησαν*. Quæ cum facillime fieri possint, non probatur mihi ratio Reisigii Conject. ad Aristoph. t. i. p. 316., qui scriptorem dicit a filo structuræ imprudentem se simulare deflectere, negatque *τε* post *παντὶ* adjiciendum esse; videtur autem anacoluthon in hoc loco invenisse, quod aut verba *σφᾶς αὐτοὺς διέφθειρον*, aut verbum *διεφθάρησαν* abesse posse putaret. Atqui illa quidem salvo sensu deleri possent, hoc non item, propterea quod qui *ὑπὸ τῶν ἄνω βαλλόμενοι* perierunt, *διεφθάρησαν* quidem, sed non *σφᾶς αὐτοὺς διέφθειρον*. Locum per partes afferunt grammatici, sed varie atque interdum ita mutatum, ut verba scriptoris vix agnoscas. Suidas: *σφαγὰς, τὰς κατακλεῖδας. Θουκυδίδης· καὶ ὀϊστοὺς καθίεσαν ἐς τὰς σφαγάς*. Photius *σφαγάς· τὰς κατακλεῖδας, Θουκυδίδης, καὶ ὀϊστούς*. Scholiastes *τὰς σφαγὰς* explicat per *τὸ μέρος τοῦ σώματος, ἔνθα σφάττονται τὰ ζῶα· σφαγὴν καλοῦσι τὸ κατὰ τὴν κλεῖδα τοῦ ἀνθρώπου μέρος, δι' οὗ καθιᾶσι τὰ σιδήρια οἱ θέλοντες ἑαυτοὺς ἀνελεῖν*. Conf. Pollux ii, 133. Glossar. *σφαγή, jugulus, jugulum*. Adde Hesych. et Etym. M. Jacobs ad Achillem Tat. p. 661. Porro Photius habet *παραιρημάτων, τῶν ἱματίων*. Scribe *παραιρήματα τῶν ἱματίων*, ut emendavit Alberti ad Hesych. t. ii. p. 862. n. 19. Sic enim legitur apud Mœrin p. 299. citato Thucydide, et in Anecd. Bekk. t. i. p. 112. Sed Schleusner. Animadv. p. 70. et Cur. Nov. ad Phot. p. 310. legi vult *παραιρημάτων ἐκ τῶν ἱματίων*. Fortasse tamen, addit, ante *ἱματίων* excidit vox *παραραμμάτων*, supplenda ex Hesychio, aut notius *παραρμάτων*, quæ Galeno, Comm. ii. in lib. de Art. p. 608, 52. sunt *παραιρούμενα ἀπὸ τῶν ἀμφιεσμάτων ὑπὸ τῶν ῥαπτόντων αὐτά*. (Nos, 'the border,' 'the list.') Hesych. *παραιρήματα· παραράμματα ἱματίων*, i. e. 'adsumenta.' V. Hesychii interpretes. Pollux vii, 64. *Θουκυδίδης δὲ ἐκ τῶν ἐσθήτων παραιρήματα, τὰ πρὸς ταῖς ὤαις, ἃς παραιρεῖσθαί φησιν, ὡς ἰσχυρὰ εἰς ἀγχόνην*. Pierson. ad Mœr., illud certum videtur, ait, si *παραιρήματα* pro 'vestium fimbriis' ponantur, aliud

ποιοῦντες, ἀπαγχόμενοι, παντὶ τρόπῳ τὸ πολὺ τῆς νυκτὸς, ἐπεγένετο γὰρ νὺξ τῷ παθήματι, ἀναλοῦντες σφᾶς αὐτοὺς καὶ βαλλόμενοι ὑπὸ τῶν ἄνω διεφθάρησαν. Καὶ αὐτοὺς οἱ Κερκυραῖοι, ἐπειδὴ ἡμέρα ἐγένετο, φορμηδὸν ἐπὶ ἁμάξας ἐπιβαλόντες ἀπήγαγον ἔξω τῆς πόλεως. Τὰς δὲ γυναῖκας ὅσαι ἐν τῷ τειχίσματι ἑάλωσαν ἠνδραποδίσαντο. Τοιούτῳ μὲν τρόπῳ οἱ ἐκ τοῦ ὄρους Κερκυραῖοι ὑπὸ τοῦ δήμου διεφθάρησαν, καὶ ἡ στάσις πολλὴ γενομένη ἐτελεύτησεν ἐς τοῦτο, ὅσα γε κατὰ τὸν πόλεμον τόνδε· οὐ γὰρ ἔτι ἦν ὑπόλοιπον τῶν ἑτέρων ὅ,τι καὶ ἀξιόλογον. Οἱ δὲ Ἀθηναῖοι ἐς τὴν Σικελίαν, ἵναπερ τὸ πρῶτον ὥρμηντο, ἀποπλεύσαντες μετὰ τῶν ἐκεῖ ξυμμάχων ἐπολέμουν.

49. Καὶ οἱ ἐν τῇ Ναυπάκτῳ Ἀθηναῖοι καὶ Ἀκαρνᾶνες

verbum quam ποιεῖν requiri, quod tamen Suidas confirmat. Sin παραιρήματα pro 'restibus' posuerit Thucydides, manuscriptorum [L. O. P. S. i. παρωρήματα I.] lectionem παραιωρήματα esse præferendam. — Conf. interpretes ad Pollucem. Steph. Thes. Ling. Gr. t. i. p. 199. Athen. v. p. 208. c. ibique Casaubon. p. 364. Magis etiam Thucydidis manus corrupta a Suida, παραιρήσεται, ἀφαιρήσεται. Θουκυδίδης· διέφθειρον σφᾶς αὐτοὺς, οἱ μὲν ἀπὸ κλινῶν σπάρτα, οἱ δ' ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες (τουτέστιν ἀφαιρήματα), ἀπήγχοντο, quæ repetuntur a Phavorino in voce, et a scholiasta Demosthenis ad Phil. ii. p. 46. Paris., nisi quod apud utrumque est σπάρτας, corruptum, ut videtur, ex σπάρτοις, quod tuetur Pollux, qui x, 37. particulam ex hoc loco decerptam ἐκ κλινῶν τοῖς σπάρτοις ἀπαγχόμενοι habet, quique hac ipsa citatione tuetur participium ἀπαγχόμενοι, quod Poppo Obs. p. 34. interpretamenti speciem præ se ferre monuit. Contra Piersonum valet Scholiastæ interpretatio, qui breviloquentiam in verbis παραιρήματα ποιοῦντες inesse ostendit: ὡς ἂν εἰ ἔλεγε, inquit, τελαμῶνάς τινας ἀποσχίζοντες τῶν ἱματίων, ὥσπερ ζώνας ἐποίουν· καὶ πλέκοντες αὐτὰ, καὶ ποιοῦντες ὥσπερ σχοινία, οὕτως αὐτοῖς ἐχρῶντο πρὸς τὸ ἀπάγχεσθαι. Structura autem verborum hæc est: καὶ ἐκ κλινῶν τινῶν τοῖς σπάρτοις, καὶ ἐκ τῶν ἱματίων τοῖς παραιρήμασι, ἃ ἐποίησαν (ἀπέσχισαν), ἀπαγχόμενοι. Philippidis Comici Versus apud Pollucem l. l. ita lego, κράτιστόν ἐστι τοῦτον ἐκτεμεῖν, γύναι, Τὸν δίφρον· ἄχρηστα παντελῶς οὕτως ἔχει Τὰ σπάρτα· καινὸν δ' ἕτερον ἐμβαλεῖν τόνον. Restat ut de verbo ἀναλοῦντες dicam, ut ex conjectura Heilmanni emendatum pro vulgata ἀναδοῦντες. Nam et Phavorinus e Thucydide laudat ἀναλοῦντες ἀντὶ τοῦ ἀναιροῦντες, quæ scriptura in vulgatis exemplaribus nusquam reperitur, et παντὶ τρόπῳ ἀναδοῦντες σφᾶς αὐτοὺς inepte diceretur. Sed παντὶ τρόπῳ dixi cum διεφθάρησαν conjungendum esse. Quanquam vel ita pro ἀναδεῖν verbum latioris ambitus requiri monuit Popp. l. l. p. 33., quum Corcyræi et sagittis jugulo defixis et restibus se interemerint, ἀναδεῖν autem si notare possit 'strangulare,' quod non verisimile videtur, quum ubique sit vel 'redimire' vel religare,' nonnisi ad alterum mortis genus spectet. Ita igitur, Poppo addit, pro altero e duobus membris coordinatis ('ipsi se interficiebant—ab hostibus interficiebantur') poneretur subordinatum. Et præter Phavorinum etiam Suidas s. v. ἀναλοῦντες, et Zonaras scribunt ἀναλοῦντες, ἀντὶ τοῦ ἀναιροῦντες, Θουκυδίδης· καὶ ἀναλῶν καὶ ἀναλοῦν. (ii, 24. vi, 12.) Atque hanc fuisse adjicit Poppo scripturam, quam Valla in codice suo invenerit, qui vertat, 'omni denique ratione sibi manus inferentes, tum a superne ferientibus interemti sunt.'—Thucyd. viii, 65. καὶ ἄλλους τινὰς ἀνεπιτηδείους τῷ αὐτῷ τρόπῳ κρύφα ἀνάλωσαν.

φορμηδὸν] Suidas in voce locum ita adscripsit, καὶ τοὺς νεκροὺς οἱ Κερκυραῖοι φορμηδὸν ἐπὶ ἁμάξας ἐπιβαλόντες ἀπήγαγον ἔξω τῆς πόλεως. Scholiastes commode adnotavit, ὡς ἐάν τις πλέξῃ φορμοὺς, τοὺς καλουμένους ψιάθους, τοὺς μὲν κατὰ μῆκος αὐτῶν τιθέντες ἄλλους δὲ πλαγίως ἐπιβάλλοντες κατ' αὐτῶν· ἐμφαίνει δὲ τοῦτο τῶν Κερκυραίων τὴν ὠμότητα ἐς τοὺς ἀποθανόντας, ὅτι οὐδὲ μετὰ τὸν ἐκείνων θάνατον τοῦ πρὸς ἐκείνους μίσους ἐπαύσαντο.

ἅμα τελευτῶντος τοῦ θέρους στρατευσάμενοι Ἀνακτόριον Κορινθίων πόλιν, ἣ κεῖται ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, ἔλαβον προδοσίᾳ· καὶ ἐκπέμψαντες Κορινθίους αὐτοὶ Ἀκαρνᾶνες οἰκήτορες ἀπὸ πάντων ἔσχον τὸ χωρίον. Καὶ τὸ θέρος ἐτελεύτα.

50. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀριστείδης ὁ Ἀρχίππου, εἷς τῶν ἀργυρολόγων νεῶν Ἀθηναίων στρατηγὸς, αἳ ἐξεπέμφθησαν πρὸς τοὺς ξυμμάχους, Ἀρταφέρνην ἄνδρα Πέρσην παρὰ βασιλέως πορευόμενον ἐς Λακεδαίμονα ξυλλαμβάνει ἐν Ἠϊόνι τῇ ἐπὶ Στρυμόνι. Καὶ αὐτοῦ κομισθέντος οἱ Ἀθηναῖοι τὰς μὲν ἐπιστολὰς μεταγραψάμενοι ἐκ τῶν Ἀσσυρίων γραμμάτων ἀνέγνωσαν, ἐν αἷς πολλῶν ἄλλων γεγραμμένων κεφάλαιον ἦν πρὸς Λακεδαιμονίους, οὐ γιγνώσκειν ὅ,τι βούλονται· πολλῶν γὰρ ἐλθόντων πρέσβεων οὐδένα ταὐτὰ λέγειν· εἰ οὖν βούλονται σαφὲς λέγειν, πέμψαι μετὰ τοῦ Πέρσου ἄνδρας ὡς αὐτόν. Τὸν δὲ Ἀρταφέρνην ὕστερον οἱ Ἀθηναῖοι ἀποστέλλουσι τριήρει ἐς Ἔφεσον, καὶ πρέσβεις ἅμα· οἳ πυθόμενοι αὐτόθι βασιλέα Ἀρτοξέρξην τὸν Ξέρξου νεωστὶ τεθνηκότα, κατὰ γὰρ τοῦτον τὸν χρόνον ἐτελεύτησεν, ἐπ' οἴκου ἀνεχώρησαν.

51. Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Χῖοι τὸ τεῖχος περιεῖλον τὸ καινὸν κελευσάντων Ἀθηναίων καὶ ὑποπτευσάντων ἐς αὐτούς τι νεωτεριεῖν, ποιησάμενοι μέντοι πρὸς Ἀθηναίους πίστεις

49. *οἰκήτορες*] A. F. H. *καὶ οἰκήτορας* L. O. P. Q. Vulgo *οἰκήτορας*. Verba *ἀπὸ πάντων* ita explicat scholiastes, *ἀφ' ἑκάστης πόλεως Ἀκαρνανίας ἀπέστειλαν τοὺς οἰκήσοντας*.

50. *Ἀσσυρίων*] Dukerus de literis Assyriorum, quibus has literas scriptas putat, intelligit, non enim habuisse Persas suas ac proprias literarum formas, sed ad scribendum adhibuisse literas Assyrias, quas pro antiquissimis habet Plinius H. N. vii, 56. Assyriæ literas quidem exponi posse Persicas, latissime accepta significatione nominis Assyrius, quo multæ gentes comprehenderentur: nam et quosdam, auctore Suida in *Ἀσσύριοι*, dixisse Assyrios esse Persas. Sed nec Thucydidem, nec alios probatos historicos putat Assyrios pro Persis dixisse. Herodotus quoque, iv, 87. *γράμματα Ἀσσύρια* habet, ubi Schweighæuser. literas Assyrias easdem dicit fuisse quas Babylonicas et Chaldaicas. Assyriæ enim et Babyloniæ nominibus pro synonymis uti Herodotum, et super hoc loco consuli jubet Anquetilium in Actis Academ. Inscript. t. xxxi. p. 436. et Heeren. Comment. Soc. Goetting. t. xiii. p. 35. *Γράμματα* ait ibi non potissimum literas sive characteras intelligi par esse, sed idem valere *γράμματα* atque *ἐπιγραφὴν*, 'inscriptionem;' quod in nostro loco secus est. Quod Haack. Persas Assyria dialecto locutos esse putat, constat falsissimum esse ex Heerenii Ideis, vol. i. Part. i. p. 146. Ego quidem puto characteres intelligendos esse Assyrios. Ceterum utitur hoc loco Thucydidis scholiastes ad Æschyl. Pers. 84.

εἰ οὖν βούλονται] A. B. F. H. N. h. Vulgo *οὖν τι βούλονται*. Omisit *τι* Bekker. coll. iv, 98. Mox, *Ἀρτοξέρξην* pro vulgata *Ἀρταξέρξην* idem dedit ex c. Vid. Wesseling. ad Herodot. vi, 98. Schweigh. in var. lectt. ad vi, 43. et de obitu Artaxerxis Wesseling. ad Diodor. xii, 64.

51. *Χῖοι—βουλεύσειν*] In his verba *ἐς αὐτοὺς*, sc. Chios, pendent ex *ὑποπτευσάντων*, i. e. 'they suspected the Chians.'

καὶ βεβαιότητα ἐκ τῶν δυνατῶν μηδὲν περὶ σφᾶς νεώτερον βουλεύσειν. Καὶ ὁ χειμὼν ἐτελεύτα καὶ ἕβδομον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

52. Τοῦ δ' ἐπιγιγνομένου θέρους εὐθὺς τοῦ τε ἡλίου ἐκλειπές τι ἐγένετο περὶ νουμηνίαν καὶ τοῦ αὐτοῦ μηνὸς ἱσταμένου ἔσεισε. Καὶ οἱ Μυτιληναίων φυγάδες καὶ τῶν ἄλλων Λεσβίων, ὁρμώμενοι οἱ πολλοὶ ἐκ τῆς ἠπείρου, καὶ μισθωσάμενοι ἔκ τε Πελοποννήσου ἐπικουρικὸν καὶ αὐτόθεν ξυναγείραντες, αἱροῦσι Ῥοίτειον· καὶ λαβόντες δισχιλίους στατῆρας Φωκαΐτας ἀπέδοσαν πάλιν, οὐδὲν ἀδικήσαντες· καὶ μετὰ τοῦτο ἐπὶ Ἄντανδρον στρατεύσαντες προδοσίας γενομένης λαμβάνουσι τὴν πόλιν. Καὶ ἦν αὐτῶν ἡ διάνοια τάς τε ἄλλας πόλεις τὰς Ἀκταίας καλουμένας, ἃς πρότερον Μυτιληναίων νεμομένων Ἀθηναῖοι εἶχον, ἐλευθεροῦν, καὶ πάντων μάλιστα τὴν Ἄντανδρον, καὶ κρατυνάμενοι αὐτὴν, (ναῦς τε γὰρ εὐπορία ἦν ποιεῖσθαι αὐτόθεν, ξύλων ὑπαρχόντων καὶ τῆς Ἴδης ἐπικειμένης, καὶ τῇ ἄλλῃ παρασκευῇ) ῥᾳδίως, ἀπ' αὐτῆς ὁρμώμενοι τήν τε Λέσβον ἐγγὺς οὖσαν κακώσειν καὶ τὰ ἐν τῇ ἠπείρῳ Αἰολικὰ πολίσματα χειρώσασθαι. Καὶ οἱ μὲν ταῦτα παρασκευάζεσθαι ἔμελλον.

Verba περὶ σφᾶς et ipsa redeunt ad Chios, qui cum timerent ne dejectis mœnibus suis male tuti ab Atheniensibus acturi essent, pacti sunt cum illis ne quid rerum suarum novaretur. Interpretare igitur: 'Chii novum murum Atheniensium jussu demoliti sunt, suspicantium ipsos rebus novis studere: pacti tamen antea cum Atheniensibus, ne quoad ejus fieri posset de conditione sua quidquam novaretur,' ut Krueger. ad Dionys. p. 331. convertit, ubi hoc unum mutatum velim, ut verba ἐκ τῶν δυνατῶν jungantur cum ποιησάμενοι πίστεις καὶ βεβαιότητα, hoc sensu, 'pacti tamen, quoad ejus fieri poterat, firmissime.'

52. ἔσεισε] V. Elmsl. ad Eur. Heracl. 830. Mox, Ῥοίτειον ex A. B. H. h. dedit Bekker. pro vulg. Ῥοίτιον. Vid. Dorv. ad Charit. p. 250. Atque ex h. l. στατῆρας Φωκαΐτας memorat Pollux ix, 93., de quibus v. Boëckh. Staatsh. d. Ath. t. i. p. 24.

καὶ ἦν αὐτῶν—χειρώσασθαι] Apertum est, Popp. Obs. p. 232. ait, sibi respondere ναῦς τε καὶ τῇ ἄλλῃ παρασκευῇ, ita ut duæ causæ afferantur cur exsules Antandrum sibi commodissimam judicaverint, quippe quæ et navium et reliqui apparatus comparandi facultatem ipsis præberet: nam cum ὁρμώμενοι κακώσειν conjuncta verba τῇ ἄλλῃ παρασκευῇ recte intelligi nequeunt. Scribit igitur καὶ κρατυνάμενοι αὐτὴν (ναῦς τε γὰρ εὐπορία ἦν ποιεῖσθαι αὐτόθεν, ξύλων ὑπαρχόντων, καὶ τῆς Ἴδης ἐπικειμένης, καὶ τὴν ἄλλην παρασκευήν) ῥᾳδίως, ἀπ' αὐτῆς ὁρμώμενοι τήν τε Λέσβον ἐγγὺς οὖσαν κακώσειν καί, etc. Sententia, ait, quæ causas continet cur exsules Lesbum facile a se vastatum iri speraverint, ei membro, cujus rationes reddit, præmissa est. Quam emendationem recipere non hæsitassem, nisi et vulgata quodammodo defendi posset ita ut repetatur καὶ εὐπορία ἦν τῇ ἄλλῃ παρασκευῇ, (quanquam solennius erat poni genitivum τῆς ἄλλης παρασκευῆς, ut iii, 82. legitur εὐπορίαν τοῦ καθ' ἡμέραν, et fatendum est conjecturam et emendandi et sensus facilitate commendari,) itaque in tanto consensu librorum, in dativum conspirantium, satis habui uncos post παρασκευῇ removere, qui vulgo ponuntur post ἐπικειμένης. Monendum denique de anacolutho, quod in nominativis participiorum κρατυνάμενοι et ὁρμώμενοι inest: nimirum quia in verbis καὶ ἦν αὐτῶν ἡ διάνοια idem sensus est ac si posuisset vel ᾤοντο, vel ἐνόμιζον, vel διενοοῦντο, posthac

53. Ἀθηναῖοι δὲ ἐν τῷ αὐτῷ θέρει ἑξήκοντα ναυσὶ καὶ δισχιλίοις ὁπλίταις ἱππεῦσί τε ὀλίγοις καὶ τῶν ξυμμάχων Μιλησίους καὶ ἄλλους τινὰς ἀγαγόντες ἐστράτευσαν ἐπὶ Κύθηρα· ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου καὶ Νικόστρατος ὁ Διοτρέφους καὶ Αὐτοκλῆς ὁ Τολμαίου. Τὰ δὲ Κύθηρα νῆσός ἐστιν, ἐπίκειται δὲ τῇ Λακωνικῇ κατὰ Μαλέαν· Λακεδαιμόνιοι δ' εἰσὶ τῶν περιοίκων, καὶ κυθηροδίκης ἀρχὴ ἐκ τῆς Σπάρτης διέβαινεν αὐτόσε κατὰ ἔτος, ὁπλιτῶν τε φρουρὰν διέπεμπον ἀεὶ καὶ πολλὴν ἐπιμέλειαν ἐποιοῦντο. Ἦν γὰρ αὐτοῖς τῶν τε ἀπ' Αἰγύπτου καὶ Λιβύης ὁλκάδων προσβολὴ, καὶ λῃσταὶ ἅμα τὴν Λακωνικὴν ἧσσον ἐλύπουν ἐκ θαλάσσης, ᾗπερ μόνον οἷόν τ' ἦν κακουργεῖσθαι· πᾶσα γὰρ ἀνέχει πρὸς τὸ Σικελικὸν καὶ Κρητικὸν πέλαγος.

54. Κατασχόντες οὖν οἱ Ἀθηναῖοι τῷ στρατῷ δέκα μὲν ναυσὶ καὶ δισχιλίοις Μιλησίων ὁπλίταις τὴν ἐπὶ θαλάσσῃ πόλιν Σκάνδειαν καλουμένην αἱροῦσι, τῷ δὲ ἄλλῳ στρατεύματι ἀποβάντες τῆς νήσου ἐς τὰ πρὸς Μαλέαν τετραμμένα ἐχώρουν ἐπὶ τὴν ἐπὶ θαλάσσῃ πόλιν τῶν Κυθηρίων, καὶ εὗρον εὐθὺς αὐτοὺς ἐστρατοπεδευμένους ἅπαντας. Καὶ μάχης γενομένης ὀλίγον μέν τινα χρόνον ὑπέστησαν οἱ Κυθήριοι, ἔπειτα τραπόμενοι κατέφυγον ἐς τὴν ἄνω πόλιν, καὶ ὕστερον ξυνέβησαν πρὸς Νικίαν καὶ τοὺς ξυνάρχοντας Ἀθηναίοις ἐπιτρέψαι περὶ σφῶν αὐτῶν, πλὴν θανάτου. Ἦσαν δέ τινες καὶ γενόμενοι τῷ Νικίᾳ λόγοι πρότερον πρός τινας τῶν Κυθηρίων, διὸ καὶ θᾶσσον καὶ ἐπιτηδειότερον τό τε παραυτίκα καὶ τὸ ἔπειτα τὰ τῆς ὁμολογίας ἐπράχθη αὐτοῖς· ἀνέστησαν γὰρ ἂν οἱ

orationem ita continuavit, quasi unum eorum verborum ipsum præcessisset. De proxime prægresso *πάντων*, scholiastes, *σημειῶσαι*, ait, *ὅτι πάντων λέγει, καὶ οὐ πασῶν*. V. Viger. p. 416.

53. *πᾶσα—πέλαγος*] Anecd. Bekk. i. p. 400., ubi est *ὡς* pro *πρός*. Conf. i, 46. *ἡ ἄκρα ἀνέχει*.

54. *εὗρον εὐθὺς αὐτοὺς*] Suspectum Kruegero ad Dionys. p. 132. est *εὐθὺς* ante *αὐτοὺς*, quorum hoc omittunt d. i. illud s. l. tantum habet g. nec Valla expressit. Nihil harum vocum permutatione dicit frequentius. Sic Plat. Legg. v. p. 730. c. pro *εὐθὺς* Monacensem *αὐτὸς* habere, et præter alia exempla affert Thuc. iii. 36. *μετάνοιά τις εὐθὺς ἦν αὐτοῖς*, ubi c. et h. *αὐτοῖς* omittunt, g. *ἦν αὐτοῖς* *εὐθὺς* habet, contra Valla et i. *εὐθὺς* non agnoscunt, quod si abesset, ait, nemo desideraret, et conferri jubet Haack. ad viii, 72. 100.

καὶ μάχης—θανάτου] Dionys. p. 842.

ἀνέστησαν γὰρ ἂν] Omnes et editi et scripti ignorant *ἄν*. Id primus Haack. ex emendatione Heilmanni recepit. Verba enim sine *ἂν* posita repugnarent verbis cap. 57. *ἦγον δέ τινας καὶ ἐκ τῶν Κυθήρων ἄνδρας ὀλίγους, οὓς ἐδόκει ἀσφαλείας ἕνεκα μεταστῆσαι· καὶ τούτους μὲν οἱ Ἀθηναῖοι ἐβουλεύσαντο καταθέσθαι ἐς τὰς νήσους καὶ τοὺς ἄλλους Κυθηρίους οἰκοῦντας τὴν ἑαυτῶν φόρον τέσσαρα τάλαντα φέρειν*. Quare quod Heilm. subintelligi tantum voluit, cum ita fieri non magis possit quam si Latine ' emigrare jusserunt' dicere velis pro

Ἀθηναῖοι Κυθηρίους, Λακεδαιμονίους τε ὄντας καὶ ἐπὶ τῇ Λακωνικῇ τῆς νήσου οὕτως ἐπικειμένης. Μετὰ δὲ τὴν ξύμβασιν οἱ Ἀθηναῖοι τήν τε Σκάνδειαν τὸ ἐπὶ τῷ λιμένι πόλισμα παραλαβόντες καὶ τῶν Κυθήρων φυλακὴν ποιησάμενοι ἔπλευσαν ἔς τε Ἀσίνην καὶ Ἕλος καὶ τὰ πλεῖστα τῶν περὶ θάλασσαν, καὶ ἀποβάσεις ποιούμενοι καὶ ἐναυλιζόμενοι τῶν χωρίων οὗ καιρὸς εἴη ἐδῄουν τὴν γῆν ἡμέρας μάλιστα ἑπτά.

55. Οἱ δὲ Λακεδαιμόνιοι, ἰδόντες μὲν τοὺς Ἀθηναίους τὰ Κύθηρα ἔχοντας, προσδεχόμενοι δὲ καὶ ἐς τὴν γῆν σφῶν ἀποβάσεις τοιαύτας ποιήσεσθαι, ἁθρόᾳ μὲν οὐδαμοῦ τῇ δυνάμει ἀντετάξαντο, κατὰ δὲ τὴν χώραν φρουρὰς διέπεμψαν, ὁπλιτῶν πλῆθος, ὡς ἑκασταχόσε ἔδει, καὶ τὰ ἄλλα ἐν φυλακῇ πολλῇ ἦσαν, φοβούμενοι μὴ σφίσι νεώτερόν τι γένηται τῶν περὶ τὴν κατάστασιν, γεγενημένου μὲν τοῦ ἐπὶ τῇ νήσῳ πάθους ἀνελπίστου καὶ μεγάλου, Πύλου δὲ ἐχομένης καὶ Κυθήρων, καὶ πανταχόθεν σφᾶς περιεστῶτος πολέμου ταχέος καὶ ἀπροφυλάκτου, ὥστε παρὰ τὸ εἰωθὸς ἱππέας τετρακοσίους κατεστήσαντο καὶ τοξότας, ἔς τε τὰ πολεμικὰ εἴπερ ποτὲ μάλιστα δὴ ὀκνηρότεροι ἐγένοντο, ξυνεστῶτες παρὰ τὴν ὑπάρχουσαν σφῶν ἰδέαν τῆς παρασκευῆς ναυτικῷ ἀγῶνι, καὶ τούτῳ πρὸς Ἀθηναίους, οἷς τὸ μὴ ἐπιχειρούμενον αἰεὶ ἐλλιπὲς ἦν τῆς δοκήσεώς τι πράξειν. Καὶ ἅμα τὰ τῆς τύχης πολλὰ καὶ ἐν ὀλίγῳ ξυμβάντα παρὰ λόγον αὐτοῖς

'emigrare jussissent;' Poppo, Obs. p. 239. addi jussit, quem secutus est etiam Bekkerus.

55. *οἷς—πράξειν*] Haack. male intellecta vulgata hujus loci scriptura, scripturam unius codicis g. *πρᾶξαι* prætulit, cujus ad verbum hæc translatio est: 'whose passion it was to compute as so much loss whatever they left unattempted;' i. e. qui nisi omnia suscepissent, nihil se assecutos esse putabant. Atque hæc interpretatio juvatur iis quæ alibi de Atheniensibus dicit Corinthiorum legatus, i. 70. *ἃ μὲν ἂν ἐπινοήσαντες μὴ ἐπεξέλθωσιν, οἰκείων στέρεσθαι ἡγοῦνται· ἃ δ' ἂν ἐπελθόντες κτήσωνται, ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν πράξαντες.* Speciosa sane scriptura, non tamen necessaria; nam etiam vulgata commodam explicationem habet. In ea *δοκήσεώς τι πράξειν* nihil aliud est nisi *προσδοκία* sive *τὰ προσδοκηθέντα*, interpretatio autem ad verbum facta hæc, 'every omission of an enterprise seemed to them to be a neglect of what they hoped to realize;' i. e. qui nihil non se putabant et suscipere et susceptum assequi posse. Vere igitur scholiastes, *οἷς τισιν Ἀθηναίοις τὸ μὴ ἐπιχειρεῖν ἀεί τι πράττειν καινὸν ὑστέρησις ἐδόκει τῶν προσδοκηθέντων.* Possisque eundem sensum aliis verbis ita reddere, *οἷς τὸ μὴ ἐπιχειρούμενον ἀεὶ ἐλλιπὲς ἐδόκει ὧν ἔμελλον πράξειν.* Vere etiam Heilmannus, 'who considered every thing which they did not actually try, as something which they might have been able to accomplish.'

τὰ τῆς τύχης] Nota circumlocutio. Vide Elmsl. ad Soph. Œd. R. 977. Mox, vulgatum *ἐδεδίεσεν* in *ἐδεδίεσαν* mutandum monuit Lobeck. ad Phrynich. p. 181., idemque corrigendum in v, 14.

ἔκπληξιν μεγίστην παρεῖχε, καὶ ἐδέδισαν μήποτε αὖθις ξυμφορά τις αὐτοῖς περιτύχῃ οἵα καὶ ἐν τῇ νήσῳ. Ἀτολμότεροι δὲ δι' αὐτὸ ἐς τὰς μάχας ἦσαν, καὶ πᾶν ὅ,τι κινήσειαν ᾤοντο ἁμαρτήσεσθαι διὰ τὸ τὴν γνώμην ἀνεχέγγυον γεγενῆσθαι ἐκ τῆς πρὶν ἀηθείας τοῦ κακοπραγεῖν.

56. Τοῖς δ' Ἀθηναίοις τότε τὴν παραθαλάσσιον δῃοῦσι τὰ μὲν πολλὰ ἡσύχασαν ὡς καθ' ἑκάστην φρουρὰν γίγνοιτό τις ἀπόβασις, πλήθει τε ἐλάσσους ἕκαστοι ἡγούμενοι εἶναι καὶ ἐν τῷ τοιούτῳ· μία δὲ φρουρὰ, ἥπερ καὶ ἠμύνατο περὶ Κοτύρταν καὶ Ἀφροδισίαν τὸν μὲν ὄχλον τῶν ψιλῶν ἐσκεδασμένον ἐφόβησεν ἐπιδρομῇ, τῶν τε ὁπλιτῶν δεξαμένων ὑπεχώρησε πάλιν, καὶ ἄνδρες τέ τινες ἀπέθανον αὐτῶν ὀλίγοι καὶ ὅπλα ἐλήφθη, τροπαῖόν τε στήσαντες οἱ Ἀθηναῖοι ἀπέπλευσαν ἐς Κύθηρα. Ἐκ δὲ αὐτῶν περιέπλευσαν ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν, καὶ δῃώσαντες μέρος τι τῆς γῆς ἀφικνοῦνται ἐπὶ Θυρέαν, ἥ ἐστι μὲν τῆς Κυνουρίας γῆς καλουμένης, μεθορία δὲ τῆς Ἀργείας καὶ Λακωνικῆς. Νεμόμενοι δὲ αὐτὴν ἔδοσαν Λακεδαιμόνιοι Αἰγινήταις ἐκπεσοῦσιν ἐνοικεῖν διά τε τὰς ὑπὸ τὸν σεισμὸν σφίσι γενομένας καὶ τῶν Εἱλώτων τὴν ἐπανάστασιν εὐεργεσίας, καὶ ὅτι Ἀθηναίων ὑπακούοντες ὅμως πρὸς τὴν ἐκείνων γνώμην αἰεὶ ἕστασαν.

57. Προσπλεόντων οὖν ἔτι τῶν Ἀθηναίων οἱ Αἰγινῆται τὸ μὲν ἐπὶ τῇ θαλάσσῃ ὃ ἔτυχον οἰκοδομοῦντες τεῖχος ἐκλείπου-

ἀνεχέγγυον] i. e. ad verbum, quia animus eorum non-sponsor factus est, sive minus confidens, propterea quod prius non consueverant in fortuna adversa versari, 'because their courage gave them no longer a guarantee,' sive 'inspired them no longer with confidence, as they were formerly not accustomed to misfortune.' Nam si prius rebus dubiis assuevissent, ne nunc quidem animum desponderent. V. quas adscripsi glossas veterum grammaticorum ad iii, 46.

56. τοῖς δ' Ἀθηναίοις—ἐν τῷ τοιούτῳ] Ordo verborum hic est: τοῖς δ' Ἀθηναίοις τότε τὴν παραθαλάσσιον δῃοῦσι ὡς καθ' ἑκάστην φρουρὰν γίγνοιτό τις ἀπόβασις τὰ μὲν πολλὰ ἡσύχασαν, πλήθει τε ἐλάσσους ἕκαστοι ἡγούμενοι εἶναι καὶ ἐν τῷ τοιούτῳ. Heilmannus: 'as they neither themselves were strong enough, nor this mode of fighting advantageous to themselves.' Minus recte; nam postrema verba hunc sensum habent: cum in hoc statu rerum essent, ut animo minus forti essent et audace.

Κυνουρίας] A. B. h. et marg. N. Κυνοσουρίας. P. Κυνουργίας. Infra v, 14. A. B. Κυνοσουρίαν, et v, 41. A. B. h. Κυνοσουρίας, d. i. Κυνουργίας. Bekker. edidit Κυνοσουρίας. Revocavi antiquam lectionem, quam his omnibus locis tuetur etiam S. "Κυνοσουρίας, quod hic est in marg. Cl., etiam olim legebatur ap. Strabonem [vii. p. 376.], ubi id emendarunt Xylander et Hartungus t. ii. Facis Gruteri, p. 666. Idem vitium e Luciani Icaromenippo p. 200. sustulit Palmer. Exercitt. p. 549. Et sic quoque ibi emendandus est Scholiastes." Duker.—Veram scripturam, judice Poppone Proleg. t. ii. p. 205. not. confirmant Herodot. et Steph. Hodie regio Sancti Petri Pouquev. Græc. iv. p. 170.

ἕστασαν] V. Musgr. ad Soph. Antig. 299.

σιν, ἐς δὲ τὴν ἄνω πόλιν, ἐν ᾗ ᾤκουν, ἀπεχώρησαν ἀπέχουσαν σταδίους μάλιστα δέκα τῆς θαλάσσης. Καὶ αὐτοῖς τῶν Λακεδαιμονίων φρουρὰ μία τῶν περὶ τὴν χώραν, ἥπερ καὶ ξυνετείχιζε, ξυνεσελθεῖν μὲν ἐς τὸ τεῖχος οὐκ ἠθέλησαν δεομένων τῶν Αἰγινητῶν, ἀλλ' αὐτοῖς κίνδυνος ἐφαίνετο ἐς τὸ τεῖχος κατακλείεσθαι. Ἀναχωρήσαντες δὲ ἐπὶ τὰ μετέωρα ὡς οὐκ ἐνόμιζον ἀξιόμαχοι εἶναι, ἡσύχαζον. Ἐν τούτῳ δὲ οἱ Ἀθηναῖοι κατασχόντες καὶ χωρήσαντες εὐθὺς πάσῃ τῇ στρατιᾷ αἱροῦσι τὴν Θυρέαν. Καὶ τήν τε πόλιν κατέκαυσαν καὶ τὰ ἐνόντα ἐξεπόρθησαν, τούς τε Αἰγινήτας, ὅσοι μὴ ἐν χερσὶ διεφθάρησαν, ἄγοντες ἀφίκοντο ἐς τὰς Ἀθήνας καὶ τὸν ἄρχοντα ὃς παρ' αὐτοῖς ἦν τῶν Λακεδαιμονίων Τάνταλον τὸν Πατροκλέους· ἐζωγρήθη γὰρ τετρωμένος. Ἦγον δέ τινας καὶ ἐκ τῶν Κυθήρων ἄνδρας ὀλίγους, οὓς ἐδόκει ἀσφαλείας ἕνεκα μεταστῆσαι. Καὶ τούτους μὲν οἱ Ἀθηναῖοι ἐβουλεύσαντο καταθέσθαι ἐς τὰς νήσους, καὶ τοὺς ἄλλους Κυθηρίους οἰκοῦντας τὴν ἑαυτῶν φόρον τέσσαρα τάλαντα φέρειν, Αἰγινήτας δὲ ἀποκτεῖναι πάντας ὅσοι ἑάλωσαν διὰ τὴν προτέραν ἀεί ποτε ἔχθραν, Τάνταλον δὲ παρὰ τοὺς ἄλλους τοὺς ἐν τῇ νήσῳ Λακεδαιμονίους καταδῆσαι.

58. Τοῦ δ' αὐτοῦ θέρους ἐν Σικελίᾳ Καμαριναίοις καὶ Γελῴοις ἐκεχειρία γίγνεται πρῶτον πρὸς ἀλλήλους· εἶτα καὶ οἱ ἄλλοι Σικελιῶται ξυνελθόντες ἐς Γέλαν ἀπὸ πασῶν τῶν πόλεων πρέσβεις ἐς λόγους κατέστησαν ἀλλήλοις, εἴ πως ξυναλλαγεῖεν. Καὶ ἄλλαι τε πολλαὶ γνῶμαι ἐλέγοντο ἐπ' ἀμφότερα, διαφερομένων καὶ ἀξιούντων, ὡς ἕκαστοί τι ἐλασσοῦσθαι ἐνόμιζον· καὶ Ἑρμοκράτης ὁ Ἕρμωνος Συρακόσιος, ὅσπερ καὶ ἔπεισε μάλιστα αὐτούς, ἐς τὸ κοινὸν τοιούτους δὴ λόγους εἶπεν.

59. Οὔτε πόλεως ὢν ἐλαχίστης, ὦ Σικελιῶται, τοὺς λό-

57. ἠθέλησαν] A. B. F. H. K. L. O. P. b. c. d. e. g. h. i. Vulgo ἠθέλησεν.

ἐν τούτῳ δὲ—ἐς τὰς Ἀθήνας] Dionys. p. 842. Extremo capite Lindav. Spicil. p. 7. non male emendat τοὺς ἐκ τῆς νήσου, quanquam etiam vulgata ferri potest.

58. ἐκεχειρία] Zonaras explicat ἄνεσις, ἀνοχὴ πολέμου. Scholiastes διάλειψις τοῦ πολέμου. Conf. A. Gell. N. A. i, 25. et schol. ad v, 1.

Σικελιῶται] Schol. ad v, 5. ἰστέον ὅτι οἱ μὲν Ἕλληνες οἱ ἐν Σικελίᾳ Σικελιῶται λέγονται, οἱ δὲ βάρβαροι οἱ ἐν αὐτῇ Σικελοί· οὕτω δὲ καὶ ἐπὶ Ἰταλιωτῶν. Illi sunt Latinis 'Sicilienses,' hi 'Siculi.' Idem discrimen statuunt Steph. Byzant., Eustath. in Homer. Odyss. υ. extr. et Ammon. d. Diff. Voc. in v. Ἰταλοί, ubi v. interpr.

59. Oratio Hermocratis Syracusani. Detectis Atheniensium consiliis suadet pacis inter ipsos Sicilienses restitutionem atque Atheniensium per socios remissionem. Scholiastes: τέμνεται ἡ δημηγορία αὕτη τῷ δικαίῳ καὶ τῷ συμφέροντι

γους ποιήσομαι, οὔτε πονουμένης μάλιστα τῷ πολέμῳ, ἐς κοινὸν δὲ τὴν δοκοῦσάν μοι βελτίστην γνώμην εἶναι ἀποφαινόμενος τῇ Σικελίᾳ πάσῃ. Καὶ περὶ μὲν τοῦ πολεμεῖν ὡς χαλεπὸν τί ἄν τις πᾶν τὸ ἐνὸν ἐκλέγων ἐν εἰδόσι μακρηγοροίη; οὐδεὶς γὰρ οὔτε ἀμαθίᾳ ἀναγκάζεται αὐτὸ δρᾶν, οὔτε φόβῳ, ἢν οἴηταί τι πλέον σχήσειν, ἀποτρέπεται. Ξυμβαίνει δὲ τοῖς μὲν τὰ κέρδη μείζω φαίνεσθαι τῶν δεινῶν, οἱ δὲ τοὺς κινδύνους ἐθέλουσιν ὑφίστασθαι πρὸ τοῦ αὐτίκα τι ἐλασσοῦσθαι· αὐτὰ δὲ ταῦτα εἰ μὴ καιρῷ τύχοιεν ἑκάτεροι πράσσοντες, αἱ παραινέσεις τῶν ξυναλλαγῶν ὠφέλιμοι. Ὃ καὶ ἡμῖν ἐν τῷ παρόντι πειθομένοις πλείστου ἂν ἄξιον γένοιτο. Τὰ γὰρ ἴδια ἕκαστοι εὖ βουλευόμενοι δὴ θέσθαι τό τε πρῶτον ἐπολεμήσαμεν καὶ νῦν πρὸς ἀλλήλους δι' ἀντιλογιῶν πειρώμεθα καταλλαγῆναι, καὶ ἢν ἄρα μὴ προχωρήσῃ ἴσον ἑκάστῳ ἔχοντι ἀπελθεῖν, πάλιν πολεμήσομεν.

60. Καίτοι γνῶναι χρὴ ὅτι οὐ περὶ τῶν ἰδίων μόνον, εἰ σωφρονοῦμεν, ἡ ξύνοδος ἔσται, ἀλλ' εἰ ἐπιβουλευομένην τὴν πᾶσαν Σικελίαν, ὡς ἐγὼ κρίνω, ὑπ' Ἀθηναίων δυνησόμεθα ἔτι διασῶσαι· καὶ διαλλακτὰς πολὺ τῶν ἐμῶν λόγων ἀναγκαιοτέρους περὶ τῶνδε Ἀθηναίους νομίσαι, οἳ δύναμιν ἔχοντες μεγίστην τῶν Ἑλλήνων τάς τε ἁμαρτίας ἡμῶν τηροῦσιν,

καὶ τῷ δυνατῷ, οὕτω· δίκαιον μὲν γὰρ (φησὶ) πρὸς τοὺς ὁμοφύλους συμβῆναι καὶ πρὸς τοὺς Ἀθηναίους αἱρεῖσθαι πόλεμον, εἶτα δὲ καὶ συμφέρον μὴ ἐᾶν καταδουλωθῆναι Σικελίαν· τὸ δὲ δυνατὸν, ὅτι, ἐὰν ὁμονοήσωμεν, ῥᾳδίως τῶν ἐναντίων περιεσόμεθα. De initio orationis monet: οἱ περὶ καταλύσεως πολέμου παραινοῦντες ἀεὶ ὑποπτεύονται, διὰ φόβον καὶ μαλακίαν τὸν πόλεμον φεύγοντες ταῦτα παραινεῖν· διὸ καὶ ὁ Ἑρμοκράτης τοῦτο ποιεῖ· ἅμα δὲ καὶ αὔξει τὸ ὄνομα τῆς ἑαυτοῦ πατρίδος, ἵνα συγγνώμην ἔχωσιν αὐτῷ οἱ λόγοι μετὰ παῤῥησίας καὶ φρονήματος προερχόμενοι· τὸ δὲ "οὐ πονουμένης" προσέθηκεν, ἵνα μή τις εἴπῃ ὡς ὅτι διὰ τοῦτο ἐρᾷ τῆς εἰρήνης, ὅτι ἡ πόλις αὐτῶν καταπονεῖται.

οὔτε ἀμαθίᾳ] Schol. περιττὸν ἐν εἰδόσι διηγεῖσθαι ὡς χαλεπόν ἐστι πόλεμος· οὔτε γὰρ ἐφίεταί τις αὐτοῦ δι' ἄγνοιαν, οὔτε ἀποτρέπεται διὰ φόβον, ἐάν γε δὴ σχήσειν πλέον ἐλπίσῃ. Et mox, συμβαίνει δὲ τοῖς μὲν ἐρῶσι τῶν χρημάτων, τὰ κέρδη ποιεῖν αὐτοὺς καταφρονεῖν τῶν δεινῶν τῶν ἐν τῷ πολέμῳ· τοῖς δὲ ὑπὲρ τοῦ μὴ πλεονεκτηθῆναι παρὰ τῶν ἄλλων καὶ δουλεῦσαί τινι. Ubi Heilm. ait, et τοῖς μὲν et τοῖς δὲ referenda esse ad genus hominum solum, altero loco verbis οὔτε φόβῳ—ἀποτρέπεται memoratum. In quo me quidem non habet consentientem; etenim οἱ οὐκ ἀμαθίᾳ πολέμου ἀναγκαζόμενοι aperte sunt ii qui ab hoste videlicet coguntur sese ingrediente: ad hos igitur redeunt verba οἱ δὲ—ἐλασσοῦσθαι, ad alteros verba τοῖς μὲν—τῶν δεινῶν, prorsus ex usu Græcorum, qui plerumque οἱ μὲν referunt ad propiora, οἱ δὲ ad remotiora. V. Krueger. ad Dionys. p. 159.

καταλλαγῆναι] Anecd. Bekker. i. p. 102. καταλλαγῆναι φασὶ διαλλαγῆναι. Θουκυδίδης τετάρτῳ δίς. Sensum schol. ait esse: νῦν ἐὰν μὴ προχωρήσῃ ἐκ τῆς ἐκκλησίας ταύτης τὸ νομίζειν ἕκαστον ἔχοντα τὸ ἴδιον ἀπελθεῖν, ἀλλὰ τοὐναντίον ἀδικεῖσθαι, ὕστερον πάλιν πολεμήσομεν, ἂν δόξῃ, μετὰ τὸ ἀπελθεῖν τοὺς Ἀθηναίους· τέως δὲ νῦν βέλτιόν ἐστι τὸ διαλλαγῆναι, ἐν ὅσῳ ἐπίκεινται ἡμῖν οἱ Ἀθηναῖοι.

ὀλίγαις ναυσὶ παρόντες, καὶ ὀνόματι ἐννόμῳ ξυμμαχίας τὸ φύσει πολέμιον εὐπρεπῶς ἐς τὸ ξυμφέρον καθίστανται. Πόλεμον γὰρ αἰρομένων ἡμῶν καὶ ἐπαγομένων αὐτοὺς, ἄνδρας οἳ καὶ τοὺς μὴ ἐπικαλουμένους αὐτοὶ ἐπιστρατεύουσι, κακῶς τε ἡμᾶς αὐτοὺς ποιούντων τέλεσι τοῖς οἰκείοις, καὶ τῆς ἀρχῆς ἅμα προκοπτόντων ἐκείνοις, εἰκὸς, ὅταν γνῶσιν ἡμᾶς τετρυχωμένους, καὶ πλέονί ποτε στόλῳ ἐλθόντας αὐτοὺς τάδε πάντα πειράσασθαι ὑπὸ σφᾶς ποιεῖσθαι.

61. Καίτοι τῇ ἑαυτῶν ἑκάστους, εἰ σωφρονοῦμεν, χρὴ τὰ μὴ προσήκοντα ἐπικτωμένους μᾶλλον ἢ τὰ ἑτοῖμα βλάπτοντας ξυμμάχους τε ἐπάγεσθαι καὶ τοὺς κινδύνους προσλαμβάνειν, νομίσαι τε στάσιν μάλιστα φθείρειν τὰς πόλεις καὶ τὴν Σικελίαν, ἧς γε οἱ ἔνοικοι ξύμπαντες μὲν ἐπιβουλευόμεθα, κατὰ πόλεις δὲ διέσταμεν. Ἃ χρὴ γνόντας καὶ ἰδιώτην ἰδιώτῃ καταλλαγῆναι καὶ πόλιν πόλει, καὶ πειρᾶσθαι κοινῇ σώζειν τὴν πᾶσαν Σικελίαν, παρεστάναι δὲ μηδενὶ ὡς οἱ μὲν Δωριῆς ἡμῶν πολέμιοι τοῖς Ἀθηναίοις, τὸ δὲ Χαλκιδικὸν τῇ Ἰάδι ξυγγενείᾳ ἀσφαλές. Οὐ γὰρ τοῖς ἔθνεσιν ὅτι δίχα πέφυκε, τοῦ ἑτέρου ἔχθει ἐπίασιν, ἀλλὰ τῶν ἐν τῇ Σικελίᾳ ἀγαθῶν ἐφιέμενοι, ἃ κοινῇ κεκτήμεθα. Ἐδήλωσαν δὲ νῦν ἐν τῇ

60. *ὀλίγαις ναυσὶ*] Schol. *τινὰ τῶν βιβλίων τὸ ὀλίγαις ναυσὶν οὐκ ἔχουσι.* At nostri libri omnes servant, et recte servari ait Wasse, nam paulo inferius verba *πλέονί ποτε στόλῳ ἐλθόντας αὐτοὺς* huc spectare.

καὶ ὀνόματι—καθίστανται] Schol. *πρόσχημα μὲν ποιοῦνται τὴν πρὸς τοὺς Χαλκιδεῖς συμμαχίαν, ὡς διὰ συγγένειαν νομίμως αὐτοῖς ξυμμαχοῦντες· φύσει δὲ πολέμιοι πᾶσιν ὄντες Σικελιώταις τὸ ἴδιον συμφέρον διὰ τῆς πρὸς τὸ συμμαχεῖν εὐπρεπείας κατασκευάζονται, τουτέστι θηρῶνται.*

ἐπαγομένων αὐτοὺς, ἄνδρας] H. L. N. O. Q. S. g. Vulgo *αὐτούς*. Correxit Bekkerus. Mox, *τοὺς μὴ ἐπικαλουμένους* A. B. F. H. K. et correctus S. Vulgo dativus exhibetur. V. Valck. ad Eurip. Phœn. 292. Hippol. 526. p. 224. Conf. infr. cap. 92. *τὸν ἡσυχάζοντα ἐπιστρατεύειν.* v, 110. *ὅσους μὴ Βρασίδας ἐπῆλθε.* Adde quos laudat Popp. Proleg. t. i. p. 132. Fischer. Comm. ad Xenoph. Cyrop. p. 580. Porson. ad Eur. Phœn. p. 267. et Matth. Gr. § 402. Obs.

κακῶς—οἰκείοις] Thom. M. p. 889. Verba *κακῶς—ἐκείνοις* sunt in Anecd. Bekkeri, i. p. 169. Genitivum *τῆς ἀρχῆς* non putaverim cum Haackio pendere ex omisso *μέρος* (nam non dicunt se partim juvisse Athenienses, ut in potentia proficerent, neque commode afferuntur ab illo verba vii, 56. *τοῦ ναυτικοῦ μέγα μέρος προκόψαντες*), sed ideo positum hunc casum, quod *προκόπτειν* hic idem est ac *προκοπὴν ποιεῖν*, (non *ποιεῖσθαι*, non sibi sed alteri) atque schol. idem sensisse videtur: *τὸ δὲ προκοπτόντων, προσθετοποιούντων* (sic etiam Anecdota Bekk.) *καὶ εὐτρεπιζόντων, ἤγουν προκοπὴν καὶ ἐπίδοσιν ποιούντων ἡμῶν τῆς ἀρχῆς ἐκείνων.* Ceterum vide Coraën ad Isocrat. ii. p. 121.

61. *καίτοι—ἐπάγεσθαι*] Schol. *χρὴ, εἰ σωφρονοῦμεν, ἑκάστους ἡμῶν τῶν Σικελιωτῶν τὰ ἀλλότρια* (i. e. *τὰ μὴ προσήκοντα*) *ἐπικτωμένους καὶ ἁρπάζοντας μᾶλλον τοὺς συμμάχους ἐπάγεσθαι, ἤπερ τὰ ἑτοῖμα βλάπτοντας· τουτέστιν, ὅταν τῶν ἰδίων ἡμῶν καλῶς ἐχόντων καὶ ἀδεῶς διακειμένων βουλώμεθα κατὰ πλεονεξίαν ἀλλότρια ἐπικτήσασθαι, τότε δεῖ τοὺς συμμάχους ἐπάγεσθαι καὶ τοὺς κινδύνους ὑφίστασθαι, καὶ μὴ ὅταν ὁ κίνδυνος περὶ τῶν οἰκείων ἡμῶν γίγνηται.*

τοῦ Χαλκιδικοῦ γένους παρακλήσει· τοῖς γὰρ οὐδεπώποτε σφίσι κατὰ τὸ ξυμμαχικὸν προσβοηθήσασιν αὐτοὶ τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης προθύμως παρέσχοντο. Καὶ τοὺς μὲν Ἀθηναίους ταῦτα πλεονεκτεῖν τε καὶ προνοεῖσθαι πολλὴ ξυγγνώμη, καὶ οὐ τοῖς ἄρχειν βουλομένοις μέμφομαι ἀλλὰ τοῖς ὑπακούειν ἑτοιμοτέροις οὖσι. Πέφυκε γὰρ τὸ ἀνθρώπειον διὰ παντὸς ἄρχειν μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιόν. Ὅσοι δὲ γιγνώσκοντες αὐτὰ μὴ ὀρθῶς προσκοποῦμεν, μηδὲ τοῦτό τις πρεσβύτατον ἥκει κρίνας τὸ κοινῶς φοβερὸν ἅπαντας εὖ θέσθαι, ἁμαρτάνομεν. Τάχιστα δ' ἂν ἀπαλλαγὴ αὐτοῦ γένοιτο, εἰ πρὸς ἀλλήλους ξυμβαίημεν· οὐ γὰρ ἀπὸ τῆς αὐτῶν ὁρμῶνται Ἀθηναῖοι, ἀλλ' ἐκ τῆς τῶν ἐπικαλεσαμένων. Καὶ οὕτως οὐ πόλεμος πολέμῳ, εἰρήνῃ δὲ διαφοραὶ ἀπραγμόνως παύονται, οἵ τ' ἐπίκλητοι εὐπρεπῶς ἄδικοι ἐλθόντες εὐλόγως ἄπρακτοι ἀπίασι.

62. Καὶ τὸ μὲν πρὸς τοὺς Ἀθηναίους τοσοῦτον ἀγαθὸν εὖ βουλευομένοις εὑρίσκεται· τὴν δὲ ὑπὸ πάντων ὁμολογουμένην ἄριστον εἶναι εἰρήνην πῶς οὐ χρὴ καὶ ἐν ἡμῖν αὐτοῖς ποιήσασθαι; ἢ δοκεῖτε, εἴ τῳ τί ἐστιν ἀγαθὸν ἢ εἴ τῳ τὰ ἐναντία, οὐχ ἡσυχία μᾶλλον ἢ πόλεμος τὸ μὲν παῦσαι ἂν ἑκατέρῳ,

αὐτοὶ τὸ δίκαιον] Idem, *τὸ δὲ αὐτοὶ* ('sponte') *τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης παρέσχοντο ἀντὶ τοῦ, προθυμότερον ἤπερ ἐχρῆν κατὰ συμμαχίαν ἐβοήθησαν.* Heilmannus: 'although they have never given to the Athenians any assistance which they were bound to afford as their allies, yet they have shown a greater readiness in support of those than any compact between them required.'

ἑτοιμοτέροις] "'Non succenseo iis qui velint imperare, sed iis qui paratiores sint obedire.' Quibusnam 'paratiores?' Possis intelligere, paratiores ad obediendum quam illi sint ad imperandum; quo nomine Romanos sæpe ridebat Tiberius. Sed nihil habet contextus quod hoc suadeat. Itaque hypallagen statuam, ac si foret, *οὐ μέμφομαι τοῖς ἄρχειν βουλομένοις, ἀλλὰ μᾶλλον μέμφομαι τοῖς ἑτοίμοις οὖσιν ὑπακούειν.*" Bauer. Conf. ad iii, 63. Scholiastes: *ἑτοιμοτέροις οὖσιν· ἀντὶ τοῦ ἑτοίμοις.*

πέφυκε—τὸ ἐπιὸν] Stobæus Serm. 52. p. 364. ex citatione Dukeri.

ὅσοι δὲ—ἁμαρτάνομεν] Duplex loquendi ratio commixta; altera, *εἰ δὲ γιγνώσκοντες αὐτὰ μὴ ὀρθῶς προσκοποῦμεν, μηδὲ τοῦτό τις πρεσβύτατον ἥκει κρίνας—ἁμαρτάνομεν·* altera, *ὅσοι δὲ γιγνώσκοντες αὐτὰ μὴ ὀρθῶς προσκοποῦμεν, μηδὲ τοῦτο πρεσβύτατον ἥκομεν κρίναντες — ἁμαρτάνομεν.* "Ἥκει κρίνας autem non est dictum pro *ἐστὶ κρίνας*, ut voluit Abresch. ad Æschyl. p. 302. sed est, 'si quis huc in hoc concilium venit cum isto judicio, non antiquissimum esse, commune omnibus periculum avertere cunctos, fallitur.'

οὐ πόλεμος — διαφοραὶ] A. B. F. L. O. S. d. f. h. i. *αἱ διαφοραὶ* I. *διαφορᾷ* g. Vulgo *διαφορά.* Schol. *σκόπει πῶς τὸν πόλεμον εὐφήμως διαφορὰν καλεῖ.* Nimirum distinguit Hermocrates inter *πόλεμον* et *διαφοραί.* Bellum geritur cum exteris, et vi plerumque dirimitur, bello bellum excipiente; discordia autem popularium pace finitur *οὕτως*, i. e. *εἰ πρὸς ἀλλήλους ξυμβαίημεν.*

οἵ τ'—ἐλθόντες] Thom. M. p. 340. Scholiastes: *οἱ Ἀθηναῖοι μετὰ προφάσεως εὐπρεποῦς ἐλθόντες ὡς δῆθεν συμμαχοῦντες τοῖς ἐνθάδε Χαλκιδεῦσιν, εὐλόγως ἄπρακτοι ἀπελεύσονται, διαλλαγέντων ἡμῶν* et *εὐλόγως φησὶ διὰ τὸ ξυμβῆναι.*

62. *ἢ δοκεῖτε—πολεμεῖν;*] Vulgo hic legitur *παῦσαι* et *διασῶσαι*, infinitivi pro optativis. Est autem hujus optativi usus plane similis nostro sermoni, 'or do you think that peace would not remove

τὸ δὲ ξυνδιασῶσαι, καὶ τὰς τιμὰς καὶ λαμπρότητας ἀκινδυνοτέρας ἔχειν τὴν εἰρήνην, ἄλλα τε ὅσα ἐν μήκει λόγων ἄν τις διέλθοι, ὥσπερ περὶ τοῦ πολεμεῖν; ἃ χρὴ σκεψαμένους μὴ τοὺς ἐμοὺς λόγους ὑπεριδεῖν, τὴν δὲ αὑτοῦ τινα σωτηρίαν μᾶλλον ἀπ' αὐτῶν προϊδεῖν. Καὶ εἴ τις βεβαίως τι ἢ τῷ δικαίῳ ἢ βίᾳ πράξειν οἴεται, τῷ παρ' ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω, γνοὺς ὅτι πλείους ἤδη καὶ τιμωρίαις μετιόντες τοὺς ἀδικοῦντας καὶ ἐλπίσαντες ἕτεροι δυνάμει τινὶ πλεονεκτήσειν, οἱ μὲν οὐχ ὅσον οὐκ ἠμύναντο ἀλλ' οὐδ' ἐσώθησαν, τοῖς δ' ἀντὶ τοῦ πλέον ἔχειν προσκαταλιπεῖν τὰ αὑτῶν ξυνέβη. Τιμωρία γὰρ οὐκ εὐτυχεῖ δικαίως, ὅτι καὶ ἀδικεῖται· οὐδὲ ἰσχὺς βέβαιον, διότι καὶ εὔελπι. Τὸ δὲ ἀστάθμητον τοῦ μέλλοντος ὡς ἐπὶ πλεῖστον κρατεῖ, πάντων τε σφαλερώτατον ὂν ὅμως καὶ χρησιμώτατον φαίνεται· ἐξ ἴσου γὰρ δεδιότες προμηθείᾳ μᾶλλον ἐπ' ἀλλήλους ἐρχόμεθα.

63. Καὶ νῦν τοῦ ἀφανοῦς τε τούτου διὰ τὸ ἀτέκμαρτον

the one and preserve the other, more than enmity?' verbo *δοκεῖτε* quasi in parenthesi interposito, ubi ad optativum *ὅτι* cogitando supplere solent. Similia sunt prolata a Matth. Gr. § 529, 3. Conf. adnotata ad ii, 72. Ast. ad Plat. Phædr. p. 394. ad Polit. p. 494. Jam vero sequi debebat post *δοκεῖτε* non *ἔχειν τὴν εἰρήνην τὰς τιμὰς—ἀκινδυνοτέρας*, sed potius *μὴ ἔχειν τὴν εἰρήνην*, etc. 'num putatis, pacem non magis quam bellum a malis liberare, bona servare, non pacem habere honores a periculo remotiores?' Sed scriptor in altero membro ita loquitur, quasi negationem *οὐ* non cum *μᾶλλον*, sed cum primario verbo *δοκεῖτε* conjunxisset, ut plane similis structura sit loco, i, 71. *διαμέλλετε καὶ οἴεσθε τὴν ἡσυχίαν οὐ τούτοις τῶν ἀνθρώπων ἐπὶ πλεῖστον ἀρκεῖν, οἳ ἂν τῇ μὲν παρασκευῇ δίκαια πράσσωσι, τῇ δὲ γνώμῃ, ἢν ἀδικῶνται, δῆλοι ὦσι μὴ ἐπιτρέψοντες· ἀλλ' ἐπὶ τῷ μὴ λυπεῖν τε ἄλλους καὶ αὐτοὶ ἀμυνόμενοι μὴ βλάπτεσθαι τὸ ἴσον νέμετε*, ubi sequuntur verba *ἀλλὰ νέμετε* pro *ἀλλ' οἳ ἂν—νέμωσι*, quasi negatione primario verbo juncta antea posuisset, *καὶ οὐκ οἴεσθε τὴν ἡσυχίαν τούτοις ἀρκεῖν*. Popp. Obs. p. 186. Ceterum, ut hic, ita i, 3. post verbum *δοκεῖ* oratio ex verbo finito in verbum infinitum transit, *δοκεῖ δέ μοι, οὐδὲ—εἶχεν, ἀλλὰ—οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη*, etc. ubi vide.

τῷ παρ' ἐλπίδα] i. e. *τύχῃ* vel *ξυμφορᾷ παρ' ἐλπίδα αὐτοῦ γεγενημένῃ*. Ex interpretatione Scholiastæ suspiceris olim longe aliud quid hic lectum esse, dignum quod hic notetur. Scribit enim, *εἴ τις βεβαίως τι καὶ πάντῃ πάντως οἴεται πράξειν καὶ κρατήσειν τῶν ἐναντίων, ἤτοι διὰ τὸ δικαίως αὐτοῖς ἐπιέναι νομίζειν, ἢ διὰ τὸ ἰσχυρὸς οἴεσθαι τυγχάνειν, μὴ χαλεπαινέτω, εἰ παρὰ τὴν οἰκείαν οἴησίν τε καὶ ἐλπίδα σφαλλόμενος ἐλέγχεται ὑπ' ἐμοῦ, ἐνθυμηθεὶς ὅτι πολλοὶ δικαίως τιμωρήσασθαι τοὺς ἀδικήσαντας διανοηθέντες οὐ μόνον οὐκ ἠμύναντο αὐτοὺς, ἀλλὰ καὶ αὐτοὶ προσαπώλοντο· καὶ ἕτεροι δι' ἰσχὺν ἐλπίσαντες πλεονεκτήσειν τῶν πέλας πρὸς τῷ μὴ σχεῖν πλεῖον καὶ τὰ ἑαυτῶν ἀπώλεσαν· διὰ τούτων δὲ τὸ μὴ δεῖν αὐτοὺς ἐλεγχομένους χαλεπαίνειν συνάγεται.*

οὐκ εὐτυχεῖ δικαίως] i. e. 'according to right or justice.' Imitatur locum Dio Cass. xliv, 27. *οὔτε τὸ πλεονεκτούμενον ἔν τινι πάντως εὐτυχεῖ, διότι καὶ ἀδικεῖται· οὔτε τὸ δυνάμει προὖχον πάντως κατορθοῖ, διότι καὶ πρόηκες*, pro quo postremo vocabulo Popp. Proleg. t. i. p. 368. conjecit *προπετές*.

63. *καὶ νῦν τοῦ ἀφανοῦς — εἰρχθῆναι*] Schol. hunc sensum esse scribit: *καὶ νῦν τῆς μὲν πρὸς ἀλλήλους διαφορᾶς ἐπιλαθώμεθα δι' ἀμφότερα, διά τε δηλαδὴ τὸ ἄδηλον τυγχάνειν, εἰ πεισόμεθά τι ὑπ' ἀλλήλων, καὶ διὰ τὸ τοὺς Ἀθηναίους ἤδη φοβεροὺς ἡμῖν εἶναι παρόντας, ἱκανὰ νομίσαντες αἴτια τῆς ἀποτροπῆς ταῦτα.* Verba *διὰ τὸ παρόντας Ἀθηναίους* explicata sunt ad i, 2. ii, 42., ubi confusionem inesse duarum locutionum docui; alterius *διὰ τὸ παρεῖναι Ἀθηναίους*, alterius *διὰ Ἀθηναίους φοβεροὺς παρόντας*. Simillimus locus est v, 7. *αἰσθόμενος τὸν θροῦν καὶ οὐ βουλόμενος αὐ-*

δέος καὶ διὰ τὸ ἤδη φοβεροὺς παρόντας Ἀθηναίους, κατ᾽ ἀμφότερα ἐκπλαγέντες, καὶ τὸ ἐλλιπὲς τῆς γνώμης, ὧν ἕκαστός τι ᾠήθημεν πράξειν, ταῖς κωλύμαις ταύταις ἱκανῶς νομίσαντες εἰρχθῆναι, τοὺς ἐφεστῶτας πολεμίους ἐκ τῆς χώρας ἀποπέμπωμεν, καὶ αὐτοὶ μάλιστα μὲν ἐς ἀΐδιον ξυμβῶμεν, εἰ δὲ μή, χρόνον ὡς πλεῖστον σπεισάμενοι τὰς ἰδίας διαφορὰς ἐς αὖθις ἀναβαλώμεθα. Τὸ ξύμπαν τε δὴ γνῶμεν, πειθόμενοι μὲν ἐμοὶ πόλιν ἕξοντες ἕκαστος ἐλευθέραν, ἀφ᾽ ἧς αὐτοκράτορες ὄντες τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα· ἢν δὲ ἀπιστήσαντες ἄλλοις ὑπακούσωμεν, οὐ περὶ τοῦ τιμωρήσασθαί τινα, ἀλλὰ καὶ ἄγαν εἰ τύχοιμεν, φίλοι μὲν ἂν τοῖς ἐχθίστοις, διάφοροι δὲ οἷς οὐ χρὴ κατ᾽ ἀνάγκην γιγνοίμεθα.

τοὺς διὰ τὸ ἐν τῷ αὐτῷ καθημένους βαρύνεσθαι ἀναλαβὼν ἦγε. Heilmanni interpretatio hic præter solitum parum accurata est: 'Let us therefore consider the fearful doubts of success, and the painful impression with which both parties are inspired by the terrible presence of the Athenians: let us consider these as sufficient motives for abandoning all crude projects which the one or the other is about to put into execution;' ubi Græca ταῖς κωλύμαις ταύταις ἱκανῶς νομίσαντες εἰρχθῆναι plane omissa sunt. Neque adest auxilium a scholiasta: καὶ τοῦτο ἐνθυμηθέντες, ὅτι ἃ προσεδοκήσαμεν πρᾶξαι (τουτέστι κρατῆσαι κατὰ τὸν πόλεμον) ἐλλιπῶς ἐγένετο καὶ οὐ κατὰ τὰς ἡμετέρας γνώμας ἀπέβη· ταῦτα οὖν αὐτὰ μὴ κατὰ τὴν ἡμετέραν γνώμην γενόμενα ἱκανὰ κωλύματα ἡμῖν καὶ ἐμπόδια γεγενῆσθαι νομίσωμεν, ubi potius dicendum erat, τούτων οὖν αὐτῶν μὴ κατὰ τὴν ἡμετέραν γνώμην γενομένων ἱκανὰ κωλύματα ἡμῖν καὶ ἐμπόδια γεγενῆσθαι νομίσωμεν. Verba καὶ τὸ ἐλλιπὲς τῆς γνώμης duplicem admittunt explicationem; nam sic intelligi possunt, ut accusativus τὸ ἐλλιπὲς pendere dicatur ex εἰρχθῆναι, quæ mihi ratio minus probabilis videtur reputanti, sic potius opus fuisse dictu, καὶ τὸ τῆς γνώμης ἐλλιπὲς ὄν, ὧν, etc., nam ipsa consilia remorata sunt, non illud mancum et inexpletum consiliorum. Quare jam pronior sum in eam sententiam, ut putem verba τὸ ἐλλιπὲς τῆς γνώμης accusativum absolutum esse, sic explicandum, 'quod attinet ad inexpletum et mancum illud consiliorum, quæ executuros nos unusquisque sperabamus.' Supplendum ἡμᾶς ad εἰρχθῆναι. Porro vulgata scriptura est ὧν ἕκαστός τις, pro qua cum meliores nonnulli libri τι ferant, hoc ipsum a Bekkero in ordinem receptum est. Habent τι codices B. F. H. M. O. d. h. i. Vulgata sic habet, τὸ ἐλλιπὲς ἐκείνων, ἃ ἕκαστός τις ᾠήθημεν πράξειν, mutata hunc explicandi modum admittit, τὸ ἐλλιπὲς ἐκείνων, ὧν ἕκαστός τι ᾠήθ. πρ. In quo ne ipso quidem est quod displiceat, poteritque hoc stare ut difficilius. Τὰς κωλύμας ταύτας intellige principio capitis memorata tum belli Siciliensium inter se incertum exitum, tum Atheniensium illis timendam præsentiam. Hæc igitur ex adhuc dictis loci erit interpretatio: 'Quare utraque de causa cum ob inexploratum hujus incerti rerum eventus metum, tum ob Atheniensium præsentiam, qui formidolosi nobis adsunt, territi; quod vero attinet ad mancum illud consiliorum, quæ nos unusquisque aliquatenus executuros sperabamus, satis nos his obstaculis impeditos arbitrantes, hostes nobis imminentes ex hac insula amendemus.'

οὐ—τιμωρήσασθαι] Schol. λείπει τὸ, ὁ ἀγὼν ἡμῖν ἔσται, ἀλλὰ περὶ τοῦ δουλωθῆναι· τοῦτο γὰρ ἠθικῶς ἀποκέκοπται. Alii supplent λόγος ἔσται. Heilm. legi posse putat περὶ τὸ τιμωρήσασθαι, levi correctione, quo facto hoc περὶ τὸ τ. pendet ex γιγνοίμεθα, 'non occuparemur vindicta.' Popponis Proleg. t. i. p. 194. sententia est, Thucydidem hoc et verbum μάχεσθαι atque similia toties cum præpositione περὶ conjunxisse, ut hic, ubi mox sequitur διάφοροι γιγνοίμεθα, subaudire ausus esse videatur. Mox, γιγνόμεθα habent A. B. F. H. I. K. L. M. O. S. f. g. Vulgo γιγνόμεθα. Cum dubium sit an prosæ orationis scriptores conjunctivo cum ἂν, ita ut per se constet, pro futuro dubitanter posito vel optativo cum ἂν usi sint, de quo usu

64. Καὶ ἐγὼ μὲν, ὅπερ καὶ ἀρχόμενος εἶπον, πόλιν τε μεγίστην παρεχόμενος καὶ ἐπιὼν τῳ μᾶλλον ἢ ἀμυνούμενος, ἀξιῶ προειδόμενος αὐτῶν ξυγχωρεῖν, καὶ μὴ τοὺς ἐναντίους οὕτω κακῶς δρᾶν ὥστε αὐτὸς τὰ πλείω βλάπτεσθαι, μηδὲ μωρίᾳ φιλονεικῶν ἡγεῖσθαι τῆς τε οἰκείας γνώμης ὁμοίως αὐτοκράτωρ εἶναι καὶ ἧς οὐκ ἄρχω τύχης, ἀλλ' ὅσον εἰκὸς ἡσσᾶσθαι. Καὶ τοὺς ἄλλους δικαιῶ ταὐτό μοι ποιῆσαι, ὑφ' ὑμῶν αὐτῶν καὶ μὴ ὑπὸ τῶν πολεμίων τοῦτο παθεῖν. Οὐδὲν γὰρ αἰσχρὸν οἰκείους οἰκείων ἡσσᾶσθαι, ἢ Δωριέα τινὰ Δωριέως ἢ Χαλκιδέα τῶν ξυγγενῶν, τὸ δὲ ξύμπαν γείτονας ὄντας καὶ ξυνοίκους μιᾶς χώρας καὶ περιῤῥύτου, καὶ ὄνομα ἓν κεκλημένους Σικελιώτας. Οἳ πολεμήσομέν τε, οἶμαι, ὅταν ξυμβῇ, καὶ ξυγχωρησόμεθά γε πάλιν καθ' ἡμᾶς αὐτοὺς λόγοις κοινοῖς χρώμενοι. Τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας ἀθρόοι ἀεὶ, ἢν σωφρονῶμεν, ἀμυνούμεθα, εἴπερ καὶ καθ' ἑκάστους βλαπτόμενοι ξύμπαντες κινδυνεύομεν· ξυμμάχους δὲ οὐδέποτε τὸ λοιπὸν ἐπαξόμεθα οὐδὲ διαλλακτάς. Τάδε γὰρ ποιοῦντες ἔν τε τῷ παρόντι δυοῖν ἀγαθοῖν οὐ στερήσομεν τὴν Σικελίαν, Ἀθηναίων τε ἀπαλλαγῆναι καὶ οἰκείου πολέμου, καὶ ἐς τὸ ἔπειτα καθ' ἡμᾶς αὐτοὺς ἐλευθέραν νεμούμεθα καὶ ὑπὸ ἄλλων ἧσσον ἐπιβουλευομένην.

v. Popp. Obs. p. 189., optativum cum eo ipso dedi, facili ex indicativo in optativum mutatione.

64. ἀξιῶ—ἡσσᾶσθαι] Vulgo in his legitur προειδομένους et αὐτοὺς τὰ πλείω βλάπτεσθαι, quam scripturam non solum libri omnes habent, sed etiam scholiastes agnoscit. Cum duo diversa subjecta se excipiant post ἀξιῶ, accusativus προειδομένους, sc. ὑμᾶς, et nominativus φιλονεικῶν, sc. ἐγὼ, et cum subjectum participii φιλονεικῶν et verbi primarii ἀξιῶ idem sit, hic autem ordo verborum, ἀξιῶ, ὑμᾶς ξυγχωρεῖν μηδὲ κακῶς δρᾶν, μηδὲ ἀξιῶ ἐγὼ φιλονεικῶν ἡγεῖσθαι, ἀλλὰ ἡσσᾶσθαι; apparet aliquid vitii subesse, et orationem solœcam reddi illo μηδὲ, pro quo οὐδὲ scribi ratio linguæ postulat. Accedit e vulgata alia difficultas, quod ἀξιῶ priori loco erit 'postulo a vobis,' sive 'jubeo vos;' altero loco μηδ' ἀξιῶ, 'nolo.' Denique, ne hoc quidem est negligendum, si sibi opposita essent ὑμᾶς et ἐγὼ, contra usum probatorum scriptorum peccari, si non addita sunt hæc pronomina. Sic enim debebat scribere, ὑμᾶς τε ἀξιῶ ξυγχωρεῖν, οὐδ' ἐγὼ vel αὐτὸς ἀξιῶ μωρίᾳ φιλονεικῶν ἡγεῖσθαι, etc. His argumentis inductus emendavi προειδόμενος et ὥστε αὐτός. De sententia conferri possunt verba i, 84. παιδευόμενοι—νομίζειν τὰς διανοίας τῶν πέλας παραπλησίους εἶναι καὶ τὰς προσπιπτούσας τύχας, οὐ λόγῳ διαιρετὰς, ubi τε, quod vulgo legitur ante διανοίας, delendum esse suo loco monui. Adde Periclis verba, i, 140. ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι, ἢ καὶ τὰς διανοίας τῶν ἀνθρώπων. Mox, τοῦτο παθεῖν intellige τὸ ἡσσᾶσθαι.

περιῤῥύτου] Demetr. d. Elocut. p. 49. Schneid. ὁ δὲ Θουκυδίδης ὁμονοεῖν τοὺς Σικελιώτας καλὸν οἴεται εἶναι γῆς ὄντας μιᾶς καὶ περιῤῥύτου, καὶ ταὐτὰ (Aldus, ταῦτα. Marg. Victorii, γρ. ταὐτὰ) πάντα εἰπὼν, γῆν τε ἀντὶ νήσου καὶ περίῤῥυτον ὡσαύτως ὅμως ἕτερον λέγειν δοκεῖ (quam Homerus.) διότι οὐχ ὡς πρὸς μέγεθος, ἀλλὰ πρὸς ὁμόνοιαν αὐτοῖς ἐχρήσατο. Præmiserat autem hæc: Θουκυδίδης μέντοι κἂν λάβῃ παρὰ τοῦ ποιητοῦ τι, ἴδιον τὸ ληφθὲν ποιεῖ. Οἷον ὁ μὲν ποιητὴς ἐπὶ τῆς Κρήτης ἔφη· Κρήτη τις γαῖ' ἔστι μέσῳ ἐνὶ οἴνοπι πόντῳ καλὴ καὶ πίειρα, περίῤῥυτος. (Odyss. τ. 172.) Herodot. i, 174. ἐούσης τε πά-

65. Τοιαῦτα τοῦ Ἑρμοκράτους εἰπόντος πειθόμενοι οἱ Σικελιῶται αὐτοὶ μὲν κατὰ σφᾶς αὐτοὺς ξυνηνέχθησαν γνώμῃ ὥστε ἀπαλλάσσεσθαι τοῦ πολέμου ἔχοντες ἃ ἕκαστοι ἔχουσι, τοῖς δὲ Καμαριναίοις Μοργαντίνην εἶναι ἀργύριον τακτὸν τοῖς Συρακοσίοις ἀποδοῦσιν· οἱ δὲ τῶν Ἀθηναίων ξύμμαχοι παρακαλέσαντες αὐτῶν τοὺς ἐν τέλει ὄντας εἶπον ὅτι ξυμβήσονται καὶ αἱ σπονδαὶ ἔσονται κἀκείνοις κοιναί. Ἐπαινεσάντων δὲ αὐτῶν ἐποιοῦντο τὴν ὁμολογίαν, καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀπέπλευσαν μετὰ ταῦτα ἐκ Σικελίας. Ἐλθόντας δὲ τοὺς στρατηγοὺς οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τοὺς μὲν φυγῇ ἐζημίωσαν Πυθόδωρον καὶ Σοφοκλέα, τὸν δὲ τρίτον Εὐρυμέδοντα χρήματα ἐπράξαντο, ὡς ἐξὸν αὐτοῖς τὰ ἐν Σικελίᾳ καταστρέψασθαι δώροις πεισθέντες ἀποχωρήσειαν. Οὕτω τῇ παρούσῃ εὐτυχίᾳ χρώμενοι ἠξίουν σφίσι μηδὲν ἐναντιοῦσθαι, ἀλλὰ καὶ τὰ δυνατὰ ἐν ἴσῳ καὶ τὰ ἀπορώτερα μεγάλῃ τε ὁμοίως καὶ ἐνδεεστέρᾳ παρασκευῇ κατεργάζεσθαι. Αἰτία δ' ἦν ἡ παρὰ λόγον τῶν πλειόνων εὐπραγία αὐτοῖς ὑποτιθεῖσα ἰσχὺν τῆς ἐλπίδος.

66. Τοῦ δ' αὐτοῦ θέρους Μεγαρῆς οἱ ἐν τῇ πόλει πιεζόμενοι ὑπό τε Ἀθηναίων τῷ πολέμῳ ἀεὶ κατὰ ἔτος ἕκαστον δὶς ἐσβαλλόντων πανστρατιᾷ ἐς τὴν χώραν, καὶ ὑπὸ τῶν σφετέρων φυγάδων τῶν ἐκ Πηγῶν, οἳ στασιασάντων ἐκπεσόντες ὑπὸ τοῦ πλήθους χαλεποὶ ἦσαν λῃστεύοντες, ἐποιοῦντο λόγους ἐν ἀλλήλοις ὡς χρὴ δεξαμένους τοὺς φεύγοντας μὴ ἀμφοτέρωθεν τὴν πόλιν φθείρειν. Οἱ δὲ φίλοι τῶν ἔξω τὸν θροῦν αἰσθόμενοι φανερῶς μᾶλλον ἢ πρότερον καὶ αὐτοὶ ἠξίουν τούτου τοῦ λόγου ἔχεσθαι. Γνόντες δὲ οἱ τοῦ δήμου προστάται οὐ δυνατὸν τὸν δῆμον ἐσόμενον ὑπὸ τῶν κακῶν μετὰ σφῶν καρτερεῖν, ποιοῦνται λόγους δείσαντες πρὸς τοὺς τῶν Ἀθηναίων στρατηγοὺς Ἱπποκράτην τε τὸν Ἀρίφρονος καὶ Δημοσθένην τὸν Ἀλκισθένους, βουλόμενοι ἐνδοῦναι τὴν πόλιν, καὶ νομίζοντες ἐλάσσω σφίσι τὸν κίνδυνον ἢ τοὺς ἐκπεσόντας

σῃς τῆς Κνιδίης πλὴν ὀλίγης περιῤῥόου. Alcman, Fr. 33. p. 50. Welck. Πάφον περιῤῥύταν.

66. δὶς ἐσβαλλόντων] "Erat decreto publice cautum, ut στρατηγοὶ Atheniensium, patrium jusjurandum jurantes insuper jurarent ὅτι καὶ δὶς ἀνὰ πᾶν ἔτος εἰς τὴν Μεγαρικὴν ἐμβαλοῦσι. Plut. in Pericle p. 306." Duker. Mox, vocab. θροῦς ex hoc cap. excitant Anecd. Bekker. i. p. 99. sine interpretatione. Conf. Thucyd. v, 7. 30. Schol. explicat in cod. H. per σύλλογον, i. e. 'sermones,' ut docuit Duker. ex nota Grævii ad Lucian. Reviv. p. 391.

ὑπὸ σφῶν κατελθεῖν. Ξυνέβησάν τε πρῶτα μὲν τὰ μακρὰ τείχη ἑλεῖν Ἀθηναίους, ἦν δὲ σταδίων μάλιστα ὀκτὼ ἀπὸ τῆς πόλεως ἐπὶ τὴν Νίσαιαν τὸν λιμένα αὐτῶν, ὅπως μὴ ἐπιβοηθήσωσιν ἐκ τῆς Νισαίας οἱ Πελοποννήσιοι, ἐν ᾗ αὐτοὶ μόνοι ἐφρούρουν βεβαιότητος ἕνεκα τῶν Μεγάρων, ἔπειτα δὲ καὶ τὴν ἄνω πόλιν πειρᾶσθαι ἐνδοῦναι· ῥᾷον δ' ἤδη ἔμελλον προσχωρήσειν τούτου γεγενημένου.

67. Οἱ οὖν Ἀθηναῖοι, ἐπειδὴ ἀπό τε τῶν ἔργων καὶ τῶν λόγων παρεσκεύαστο ἀμφοτέροις, ὑπὸ νύκτα πλεύσαντες ἐς Μινώαν τὴν Μεγαρέων νῆσον ὁπλίταις ἑξακοσίοις ὧν Ἱπποκράτης ἦρχεν ἐν ὀρύγματι ἐκαθέζοντο, ὅθεν ἐπλίνθευον τὰ τείχη καὶ ἀπεῖχεν οὐ πολύ· οἱ δὲ μετὰ τοῦ Δημοσθένους τοῦ ἑτέρου στρατηγοῦ Πλαταιῆς τε ψιλοὶ καὶ ἕτεροι περίπολοι ἐνήδρευσαν ἐς τὸν Ἐνυάλιον, ὅ ἐστιν ἔλασσον ἄποθεν. Καὶ ᾔσθετο οὐδεὶς εἰ μὴ οἱ ἄνδρες οἷς ἐπιμελὲς ἦν εἰδέναι τὴν νύκτα ταύτην. Καὶ ἐπειδὴ ἕως ἔμελλε γίγνεσθαι, οἱ προδιδόντες τῶν Μεγαρέων οὗτοι τοιόνδε ἐποίησαν. Ἀκάτιον ἀμφηρικὸν ὡς λῃσταὶ ἐκ πολλοῦ τεθεραπευκότες τὴν ἄνοιξιν τῶν πυλῶν εἰώθεσαν ἐπὶ ἁμάξῃ πείθοντες τὸν ἄρχοντα διὰ τῆς τάφρου κατακομίζειν τῆς νυκτὸς ἐπὶ τὴν θάλασσαν καὶ ἐκπλεῖν· καὶ πρὶν ἡμέραν εἶναι πάλιν αὐτὸ τῇ ἁμάξῃ κομίσαντες ἐς τὸ τεῖχος κατὰ τὰς πύλας ἐσῆγον, ὅπως τοῖς ἐκ τῆς Μινώας Ἀθηναίοις ἀφανὴς δὴ εἴη ἡ φυλακή, μὴ ὄντος ἐν τῷ λιμένι πλοίου φανεροῦ μηδενός. Καὶ τότε πρὸς ταῖς πύλαις ἤδη ἦν ἡ ἅμαξα, καὶ ἀνοιχθεισῶν κατὰ τὸ εἰωθὸς ὡς τῷ ἀκατίῳ οἱ

67. περίπολοι] Schol. τῶν φυλάκων οἱ μὲν ἱδρυμένοι καλοῦνται, οἱ δὲ περίπολοι· ἱδρυμένοι μὲν οὖν εἰσιν οἱ ἀεὶ παρακαθεζόμενοι καὶ πολιορκοῦντες, περίπολοι δὲ οἱ περιερχόμενοι καὶ περιπολοῦντες τὰ φρούρια ἐν τῷ φυλάττειν. Suidas ex hoc loco adscripsit verba οἱ δὲ καὶ οἱ περίπολοι ἐνήδρευσαν. De omni ratione circuitorum v. interpretes ad Polluc. viii, 105. Maussac. ad Harpocrat. s. v. et Valesii ad ipsum notas, Petit. de Leg. Att. p. 547. interpp. ad Hesych. Sylb. ap. Krueger. ad Dionys. p. 109., præcipue vero Platner. Beitr. zur Kenntniss d. Att. Rechts, p. 178. sqq. Boëckh. indice lectionum univers. Berolin. p. mens. æstivos, 1819. et p. mens. hib. 1819—20. Anno quintodecimo peracto juventus Attica δοκιμασίαν subiit pubertatis, quam secuta est ætas quam appellabant ἐπιδιετὲς ἡβῆσαι. Hoc spatium duorum annorum cum in gymnasiis et sub aliis magistris transegissent, publice arma acceperunt, et civium jurejurando præstito περίπολοι facti sunt per binos item annos. Quo iis hoc officii impositum est, ut fines tuerentur, in castellis munitisque locis dispositi. Id Terentius Eun. ii, 2, 58. dicit 'publice custodem esse.'

τὸν Ἐνυάλιον] Popp. Obs. p. 239. legi vult τὸ Ἐν. Sed non opus videtur esse. Vide quæ dixi ad i, 128.

ἀμφηρικὸν] Suidas: Θουκυδίδης· ἀκάτιον ἀμφηρικὸν, ὡς λῃσταὶ, ἐκ πολλοῦ τεθεραπευκότες τὴν ἄνοιξιν τῶν πυλῶν, ἐκόμιζον τὸ πλοῖον ἁμάξῃ.

Ἀθηναῖοι, ἐγίγνετο γὰρ ἀπὸ ξυνθήματος τὸ τοιοῦτον, ἰδόντες ἔθεον δρόμῳ ἐκ τῆς ἐνέδρας, βουλόμενοι φθάσαι πρὶν ξυγκλεισθῆναι πάλιν τὰς πύλας καὶ ἕως ἔτι ἡ ἅμαξα ἐν αὐταῖς ἦν κώλυμα οὖσα προσθεῖναι· καὶ αὐτοῖς ἅμα καὶ οἱ ξυμπράσσοντες Μεγαρῆς τοὺς κατὰ πύλας φύλακας κτείνουσι. Καὶ πρῶτον μὲν οἱ περὶ τὸν Δημοσθένην Πλαταιῆς τε καὶ περίπολοι ἐσέδραμον οὗ νῦν τὸ τροπαῖόν ἐστι, καὶ εὐθὺς ἐντὸς τῶν πυλῶν, ᾔσθοντο γὰρ οἱ ἐγγύτατα Πελοποννήσιοι, μαχόμενοι τοὺς προσβοηθοῦντας οἱ Πλαταιῆς ἐκράτησαν, καὶ τοῖς τῶν Ἀθηναίων ὁπλίταις ἐπιφερομένοις βεβαίους τὰς πύλας παρέσχον.

68. Ἔπειτα δὲ καὶ τῶν Ἀθηναίων ἤδη ὁ ἀεὶ ἐντὸς γιγνόμενος χωρεῖ ἐπὶ τὸ τεῖχος. Καὶ οἱ Πελοποννήσιοι φρουροὶ τὸ μὲν πρῶτον ἀντισχόντες ἠμύνοντο ὀλίγοι, καὶ ἀπέθανόν τινες αὐτῶν, οἱ δὲ πλείους ἐς φυγὴν κατέστησαν φοβηθέντες, ἐν νυκτί τε πολεμίων προσπεπτωκότων καὶ τῶν προδιδόντων Μεγαρέων ἀντιμαχομένων, νομίσαντες τοὺς ἅπαντας σφᾶς Μεγαρέας προδεδωκέναι. Ξυνέπεσε γὰρ καὶ τὸν τῶν Ἀθηναίων κήρυκα ἀφ' ἑαυτοῦ γνώμης κηρῦξαι τὸν βουλόμενον ἰέναι Μεγαρέων μετὰ Ἀθηναίων θησόμενον τὰ ὅπλα. Οἱ δ' ὡς ἤκουσαν, οὐκέτι ἀνέμενον, ἀλλὰ τῷ ὄντι νομίσαντες κοινῇ πολεμεῖσθαι κατέφυγον ἐς τὴν Νίσαιαν. Ἅμα δὲ ἕῳ ἑαλωκότων ἤδη τῶν τειχῶν καὶ τῶν ἐν τῇ πόλει Μεγαρέων θορυβουμένων οἱ πρὸς τοὺς Ἀθηναίους πράξαντες καὶ ἄλλοι μετ' αὐτῶν, πλῆθος ὃ ξυνῄδει, ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας καὶ ἐπεξιέναι ἐς μάχην. Ξυνέκειτο δὲ αὐτοῖς τῶν πυλῶν ἀνοιχθεισῶν ἐσπίπτειν τοὺς Ἀθηναίους, αὐτοὶ δὲ διάδηλοι ἔμελλον ἔσεσθαι, λίπα γὰρ ἀλείψεσθαι, ὅπως μὴ ἀδικῶνται. Ἀσφάλεια δὲ αὐτοῖς μᾶλλον ἐγίγνετο τῆς ἀνοίξεως· καὶ γὰρ οἱ ἀπὸ τῆς Ἐλευσῖνος κατὰ τὸ ξυγκείμενον τετρακισχίλιοι ὁπλῖται τῶν Ἀθηναίων καὶ ἱππῆς ἑξακόσιοι οἱ τὴν νύκτα πορευόμενοι παρῆσαν. Ἀληλιμμένων δὲ αὐτῶν

ἐγίγνετο—ξυνθήματος] Thom. M. p. 823. Mox, ad *προσθεῖναι* intellige *τὰς θύρας*.

68. *τὸν βουλόμενον—ὅπλα*] Ordo verborum est, *τὸν βουλόμενον Μεγαρέων ἰέναι θησόμενον* (i. e. *καὶ θέσθαι*) *ὅπλα μετὰ Ἀθηναίων*. De formula *τίθεσθαι τὰ ὅπλα* dictum ad ii, 2.

πράξαντες] Suidas in v. atque ex eo Phavorinus: *οἱ δὲ μετ' Ἀθηναίων πράξαντες* (*τουτέστι βουλευθέντες*) *ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας· ἔμελλον δὲ ἀνοιχθεισῶν εἰσπίπτειν τοῖς Ἀθηναίοις*. Paulo inferius, pro *οὔτε ἐς κίνδυνον* Bekk. legi vult *οὐδὲ ἐς κ.*

καὶ ὄντων ἤδη περὶ τὰς πύλας καταγορεύει τις ξυνειδὼς τοῖς ἑτέροις τὸ ἐπιβούλευμα. Καὶ οἱ ξυστραφέντες ἀθρόοι ἦλθον καὶ οὐκ ἔφασαν χρῆναι οὔτε ἐπεξιέναι, οὐδὲ γάρ πρότερόν πω τοῦτο ἰσχύοντες μᾶλλον τολμῆσαι, οὔτε ἐς κίνδυνον φανερὸν τὴν πόλιν καταγαγεῖν· εἴ τε μὴ πείσεταί τις, αὐτοῦ τὴν μάχην ἔσεσθαι. Ἐδήλουν δὲ οὐδὲν ὅτι ἴσασι τὰ πρασσόμενα, ἀλλ᾽ ὡς τὰ βέλτιστα βουλεύοντες ἰσχυρίζοντο, καὶ ἅμα περὶ τὰς πύλας παρέμενον φυλάσσοντες, ὥστε οὐκ ἐγένετο τοῖς ἐπιβουλεύουσι πρᾶξαι ὃ ἔμελλον.

69. Γνόντες δὲ οἱ τῶν Ἀθηναίων στρατηγοὶ ὅτι ἐναντίωμά τι ἐγένετο καὶ τὴν πόλιν βίᾳ οὐχ οἷοί τε ἔσονται λαβεῖν, τὴν Νίσαιαν εὐθὺς περιετείχιζον, νομίζοντες, εἰ πρὶν ἐπιβοηθῆσαι τινὰς ἐξέλοιεν, θᾶσσον ἂν καὶ τὰ Μέγαρα προσχωρῆσαι· παρεγένετο δὲ σίδηρός τε ἐκ τῶν Ἀθηνῶν ταχὺ καὶ λιθουργοὶ καὶ τἄλλα ἐπιτήδεια· ἀρξάμενοι δ᾽ ἀπὸ τοῦ τείχους ὃ εἶχον, καὶ διοικοδομήσαντες τὸ πρὸς Μεγαρέας ἀπ᾽ ἐκείνου ἑκατέρωθεν ἐς θάλασσαν τῆς Νισαίας, τάφρον τε καὶ τείχη διελομένη ἡ στρατιά, ἔκ τε τοῦ προαστείου λίθοις καὶ πλίνθοις χρώμενοι, καὶ κόπτοντες τὰ δένδρα καὶ ὕλην ἀπεσταύρουν εἴ πῃ δέοιτό τι· καὶ αἱ οἰκίαι τοῦ προαστείου ἐπάλξεις λαμβάνουσαι αὐταὶ ὑπῆρχον ἔρυμα. Καὶ ταύτην μὲν τὴν ἡμέραν ὅλην εἰργάζοντο. Τῇ δ᾽ ὑστεραίᾳ περὶ δείλην τὸ τεῖχος ὅσον οὐκ ἀπετετέλεστο, καὶ οἱ ἐν τῇ Νισαίᾳ δείσαντες, σίτου τε ἀπορίᾳ, ἐφ᾽ ἡμέραν γὰρ ἐκ τῆς ἄνω πόλεως ἐχρῶντο, καὶ τοὺς Πελοποννησίους οὐ νομίζοντες ταχὺ ἐπιβοηθήσειν, τούς τε Μεγαρέας πολεμίους ἡγούμενοι, ξυνέβησαν τοῖς Ἀθηναίοις ῥητοῦ μὲν ἕκαστον ἀργυρίου ἀπολυθῆναι ὅπλα παραδόντας, τοῖς δὲ Λακεδαιμονίοις, τῷ τε ἄρχοντι καὶ εἴτις ἄλλος ἐνῆν, χρῆσθαι Ἀθηναίους ὅ,τι ἂν βούλωνται. Ἐπὶ τούτοις ὁμολογήσαντες ἐξῆλθον. Καὶ οἱ Ἀθηναῖοι τὰ μακρὰ τείχη ἀποῤῥήξαντες ἀπὸ τῆς τῶν Μεγαρέων πόλεως καὶ τὴν Νίσαιαν παραλαβόντες τἄλλα παρεσκευάζοντο.

70. Βρασίδας δὲ ὁ Τέλλιδος Λακεδαιμόνιος κατὰ τοῦτον

69. ἀπεσταύρουν] Suidas σταυροῖς ἀπέφραττον, Θουκυδίδης· λίθοις δὲ καὶ πλίνθοις χρώμενοι καὶ κόπτοντες τὰ δένδρα καὶ ὕλην ἐπιφέροντες ἀπεσταύρουν εἴ πῃ δέοιτό τι. Mox, de formula ὅσον οὐκ v. Dorvill. ad Charit. p. 602.

ξυνέβησαν] Suidas: ῥητὸν, ὡρισμένον, φανερόν. Θουκυδίδης· συνέβησαν τοῖς Ἀθηναίοις ῥητοῦ μὲν ἕκαστον ἀργυρίου ἀπολυθῆναι, ὅπλα παραδόντας. Mox, τοῖς δὲ Λακεδαιμονίοις scribi vult Popp. Obs. p. 26. not.

τὸν χρόνον ἐτύγχανε περὶ Σικυῶνα καὶ Κόρινθον ὤν, ἐπὶ Θρᾴκης στρατιὰν παρασκευαζόμενος. Καὶ ὡς ᾔσθετο τῶν τειχῶν τὴν ἅλωσιν, δείσας περί τε τοῖς ἐν τῇ Νισαίᾳ Πελοποννησίοις καὶ μὴ τὰ Μέγαρα ληφθῇ, πέμπει ἔς τε τοὺς Βοιωτοὺς κελεύων κατὰ τάχος στρατιᾷ ἀπαντῆσαι ἐπὶ Τριποδίσκον, ἔστι δὲ κώμη τῆς Μεγαρίδος ὄνομα τοῦτο ἔχουσα ὑπὸ τῷ ὄρει τῇ Γερανείᾳ, καὶ αὐτὸς ἔχων ἦλθεν ἑπτακοσίους μὲν καὶ δισχιλίους Κορινθίων ὁπλίτας, Φλιασίων δὲ τετρακοσίους, Σικυωνίων δὲ ἑξακοσίους, καὶ τοὺς μεθ' αὐτοῦ ὅσοι ἤδη ξυνειλεγμένοι ἦσαν, οἰόμενος τὴν Νίσαιαν ἔτι καταλήψεσθαι ἀνάλωτον. Ὡς δὲ ἐπύθετο, ἔτυχε γὰρ νυκτὸς ἐπὶ τὸν Τριποδίσκον ἐξελθών, ἀπολέξας τριακοσίους τοῦ στρατοῦ πρὶν ἔκπυστος γενέσθαι προσῆλθε τῇ τῶν Μεγαρέων πόλει λαθὼν τοὺς Ἀθηναίους ὄντας περὶ τὴν θάλασσαν, βουλόμενος μὲν τῷ λόγῳ καὶ ἅμα εἰ δύναιτο ἔργῳ τῆς Νισαίας πειρᾶσαι, τὸ δὲ μέγιστον, τὴν τῶν Μεγαρέων πόλιν ἐσελθὼν βεβαιώσασθαι. Καὶ ἠξίου δέξασθαι σφᾶς, λέγων ἐν ἐλπίδι εἶναι ἀναλαβεῖν Νίσαιαν.

71. Αἱ δὲ τῶν Μεγαρέων στάσεις φοβούμεναι, οἱ μὲν μὴ τοὺς φεύγοντας σφίσιν ἐσαγαγὼν αὐτοὺς ἐκβάλῃ, οἱ δὲ μὴ αὐτὸ τοῦτο ὁ δῆμος δείσας ἐπιθῆται σφίσι, καὶ ἡ πόλις ἐν μάχῃ καθ' αὑτὴν οὖσα ἐγγὺς ἐφεδρευόντων Ἀθηναίων ἀπόληται, οὐκ ἐδέξαντο, ἀλλ' ἀμφοτέροις ἐδόκει ἡσυχάσασι τὸ μέλλον περιϊδεῖν· ἤλπιζον γὰρ καὶ μάχην ἑκάτεροι ἔσεσθαι τῶν τε Ἀθηναίων καὶ τῶν προσβοηθησάντων, καὶ οὕτω σφίσιν ἀσφαλεστέρως ἔχειν, οἷς τις εἴη εὔνους, κρατήσασι προσχωρῆσαι· ὁ δὲ Βρασίδας ὡς οὐκ ἔπειθεν, ἀνεχώρησε πάλιν ἐς τὸ ἄλλο στράτευμα.

72. Ἅμα δὲ τῇ ἕῳ οἱ Βοιωτοὶ παρῆσαν, διανενοημένοι μὲν καὶ πρὶν Βρασίδαν πέμψαι βοηθεῖν ἐπὶ τὰ Μέγαρα ὡς οὐκ ἀλλοτρίου ὄντος τοῦ κινδύνου, καὶ ἤδη ὄντες πανστρατιᾷ Πλαταιᾶσιν, ἐπειδὴ δὲ καὶ ἦλθεν ὁ ἄγγελος, πολλῷ μᾶλλον ἐρρώσθησαν, καὶ ἀποστείλαντες διακοσίους καὶ δισχιλίους ὁπλίτας καὶ ἱππέας ἑξακοσίους τοῖς πλείοσιν ἀπῆλθον πάλιν.

70. πειρᾶσαι] πειρᾶσθαι e. cum Prisciano xviii. p. 1198, 30.
ἐν ἐλπίδι—Νίσαιαν] Thom. M. p. 167., quem exscripsit Phavorinus in προσδοκίαν.

71. ἀλλ' ἀμφοτέροις—περιϊδεῖν] Thom. M. p. 710., unde sua habet Phavorin. in περιορῶ.
οἷς τις εἴη] d. e. i. Vulgo ὅς. Correxit Bekkerus.

Παρόντος δὲ ἤδη ξύμπαντος τοῦ στρατεύματος, ὁπλιτῶν οὐκ ἔλασσον ἑξακισχιλίων, καὶ τῶν Ἀθηναίων τῶν μὲν ὁπλιτῶν περὶ τὴν Νίσαιαν ὄντων καὶ τὴν θάλασσαν ἐν τάξει, τῶν δὲ ψιλῶν ἀνὰ τὸ πεδίον ἐσκεδασμένων, οἱ ἱππῆς οἱ τῶν Βοιωτῶν ἀπροσδοκήτοις ἐπιπεσόντες τοῖς ψιλοῖς ἔτρεψαν ἐπὶ τὴν θάλασσαν· ἐν γὰρ τῷ πρὸ τοῦ οὐδεμία βοήθειά πω τοῖς Μεγαρεῦσιν οὐδαμόθεν ἐπῆλθεν. Ἀντεπεξελάσαντες δὲ καὶ οἱ τῶν Ἀθηναίων ἐς χεῖρας ᾖεσαν, καὶ ἐγένετο ἱππομαχία ἐπὶ πολὺ, ἐν ᾗ ἀξιοῦσιν ἑκάτεροι οὐχ ἥσσους γενέσθαι. Τὸν μὲν γὰρ ἵππαρχον τῶν Βοιωτῶν καὶ ἄλλους τινὰς οὐ πολλοὺς πρὸς αὐτὴν τὴν Νίσαιαν προσελάσαντες οἱ Ἀθηναῖοι καὶ ἀποκτείναντες ἐσκύλευσαν, καὶ τῶν τε νεκρῶν τούτων κρατήσαντες ὑποσπόνδους ἀπέδοσαν καὶ τροπαῖον ἔστησαν· οὐ μέντοι ἔν γε τῷ παντὶ ἔργῳ βεβαίως οὐδέτεροι τελευτήσαντες ἀπεκρίθησαν, ἀλλ' οἱ μὲν Βοιωτοὶ πρὸς τοὺς ἑαυτῶν, οἱ δὲ ἐπὶ τὴν Νίσαιαν.

73. Μετὰ δὲ τοῦτο Βρασίδας καὶ τὸ στράτευμα ἐχώρουν ἐγγυτέρω τῆς θαλάσσης καὶ τῆς τῶν Μεγαρέων πόλεως, καὶ καταλαβόντες χωρίον ἐπιτήδειον παραταξάμενοι ἡσύχαζον, οἰόμενοι σφίσιν ἐπιέναι τοὺς Ἀθηναίους, καὶ τοὺς Μεγαρέας ἐπιστάμενοι περιορωμένους ὁποτέρων ἡ νίκη ἔσται. Καλῶς δὲ ἐνόμιζον σφίσιν ἀμφότερα ἔχειν, ἅμα μὲν τὸ μὴ ἐπιχειρεῖν προτέρους μηδὲ μάχης καὶ κινδύνου ἑκόντας ἄρξαι, ἐπειδή γε ἐν φανερῷ ἔδειξαν ἑτοῖμοι ὄντες ἀμύνεσθαι, καὶ αὐτοῖς ὥσπερ ἀκονιτὶ τὴν νίκην δικαίως ἂν τίθεσθαι, ἐν τῷ αὐτῷ δὲ καὶ πρὸς τοὺς Μεγαρέας ὀρθῶς ξυμβαίνειν. Εἰ μὲν γὰρ μὴ ὤφθησαν ἐλθόντες, οὐκ ἂν ἐν τύχῃ γίγνεσθαι σφίσιν, ἀλλὰ σαφῶς ἂν ὥσπερ ἡσσηθέντων στερηθῆναι εὐθὺς

73. καὶ—περιορωμένους] Citant hunc locum partim corruptissime Thom. M. p. 709. et ex eo Phavorin. in περιορῶ, Photius et Suidas in περιορᾶσθαι, qui explicant per παραδοκοῦντες, προσδοκῶντες. V. Wessel. ad Diodor. xiii, 4. Mox, inter se respondent ἅμα μὲν—ἐν τῷ αὐτῷ δέ. Et de voce ἀκονιτὶ v. Blomfield. Glossar. ad Æschyl. Prom. 216. Heilmannus: 'In both respects he judged his present posture the most judicious; because it was not his business to attack, or voluntarily to run into conflict and danger; and thus having manifestly exhibited his alacrity to act defensively, a victory might justly be ascribed to him without the expense of a battle: also with regard to the Megareans, the consequence could not but be fortunate.'

οὐκ ἂν ἐν τύχῃ γίγνεσθαι] Verbum impersonaliter accipiendum, hoc sensu, 'eventum sibi non incertum futurum fuisse, sed quasi victi essent, statim se urbem Megarensium amissuros fuisse.' Genitivus absolutus ἡσσηθέντων pro accusativo positus, quem structura postulat; idem enim subjectum est participii, quod infinitivi στερηθῆναι. Vide dicta ad iv, 20. Mox, A. B. F. H. N. et correctus S. ἀμαχεὶ pro vulgata ἀμαχητί.

τῆς πόλεως· νῦν δὲ κἂν τυχεῖν αὐτοὺς Ἀθηναίους μὴ βουληθέντας ἀγωνίζεσθαι, ὥστε ἀμαχεὶ ἂν περιγενέσθαι αὐτοῖς ὧν ἕνεκα ἦλθον. Ὅπερ καὶ ἐγένετο. Οἱ γὰρ Μεγαρῆς, ὡς οἱ Ἀθηναῖοι ἐτάξαντο μὲν παρὰ τὰ μακρὰ τείχη ἐξελθόντες, ἡσύχαζον δὲ καὶ αὐτοὶ μὴ ἐπιόντων, λογιζόμενοι καὶ οἱ ἐκείνων στρατηγοὶ μὴ ἀντίπαλον εἶναι σφίσι τὸν κίνδυνον, ἐπειδὴ καὶ τὰ πλείω αὐτοῖς προεκεχωρήκει, ἄρξασι μάχης πρὸς πλείονας αὐτῶν ἢ λαβεῖν νικήσαντας Μέγαρα ἢ σφαλέντας τῷ βελτίστῳ τοῦ ὁπλιτικοῦ βλαφθῆναι, τοῖς δὲ ξυμπάσης τῆς δυνάμεως καὶ τῶν παρόντων μέρος ἑκάστων κινδύνευον εἰκότως ἐθέλειν τολμᾶν, χρόνον δὲ ἐπισχόντες, ὡς οὐδὲν ἀφ᾽ ἑκατέρων ἐπεχειρεῖτο, ἀπῆλθον πρότερον οἱ Ἀθηναῖοι ἐς τὴν Νίσαιαν καὶ αὖθις οἱ Πελοποννήσιοι ὅθενπερ ὡρμήθησαν· οὕτω δὴ τῷ μὲν Βρασίδᾳ αὐτῷ καὶ τοῖς ἀπὸ τῶν πόλεων ἄρχουσιν οἱ τῶν φευγόντων φίλοι Μεγαρῆς, ὡς ἐπικρατήσαντι καὶ τῶν Ἀθηναίων οὐκέτι ἐθελησάντων μάχεσθαι, θαρσοῦντες μᾶλλον ἀνοίγουσί τε τὰς πύλας καὶ δεξάμενοι καταπεπληγμένων ἤδη τῶν πρὸς τοὺς Ἀθηναίους πραξάντων ἐς λόγους ἔρχονται.

οἱ γὰρ Μεγαρῆς—ἐς λόγους ἔρχονται] Vulgo verbis *οὕτω δὴ τῷ μὲν Βρασίδᾳ* novum caput incipiunt. Perperam; nam nexus orationis hic est: *οἱ γὰρ Μεγαρῆς, ὡς οἱ Ἀθηναῖοι*—etc. *οὕτω δὴ—οἱ τῶν φευγόντων φίλοι Μεγαρῆς—ἀνοίγουσι τὰς πύλας*, etc. Nunc de sententia in medio posita videndum, quæ sic procedere videtur: *ὡς οἱ Ἀθηναῖοι ἐτάξαντο μὲν παρὰ τὰ μακρὰ τείχη ἐξελθόντες, ἡσύχαζον δὲ καὶ αὐτοὶ μὴ ἐπιόντων,—χρόνον δὲ ἐπισχόντες, ὡς οὐδὲν ἀφ᾽ ἑκατέρων ἐπεχειρεῖτο, ἀπῆλθον πρότερον οἱ Ἀθηναῖοι ἐς τὴν Νίσαιαν καὶ αὖθις οἱ Πελοποννήσιοι ὅθεν περ ὡρμήθησαν*. Nam subjectum *οἱ Ἀθηναῖοι* opus erat ut repeteretur propter pleraque, quæ interposita facile perficere poterant, ut lecturi ejus obliviscerentur neque in mente retinerent. Cum autem vulgo ante *ὡς οὐδὲν ἀφ᾽ ἑκατέρων* intrudatur *καὶ*, quo nemo non videt quantopere structura impediatur, molestissimam istam copulam delevi; quo facto facile jam totius orationis nexus perspicitur. Restat altera sententia, post *μὴ ἐπιόντων* in medio posita, *λογιζόμενοι—τολμᾶν*, qua scriptor exposuit quibus de causis duces Atheniensium prœlium committere noluerint. Ac statim de nominativo *λογιζόμενοι* scholiastes dubitationem movit, qui *ἐνήλλακται*, ait, *ἡ πτῶσις, ἀντὶ τοῦ λογιζομένων καὶ τῶν ἐκείνων στρατηγῶν, τουτέστι τῶν Ἀθηναίων*. Sed rite nominativo usus est, quia in prægressis *ἡσύχαζον δὲ καὶ αὐτοὶ*, sc. Athenienses, partim jam continetur subjectum verbi *λογιζόμενοι*, nimirum *στρατηγοὶ* Atheniensium. Vid. infr. ad cap. 118. prope fin. Sequuntur verba *ἐπειδὴ καὶ τὰ πλείω αὐτοῖς προεκεχωρήκει*, ubi *αὐτοῖς* redit ad Peloponnesios. Heilmannus: 'especially as they had succeeded in several enterprises.' Mox, Thom. M. p. 155. citat *τῷ μεγίστῳ τοῦ ὁπλιτικοῦ βλαφθῆναι*, sed non est cur a vulgata discedatur. In verbis *τοῖς δὲ ξυμπάσης—τολμᾶν* major difficultas est, non sine correctione, opinor, tollenda. Eorum vero hunc sensum esse patet: Lacedæmoniis et ceteris sociis magnum esse exercitum et alibi et circa Megara, cujus singulas partes recte hic periclitari velle, cum ne clade quidem accepta perdita iis essent omnia, sed aliæ copiæ superessent, Atheniensibus autem periculum subiri cum flore atque robore juventutis omni. Etenim Brasidas selegerat ex magna copiarum multitudine tantum trecentos, quibuscum dimicaret, reliquis circum Sicyona et Corinthum relictis. Vide iv, 70. Itidemque fecerant Bœoti, qui cum et ipsi magno cum exercitu præsto fuissent, parte domum dimissa, parte Megara approperaverant, ut narravit modo

74. Καὶ ὕστερον ὁ μὲν διαλυθέντων τῶν ξυμμάχων κατὰ πόλεις ἐπανελθὼν καὶ αὐτὸς ἐς τὴν Κόρινθον τὴν ἐπὶ Θρᾴκης στρατείαν παρεσκεύαζεν, ἵναπερ καὶ τὸ πρῶτον ὥρμητο· οἱ δὲ ἐν τῇ πόλει Μεγαρῆς, ἀποχωρησάντων καὶ τῶν Ἀθηναίων ἐπ' οἴκου, ὅσοι μὲν τῶν πραγμάτων πρὸς τοὺς Ἀθηναίους μάλιστα μετέσχον, εἰδότες ὅτι ὤφθησαν εὐθὺς ὑπεξῆλθον, οἱ δὲ ἄλλοι κοινολογησάμενοι τοῖς τῶν φευγόντων φίλοις κατάγουσι τοὺς ἐκ Πηγῶν, ὁρκώσαντες πίστεσι μεγάλαις μηδὲν μνησικακήσειν, βουλεύσειν δὲ τῇ πόλει τὰ ἄριστα. Οἱ δὲ ἐπειδὴ ἐν ταῖς ἀρχαῖς ἐγένοντο καὶ ἐξέτασιν ὅπλων ἐποιήσαντο, διαστήσαντες τοὺς λόχους ἐξελέξαντο τῶν τε ἐχθρῶν καὶ οἳ ἐδόκουν μάλιστα ξυμπρᾶξαι τὰ πρὸς τοὺς Ἀθηναίους ἄνδρας ὡς ἑκατὸν, καὶ τούτων πέρι ἀναγκάσαντες τὸν δῆμον ψῆφον φανερὰν διενεγκεῖν, ὡς κατεγνώσθησαν, ἔκτειναν, καὶ ἐς ὀλιγαρχίαν τὰ μάλιστα κατέστησαν τὴν πόλιν. Καὶ πλεῖστον δὴ χρόνον αὕτη ὑπ' ἐλαχίστων γενομένη ἐκ στάσεως μετάστασις ξυνέμεινεν.

75. Τοῦ δ' αὐτοῦ θέρους τῆς Ἀντάνδρου ὑπὸ τῶν Μυτιληναίων, ὥσπερ διενοοῦντο, μελλούσης κατασκευάζεσθαι, οἱ τῶν ἀργυρολόγων Ἀθηναίων στρατηγοὶ Δημόδοκος καὶ Ἀριστείδης, ὄντες περὶ Ἑλλήσποντον, ὁ γὰρ τρίτος αὐτῶν Λάμαχος δέκα ναυσὶν ἐς τὸν Πόντον ἐσεπεπλεύκει, ὡς ᾐσθάνοντο τὴν παρασκευὴν τοῦ χωρίου, καὶ ἐδόκει αὐτοῖς δεινὸν εἶναι μὴ ὥσπερ τὰ Ἄναια ἐπὶ τῇ Σάμῳ γένηται, ἔνθα οἱ φεύγοντες

cap. 72. Scholiastes: *οἱ δὲ Πελοποννήσιοι πολλὴν μὲν ἔχοντες δύναμιν αὐτόθι, ἀφ' ἑκάστης δὲ πόλεως αὐτοῖς ὀλίγου μέρους παρόντος, οὐκ ἐφοβοῦντο τὴν ἧτταν νομίζοντες εἰ καὶ κατὰ κράτος ἡττηθεῖεν, οὐ μεγάλως βλάβειν τὰς πατρίδας.* Atqui verborum, ut vulgo leguntur, *τοῖς δὲ ξυμπάσης τῆς δυνάμεως καὶ τῶν παρόντων μέρος ἕκαστον κινδυνεύειν εἰκότως ἐθέλειν τολμᾶν* non potest alius sensus esse, nisi hic: 'Peloponnesiis vero universi exercitus et præsentium partem unamquamque periclitari merito velle audere,' qualis sensus ab totius narrationis habitu abhorret, ut taceam, plane sic otiosum esse alterum verborum, vel *ἐθέλειν* vel *τολμᾶν*. Hoc autem velle putandus est scriptor: 'Peloponnesios autem, cum universi eorum exercitus et singulorum, qui adsint, pars periclitetur, consentaneum esse, prœlium committere velle;' qui sensus non aliter efficietur quam si mecum corrigas, *τοῖς δὲ ξυμπάσης τῆς δυνάμεως καὶ τῶν παρόντων μέρος ἑκάστων κινδύνευον εἰκότως ἐθέλειν τολμᾶν*. Ita, quemadmodum sententia postulat, juxta se posita vides *ξύμπασαν τὴν δύναμιν* et *παρόντας ἑκάστους*, 'totum' Peloponnesiorum exercitum, et 'singulos,' unde constabat, populos, et nota extat oppositio contrariorum per *ξύμπαντες* et *ἕκαστοι*, de qua egit Poppo Obs. p. 196. et alibi.

74. *οἱ δὲ ἄλλοι—ἐκ Πηγῶν*] Anecd. Bekker. i. p. 153. Mox, *ὁρκίσαντες* habent L. O. P. Q. vide Lobeck. ad Phryn. p. 361. Thom. M. p. 166. citat *ὁρκώσαντες μηδὲν μνησικακήσειν*, ubi pro *ἐν τῇ ἕκτῃ* corrige *ἐν τῇ τετάρτῃ*. Conf. viii, 75. *ὥρκωσαν πάντας*.

αὕτη—μετάστασις] Popponi Proleg. t. i. p. 196. articulus *ἡ* post *αὕτη* excidisse videtur. Et *γενομένη* habent A. F. H. K. N. c. f. g. h. quod Benedict. recipiendum suasit, recepit Bekker. pro vulgata *νεμομένη*.

75. *ἀργυρολόγων*] supple *νεῶν*, et vide Boëckh. Staatsh. d. Ath. t. ii. p. 128.

τῶν Σαμίων καταστάντες τούς τε Πελοποννησίους ὠφέλουν ἐς τὰ ναυτικὰ κυβερνήτας πέμποντες καὶ τοὺς ἐν τῇ πόλει Σαμίους ἐς ταραχὴν καθίστασαν καὶ τοὺς ἐξιόντας ἐδέχοντο, οὕτω δὴ ξυναγείραντες ἀπὸ τῶν ξυμμάχων στρατιὰν καὶ πλεύσαντες μάχῃ τε νικήσαντες τοὺς ἐκ τῆς Ἀντάνδρου ἐπεξελθόντας ἀναλαμβάνουσι τὸ χωρίον πάλιν. Καὶ οὐ πολὺ ὕστερον, ἐς τὸν Πόντον ἐσπλεύσας Λάμαχος, ἐν τῇ Ἡρακλεώτιδι ὁρμήσας ἐς τὸν Κάληκα ποταμὸν ἀπόλλυσι τὰς ναῦς ὕδατος ἄνωθεν γενομένου καὶ κατελθόντος αἰφνιδίου τοῦ ῥεύματος. Αὐτός τε καὶ ἡ στρατιὰ πεζῇ διὰ Βιθυνῶν Θρᾳκῶν, οἵ εἰσι πέραν ἐν τῇ Ἀσίᾳ, ἀφικνεῖται ἐς Χαλκηδόνα, τὴν ἐπὶ τῷ στόματι τοῦ Πόντου Μεγαρέων ἀποικίαν.

76. Ἐν δὲ τῷ αὐτῷ θέρει καὶ Δημοσθένης Ἀθηναίων στρατηγὸς τεσσαράκοντα ναυσὶν ἀφικνεῖται ἐς Ναύπακτον, εὐθὺς μετὰ τὴν ἐκ τῆς Μεγαρίδος ἀναχώρησιν. Τῷ γὰρ Ἱπποκράτει καὶ ἐκείνῳ τὰ Βοιώτια πράγματα ἀπό τινων ἀνδρῶν ἐν ταῖς πόλεσιν ἐπράσσετο, βουλομένων μεταστῆσαι τὸν κόσμον καὶ ἐς δημοκρατίαν ὥσπερ οἱ Ἀθηναῖοι τρέψαι· καὶ Πτοιοδώρου μάλιστ' ἀνδρὸς φυγάδος ἐκ Θηβῶν ἐσηγουμένου τάδε αὐτοῖς παρεσκευάσθη. Σίφας μὲν ἔμελλόν τινες προδώσειν· αἱ δὲ Σῖφαι εἰσὶ τῆς Θεσπικῆς γῆς ἐν τῷ Κρισαίῳ κόλπῳ ἐπιθαλασσίδιοι. Χαιρώνειαν δέ, ἣ ἐς Ὀρχομενὸν τὸν Μινύειον πρότερον καλούμενον νῦν δὲ Βοιώτιον ξυντελεῖ, ἄλλοι ἐξ Ὀρχομενοῦ ἐνεδίδοσαν, καὶ οἱ Ὀρχομενίων φυγάδες ξυνέπρασσον τὰ μάλιστα, καὶ ἄνδρας ἐμισθοῦντο ἐκ Πελοποννήσου· ἔστι δὲ ἡ Χαιρώνεια ἔσχατον τῆς Βοιωτίας πρὸς τῇ Φανότιδι τῆς Φωκίδος, καὶ Φωκέων μετεῖχόν τινες. Τοὺς δὲ Ἀθηναίους ἔδει Δήλιον καταλαβεῖν τὸ ἐν τῇ Ταναγραίᾳ πρὸς Εὔβοιαν τετραμμένον Ἀπόλλωνος ἱερόν, ἅμα δὲ ταῦτα ἐν ἡμέρᾳ ῥητῇ γίγνεσθαι, ὅπως μὴ ξυμβοηθήσωσιν ἐπὶ τὸ

ὁρμήσας] A. B. F. H. K. N. Q. d. f. h. i. Vulgo *ὁρμίσας*, quod negat dici pro *ὁρμισάμενος* Poppo Obs. p. 175. Idem post *ὕστερον* interpungendum esse docuit, quia Lamachus non paulo post captam Antandrum in Pontum navigavit, sed jam antea hoc fecerat, ut modo dictum verbis *Λάμαχος ἐς τὸν Πόντον ἐσεπεπλεύκει.* Atque in Addendis, falsa, ait, in Thucydidis exemplaribus interpunctio etiam Diodorum in errorem induxit, qui xii, 72. scribat, *μετὰ δὲ ταῦτα*, i. e. post captam Antandrum, *Λάμαχος ὁ στρατηγὸς ἔχων δέκα τριήρεις ἔπλευσεν εἰς τὸν Πόντον καὶ καθορμισθεὶς* (quod et ipsum falsam esse arguit vulgatam in Thucydidis editionibus lectionem *ὁρμίσας*) *εἰς Ἡράκλειαν, περὶ τὸν ποταμὸν τὸν ὀνομαζόμενον Κάχητα* (leg. *Κάλητα*) *πάσας τὰς ναῦς ἀπέβαλε.*

Δήλιον οἱ Βοιωτοὶ ἀθρόοι, ἀλλ' ἐπὶ τὰ σφέτερα αὐτῶν ἕκαστοι κινούμενα. Καὶ εἰ κατορθοῖτο ἡ πεῖρα καὶ τὸ Δήλιον τειχισθείη, ῥᾳδίως ἤλπιζον, εἰ καὶ μὴ παραυτίκα νεωτερίζοι τι τῶν κατὰ τὰς πολιτείας τοῖς Βοιωτοῖς, ἐχομένων τούτων τῶν χωρίων καὶ ληστευομένης τῆς γῆς καὶ οὔσης ἑκάστοις διὰ βραχέος ἀποστροφῆς οὐ μενεῖν κατὰ χώραν τὰ πράγματα, ἀλλὰ χρόνῳ τῶν Ἀθηναίων μὲν προσιόντων τοῖς ἀφεστηκόσι, τοῖς δὲ οὐκ οὔσης ἀθρόας τῆς δυνάμεως, καταστήσειν αὐτὰ ἐς τὸ ἐπιτήδειον. Ἡ μὲν οὖν ἐπιβουλὴ τοιαύτη παρεσκευάζετο.

77. Ὁ δὲ Ἱπποκράτης αὐτὸς μὲν ἐκ τῆς πόλεως δύναμιν ἔχων ὁπότε καιρὸς εἴη ἔμελλε στρατεύειν ἐς τοὺς Βοιωτοὺς, τὸν δὲ Δημοσθένην προαπέστειλε ταῖς τεσσαράκοντα ναυσὶν ἐς τὴν Ναύπακτον, ὅπως ἐξ ἐκείνων τῶν χωρίων στρατὸν ξυλλέξας Ἀκαρνάνων τε καὶ τῶν ἄλλων ξυμμάχων πλέοι ἐπὶ τὰς Σίφας ὡς προδοθησομένας· ἡμέρα δ' αὐτοῖς εἴρητο ᾗ ἔδει ἅμα ταῦτα πράσσειν. Καὶ ὁ μὲν Δημοσθένης ἀφικόμενος, Οἰνιάδας δὲ ὑπό τε Ἀκαρνάνων πάντων κατηναγκασμένους καταλαβὼν ἐς τὴν Ἀθηναίων ξυμμαχίαν, καὶ αὐτὸς ἀναστήσας τὸ ξυμμαχικὸν τὸ ἐκείνῃ πᾶν, ἐπὶ Σαλύνθιον καὶ Ἀγραίους στρατεύσας πρῶτον καὶ προσποιησάμενος τἄλλα ἡτοιμάζετο ὡς ἐπὶ τὰς Σίφας ὅταν δέῃ ἀπαντησόμενος.

78. Βρασίδας δὲ κατὰ τὸν αὐτὸν χρόνον τοῦ θέρους πορευόμενος ἑπτακοσίοις καὶ χιλίοις ὁπλίταις ἐς τὰ ἐπὶ Θρᾴκης ἐπειδὴ ἐγένετο ἐν Ἡρακλείᾳ τῇ ἐν Τραχῖνι, καὶ προπέμψαντος αὐτοῦ ἄγγελον ἐς Φάρσαλον παρὰ τοὺς ἐπιτηδείους, ἀξιοῦντος διάγειν ἑαυτὸν καὶ τὴν στρατιὰν, ἦλθον ἐς Μελιτίαν τῆς Ἀχαΐας Πάναιρός τε καὶ Δῶρος καὶ Ἱππολοχίδας καὶ Τορύλαος καὶ Στρόφακος πρόξενος ὢν Χαλκιδέων, τότε δὴ ἐπορεύετο. Ἦγον δὲ καὶ ἄλλοι Θεσσαλῶν αὐτὸν καὶ ἐκ Λαρίσης Νικονίδας, Περδίκκᾳ ἐπιτήδειος ὤν. Τὴν γὰρ Θεσσαλίαν ἄλλως τε οὐκ εὔπορον ἦν διϊέναι ἄνευ ἀγωγοῦ, καὶ μετὰ ὅπλων γε δὴ καὶ τοῖς πᾶσί γε ὁμοίως

76. κινούμενα] A. B. F. H. Vulgo κινούμενοι. Ex ξυμβοηθήσωσι ad subjectum ἕκαστοι repetendum βοηθήσωσι. Mox, scripsi νεωτερίζοιτό τι ex F. Q. νεωτερίζειν d. i. Vulgo νεωτερίζοι τι. Conf. cap. 42. φοβούμενοι, μὴ σφίσι τι νεωτερισθῇ τῶν κατὰ τὴν χώραν.

ἀποστροφῆς] cum a sua cuique civitate non procul abire liceret.

78. οὐκ εὔπορον—ἀγωγοῦ] Thom. M. p. 11. ubi legendum ἐν τῇ τετάρτῃ pro ἐν τῇ δευτέρᾳ.

Ἕλλησιν ὕποπτον καθεστήκει τὴν τῶν πέλας μὴ πείσαντας διϊέναι· τοῖς τε Ἀθηναίοις ἀεί ποτε τὸ πλῆθος τῶν Θεσσαλῶν εὔνουν ὑπῆρχεν. Ὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τὸ ἐγχώριον οἱ Θεσσαλοὶ, οὐκ ἄν ποτε προῆλθεν, ἐπεὶ καὶ τότε πορευομένῳ αὐτῷ ἀπαντήσαντες ἄλλοι τῶν τἀναντία τούτοις βουλομένων ἐπὶ τῷ Ἐνιπεῖ ποταμῷ ἐκώλυον, καὶ ἀδικεῖν ἔφασαν ἄνευ τοῦ πάντων κοινοῦ πορευόμενον. Οἱ δὲ ἄγοντες οὔτε ἀκόντων ἔφασαν διάξειν, αἰφνίδιόν τε παραγενόμενον ξένοι ὄντες κομίζειν. Ἔλεγε δὲ καὶ αὐτὸς ὁ Βρασίδας τῇ Θεσσαλῶν γῇ καὶ αὐτοῖς φίλος ὢν ἰέναι, καὶ Ἀθηναίοις πολεμίοις οὖσι καὶ οὐκ ἐκείνοις ὅπλα ἐπιφέρειν, Θεσσαλοῖς τε οὐκ εἰδέναι καὶ Λακεδαιμονίοις ἔχθραν οὖσαν ὥστε τῇ ἀλλήλων γῇ μὴ χρῆσθαι, νῦν τε ἀκόντων ἐκείνων οὐκ ἂν προελθεῖν, οὐδὲ γὰρ ἂν δύνασθαι, οὐ μέντοι ἀξιοῦν γε εἴργεσθαι. Καὶ οἱ μὲν ἀκούσαντες ταῦτα ἀπῆλθον. Ὁ δὲ κελευόντων τῶν ἀγωγῶν πρίν τι πλέον ξυστῆναι τὸ κωλῦσον ἐχώρει οὐδὲν ἐπισχὼν δρόμῳ. Καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ ᾗ ἐκ τῆς Μελιτίας ἀφώρμησεν, ἐς Φάρσαλόν τε ἐτέλεσε καὶ ἐστρατοπεδεύσατο ἐπὶ τῷ Ἀπιδανῷ ποταμῷ, ἐκεῖθεν δὲ ἐς Φάκιον, καὶ ἐξ αὐτοῦ ἐς Περαιβίαν. Ἀπὸ δὲ τούτου ἤδη οἱ μὲν τῶν Θεσσαλῶν ἀγωγοὶ πάλιν ἀπῆλθον, οἱ δὲ Περαιβοὶ αὐτὸν ὑπήκοοι ὄντες Θεσσαλῶν κατέστησαν ἐς Δῖον τῆς Περδίκκου ἀρχῆς, ὃ ὑπὸ τῷ Ὀλύμπῳ Μακεδονίας πρὸς Θεσσαλοὺς πόλισμα κεῖται.

79. Τούτῳ τῷ τρόπῳ Βρασίδας Θεσσαλίαν φθάσας διέδραμε πρίν τινα κωλύειν παρασκευάσασθαι, καὶ ἀφίκετο ὡς Περδίκκαν καὶ ἐς τὴν Χαλκιδικήν. Ἐκ γὰρ τῆς Πελοπον-

ὥστε—Θεσσαλοὶ] Dionys. p. 799., ubi est *τῷ ἐπιχωρίῳ*, contra auctoritatem omnium librorum Thucydidis. Atque Dionysii scripturam non librariis deberi, ipse docet, scribens, *καὶ γὰρ ἐνταῦθα οὐδέτερον πεποίηκε τὸ θηλυκόν. Ἦν δὲ τὸ σημαινόμενον ὑπὸ τῆς λέξεως τοιόνδε τι· ὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τῇ ἐπιχωρίῳ οἱ Θεσσαλοί.* Censor Observationum Popponis in Ephemer. Jen. n. 12. Jan. 1816. p. 95. scripturam Dionysii ita explicari posse dixit: 'if the Thessalians did not at home rather follow a monarchical than a democratical form of government.' Sed commodior est vulgata.

ἐτέλεσε] Photius, *ἐτέλεσε, κατήνυσε· Θουκυδίδης, ἐς Φάρσαλον ἐτέλεσεν.* In exitu capitis vulgaris scriptura hæc est, *ἀπὸ δὲ τούτου ἤδη μὲν τῶν Θεσσαλῶν ἀγωγοὶ πάλιν ἀπῆλθον· οἱ δὲ Περαιβοὶ, αὐτῶν ὑπήκοοι ὄντες Θεσσαλῶν, κατέστησαν αὐτὸν ἐς Δῖον τῆς Περδίκκου ἀρχῆς.* Hæc emendata sunt e libris, qui ita habent: *ἤδη οἱ μὲν τῶν* A. B. *ἤδη οἱ μὲν* F. H. K. L. N. O. b. c. d. e. f. g. *αὐτὸν* F. H. *κατέστησαν ἐς* A. B. F. H. K. L. N. O. P. b. c. d. e. f. g. h. i. Vulgo *κατέστησαν αὐτὸν ἐς.* In meo S. totus locus ita legitur qualem edidi. *Δίον* A. F. K. et A. infra quoque cap. 109. præacute habet: quod fortasse verius; constat enim nomina propria et appellativa, ubi literis non differunt, accentu discerni. V. Heyn. ad Hom. Il. t. viii. p. 139. 141.

νήσου, ὡς τὰ τῶν Ἀθηναίων εὐτύχει, δείσαντες οἵ τε ἐπὶ Θρᾴκης ἀφεστῶτες Ἀθηναίων καὶ Περδίκκας ἐξήγαγον τὸν στρατὸν, οἱ μὲν Χαλκιδῆς νομίζοντες ἐπὶ σφᾶς πρῶτον ὁρμήσειν τοὺς Ἀθηναίους, καὶ ἅμα αἱ πλησιόχωροι πόλεις αὐτῶν αἱ οὐκ ἀφεστηκυῖαι ξυνεπῆγον κρύφα, Περδίκκας δὲ πολέμιος μὲν οὐκ ὢν ἐκ τοῦ φανεροῦ, φοβούμενος δὲ καὶ αὐτὸς τὰ παλαιὰ διάφορα τῶν Ἀθηναίων καὶ μάλιστα βουλόμενος Ἀῤῥιβαῖον τὸν Λυγκηστῶν βασιλέα παραστήσασθαι. Ξυνέβη δὲ αὐτοῖς, ὥστε ῥᾷον ἐκ τῆς Πελοποννήσου στρατὸν ἐξαγαγεῖν, ἡ τῶν Λακεδαιμονίων ἐν τῷ παρόντι κακοπραγία.

80. Τῶν γὰρ Ἀθηναίων ἐγκειμένων τῇ Πελοποννήσῳ καὶ οὐχ ἥκιστα τῇ ἐκείνων γῇ ἤλπιζον ἀποστρέψαι αὐτοὺς μάλιστα, εἰ ἀντιπαραλυποῖεν πέμψαντες ἐπὶ τοὺς ξυμμάχους αὐτῶν στρατιὰν, ἄλλως τε καὶ ἑτοίμων ὄντων τρέφειν τε καὶ ἐπὶ ἀποστάσει σφᾶς ἐπικαλουμένων. Καὶ ἅμα τῶν Εἱλώτων βουλομένοις ἦν ἐπὶ προφάσει ἐκπέμψαι, μή τι πρὸς τὰ παρόντα τῆς Πύλου ἐχομένης νεωτερίσωσιν, ἐπεὶ καὶ τόδε ἔπραξαν, φοβούμενοι αὐτῶν τὴν νεότητα καὶ τὸ πλῆθος· ἀεὶ γὰρ τὰ πολλὰ Λακεδαιμονίοις πρὸς τοὺς Εἵλωτας τῆς φυλακῆς πέρι μάλιστα καθεστήκει. Προεῖπον αὐτῶν ὅσοι ἀξιοῦσιν ἐν τοῖς πολεμίοις γεγενῆσθαι σφίσιν ἄριστοι, κρίνεσθαι, ὡς ἐλευθερώσοντες, πεῖραν ποιούμενοι καὶ ἡγούμενοι τούτους σφίσιν ὑπὸ φρονήματος, οἵπερ καὶ ἠξίωσαν πρῶτος ἕκαστος ἐλευθεροῦσθαι, μάλιστα ἂν καὶ ἐπιθέσθαι. Καὶ προκρίναντες ἐς δισχιλίους οἱ μὲν ἐστεφανώσαντό τε καὶ τὰ ἱερὰ περιῆλθον ὡς ἠλευθερωμένοι, οἱ δὲ οὐ πολλῷ ὕστερον ἠφάνισάν τε αὐτοὺς καὶ οὐδεὶς ᾔσθετο ὅτῳ τρόπῳ ἕκαστος διεφθάρη. Καὶ τότε προθύμως τῷ Βρασίδᾳ αὐτῶν ξυνέπεμψαν ἑπτακοσίους ὁπλίτας, τοὺς δ᾽ ἄλλους ἐκ τῆς Πελοποννήσου μισθῷ πείσας ἐξήγαγεν.

81. Αὐτόν τε Βρασίδαν βουλόμενον μάλιστα Λακεδαι-

80. καὶ μα—βουλομένοις ἦν] τῶν Εἱλώτων genitivus partitivus est. Ad βουλομένοις ἦν supple αὐτοῖς, et vide de hac formula Kœn. ad Greg. Cor. p. 376. Dorv. ad Charit. p. 467. Matth. Gr. § 388. e. Conf. ii, 3.

καὶ προκρίναντες — διεφθάρη] Structuram istam jam aliquoties explicui. V. ad iii, 34. Solennius ita dixisset, καὶ προκρίναντες οἱ Λακεδαιμόνιοι ἐς δισχιλίους Εἵλωτας, στεφανωθέντας καὶ τὰ ἱερὰ περιελθόντας αὐτοὺς ἠφάνισαν. Conf. Xenoph. Cyrop. iv, 6, 3., ibiq. Popp. Ceterum ad hunc locum respexit Plutarch. Vit. Lycurg. c. 28.

μόνιοι ἀπέστειλαν, προὐθυμήθησαν δὲ καὶ οἱ Χαλκιδῆς ἄνδρα ἔν τε τῇ Σπάρτῃ δοκοῦντα δραστήριον εἶναι ἐς τὰ πάντα καὶ ἐπειδὴ ἐξῆλθε πλείστου ἄξιον Λακεδαιμονίοις γενόμενον. Τό τε γὰρ παραυτίκα ἑαυτὸν παρασχὼν δίκαιον καὶ μέτριον ἐς τὰς πόλεις ἀπέστησε τὰ πολλὰ, τὰ δὲ προδοσίᾳ εἷλε τῶν χωρίων, ὥστε τοῖς Λακεδαιμονίοις γίγνεσθαι ξυμβαίνειν τε βουλομένοις, ὅπερ ἐποίησαν, ἀνταπόδοσιν καὶ ἀποδοχὴν χωρίων, καὶ τοῦ πολέμου ἀπὸ τῆς Πελοποννήσου λώφησιν· ἔς τε τὸν χρόνῳ ὕστερον μετὰ τὰ ἐκ Σικελίας πόλεμον ἡ τότε Βρασίδου ἀρετὴ καὶ ξύνεσις, τῶν μὲν πείρᾳ αἰσθομένων, τῶν δὲ ἀκοῇ νομισάντων, μάλιστα ἐπιθυμίαν ἐνεποίει τοῖς Ἀθηναίων ξυμμάχοις ἐς τοὺς Λακεδαιμονίους. Πρῶτος γὰρ ἐξελθὼν καὶ δόξας εἶναι κατὰ πάντα ἀγαθὸς ἐλπίδα ἐγκατέλιπε βέβαιον ὡς καὶ οἱ ἄλλοι τοιοῦτοί εἰσιν.

82. Τότε δ' οὖν ἀφικομένου αὐτοῦ ἐς τὰ ἐπὶ Θρᾴκης οἱ Ἀθηναῖοι πυθόμενοι τόν τε Περδίκκαν πολέμιον ποιοῦνται, νομίσαντες αἴτιον εἶναι τῆς παρόδου, καὶ τῶν ταύτῃ ξυμμάχων φυλακὴν πλέονα κατεστήσαντο.

83. Περδίκκας δὲ Βρασίδαν καὶ τὴν στρατιὰν εὐθὺς λαβὼν μετὰ τῆς ἑαυτοῦ δυνάμεως στρατεύει ἐπὶ Ἀῤῥιβαῖον τὸν Βρομεροῦ Λυγκηστῶν Μακεδόνων βασιλέα ὅμορον ὄντα, διαφορᾶς τε αὐτῷ οὔσης καὶ βουλόμενος καταστρέψασθαι. Ἐπεὶ δὲ ἐγένετο τῷ στρατῷ μετὰ τοῦ Βρασίδου ἐπὶ τῇ ἐσβολῇ τῆς Λύγκου, Βρασίδας λόγοις ἔφη βούλεσθαι πρῶτον ἐλθὼν πρὸ πολέμου Ἀῤῥιβαῖον ξύμμαχον Λακεδαιμονίων ἢν δύνηται ποιῆσαι. Καὶ γάρ τι καὶ Ἀῤῥιβαῖος ἐπεκηρυκεύετο, ἑτοῖμος ὢν Βρασίδᾳ μέσῳ δικαστῇ ἐπιτρέπειν· καὶ οἱ Χαλκιδέων πρέσβεις ξυμπαρόντες ἐδίδασκον αὐτὸν μὴ ὑπεξελεῖν τῷ Περδίκκᾳ τὰ δεινὰ, ἵνα προθυμοτέρῳ ἔχοιεν

81. *δραστήριον*] V. Dorv. ad Charit. p. 296. ibidemque p. 609. de virtutis Brasidæ apud socios existimatione. Mox, *μετὰ τὰ ἐκ Σικελίας* dixit scriptor, in mente habens *μετὰ τὴν ἐκ Σικελίας ἀναχώρησιν*.

83. *μέσῳ δικαστῇ*] Schol. *ἀντὶ τοῦ μεσίτῃ καὶ διαιτητῇ*. Ex iis quæ ibi sequuntur, statuere licet de antiquitate horum scholiorum: *ἡ τῶν προὐχόντων ἀρετὴ ἔν τε πόλεσι καὶ ἐν στρατείαις πανταχοῦ καθίσταται τὸ ὑπήκοον καὶ τῶν ἐναντίων ποιεῖ μὴ καταφρονεῖν· ἐν μὲν τοῖς Ἕλλησι τὸν Βρασίδαν καὶ τὴν αὐτοῦ στρατιὰν, ἐν τοῖς ἡμετέροις δὲ Βελισάριον εἰς παράστασιν τοῦ παρόντος λόγου παραβάλλομεν.* Vocabulo 'medius' Latini quoque ad significandum arbitrum et sequestrem utuntur. V. interpp. ad Horat. Od. ii, 19, 28. Heins. ad Ovid. Fast. i, 287. Gessner. Thes. l. l. s. v. Mox, *ὑπεξελεῖν* ferunt A. B. F. H. K. L. N. O. Q. c. f. g. Vulgo *ὑπεξελθεῖν*. V. Abresch. Dilucid. p. 450. De forma *ἡμίσεος*, quæ pro vulgata *ἡμίσεως* extat in A. B. Q. S. h. vide quos laudat Popp. Proleg. t. i. p. 221.

καὶ ἐς τὰ ἑαυτῶν χρῆσθαι. Ἅμα δέ τι καὶ εἰρήκεσαν τοιοῦτον οἱ παρὰ τοῦ Περδίκκου ἐν τῇ Λακεδαίμονι, ὡς πολλὰ αὐτοῖς τῶν περὶ αὐτὸν χωρίων ξύμμαχα ποιήσοι, ὥστε ἐκ τοῦ τοιούτου κοινῇ μᾶλλον ὁ Βρασίδας τὰ τοῦ Ἀῤῥιβαίου ἠξίου πράσσειν. Περδίκκας δὲ οὔτε δικαστὴν ἔφη Βρασίδαν τῶν σφετέρων διαφορῶν ἀγαγεῖν, μᾶλλον δὲ καθαιρέτην ὧν ἂν αὐτὸς ἀποφαίνῃ πολεμίων, ἀδικήσειν τε εἰ αὐτοῦ τρέφοντος τὸ ἥμισυ τοῦ στρατοῦ ξυνέσται Ἀῤῥιβαίῳ. Ὁ δὲ ἄκοντος καὶ ἐκ διαφορᾶς ξυγγίγνεται, καὶ πεισθεὶς τοῖς λόγοις ἀπήγαγε τὴν στρατιὰν πρὶν ἐσβαλεῖν ἐς τὴν χώραν. Περδίκκας δὲ μετὰ τοῦτο τρίτον μέρος ἀνθ' ἡμίσεως τῆς τροφῆς ἐδίδου, νομίζων ἀδικεῖσθαι.

84. Ἐν δὲ τῷ αὐτῷ θέρει εὐθὺς ὁ Βρασίδας ἔχων καὶ Χαλκιδέας ἐπὶ Ἄκανθον τὴν Ἀνδρίων ἀποικίαν ὀλίγον πρὸ τρυγήτου ἐστράτευσεν. Οἱ δὲ περὶ τοῦ δέχεσθαι αὐτὸν κατ' ἀλλήλους ἐστασίαζον, οἵ τε μετὰ τῶν Χαλκιδέων ξυνεπάγοντες καὶ ὁ δῆμος. Ὅμως δὲ διὰ τοῦ καρποῦ τὸ δέος ἔτι ἔξω ὄντος πεισθὲν τὸ πλῆθος ὑπὸ τοῦ Βρασίδου δέξασθαί τε αὐτὸν μόνον καὶ ἀκούσαντας βουλεύσασθαι, δέχεται· καὶ καταστὰς ἐπὶ τὸ πλῆθος, ἦν δὲ οὐδὲ ἀδύνατος, ὡς Λακεδαιμόνιος, εἰπεῖν, ἔλεγε τοιάδε.

85. Ἡ μὲν ἔκπεμψίς μου καὶ τῆς στρατιᾶς ὑπὸ Λακεδαιμονίων, ὦ Ἀκάνθιοι, γεγένηται τὴν αἰτίαν ἐπαληθεύουσα ἣν ἀρχόμενοι τοῦ πολέμου προείπομεν Ἀθηναίοις, ἐλευθεροῦντες τὴν Ἑλλάδα πολεμήσειν· εἰ δὲ χρόνῳ ἐπήλθομεν, σφαλέντες τῆς ἀπὸ τοῦ ἐκεῖ πολέμου δόξης, ᾗ διὰ τάχους αὐτοὶ ἄνευ τοῦ ὑμετέρου κινδύνου ἠλπίσαμεν Ἀθηναίους καθαιρήσειν, μηδεὶς μεμφθῇ· νῦν γὰρ ὅτε παρέσχεν ἀφιγμένοι

84. ὡς Λακεδαιμόνιος] i. e. 'no bad orator for a Lacedæmonian.' Conf. Matth. Gr. § 568. Thuc. i, 10. extr. "Vid. Ælian. V. H. xii, 50. Liv. xxxii, 33. 'Vir ut inter Ætolos facundus,' et ad ea verba Gronovium." Wasse. "Dionys. Hal. A. R. x, 36. de L. Siccio Dentato εἰπεῖν τε ὡς στρατιώτης οὐκ ἀδύνατος. C. Nep. V. Epam. c. 5. 'satis exercitatum in dicendo ut Thebanum scilicet.'" Duker. Adde scholiasten: οἱ γὰρ Λάκωνες βραχυλόγοι. Ὅμηρος· ἤτοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευε, Παῦρα μὲν, ἀλλὰ μάλα λιγέως Il. iii, 213., ubi v. Heyn. t. iv. p. 493. et de Brasida conf. Odofr. Mueller. d. Dorer, i. p. 387, 3.

85. Brasidas Acanthiis persuadet, ut se et exercitum in urbem recipiant.

ἐπαληθεύουσα] Præs. pro futuro. Conf. iii, 18. ἐπὶ Μήθυμναν ὡς προδιδομένην ἐστράτευσαν. Vid. Duker. ad v, 65. Ad paulo post sequentia spectant Anecd. Bekk. i. p. 109. μεμφθῇ, ἀντὶ τοῦ μέμφηται, Θουκυδίδης τετάρτῳ. Et fortasse huc etiam Suidas, Photius, et Phavorinus, κατεργάσασθαι, ἀντὶ τοῦ καταπονῆσαι, Θουκυδίδης.

καὶ μετὰ ὑμῶν πειρασόμεθα κατεργάζεσθαι αὐτούς. Θαυμάζω δὲ τῇ τε ἀποκλήσει μου τῶν πυλῶν καὶ εἰ μὴ ἀσμένοις ὑμῖν ἀφῖγμαι. Ἡμεῖς μὲν γὰρ οἱ Λακεδαιμόνιοι οἰόμενοί τε παρὰ ξυμμάχους καὶ πρὶν ἔργῳ ἀφικέσθαι τῇ γοῦν γνώμῃ ἥξειν, καὶ βουλομένοις ἔσεσθαι, κίνδυνόν τε τοσόνδε ἀνεῤῥίψαμεν, διὰ τῆς ἀλλοτρίας πολλῶν ἡμερῶν ὁδὸν ἰόντες καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι· ὑμεῖς δὲ εἴ τι ἄλλο ἐν νῷ ἔχετε, ἢ εἰ ἐναντιώσεσθε τῇ τε ὑμετέρᾳ αὐτῶν ἐλευθερίᾳ καὶ τῶν ἄλλων Ἑλλήνων, δεινὸν ἂν εἴη. Καὶ γὰρ οὐ μόνον ὅτι αὐτοὶ ἀνθίστασθε, ἀλλὰ καὶ οἷς ἂν ἐπίω, ἧσσόν τις ἐμοὶ πρόσεισι, δυσχερὲς ποιούμενοι εἰ ἐπὶ οὓς πρῶτον ἦλθον ὑμᾶς καὶ πόλιν ἀξιόχρεων παρεχομένους καὶ ξύνεσιν δοκοῦντας ἔχειν μὴ ἐδέξασθε· καὶ τὴν αἰτίαν οὐχ ἕξω πιστὴν ἀποδεικνύναι, ἀλλ' ἢ ἄδικον τὴν ἐλευθερίαν ἐπιφέρειν ἢ ἀσθενὴς καὶ ἀδύνατος τιμωρῆσαι τὰ πρὸς Ἀθηναίους, ἢν ἐπίωσιν, ἀφῖχθαι. Καίτοι στρατιᾷ γε τῇδ' ἣν νῦν ἐγὼ ἔχω ἐπὶ Νίσαιαν ἐμοῦ βοηθήσαντος, οὐκ ἠθέλησαν Ἀθηναῖοι πλέονες ὄντες προσμῖξαι, ὥστε οὐκ εἰκὸς νηΐτῃ γε αὐτοὺς τῷ ἐν Νισαίᾳ στρατῷ ἴσον πλῆθος ἐφ' ὑμᾶς ἀποστεῖλαι.

καὶ πρὶν ἔργῳ ἀφικέσθαι] Valla *ἀφικέσθαι* non exprimit, eamque ex Scholiastæ interpretatione irrepsisse, putat Krueger. ad Dionys. p. 291., cum ex vulgata lectione nec futurum *ἥξειν* aptum sit, nec commoda sententia. Quam illa voce abjecta talem esse dicit, 'ad ejusmodi homines arbitrabamur nos venturos esse, qui priusquam revera socii nostri forent, sociorum tamen sensibus erga nos affecti essent.' —Sed etiam vulgata servari potest, et admittit hanc interpretationem, 'credideramus fore ut veniremus ad eos qui prius, quam reapse veniremus, voluntate certe socii essent.' Ad *γνώμῃ* supplendum *ὄντας*, prorsus ut iii, 70. *οἱ δέ τινες τῆς αὐτῆς γνώμης τῷ Πειθίᾳ*, et i, 122. *εἰ μὴ καὶ ἀθρόοι, καὶ κατὰ ἔθνη καὶ ἕκαστον ἄστυ μιᾷ γνώμῃ, ἀμυνούμεθα αὐτοὺς*, ubi vide adnotata. Scholiastes: *ἐλπίσαντες τὴν παρουσίαν ἡμῶν ἀσμένοις ὑμῖν ἔσεσθαι, οὓς γε καὶ πρὶν ἀφικέσθαι τῇ γοῦν προαιρέσει φίλους εἶναι, ἥξειν* (in editis est *ἕξειν*) *τε ὁπότε βουλοίμεθα, ὡς παρὰ φίλους ἀφικέσθαι.* Nisi rhetoricam antithesin captasset, scriptor ita, non mutato sensu, locutus esset, *οἰόμενοι παρ' ὑμᾶς ξυμμάχους ἥξειν ὄντας, καὶ πρὶν ἀφικέσθαι.* Mox de locutione *κίνδυνον ἀνεῤῥίψαμεν* vid. Elmsl. ad Eur. Heracl. 149. Casaubon. ad Sueton. Cæsar. cap. 32.

καὶ πᾶν—παρεχόμενοι] Ammon. d. Diff. Vocab. p. 108. his verbis utitur ad discrimen ostendendum inter *παρέχειν* et *παρέχεσθαι.* Ceterum adnotanda est structuræ anacoluthia; nam aut *τε* post *κίνδυνον* abesse debebat, aut scribi *παρειχόμεθα.* Mox, *οὐ μόνον ὅτι* ellipsis est pro *οὐ μόνον λέγω, ὅτι.*

εἰ ἐπὶ οὓς—ἐδέξασθε] subjectum accommodatum est pronomini, quo refertur relativo. Legitima verborum constructio hæc est: *εἰ ἐπὶ οὓς πρῶτον ἦλθον, ὑμεῖς καὶ πόλιν ἀξιόχρεων παρεχόμενοι καὶ ξύνεσιν δοκοῦντες ἔχειν, μὴ ἐδέξασθε.*

ὥστε οὐκ εἰκὸς—ἀποστεῖλαι] Non levem offensionem hæc verba habent. Audiamus Heilmannum: *ὥστε*, ait, cum indicet aliquid ex aliqua re effici et colligi posse; patet illis verbis ex antecedentibus prorsus absurdam rem colligi: etenim si apud Nisæam Athenienses non audebant cum Brasida dimicare; sequitur potius contrarium ejus, quod hic dicitur, majorem videlicet, quam Athenienses apud Nisæam habebant, apparatum ab iis exspectandum esse. Sed Thucydides, addit, idem voluisse videtur, ac si scripsisset *ὥστε, οὐκ εἰκὸς ὂν νηΐτῃ* (supple *στόλῳ*, i. e. 'maritima expeditione,') *γε αὐτοὺς τῷ ἐν Νισαίᾳ στρατῷ ἴσον πλῆθος ἐφ' ὑμᾶς ἀποστεῖλαι, οὐ δικαίως φοβεῖσθε αὐτούς.*— Ac profecto melius, quo me expediam, nunc nihil succurrit. Plenius habes *νηΐτῃ*

86. Αὐτός τε οὐκ ἐπὶ κακῷ, ἐπ' ἐλευθερώσει δὲ τῶν Ἑλλήνων παρελήλυθα, ὅρκοις τε Λακεδαιμονίων καταλαβὼν τὰ τέλη τοῖς μεγίστοις ἦ μὴν οὓς ἂν ἔγωγε προσαγάγωμαι ξυμμάχους ἔσεσθαι αὐτονόμους, καὶ ἅμα οὐχ ἵνα ξυμμάχους ὑμᾶς ἔχωμεν ἢ βίᾳ ἢ ἀπάτῃ προσλαβόντες, ἀλλὰ τοὐναντίον ὑμῖν δεδουλωμένοις ὑπὸ Ἀθηναίων ξυμμαχήσοντες. Οὔκουν ἀξιῶ οὔτ' αὐτὸς ὑποπτεύεσθαι, πίστεις [τε] διδοὺς τὰς μεγίστας, οὔτε τιμωρὸς ἀδύνατος νομισθῆναι, προσχωρεῖν τε ὑμᾶς θαρσήσαντας. Καὶ εἴ τις ἰδίᾳ τινὰ δεδιὼς ἄρα μὴ ἐγώ τισι προσθῶ τὴν πόλιν ἀπρόθυμός ἐστι, πάντων μάλιστα πιστευσάτω. Οὐ γὰρ ξυστασιάσων ἥκω, οὐδὲ ἀσαφῆ τὴν ἐλευθερίαν νομίζω ἐπιφέρειν, εἰ τὸ πάτριον παρεὶς τὸ πλέον τοῖς ὀλίγοις ἢ τὸ ἔλασσον τοῖς πᾶσι δουλώσαιμι. Χαλεπωτέρα γὰρ ἂν τῆς ἀλλοφύλου ἀρχῆς εἴη, καὶ ἡμῖν τοῖς Λακεδαιμονίοις οὐκ ἂν ἀντὶ πόνων χάρις καθίσταιτο, ἀντὶ δὲ τιμῆς καὶ δόξης αἰτία μᾶλλον· οἷς τε τοὺς Ἀθηναίους ἐγκλήμασι καταπολεμοῦμεν, αὐτοὶ ἂν φαινοίμεθα ἐχθίονα ἢ ὁ μὴ ὑποδείξας ἀρετὴν κατακτώμενοι. Ἀπάτῃ γὰρ εὐπρεπεῖ αἴσχιον τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι ἢ βίᾳ ἐμφανεῖ· τὸ μὲν γὰρ ἰσχύος δι-

στρατῷ apud Thucyd. ii, 24., at *νηΐτῃ στόλῳ* ex Procopio attulit Suidas.

86. *πίστεις τε*] *τε* omittunt L. O. P. Lege *πίστεις γε*. De *ἦ μὴν*, quod paulo ante legitur, vide Buttm. Gr. § 136. p. 578. Est formula jurantium, et reddenda 'most surely.'

ἀσαφῆ τὴν ἐλευθερίαν] *ἀσφαλῆ* F. M. N. Adverbium sæpe et adjectivum vice fungitur totius sententiæ, velut hic, ubi sensus idem est ac si scripsisset, *οὐδὲ ἐλευθερίαν νομίζω ἐπιφέρειν, ἣ ἀσαφὴς ἂν εἴη, εἰ*, etc. vel sic, *οὐδὲ ἀσαφῆ τὴν ἐλευθερίαν νομίζω ἐπιφέρειν, ἐπιφέροιμι δ' ἄν, εἰ*, etc. Contulit Popp. Obs. p. 202. et 142. Plat. Apol. Socr. 5. *πόθεν αἱ διαβολαί σοι αὗται γεγόνασιν; οὐ γὰρ δήπου σοῦ γε οὐδὲν τῶν ἄλλων περιττότερον πραγματευομένου, ἔπειτα τοσαύτη φήμη τε καὶ λόγος γέγονεν, εἰ μή τι ἔπραττες ἀλλοῖον ἢ οἱ πολλοί*, quæ breviter dicta dicit pro *λόγος γέγονεν, ὃς οὐκ ἂν ἐγένετο, εἰ μή*, etc. Adde Soph. Antig. 70. *οὔτ' ἄν, εἰ θέλοις ἔτι Πράσσειν, ἐμοῦ γ' ἂν ἡδέως δρῴης μέτα*, i. e. *οὔθ' ἡδὺ ἄν μοι εἴη, εἰ δρῴης*, etc. Horat. Serm. ii, 2, 90. 'hac mente, quod hospes Tardius adveniens vitiatum commodius quam Integrum edax dominus consumeret,' i. e. quod commodius videretur, si hospes, etc., ubi v. Heindorf.

ἀντὶ πόνων χάρις] Solent hæc vocabula tanquam contraria juxta se poni. Sic apud Dionysium de C. V. p. 78. e libris restitui, *καὶ τὸ μεταβάλλειν ὥσπερ χάριν ἔχει τινά, οὕτω καὶ πόνον*, ubi attuli verba Sophocl. Œd. Col. 229. *ἀπάτα δ' ἀπάταις ἑτέραις ἑτέρα παραβαλλομένα πόνον, οὐ χάριν ἀντιδίδωσιν ἔχειν*, et vulgo edebatur *οὕτω καὶ πιθανόν*. Et sic iterum componit *εὐπαθείας* et *πόνους* p. 207. Hinc explicandus Euripides Helen. 1441., loco male a Bothio intellecto, ubi Helenæ dicenti ad Theoclymenum, se ejus hoc ipso die memorem futuram, gratiamque pro quodam officio relaturam, cum primum marito defuncto inferias tulisset, verbisque his usæ, *ἥδ' ἡμέρα σοι τὴν ἐμὴν δείξει χάριν*, Theoclymenus respondet, *τὰ τῶν θανόντων οὐδέν, ἀλλ' ἁπλῶς πόνος*, i. e. mortui nihil sentiunt, quibus quod gratum te fecisse putes, nihil est nisi sine gratia labor.

ὁ μὴ ὑποδείξας] Schol. *ὁ μὴ προεπαγγειλάμενος· τὸν Ἀθηναῖον αἰνίττεται.* Totam autem sententiam ita puto explicandam, *οἷς τε τοὺς Ἀθηναίους ἐγκλήμασι καταπολεμοῦμεν, ἐκείνων αὐτοὶ ἂν φαινοίμεθα ἐχθίονα—κατακτώμενοι.* Conf. ad initium cap. 87. Mox, verba *ἀπάτῃ—ἐπιβουλῇ* habet Stobæus p. 366. ex citatione Dukeri.

καιώσει, ἣν ἡ τύχη ἔδωκεν, ἐπέρχεται, τὸ δὲ γνώμης ἀδίκου ἐπιβουλῇ. Οὕτω πολλὴν περιωπὴν τῶν ἡμῖν ἐς τὰ μέγιστα διαφόρων ποιούμεθα.

87. Καὶ οὐκ ἂν μείζω πρὸς τοῖς ὅρκοις βεβαίωσιν λάβοιτε ἢ οἷς τὰ ἔργα ἐκ τῶν λόγων ἀναθρούμενα δόκησιν ἀναγκαίαν παρέχεται ὡς καὶ ξυμφέρει ὁμοίως ὡς εἶπον. Εἰ δ' ἐμοῦ ταῦτα προϊσχομένου ἀδύνατοι μὲν φήσετε εἶναι, εὖνοι δ' ὄντες ἀξιώσετε μὴ κακούμενοι διωθεῖσθαι καὶ τὴν ἐλευθερίαν μὴ ἀκίνδυνον ὑμῖν φαίνεσθαι, δίκαιόν τε εἶναι, οἷς καὶ δυνατὸν δέχεσθαι αὐτὴν, τούτοις καὶ ἐπιφέρειν, ἄκοντα δὲ μηδένα προσαναγκάζειν, μάρτυρας μὲν θεοὺς καὶ ἥρωας τοὺς ἐγχωρίους ποιήσομαι ὡς ἐπ' ἀγαθῷ ἥκων οὐ πείθω, γῆν δὲ τὴν ὑμετέραν δῃῶν πειράσομαι βιάζεσθαι, καὶ οὐκ ἀδικεῖν ἔτι νομιῶ, προσεῖναι δέ τί μοι καὶ κατὰ δύο ἀνάγκας τὸ εὔλογον, τῶν μὲν Λακεδαιμονίων, ὅπως μὴ τῷ ὑμετέρῳ εὔνῳ, εἰ μὴ προσαχθήσεσθε τοῖς ἀπὸ ὑμῶν χρήμασι φερομένοις παρ' Ἀθηναίους βλάπτωνται, οἱ δὲ Ἕλληνες ἵνα μὴ κωλύωνται ὑφ' ὑμῶν δουλείας ἀπαλλαγῆναι. Οὐ γὰρ δὴ εἰκότως γ' ἂν τάδε πράσσοιμεν, οὐδὲ ὀφείλομεν οἱ Λακεδαιμόνιοι μὴ κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ τοὺς μὴ βουλομένους ἐλευθεροῦν.

περιωπὴν] Phot., Suidas, et Phavorinus in voce: καλεῖ Thucydides περιωπὴν τὴν φροντίδα καὶ τὴν περίσκεψιν, οὐ τὸν τόπον ὡς Ὅμηρος Il. ε, 205. Schol. ἀντὶ τοῦ περίσκεψιν, ἢ περιάθρησιν, ἢ πρόνοιαν, ἢ ἐξέτασιν, ut nos dicimus 'circumspection.' V. Poppo Proleg. t. i. p. 239. 240.

87. καὶ οὐκ ἂν μείζω—ὡς εἶπον] i. e. 'neque præter jusjurandum majorem fidem accipere possitis quam ea quibus res ipsa cum verbis meis comparata evincit persuasionem, ita conducere, ut dixi.' Suppleo igitur ἢ ἐκείνοις οἷς τὰ ἔργα, etc., quod est idem ac si dixisset οὐκ ἂν μείζω βεβαίωσιν λάβοιτε ἢ τὰ ἔργα, ἃ ἐκ τῶν λόγων ἀναθρούμενα δόκησιν ἀναγκαίαν παρέχεται, ubi ἐκ λόγων ἀναθρούμενα est 'ex verbis meis spectata,' i. e. cum iis collata, et verba ὡς καὶ ξυμφέρει ὁμοίως ὡς εἶπον pendent ex δόκησιν.

ἡμῖν φαίνεσθαι] Ita edidit Bekker. ex A. B. F. H. Q. f. h. Mihi sic tantum ἡμῖν hic ferri posse videtur, si simul φαίνεται, verbum finitum cum nominativo ponatur, ut de more Græcorum ab oratione indirecta in directam transitus factus sit, quod cum non fieri possit, e ceteris libris ὑμῖν revocavi.

τῶν μὲν Λακεδαιμονίων—οἱ δὲ Ἕλληνες] Variantur casus; genitivus pendet a κατὰ δύο ἀνάγκας. Conf. vi, 35. τῶν Συρακοσίων ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν, οἱ μὲν, ὡς οὐδενὶ ἂν τρόπῳ ἔλθοιεν οἱ Ἀθηναῖοι, οὐδ' ἀληθῆ ἐστιν ἃ λέγει· τοῖς δὲ, εἰ καὶ ἔλθοιεν, τί ἂν δράσειαν αὐτοὺς, ὅ,τι οὐκ ἂν μεῖζον ἀντιπάθοιεν· ἄλλοι δὲ καὶ πάνυ καταφρονοῦντες ἐς γέλωτα ἔτρεπον τὸ πρᾶγμα. vi, 24. ἔρως ἐνέπεσε τοῖς πᾶσιν ὁμοίως ἐκπλεῦσαι· τοῖς μὲν γὰρ πρεσβυτέροις, ὡς ἢ καταστρεψομένοις ἐφ' ἃ ἔπλεον, ἢ οὐδὲν ἂν σφαλεῖσαν μεγάλην δύναμιν· τοῖς δ' ἐν τῇ ἡλικίᾳ, τῆς τε ἀπούσης πόθῳ ὄψεως καὶ θεωρίας, καὶ εὐέλπιδες ὄντες σωθήσεσθαι· ὁ δὲ πολὺς ὅμιλος καὶ στρατιώτης ἐν τῷ παρόντι ἀργύριον οἴσειν. Sallust. Cat. c. 23. 'plerique patriæ, sed omnes fama atque fortunis expertes sumus,' ubi v. Cort. Vid. Popp. Proleg. t. i. p. 268.

οὐ γὰρ δὴ εἰκότως—ἐλευθεροῦν] Minus recte Heilmannus: 'that would not be acting fairly; and we Lacedæmonians are not bound to set people at liberty against their wills.' Verba μὴ—αἰτίᾳ hoc sibi volunt, 'nisi alicujus boni publici causa.' V. Herm. ad Viger. p. 802. Sententia igitur hæc est: sineremus vos in servitio

Οὐδ' αὖ ἀρχῆς ἐφιέμεθα, παῦσαι δὲ μᾶλλον ἑτέρους σπεύδοντες τοὺς πλείους ἂν ἀδικοῖμεν εἰ ξύμπασιν αὐτονομίαν ἐπιφέροντες ὑμᾶς τοὺς ἐναντιουμένους περιΐδοιμεν. Πρὸς ταῦτα βουλεύεσθε εὖ, καὶ ἀγωνίσασθε τοῖς τε Ἕλλησιν ἄρξαι πρῶτοι ἐλευθερίας, καὶ ἀΐδιον δόξαν καταθέσθαι, καὶ αὐτοὶ τά τε ἴδια μὴ βλαφθῆναι καὶ ξυμπάσῃ τῇ πόλει τὸ κάλλιστον ὄνομα περιθεῖναι.

88. Ὁ μὲν Βρασίδας τοσαῦτα εἶπεν. Οἱ δὲ Ἀκάνθιοι, πολλῶν λεχθέντων πρότερον ἐπ' ἀμφότερα, κρύφα διαψηφισάμενοι, διά τε τὸ ἐπαγωγὰ εἰπεῖν τὸν Βρασίδαν καὶ περὶ τοῦ καρποῦ φόβῳ ἔγνωσαν οἱ πλείους ἀφίστασθαι Ἀθηναίων, καὶ πιστώσαντες αὐτὸν τοῖς ὅρκοις οὓς τὰ τέλη τῶν Λακεδαιμονίων ὀμόσαντα αὐτὸν ἐξέπεμψαν, ἦ μὴν ἔσεσθαι ξυμμάχους αὐτονόμους οὓς ἂν προσαγάγηται, οὕτω δέχονται τὸν στρατόν. Καὶ οὐ πολλῷ ὕστερον καὶ Στάγειρος Ἀνδρίων ἀποικία ξυναπέστη. Ταῦτα μὲν οὖν ἐν τῷ θέρει τούτῳ ἐγένετο.

89. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς ἀρχομένου, ὡς τῷ Ἱπποκράτει καὶ Δημοσθένει στρατηγοῖς οὖσιν Ἀθηναίων τὰ ἐν τοῖς Βοιωτοῖς ἐνεδίδοτο, καὶ ἔδει τὸν μὲν Δημοσθένην ταῖς ναυσὶν ἐς τὰς Σίφας ἀπαντῆσαι, τὸν δ' ἐπὶ τὸ Δήλιον, γενομένης διαμαρτίας τῶν ἡμερῶν ἐς ἃς ἔδει ἀμφοτέρους στρατεύειν, ὁ μὲν Δημοσθένης πρότερον πλεύσας πρὸς τὰς Σίφας καὶ ἔχων ἐν ταῖς ναυσὶν Ἀκαρνᾶνας καὶ τῶν ἐκεῖ πολλοὺς ξυμμάχων, ἄπρακτος γίγνεται μηνυθέντος τοῦ ἐπιβουλεύματος ὑπὸ Νικομάχου ἀνδρὸς Φωκέως ἐκ Φανοτέως, ὃς Λακεδαιμονίοις εἶπεν, ἐκεῖνοι δὲ Βοιωτοῖς· καὶ βοηθείας γενομένης πάντων Βοιωτῶν, οὐ γάρ πω Ἱπποκράτης παρελύπει ἐν τῇ γῇ ὤν, προκαταλαμβάνονται αἵ τε Σίφαι καὶ ἡ

Atheniensium manere, nisi communis Græcorum salutis causa, cui vos impedimento estis, vel invitos vos liberare deberemus, ' nec decenter hæc faceremus, neque debemus Lacedæmonii nisi alicujus boni publici causa, qui nolunt eos liberare.' Ubi tamen potius hæc exspectaveris, *οὐδ' ἂν Λακεδαιμόνιοι τοὺς μὴ βουλομένους ἐλευθεροῦν ἐπεχειροῦμεν, εἰ μὴ ὠφείλομεν κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ.* Atque sic accepit Scholiastes, *οὐ γὰρ ἂν εὐλόγως ἐγχειροῖμεν ἐλευθεροῦν τοὺς Ἕλληνας, οὐδ' ἂν δικαίως τοὺς μὴ βουλομένους ἐλευθεροῦσθαι ἐλευθεροῦν ἐπεχειροῦμεν, εἰ μὴ κοινῇ πᾶσι τοῖς Ἕλλησι τοῦτο συνέφερε.* Videtur consulto Laconicam breviloquentiam sectari, quæ plus divinari, quam diserte dicta intelligi cupit.

καὶ ἀγωνίσασθε—ἐλευθερίας] Thom. M. p. 163.

88. *πιστώσαντες*] Hæc usque ad *ὅρκοις* non nominato auctore una cum interpretatione Scholiastæ leguntur apud Suidam in *πιστώσαντες*.

τὰ τέλη] Licebat huic neutri pluralem verbi jungere ex regula in vulgus jam nota. Vid. Lobeck. ad Phrynich. p. 425. Vid. ad i, 126. ii, 8.

Χαιρώνεια. Ὡς δὲ ᾔσθοντο οἱ πράσσοντες τὸ ἁμάρτημα, οὐδὲν ἐκίνησαν τῶν ἐν ταῖς πόλεσιν.

90. Ὁ δὲ Ἱπποκράτης ἀναστήσας Ἀθηναίους πανδημεὶ αὐτοὺς καὶ τοὺς μετοίκους καὶ ξένων ὅσοι παρῆσαν ὕστερος ἀφικνεῖται ἐπὶ τὸ Δήλιον, ἤδη τῶν Βοιωτῶν ἀνακεχωρηκότων ἀπὸ τῶν Σιφῶν· καὶ καθίσας τὸν στρατὸν Δήλιον ἐτείχιζε τοιῷδε τρόπῳ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. Τάφρον μὲν κύκλῳ περὶ τὸ ἱερὸν καὶ τὸν νεὼν ἔσκαπτον, ἐκ δὲ τοῦ ὀρύγματος ἀνέβαλλον ἀντὶ τείχους τὸν χοῦν, καὶ σταυροὺς παρακαταπηγνύντες, ἄμπελον κόπτοντες τὴν περὶ τὸ ἱερὸν ἐσέβαλλον, καὶ λίθους ἅμα καὶ πλίνθον ἐκ τῶν οἰκοπέδων τῶν ἐγγὺς

89. *οἱ πράσσοντες*] "Adnotat Casaubon. ad Polyb. p. 185., *πράσσειν* sæpe idem esse ac 'prodere,' eamque significationem hujus verbi cum ex hoc Thucydidis, tum ex aliorum scriptorum locis ostendit. Et Spanhem. ad Aristoph. Plut. 410. e cap. 110. hujus libri. Sic etiam hoc loco accipit Scholiastes, (quanquam non recte *ἁμαρτίαν* exponit *προδοσίαν*, pro *διαμαρτίαν τῶν ἡμερῶν*, quam cap. præced. memorat Thucydides, vel *τὸ ἁμάρτημα* imperatorum Atheniensium,) et cap. 74. *τῶν πρὸς τοὺς Ἀθηναίους πραξάντων*. cap. 76. *τῷ Ἱπποκράτει τὰ Βοιώτια πράγματα ἀπό τινων ἀνδρῶν ἐν ταῖς πόλεσιν ἐπράττετο*. Item cap. 110. *οἱ δὲ πράσσοντες αὐτῷ*, et cap. 113. *οἱ δὲ πράσσοντες* itidem de proditione interpretatur. Habet hæc vox in universum significationem clandestinæ molitionis et studii partium. Unde etiam illi qui id agunt, ut alios sibi concilient et in suas partes pertrahant, quique aliorum rebus student ac favent, dicuntur *πράσσειν*. Thucyd. i, 57. *δεδιὼς τε ἔπρασσεν, ἔς τε τὴν Λακεδαίμονα πέμπων, ὅπως πόλεμος γένηται αὐτοῖς πρὸς Πελοποννησίους*. iv, 1. *ἀπέστη Μεσσήνη Ἀθηναίων. Ἔπραξαν δὲ τοῦτο μάλιστα οἱ Συρακόσιοι*. Et iv, 73. *ὥστε ἐκ τοῦ τοιούτου κοινῇ μᾶλλον ὁ Βρασίδας τὰ τοῦ Ἀῤῥιβαίου ἠξίου πράσσειν*." Duker.

90. *πανδημεὶ*] Atheniensium copiæ plerumque per multas regiones dispersæ erant, nec facile conjunctæ pugnabant. Vide ii, 39. Tantum in vicinas terras aliquoties cum toto domestico exercitu profecti sunt. Sic in Megaridem maximus Atheniensium ipsorum exercitus irrupit, constans e tredecim millibus gravis armaturæ militum, quorum decem millia cives erant, reliqui inquilini et e turba velitum (*ψιλῶν*) haud exigua. Vid. iii, 31. Eodem modo universus exercitus Tanagræorum agros vastavit, iii, 91. Atque hic Delium non tantum cunctos, qui militabant, cives et inquilinos, sed etiam peregrinos seu hospites, quotquot aderant, eduxerunt. E quibus levis armatura, numero hostes valde superans, ut primum exercitus se recipere cœpit, statim domum abiit, et pauci tantum prœlio adfuerunt. Gravis armaturæ milites autem, qui tunc conflixerunt, hostibus numero æquales erant, ideoque circiter septem millia. Popp. Proleg. t. ii. p. 72.

ἱερὸν καὶ τὸν νεὼν] Scholiast. cod. H. *ἱερὸν ναοῦ διαφέρει· ἱερὸν μὲν αὐτὸς ὁ προσιερωμένος τόπος τῷ θεῷ· νεὼς δὲ ἔνθα ἵδρυται αὐτὸ τὸ ἄγαλμα τοῦ θεοῦ*. Ammonius *ἱερὰ τοὺς περιβόλους τῶν ναῶν* esse dicit. V. interpretes in Polluc. i, 6. ix, 40.

ἀνέβαλλον] Eustath. in Hom. Il. α. p. 117. *ὁ ὀρύσσων ἀναβάλλειν ἤγουν ἄνω ῥίπτειν λέγεται τὸν χοῦν*. Idem in Il. φ. p. 1241. *ἐντεῦθεν καὶ ἐπὶ τῶν ὀρυσσόντων τὸ ἄνω ῥίπτειν τὸ χῶμα ἀναβάλλεσθαι καὶ ἀναβάλλειν φασὶν οἱ παλαιοὶ, καὶ τὴν τοιαύτην γῆν ἀμβολάδα*. Et rursum in Odyss. α. p. 1404. Adde Kuhn. ad Polluc. vii, 100. ex Xenophonte et Eustathio in Il. φ. p. 1229. hoc illustrantem. De eo quod paulo post *ἄμπελον περὶ τὸ ἱερὸν* memorat, vide Spanhem. ad Callim. Hymn. Pallad. 61. Adnotavit Duker. Conf. ad iii, 70.

ἐσέβαλλον] Heilm. duplicem ait explicationem hæc verba admittere, ut vel sic intelligantur, *ἄμπελον, ἣν ἔκοπτον περὶ τὸ ἱερὸν φυτευθεῖσαν, ἐσέβαλλον τοῖς σταυροῖς*, et ita interpretatus est, 'he caused pales to be drove into the ground, and vine-branches, which he had cut in the vineyard near the temple, to be twisted between them:' vel sic, palos defixerunt, vineæ, quæ circum templum erat, materia excisa, et humum effossam interjecerunt; ut *ἐσέβαλλον* trahatur ad præcedens *χοῦν*. Sed priorem explicationem magis firmari ait verbis cap. 100., ubi Bœoti narrantur

καθαιροῦντες, καὶ παντὶ τρόπῳ ἐμετεώριζον τὸ ἔρυμα. Πύργους τε ξυλίνους κατέστησαν ᾗ καιρὸς ἦν καὶ τοῦ ἱεροῦ οἰκοδόμημα οὐδὲν ὑπῆρχεν· ἥπερ γὰρ ἦν στοὰ, κατεπεπτώκει. Ἡμέρᾳ δὲ ἀρξάμενοι τρίτῃ ὡς οἴκοθεν ὥρμησαν ταύτην τε εἰργάζοντο καὶ τὴν τετάρτην καὶ τῆς πέμπτης μέχρι ἀρίστου. Ἔπειτα, ὡς τὰ πλεῖστα ἀπετετέλεστο, τὸ μὲν στρατόπεδον προαπεχώρησεν ἀπὸ τοῦ Δηλίου οἷον δέκα σταδίους ὡς ἐπ' οἴκου πορευόμενον, καὶ οἱ μὲν ψιλοὶ οἱ πλεῖστοι εὐθὺς ἐχώρουν, οἱ δ' ὁπλῖται θέμενοι τὰ ὅπλα ἡσύχαζον· Ἱπποκράτης δὲ ὑπομένων ἔτι καθίστατο φύλακάς τε καὶ τὰ περὶ τὸ προτείχισμα, ὅσα ἦν ὑπόλοιπα, ὡς χρῆν ἐπιτελέσαι.

91. Οἱ δὲ Βοιωτοὶ ἐν ταῖς ἡμέραις ταύταις ξυνελέγοντο ἐς τὴν Τάναγραν· καὶ ἐπειδὴ ἀπὸ πασῶν τῶν πόλεων παρῆσαν καὶ ᾐσθάνοντο τοὺς Ἀθηναίους προχωροῦντας ἐπ' οἴκου, τῶν ἄλλων βοιωταρχῶν, οἵ εἰσιν ἕνδεκα, οὐ ξυνεπαινούντων μάχεσθαι, ἐπειδὴ οὐκ ἐν τῇ Βοιωτίᾳ ἔτι εἰσὶ, μάλιστα γὰρ ἐν μεθορίοις τῆς Ὠρωπίας οἱ Ἀθηναῖοι ἦσαν, ὅτε ἔθεντο τὰ ὅπλα, Παγώνδας ὁ Αἰολάδου βοιωταρχῶν ἐκ Θηβῶν μετ' Ἀριανθίδου τοῦ Λυσιμαχίδου, καὶ ἡγεμονίας οὔσης αὐτοῦ, βουλόμενος τὴν μάχην ποιῆσαι καὶ νομίζων ἄμεινον εἶναι κινδυνεῦσαι, προσκαλῶν ἑκάστους κατὰ λόχους, ὅπως μὴ ἀθρόοι ἐκλίποιεν τὰ ὅπλα, ἔπειθε τοὺς Βοιωτοὺς ἰέναι ἐπὶ τοὺς Ἀθηναίους καὶ τὸν ἀγῶνα ποιεῖσθαι, λέγων τοιάδε.

92. Χρῆν μὲν, ὦ ἄνδρες Βοιωτοὶ, μηδ' ἐς ἐπίνοιάν τινα ἡμῶν ἐλθεῖν τῶν ἀρχόντων ὡς οὐκ εἰκὸς Ἀθηναίοις, ἢν ἄρα μὴ ἐν τῇ Βοιωτίᾳ ἔτι καταλάβωμεν αὐτοὺς, διὰ μάχης ἐλθεῖν. Τὴν γὰρ Βοιωτίαν ἐκ τῆς ὁμόρου ἐλθόντες τεῖχος ἐνοικοδομησάμενοι μέλλουσι φθείρειν, καὶ εἰσὶ δήπου πολέμιοι, ἐν ᾧ τε

eo potissimum machinam igniferam admovisse, ᾗ μάλιστα τῇ ἀμπέλῳ καὶ τοῖς ξύλοις ᾠκοδόμητο. Participia hoc modo se excipiunt: καὶ σταυροὺς παρακαταπηγνύντες ἐσέβαλλον ἄμπελόν τε, κόπτοντες αὐτὴν περὶ τὸ ἱερὸν, καὶ λίθους ἅμα καὶ πλίνθον ἐσέβαλλον, καθαιροῦντες αὐτὰ ἐκ τῶν οἰκοπέδων τῶν ἐγγύς. Verba ἀντὶ τείχους intellige, 'ut pro muro esset,' ut ii, 75. ἀντὶ τοίχων.

ἥπερ γὰρ ἦν στοὰ] A. I. εἴπερ K. Vulgo ᾗπερ.

91. βοιωταρχῶν] De his v. Popp. Proleg. t. ii. p. 292. et Odofr. Mueller. Orchomen. p. 404., qui hæc verba ita interpretatur, cum Pagonda duodecim Bœotarchas fuisse. Sed quod non scriptum est οἳ ἦσαν, sed οἵ εἰσι, malim equidem cum Poppone et reliquis interpretibus οἳ ad solum nomen Bœotarcharum, quam ad reliquos Bœotarchas referre, ideoque omnino undecim fuisse, quod tradit etiam Scholiastes ad ii, 2. Ceterum in eadem cum Muellero sententia sunt Schneider. ad Xenoph. Hist. Gr. v, 4, 2. et Klütz. d. Fœd. Bœotico p. 79.

92. Pagondas Thebanus, unus e Bœotarchis, ad prœlium suos adhortatur.

ἂν χωρίῳ καταληφθῶσι καὶ ὅθεν ἐπελθόντες πολέμια ἔδρασαν. Νυνὶ δ' εἴ τῳ καὶ ἀσφαλέστερον ἔδοξεν εἶναι, μεταγνώτω. Οὐ γὰρ τὸ προμηθὲς, οἷς ἂν ἄλλος ἐπίῃ, περὶ τῆς σφετέρας ὁμοίως ἐνδέχεται λογισμὸν, καὶ ὅστις τὰ μὲν ἑαυτοῦ ἔχει, τοῦ πλείονος δὲ ὀρεγόμενος ἑκὼν τινι ἐπέρχεται. Πάτριον δὲ ὑμῖν στρατὸν ἀλλόφυλον ἐπελθόντα καὶ ἐν τῇ οἰκείᾳ καὶ ἐν τῇ τῶν πέλας ὁμοίως ἀμύνεσθαι. Ἀθηναίους δὲ καὶ προσέτι ὁμόρους ὄντας πολλῷ μάλιστα δεῖ. Πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τὸ ἀντίπαλον καὶ ἐλεύθερον καθίσταται, καὶ πρὸς τούτους γε δὴ οἳ καὶ μὴ τοὺς ἐγγὺς ἀλλὰ καὶ τοὺς ἄποθεν πειρῶνται δουλοῦσθαι, πῶς οὐ χρὴ καὶ ἐπὶ τὸ ἔσχατον ἀγῶνος ἐλθεῖν; παράδειγμα δὲ ἔχομεν τούς τε ἀντιπέρας Εὐβοέας καὶ τῆς ἄλλης Ἑλλάδος τὸ πολὺ ὡς αὐτοῖς διάκειται· καὶ γνῶναι ὅτι τοῖς μὲν ἄλλοις οἱ πλησιόχωροι περὶ γῆς ὅρων τὰς μάχας ποιοῦνται, ἡμῖν δὲ ἐς πᾶσαν, ἢν νικηθῶμεν, εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται· εἰσελθόντες γὰρ βίᾳ τὰ ἡμέτερα ἕξουσι. Τοσούτῳ ἐπικινδυνοτέραν ἑτέρων τὴν παροίκησιν τῶνδε ἔχομεν. Εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας ὥσπερ Ἀθηναῖοι νῦν ἐπιόντες τὸν μὲν ἡσυχάζοντα καὶ ἐν τῇ ἑαυτοῦ μόνον ἀμυνόμενον ἀδεέστερον ἐπιστρατεύειν, τὸν δὲ ἔξω ὅρων προαπαντῶντα καὶ ἢν καιρὸς ᾖ πολέμου ἄρχοντα ἧσσον ἑτοίμως κατέχειν. Πεῖραν δὲ ἔχομεν ἡμεῖς αὐτοῦ ἐς τούσδε· νικήσαντες γὰρ ἐν Κορωνείᾳ αὐτοὺς, ὅτε τὴν γῆν ἡμῶν στασιαζόντων κατέσχον, πολλὴν ἄδειαν τῇ Βοιωτίᾳ μέχρι τοῦδε κατεστήσαμεν. Ὧν χρὴ μνησθέντας ἡμᾶς τούς τε πρεσβυτέρους ὁμοιωθῆναι τοῖς

τὸ προμηθὲς—ἐπέρχεται] Schol. codicis H. *ἡ προμήθεια τοῦ μέλλοντος καὶ ἡ πρόνοια οὐχ ὁμοίου χρῄζει διαλογισμοῦ τῶν τε ὑπερμαχούντων τῆς ἰδίας γῆς, καὶ τῶν ἐχόντων μὲν τὴν ἰδίαν, ὀρεγομένων δὲ γῆς ἀλλοτρίας καὶ ἐπιόντων· ἐμφαίνει δὲ, ὅτι χρὴ ἡμᾶς ὑπερμαχοῦντας τῇ ἡμῶν αὐτῶν τόλμῃ χρήσασθαι καὶ ἀπονοίᾳ μᾶλλον, ἤπερ λογισμῷ.* Heilm.: 'cautious and dilatory measures are not to be adhered to by men who are invaded, and whose all is at stake: they are expedient only for those whose properties are secure; and who, bent on rapine, exert their malice in the invasion of others.' Mox, de *πολλῷ μάλιστα* v. Matth. Gr. § 461. Et paulo inferius pro vulgata *πρὸς τούτοις* jam Dukerus voluerat *πρὸς τούτους*, et correxit Bekkerus.

μὴ—ἀλλὰ καὶ] Falluntur qui suppleri posse putant *μόνον* ad illud *μὴ*, velut Duker. provocans ad Livium, xxviii, 11. 'ut non præda, sed armati quoque in periculo fuerint,' et Lehner. in Actis Philol. Monac. t. iii. p. 15. Sic enim non *μὴ*, sed *οὐ* scribi debebat. *Μὴ* hoc loco est 'non dicam,' pro quo alibi usitatius dicitur *μὴ ὅτι*, de qua formula v. Viger. p. 458., ibique Herm. p. 804. Mox, verba *εἷς ὅρος οὐκ ἀντίλεκτος* agnoscit Pollux ii, 120. et v, 153. Sensus est, 'one thing will be left to us, against which nothing can be effected.' Mox, breviloquentia est in verbis *ἐπικινδυνοτέραν ἑτέρων τὴν παροίκησιν*, pro *ἐπικινδυνοτέραν ἑτέρων παροικήσεως τὴν παροίκησιν*.

εἰώθασί τε—κατέχειν] Stobæus p. 364., ubi *κατέχειν* videtur 'sustinere' esse. V.

πρὶν ἔργοις, τούς τε νεωτέρους πατέρων τῶν τότε ἀγαθῶν γενομένων παῖδας πειρᾶσθαι μὴ αἰσχῦναι τὰς προσηκούσας ἀρετάς, πιστεύσαντες δὲ τῷ θεῷ πρὸς ἡμῶν ἔσεσθαι, οὗ τὸ ἱερὸν ἀνόμως τειχίσαντες νέμονται, καὶ τοῖς ἱεροῖς ἃ ἡμῖν θυσαμένοις καλὰ φαίνεται, ὁμόσε χωρῆσαι τοῖσδε, καὶ δεῖξαι ὅτι ὧν μὲν ἐφίενται πρὸς τοὺς μὴ ἀμυνομένους ἐπιόντες κτάσθωσαν, οἷς δὲ γενναῖον τήν τε αὑτῶν ἀεὶ ἐλευθεροῦν μάχῃ καὶ τὴν ἄλλων μὴ δουλοῦσθαι ἀδίκως, ἀνανταγώνιστοι ἀπ' αὐτῶν οὐκ ἀπίασιν.

93. Τοιαῦτα ὁ Παγώνδας τοῖς Βοιωτοῖς παραινέσας ἔπεισεν ἰέναι ἐπὶ τοὺς Ἀθηναίους. Καὶ κατὰ τάχος ἀναστήσας ἦγε τὸν στρατόν· ἤδη γὰρ καὶ τῆς ἡμέρας ὀψὲ ἦν. Ἐπεὶ δὲ προσέμιξεν ἐγγὺς τοῦ στρατεύματος αὐτῶν, ἐς χωρίον καθίσας ὅθεν λόφου ὄντος μεταξὺ οὐκ ἐθεώρουν ἀλλήλους, ἔτασσέ τε καὶ παρεσκευάζετο ὡς ἐς μάχην. Τῷ δὲ Ἱπποκράτει ὄντι περὶ τὸ Δήλιον ὡς αὐτῷ ἠγγέλθη ὅτι Βοιωτοὶ ἐπέρχονται, πέμπει ἐς τὸ στράτευμα κελεύων ἐς τάξιν καθίστασθαι, καὶ αὐτὸς οὐ πολλῷ ὕστερον ἐπῆλθε, καταλιπὼν ὡς τριακοσίους ἱππέας περὶ τὸ Δήλιον, ὅπως φύλακές τε ἅμα εἶεν, εἴ τις ἐπίοι αὐτῷ, καὶ τοῖς Βοιωτοῖς καιρὸν φυλάξαντες ἐπιγένοιντο ἐν τῇ μάχῃ. Βοιωτοὶ δὲ πρὸς τούτους ἀντικατέστησαν τοὺς ἀμυνομένους· καὶ ἐπειδὴ καλῶς αὐτοῖς εἶχεν, ὑπερεφάνησαν τοῦ λόφου καὶ ἔθεντο τὰ ὅπλα, τεταγμένοι ὥσπερ ἔμελλον, ὁπλῖται ἑπτακισχίλιοι μάλιστα καὶ ψιλοὶ ὑπὲρ μυρίους, ἱππῆς δὲ χίλιοι καὶ πελτασταὶ πεντακόσιοι. Εἶχον δὲ δεξιὸν μὲν κέρας Θηβαῖοι καὶ οἱ ξύμμοροι αὐτοῖς· μέσοι δὲ Ἁλιάρτιοι καὶ Κορωναῖοι καὶ Κωπαιῆς

Schweigh. Lexic. Polybian. s. v. Mox, ad verba *αἰσχῦναι τὰς προσηκούσας ἀρετὰς* v. Heyn. ad Homer. Il. t. v. p. 282.

καὶ δεῖξαι ὅτι—κτάσθωσαν] Conjunctio duarum locutionum; nam vel *καὶ δεῖξαι ὅτι—κτήσονται* scribere poterat, vel, omissis *δεῖξαι ὅτι*, scribere *καὶ κτάσθωσαν*, jam utrumque ita conjunxisse putandus est, ut se præmisisse illa oblitum simulet.

93. *τῷ δὲ Ἱπποκράτει—πέμπει*] Duplex structura confusa *τῷ Ἱπποκράτει ὡς ἠγγέλθη* et *ὁ Ἱπποκράτης, ὡς αὐτῷ ἠγγέλθη —πέμπει.* Similia sunt verba i, 114. *καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη Περικλέους στρατιᾷ Ἀθηναίων, ἠγγέλθη αὐτῷ.* vi, 82. *ἡμεῖς γὰρ Ἴωνες ὄντες Πελοποννησίοις Δωριεῦσι καὶ πλείοσιν οὖσι καὶ παροικοῦσιν ἐσκεψάμεθα, ὅτῳ τρόπῳ ἥκιστ' ἂν αὐτῶν ὑπακουσόμεθα.* Conf. Popp. ad Xenoph. Cyrop. iv, 3, 19. interpretes ad Xenoph. Œcon. vii, 23.

ὥσπερ ἔμελλον] Schol. supplet *μαχέσασθαι*, itidemque Heilm. At Krueger. ad Dionys. p. 118. subaudiendum putat *τάσσεσθαι*, quod sane linguæ ratio postulat.

οἱ ξύμμοροι] Ut Chæronea ad Orchomenum pertinere (*ξυντελεῖν*) supra dicta est cap. 76., ita hi Thebanis feruntur adjecti. Vide Odofr. Mueller. Orchomen. p. 403. nam in universum Thebani æquum censebant, reliquos Bœotos sibi parere. Vide iii, 61. Conf. Herm. ad Soph. Œd. Col. 400.

καὶ οἱ ἄλλοι οἱ περὶ τὴν λίμνην· τὸ δὲ εὐώνυμον εἶχον Θεσπιῆς καὶ Ταναγραῖοι καὶ Ὀρχομένιοι. Ἐπὶ δὲ τῷ κέρᾳ ἑκατέρῳ οἱ ἱππῆς καὶ ψιλοὶ ἦσαν. Ἐπ' ἀσπίδας δὲ πέντε μὲν καὶ εἴκοσι Θηβαῖοι ἐτάξαντο, οἱ δὲ ἄλλοι ὡς ἕκαστοι ἔτυχον. Αὕτη μὲν Βοιωτῶν παρασκευὴ καὶ διάκοσμος ἦν.

94. Ἀθηναῖοι δὲ οἱ μὲν ὁπλῖται ἐπὶ ὀκτὼ πᾶν τὸ στρατόπεδον ἐτάξαντο, ὄντες πλήθει ἰσοπαλεῖς τοῖς ἐναντίοις, ἱππῆς δὲ ἐφ' ἑκατέρῳ τῷ κέρᾳ. Ψιλοὶ δὲ ἐκ παρασκευῆς μὲν ὡπλισμένοι οὔτε τότε παρῆσαν οὔτε ἐγένοντο τῇ πόλει· οἵπερ δὲ ξυνεσέβαλον ὄντες πολλαπλάσιοι τῶν ἐναντίων, ἄοπλοί τε πολλοὶ ἠκολούθησαν, ἅτε πανστρατιᾶς ξένων τῶν παρόντων καὶ ἀστῶν γενομένης, καὶ ὡς τὸ πρῶτον ὥρμησαν ἐπ' οἴκου, οὐ παρεγένοντο ὅτι μὴ ὀλίγοι. Καθεστώτων δὲ ἐς τὴν τάξιν καὶ ἤδη μελλόντων ξυνιέναι, Ἱπποκράτης ὁ στρατηγὸς ἐπιπαριὼν τὸ στρατόπεδον τῶν Ἀθηναίων παρεκελεύετό τε καὶ ἔλεγε τοιάδε.

95. Ὦ Ἀθηναῖοι, δι' ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, τὸ ἴσον δὲ πρός τε τοὺς ἀγαθοὺς ἄνδρας δύναται καὶ ὑπόμνησιν μᾶλλον ἔχει ἢ ἐπικέλευσιν. Παραστῇ δὲ μηδενὶ ὑμῶν ὡς ἐν τῇ ἀλλοτρίᾳ οὐ προσῆκον τοσόνδε κίνδυνον ἀναρριπτοῦμεν. Ἐν γὰρ τῇ τούτων ὑπὲρ τῆς ἡμετέρας ὁ ἀγὼν ἔσται· καὶ ἢν νικήσωμεν, οὐ μή ποτε ὑμῖν Πελοποννήσιοι ἐς τὴν χώραν ἄνευ τῆς τῶνδε ἵππου ἐσβάλωσιν, ἐν δὲ μιᾷ μάχῃ τήνδε τε προσκτᾶσθε καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε. Χωρήσατε οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως, ἣν ἕκαστος πατρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν ἀγάλλεται, καὶ τῶν πατέρων, οἳ τούσδε μάχῃ κρατοῦντες μετὰ Μυρωνίδου ἐν Οἰνοφύτοις τὴν Βοιωτίαν ποτὲ ἔσχον.

96. Τοιαῦτα τοῦ Ἱπποκράτους παρακελευομένου καὶ μέχρι μὲν μέσου τοῦ στρατοπέδου ἐπελθόντος, τὸ δὲ πλέον

ἐπ' ἀσπίδας] i. e. 'viceni quini in frontem.' Vid. Schweigh. ad Polyb. i, 26, 13.

94. *Ἀθηναῖοι δὲ οἱ μὲν*] Schol. *Ἀθηναίων, σχῆμα Ὁμηρικόν.* Dicere debebat, Græcum, nam sine discrimine omnibus in usu est. Ita modo cap. 90. legimus *οἱ μὲν ψιλοὶ οἱ πλεῖστοι.* Et cap. 70. *αἱ δὲ τῶν Μεγαρέων στάσεις—οἱ μὲν—οἱ δέ.* Vid. Eustath. ad Odyss. *μ.* p. 1713. Adde Thucyd. i, 89. iii, 105. *οἱ δὲ Ἀκαρνᾶνες οἱ μὲν—οἱ δέ.*

95. Hippocratis oratio ad milites ante pugnam ap. Delium.

πρός τε τοὺς ἀγαθοὺς] Popp. Obs. p. 239. vult legi *πρός γε τ. ἀγ.* Poterit tamen etiam trajectio particulæ *τε* statui. De *παραστῇ* vide Dorv. ad Charit. p. 438. Mox, Thom. M. p. 783. citat *τοσὸν δὲ κίνδυνον ἀνεῤῥιπτοῦντο*, nescio an ex hoc loco. Vide ad cap. 85.

οὐκέτι φθάσαντος, οἱ Βοιωτοὶ, παρακελευσαμένου καὶ σφίσιν ὡς διὰ ταχέων καὶ ἐνταῦθα Παγώνδου, παιωνίσαντες ἐπῆσαν ἀπὸ τοῦ λόφου. Ἀντεπῆσαν δὲ καὶ οἱ Ἀθηναῖοι καὶ προσέμιξαν δρόμῳ. Καὶ ἑκατέρων τῶν στρατοπέδων τὰ ἔσχατα οὐκ ἦλθεν ἐς χεῖρας, ἀλλὰ τὸ αὐτὸ ἔπαθε· ῥύακες γὰρ ἐκώλυσαν. Τὸ δὲ ἄλλο καρτερᾷ μάχῃ καὶ ὠθισμῷ ἀσπίδων ξυνεστήκει. Καὶ τὸ μὲν εὐώνυμον τῶν Βοιωτῶν καὶ μέχρι μέσου ἡσσᾶτο ὑπὸ τῶν Ἀθηναίων, καὶ ἐπίεσαν τούς τε ἄλλους ταύτῃ, καὶ οὐχ ἥκιστα τοὺς Θεσπιέας. Ὑποχωρησάντων γὰρ αὐτοῖς τῶν παρατεταγμένων, καὶ κυκλωθέντων ἐν ὀλίγῳ, οἵπερ διεφθάρησαν Θεσπιέων, ἐν χερσὶν ἀμυνόμενοι κατεκόπησαν· καί τινες καὶ τῶν Ἀθηναίων διὰ τὴν κύκλωσιν ταραχθέντες ἠγνόησάν τε καὶ ἀπέκτειναν ἀλλήλους. Τὸ μὲν οὖν ταύτῃ ἡσσᾶτο τῶν Βοιωτῶν, καὶ πρὸς τὸ μαχόμενον κατέφυγε· τὸ δὲ δεξιὸν, ᾗ οἱ Θηβαῖοι ἦσαν, ἐκράτει τῶν Ἀθηναίων, καὶ ὠσάμενοι κατὰ βραχὺ τὸ πρῶτον ἐπηκολούθουν. Καὶ ξυνέβη Παγώνδου περιπέμψαντος δύο τέλη τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον, ὡς ἐπόνει τὸ εὐώνυμον αὐτῶν, καὶ ὑπερφανέντων αἰφνιδίως, τὸ νικῶν τῶν Ἀθηναίων κέρας, νομίσαν ἄλλο στράτευμα ἐπιέναι, ἐς φόβον καταστῆναι· καὶ ἀμφοτέρωθεν ἤδη, ὑπό τε τοῦ τοιούτου καὶ ὑπὸ τῶν Θηβαίων ἐφεπομένων καὶ παραῤῥηγνύντων, φυγὴ καθειστήκει παντὸς τοῦ στρατοῦ τῶν Ἀθηναίων. Καὶ οἱ μὲν πρὸς τὸ Δήλιόν τε καὶ τὴν θάλασσαν ὥρμησαν, οἱ δὲ ἐπὶ τοῦ Ὠρωποῦ, ἄλλοι δὲ πρὸς Πάρνηθα τὸ ὄρος, οἱ δὲ ὡς ἕκαστοί

96. *ὑποχωρησάντων—ἐν ὀλίγῳ*] In his *αὐτοῖς* referendum ad Athenienses, quibus cum qui oppositi erant, cessissent, Thespienses latus denudati in angusto loco circumventi sunt ab Atheniensibus. Varia igitur subjecta sunt participii *ὑποχωρησάντων* et *κυκλωθέντων*.

κατὰ βραχὺ] de tempore accipit Dorv. ad Charit. p. 265. Ego malim de spatio.

δύο τέλη] "Herodicus Cratettius apud Athen. v, 55. *Παγώνδου δύο τέλη περιπέμψαντος τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον· τότε γὰρ οἱ μὲν πρὸς τὸ Δήλιον τῶν Ἀθηναίων ἔφυγον, οἱ δ' ἐπὶ θάλατταν, ἄλλοι δὲ ἐπὶ Ὠρωπὸν, οἱ δὲ Πάρνηθα τὸ ὄρος. Βοιωτοὶ δ' ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἵππεις οἵ τε ἑαυτῶν καὶ Λοκρῶν.* (Unde firmatur scriptura librorum A. B. F. H. K. L. O. P. c. e. g. *οἱ ἱππῆς οἵ τε αὐτῶν*, pro vulgata *οἵ τε ἱππῆς αὐτῶν*.) *Τοιούτου οὖν κυδοιμοῦ καὶ φόβου καταλαβόντος τοὺς Ἀθηναίους, μόνος Σωκράτης βρενθυόμενος καὶ τὼ ὀφθαλμὼ παραβάλλων εἱστήκει ἀναστέλλων τὸ Βοιωτῶν καὶ Λοκρῶν ἱππικόν.*" Wasse. Hæc postrema desumta sunt e Platon. Conviv. c. 36. Athenæus negat vera esse, quæ de Socratis militia a multis prodita sunt. Vide quos laudat Duker., Casaubon. ad ipsum p. 215. C. Allat. ad Epistol. Socrat. i. p. 144. interpretes ad Diogen. Laërt. ii, 2, 22. Adde Luzac. de Socrate Cive p. 49.

παραῤῥηγνύντων] umbonum impulsu (*ἀσπίδων ὠθισμῷ*) se invicem propellebant (*ὤσαντο*), et paullatim disjiciebant, id *παραῤῥηγνύναι* dicitur hic et v, 73. vi, 70. et eodem modo pugnatum est etiam apud Mantineam et Syracusas. Popp. Prol. P. ii. p. 76.

τινα εἶχον ἐλπίδα σωτηρίας. Βοιωτοὶ δὲ ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππῆς οἵ τε αὐτῶν, καὶ οἱ Λοκροὶ, βεβοηθηκότες ἄρτι τῆς τροπῆς γιγνομένης· νυκτὸς δὲ ἐπιλαβούσης τὸ ἔργον ῥᾷον τὸ πλῆθος τῶν φευγόντων διεσώθη. Καὶ τῇ ὑστεραίᾳ οἵ τε ἐκ τοῦ Ὠρωποῦ καὶ οἱ ἐκ τοῦ Δηλίου, φυλακὴν ἐγκαταλιπόντες, εἶχον γὰρ αὐτὸ ὅμως ἔτι, ἀπεκομίσθησαν κατὰ θάλασσαν ἐπ' οἴκου.

97. Καὶ οἱ Βοιωτοὶ τροπαῖον στήσαντες καὶ τοὺς ἑαυτῶν ἀνελόμενοι νεκροὺς, τούς τε τῶν πολεμίων σκυλεύσαντες, καὶ φυλακὴν καταλιπόντες, ἀνεχώρησαν ἐς τὴν Τάναγραν, καὶ τῷ Δηλίῳ ἐπεβούλευον ὡς προσβαλοῦντες. Ἐκ δὲ τῶν Ἀθηναίων κῆρυξ πορευόμενος ἐπὶ τοὺς νεκροὺς ἀπαντᾷ κήρυκι Βοιωτῷ, ὃς αὐτὸν ἀποτρέψας καὶ εἰπὼν ὅτι οὐδὲν πράξει πρὶν ἂν αὐτὸς ἀναχωρήσῃ πάλιν, καταστὰς ἐπὶ Ἀθηναίους ἔλεγε τὰ παρὰ τῶν Βοιωτῶν, ὅτι οὐ δικαίως δράσειαν παραβαίνοντες τὰ νόμιμα τῶν Ἑλλήνων· πᾶσι γὰρ εἶναι καθεστηκὸς ἰόντας ἐπὶ τὴν ἀλλήλων ἱερῶν τῶν ἐνόντων ἀπέχεσθαι, Ἀθηναίους δὲ Δήλιον τειχίσαντας ἐνοικεῖν, καὶ ὅσα ἄνθρωποι ἐν βεβήλῳ δρῶσι πάντα γίγνεσθαι αὐτόθι, ὕδωρ τε ὃ ἦν ἄψαυστον σφίσι πλὴν πρὸς τὰ ἱερὰ χέρνιβι χρῆσθαι, ἀνασπάσαντας ὑδρεύεσθαι· ὥστε ὑπέρ τε τοῦ θεοῦ καὶ ἑαυτῶν Βοιωτοὺς ἐπικαλουμένους τοὺς ὁμωχέτας δαίμονας καὶ τὸν Ἀπόλλω, προαγορεύειν αὐτοὺς ἐκ τοῦ ἱεροῦ ἀπιόντας ἀποφέρεσθαι τὰ σφέτερα αὐτῶν.

98. Τοσαῦτα τοῦ κήρυκος εἰπόντος οἱ Ἀθηναῖοι πέμψαντες παρὰ τοὺς Βοιωτοὺς ἑαυτῶν κήρυκα τοῦ μὲν ἱεροῦ οὔτε ἀδικῆσαι ἔφασαν οὐδὲν οὔτε τοῦ λοιποῦ ἑκόντες βλάψειν· οὐδὲ γὰρ τὴν ἀρχὴν ἐσελθεῖν ἐπὶ τούτῳ, ἀλλ' ἵνα ἐξ αὐτοῦ τοὺς ἀδικοῦντας μᾶλλον σφᾶς ἀμύνωνται. Τὸν δὲ νόμον τοῖς Ἕλλησιν εἶναι, ὧν ἂν ᾖ τὸ κράτος τῆς γῆς ἑκάστης ἤν τε πλέονος ἤν τε βραχυτέρας, τούτων καὶ τὰ ἱερὰ ἀεὶ γίγνεσθαι, τρόποις θεραπευόμενα οἷς ἂν πρὸς τοῖς εἰωθόσι καὶ

97. ἐπεβούλευον] V. Abresch. apud Albertium ad Hesych. t. i. p. 1344.

χέρνιβι] "De voce χέρνιψ ita Athenæus, ix, 18. ἔστι δὲ ὕδωρ, εἰς ὃ ἀπέβαπτον δαλὸν ἐκ τοῦ βωμοῦ λαμβάνοντες, ἐφ' οὗ τὴν θυσίαν ἐπετέλουν, καὶ τούτῳ περιρραίνοντες τοὺς παρόντας ἥγνιζον. Vide Casauboni notas." Hudson. Nos, 'holy water.' Vid. eundem Casaub. ad Theophr. Charact. c. 16. Eustath. in Il. ω. p. 1351., qui docet, extra usum sacrorum χέρνιβα dici τὸ κατὰ χεῖρας ὕδωρ, quæ ante cœnam manibus adfundebatur. Adde eundem ad Odyss. α. p. 1400. Polluc. ii, 149.

ὁμωχέτας] V. ad iii, 59. Suidas ὁμωχέτας, Θουκυδίδης τοὺς συννάους θεοὺς καὶ ὁμωροφίους. Βοιωτικὴ δὲ ἡ λέξις.

δύνωνται. Καὶ γὰρ Βοιωτοὺς καὶ τοὺς πολλοὺς τῶν ἄλλων, ὅσοι ἐξαναστήσαντές τινα βίᾳ νέμονται γῆν, ἀλλοτρίοις ἱεροῖς τὸ πρῶτον ἐπελθόντας οἰκεῖα νῦν κεκτῆσθαι. Καὶ αὐτοὶ εἰ μὲν ἐπὶ πλέον δυνηθῆναι τῆς ἐκείνων κρατῆσαι, τοῦτ' ἂν ἔχειν· νῦν δὲ, ἐν ᾧ μέρει εἰσὶν, ἑκόντες εἶναι ὡς ἐκ σφετέρου οὐκ ἀπιέναι. Ὕδωρ τε ἐν τῇ ἀνάγκῃ κινῆσαι, ἣν οὐκ αὐτοὶ ὕβρει προσθέσθαι, ἀλλ' ἐκείνους, προτέρους ἐπὶ τὴν σφετέραν ἐλθόντας, ἀμυνόμενοι βιάζεσθαι χρῆσθαι. Πᾶν δ' εἰκὸς εἶναι τῷ πολέμῳ καὶ δεινῷ τινι κατειργόμενον, ξύγγνωμόν τι γίγνεσθαι καὶ πρὸς τοῦ θεοῦ. Καὶ γὰρ τῶν ἀκουσίων ἁμαρτημάτων καταφυγὴν εἶναι τοὺς βωμοὺς, παρανομίαν τε ἐπὶ τοῖς μὴ ἀνάγκῃ κακοῖς ὀνομασθῆναι, καὶ οὐκ ἐπὶ τοῖς ἀπὸ τῶν ξυμφορῶν τι τολμήσασι. Τούς τε νεκροὺς πολὺ μειζόνως ἐκείνους ἀντὶ ἱερῶν ἀξιοῦντας ἀποδιδόναι ἀσεβεῖν ἢ τοὺς μὴ ἐθέλοντας ἱεροῖς τὰ μὴ πρέποντα κομίζεσθαι. Σαφῶς τε ἐκέλευον σφίσιν εἰπεῖν μὴ ἀπιοῦσιν ἐκ τῆς Βοιωτῶν γῆς, οὐ γὰρ ἐν τῇ ἐκείνων ἔτι εἶναι, ἐν ᾗ δὲ δορὶ ἐκτήσαντο, ἀλλὰ κατὰ τὰ πάτρια τοὺς νεκροὺς σπένδουσιν ἀναιρεῖσθαι.

99. Οἱ δὲ Βοιωτοὶ ἀπεκρίναντο, εἰ μὲν ἐν τῇ Βοιωτίᾳ εἰσὶν, ἀπιόντας ἐκ τῆς ἑαυτῶν ἀποφέρεσθαι τὰ σφέτερα, εἰ δὲ

98. *δυνηθῆναι*] A. B. F. H. K. N. S. c. e. f. g. Vulgo *δυνηθεῖεν*. Infinitivus pro verbo finito in oratione obliqua sequitur etiam post *εἰ* et alias conjunctiones. Vide ad ii, 102. i, 91. Matth. Gr. § 538. Herm. ad Viger. p. 832. Et de Latinis Scheller. Gr. p. 678. f.

ἢ τοὺς μὴ—κομίζεσθαι] *τοὺς μὴ ἐθέλοντας ὥσπερ τιμήματι ἱεροῖς* g. ex interpretamento. *Ἱεροῖς* ablativus est, 'for the temple;' *κομίζεσθαι* contrarium est verbi *ἀποδιδόναι*, 'sibi auferre,' 'recuperare.' Recte Portus: 'Bœotos multo magis impie facere, qui pro templis militum cadavera restituere vellent, quam eos qui nollent templis restituendis recuperare ea quæ deceret.' Sed is legit *τὰ πρέποντα* sine negatione *μὴ*, quam addit cod. H. *τὰ μὴ προσήκοντα* Q. Quæ particula recte a nuperrimo editore recepta est; etenim Athenienses non dicere poterant, se quæ deceret templo reddendo recipere, ea hoc modo recuperare noluisse. Haack. dicit, se *τὰ πρέποντα* intelligere *τὴν τῶν νεκρῶν ἀπόδοσιν*, quia moris fuerit, victo hosti nulla lege interposita *τοὺς νεκροὺς ὑποσπόνδους* permittere, ipsa religione impellente. Probarem, si adjectum esset *τὰ πρέποντα καὶ ἄνευ ἱερῶν ἀποδόσεως γίγνεσθαι*. Etiam Scholiastes legit *μὴ πρέποντα*, qui prorsus recte locum explicat, *τοὺς Θηβαίους ἀξιοῦντας κομίζεσθαι μὲν τὸ ἱερὸν τὸ ἐπὶ Δηλίου, ἀνταποδιδόναι δὲ τοὺς νεκροὺς τοῖς Ἀθηναίοις ἀσεβεῖν μᾶλλον ἤπερ τοὺς Ἀθηναίους μὴ θέλοντας κομίσασθαι τὰ μὴ πρέποντα τοῖς ἱεροῖς μηδὲ νεκροὺς θεῶν ἀντικαταλλάττεσθαι.*

σαφῶς τε—ἀναιρεῖσθαι] i. e. 'jubebant Bœotos sibi aperte permittere, ut tollerent mortuos non abeuntibus, sive non cum conditione abeundi, sed fœdere icto.' Pro *σπένδουσιν* Popp. Proleg. t. i. p. 191. legi vult *σπεύδουσιν*, quia alibi sensu 'pactum faciendi' a Thucydide usurpetur medium *σπένδεσθαι*.

99. *ἀπεκρίναντο*] Responsum Bœotorum ita intelligit Bredovius: "Quodsi in Bœotia versari vobis videmini, pactum inter nos componamus, ut vobiscum, quod vultis auferatis, dummodo terris nostris excedatis; sin locus, ubi jacent mortui, ditionis est vestræ, agite, si valetis, eos auferte. Quo significare voluerunt, Oropiam quidem, in qua cæsi jacebant, ditionis esse Atticæ; non tamen fore, ut Athenienses (*αὐτοὺς*) se invitis (*βίᾳ σφῶν*) suorum cadaveribus (*αὐτῶν*) potiantur: Bœoti enim custodiam mortuis apposuerant."

ἐν τῇ ἐκείνων, αὐτοὺς γιγνώσκειν τὸ ποιητέον, νομίζοντες τὴν μὲν Ὠρωπίαν, ἐν ᾗ τοὺς νεκροὺς ἐν μεθορίοις τῆς μάχης γενομένης κεῖσθαι ξυνέβη, Ἀθηναίων κατὰ τὸ ὑπήκοον εἶναι, καὶ οὐκ ἂν αὐτοὺς βίᾳ σφῶν κρατῆσαι αὐτῶν· οὐδ' αὖ ἐσπένδοντο δῆθεν ὑπὲρ τῆς ἐκείνων· τὸ δὲ ἐκ τῆς ἑαυτῶν εὐπρεπὲς εἶναι ἀποκρίνασθαι ἀπιόντας καὶ ἀπολαβεῖν ἃ ἀπαιτοῦσιν. Ὁ δὲ κῆρυξ τῶν Ἀθηναίων ἀκούσας ἀπῆλθεν ἄπρακτος.

100. Καὶ οἱ Βοιωτοὶ εὐθὺς μεταπεμψάμενοι ἔκ τε τοῦ Μηλιέως κόλπου ἀκοντιστὰς καὶ σφενδονήτας, καὶ βεβοηθηκότων αὐτοῖς μετὰ τὴν μάχην Κορινθίων τε δισχιλίων ὁπλιτῶν καὶ τῶν ἐκ Νισαίας ἐξεληλυθότων Πελοποννησίων φρουρῶν καὶ Μεγαρέων ἅμα, ἐστράτευσαν ἐπὶ τὸ Δήλιον, καὶ προσέβαλον τῷ τειχίσματι, ἄλλῳ τε τρόπῳ πειράσαντες καὶ μηχανὴν προσήγαγον, ἥπερ εἷλεν αὐτό, τοιάνδε. Κεραίαν μεγάλην δίχα πρίσαντες ἐκοίλαναν ἅπασαν, καὶ ξυνήρμοσαν πάλιν ἀκριβῶς ὥσπερ αὐλόν, καὶ ἐπ' ἄκραν λέβητά τε ᾔρτησαν ἁλύσεσι καὶ ἀκροφύσιον ἀπὸ τῆς κεραίας σιδηροῦν ἐς αὐτὸν νεῦον καθεῖτο, καὶ ἐσεσιδήρωτο ἐπὶ μέγα καὶ τοῦ ἄλλου ξύλου. Προσῆγον δὲ ἐκ πολλοῦ ἁμάξαις τῷ τείχει, ᾗ μάλιστα τῇ ἀμπέλῳ καὶ τοῖς ξύλοις ᾠκοδόμητο· καὶ ὁπότε εἴη ἐγγύς, φύσας μεγάλας ἐσθέντες ἐς τὸ πρὸς ἑαυτῶν ἄκρον τῆς κεραίας ἐφύσων. Ἡ δὲ πνοὴ ἰοῦσα στεγανῶς ἐς τὸν λέβητα, ἔχοντα ἄνθρακάς τε ἡμμένους καὶ θεῖον καὶ πίσσαν, φλόγα ἐποίει μεγάλην, καὶ ἧψε τοῦ τείχους, ὥστε μηδένα ἐπ' αὐτοῦ ἔτι μεῖναι, ἀλλὰ ἀπολιπόντας ἐς

οὐδ'—τῆς ἐκείνων] i. e. ' et vero nolebant inducias facere pro illorum, ut aiebant, agro.' Plus quam breviter, obscure, pæne dicam, hæc expressa sunt. Hoc enim vult, *οὐδ' αὖ ἐσπένδοντο, οὐ βουλόμενοι δῆθεν ὑπὲρ τῆς ἐκείνων σπένδεσθαι.* Scholiastes, *οὐδ' αὖ ἐσπένδοντο προφάσει ὡς δῆθεν Ἀθηναίων οὔσης τῆς γῆς· τί γὰρ καὶ ἔδει περὶ τῶν ἐν τῇ Ἀττικῇ τοῖς Βοιωτοῖς σπένδεσθαι*; Sed is prætervidit vim præpositionis *ὑπέρ*. Nimirum Bœoti cupiebant Athenienses Delio cedere: quod ut assequerentur, non faciemus, inquierunt, inducias, ex quibus nobis ex agro vestro abeundum erit, traditis vestrorum cadaveribus, dum nostro vos insidebitis: sic enim pro vestro agro in damnum nostri inducias facturi essemus. Quod enim scholiastes dicit non oportuisse eas fieri pro cæsis in terra Attica jacentibus, non in terra Bœotia; nihili est: nam nisi illud consilium, Athenienses Delio abigendi, Bœoti habuissent; non ita locuti essent, quod semper fas fuisse et religionem cognitum habere debebant, cæsos devictis hostibus ex induciis sepeliendos tradere, ubicunque jacerent, sive in suo, sive in hostium agro.

100. *ἐπὶ τὸ Δήλιον*] Huc spectant Harpocrat., Hesych., et Phavorinus in *ἐπὶ Δηλίῳ*. Similem ei quæ hic est machinam descripsit Apollodorus Poliorcet. p. 21. Conf. Æneæ Comm. Tacticum 33. 34. et Julium Africanum cap. 44. Memorat hunc locum Theon Progymn. c. 11. Huc pertinere videtur glossa Zonaræ, *καθεῖντο, ἐκρέμαντο.* Et *πνοὴ ἀνέμου* ex hoc loco in Onomasticon intulit Pollux ii, 77.

φυγὴν καταστῆναι καὶ τὸ τείχισμα τούτῳ τῷ τρόπῳ ἁλῶναι. Τῶν δὲ φρουρῶν οἱ μὲν ἀπέθανον, διακόσιοι δὲ ἐλήφθησαν. Τῶν δὲ ἄλλων τὸ πλῆθος ἐς τὰς ναῦς ἐσβὰν ἀπεκομίσθη ἐπ' οἴκου.

101. Τοῦ δὲ Δηλίου ἑπτακαιδεκάτῃ ἡμέρᾳ ληφθέντος μετὰ τὴν μάχην, καὶ τοῦ ἀπὸ τῶν Ἀθηναίων κήρυκος οὐδὲν ἐπισταμένου τῶν γεγενημένων ἐλθόντος οὐ πολὺ ὕστερον αὖθις περὶ τῶν νεκρῶν, ἀπέδοσαν οἱ Βοιωτοὶ καὶ οὐκέτι ταῦτα ἀπεκρίναντο. Ἀπέθανον δὲ Βοιωτῶν μὲν ἐν τῇ μάχῃ ὀλίγῳ ἐλάσσους πεντακοσίων, Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους χιλίων καὶ Ἱπποκράτης ὁ στρατηγὸς, ψιλῶν δὲ καὶ σκευοφόρων πολὺς ἀριθμός.

Μετὰ δὲ τὴν μάχην ταύτην καὶ ὁ Δημοσθένης ὀλίγῳ ὕστερον, ὡς αὐτῷ τότε πλεύσαντι τὰ περὶ τὰς Σίφας τῆς προδοσίας πέρι οὐ προὐχώρησεν, ἔχων τὸν στρατὸν ἐπὶ τῶν νεῶν, τῶν τε Ἀκαρνάνων καὶ Ἀγραίων καὶ Ἀθηναίων τετρακοσίους ὁπλίτας, ἀπόβασιν ἐποιήσατο ἐς τὴν Σικυωνίαν. Καὶ πρὶν πάσας τὰς ναῦς καταπλεῦσαι βοηθήσαντες οἱ Σικυώνιοι τοὺς ἀποβεβηκότας ἔτρεψαν, καὶ κατεδίωξαν ἐς τὰς ναῦς, καὶ τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ζῶντας ἔλαβον. Τροπαῖον δὲ στήσαντες τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν. Ἀπέθανε δὲ καὶ Σιτάλκης Ὀδρυσῶν βασιλεὺς ὑπὸ τὰς αὐτὰς ἡμέρας τοῖς ἐπὶ Δηλίῳ, στρατεύσας ἐπὶ Τριβαλλοὺς καὶ νικηθεὶς μάχῃ. Σεύθης δὲ ὁ Σπαραδόκου ἀδελφιδοῦς ὢν αὐτοῦ ἐβασίλευσεν Ὀδρυσῶν τε καὶ τῆς ἄλλης Θρᾴκης ἧσπερ καὶ ἐκεῖνος.

102. Τοῦ δ' αὐτοῦ χειμῶνος Βρασίδας ἔχων τοὺς ἐπὶ Θρᾴκης ξυμμάχους ἐστράτευσεν ἐς Ἀμφίπολιν τὴν ἐπὶ Στρυμόνι ποταμῷ Ἀθηναίων ἀποικίαν. Τὸ δὲ χωρίον τοῦτο ἐφ' οὗ νῦν ἡ πόλις ἐστὶν ἐπείρασε μὲν πρότερον καὶ Ἀρισταγόρας ὁ Μιλήσιος φεύγων βασιλέα Δαρεῖον κατοικίσαι, ἀλλὰ ὑπὸ Ἠδώνων ἐξεκρούσθη, ἔπειτα δὲ καὶ οἱ Ἀθηναῖοι ἔτεσι δύο καὶ τριάκοντα ὕστερον ἐποίκους μυρίους, σφῶν τε αὐτῶν καὶ τῶν ἄλλων τὸν βουλόμενον, πέμψαντες, οἳ διεφθά-

102. Ἀμφίπολιν] Res hujus urbis frequenter totius Græciæ, præcipue Atheniensium rebus implicitas accuratius cognovisse, operæ pretium est. Amphipolis Atheniensibus, utpote re navali pollentibus, præcipue utilis erat. Vide argumentum hujus libri, et A. G. Becker. in interpretatione vernacula Demosthenis Philippicarum t. i. p. 9.

ρησαν ἐν Δραβήσκῳ ὑπὸ Θρᾳκῶν. Καὶ αὖθις ἑνὸς δέοντι τριακοστῷ ἔτει ἐλθόντες οἱ Ἀθηναῖοι, Ἅγνωνος τοῦ Νικίου οἰκιστοῦ ἐκπεμφθέντος, Ἠδῶνας ἐξελάσαντες ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο. Ὡρμῶντο δὲ ἐκ τῆς Ἠϊόνος, ἣν αὐτοὶ εἶχον ἐμπόριον ἐπὶ τῷ στόματι τοῦ ποταμοῦ ἐπιθαλάσσιον, πέντε καὶ εἴκοσι σταδίους ἀπέχον ἀπὸ τῆς νῦν πόλεως, ἣν Ἀμφίπολιν Ἅγνων ὠνόμασεν, ὅτι ἐπ᾽ ἀμφότερα περιῤῥέοντος τοῦ Στρυμόνος, διὰ τὸ περιέχειν αὐτὴν, τείχει μακρῷ ἀπολαβὼν ἐκ ποταμοῦ ἐς ποταμὸν περιφανῆ ἐς θάλασσάν τε καὶ τὴν ἤπειρον ᾤκισεν.

103. Ἐπὶ ταύτην οὖν ὁ Βρασίδας ἄρας ἐξ Ἀρνῶν τῆς Χαλκιδικῆς ἐπορεύετο τῷ στρατῷ. Καὶ ἀφικόμενος περὶ δείλην ἐπὶ τὸν Αὐλῶνα καὶ Βρομίσκον, ᾗ ἡ Βόλβη λίμνη ἐξίησιν ἐς θάλασσαν, καὶ δειπνοποιησάμενος ἐχώρει τὴν νύκτα. Χειμὼν δὲ ἦν καὶ ὑπένειφεν· ᾗ καὶ μᾶλλον ὥρμησε, βουλόμενος λαθεῖν τοὺς ἐν τῇ Ἀμφιπόλει πλὴν τῶν προδιδόντων. Ἦσαν γὰρ Ἀργιλίων τε ἐν αὐτῇ οἰκήτορες, εἰσὶ δὲ οἱ Ἀργίλιοι Ἀνδρίων ἄποικοι, καὶ ἄλλοι οἳ ξυνέπρασσον ταῦτα, οἱ μὲν Περδίκκᾳ πειθόμενοι, οἱ δὲ Χαλκιδεῦσι. Μάλιστα δὲ οἱ Ἀργίλιοι, ἐγγύς τε προσοικοῦντες καὶ ἀεί ποτε τοῖς Ἀθηναίοις ὄντες ὕποπτοι καὶ ἐπιβουλεύοντες τῷ χωρίῳ, ἐπειδὴ παρέτυχεν ὁ καιρὸς καὶ Βρασίδας ἦλθεν, ἔπραξάν τε ἐκ πλείονος πρὸς τοὺς ἐμπολιτεύοντας σφῶν ἐκεῖ, ὅπως ἐνδοθήσεται ἡ πόλις, καὶ τότε δεξάμενοι αὐτὸν τῇ πόλει καὶ ἀποστάντες τῶν Ἀθηναίων ἐκείνῃ τῇ νυκτὶ κατέστησαν τὸν στρα-

ἑνὸς δέοντι τριακοστῷ] A. B. H. N. et correctus S. h. δέον Priscian. p. 1181. Vulgo δέοντος. V. Viger. p. 70. et quem laudat Duker. Budæum Comm. Ling. Gr. p. 1052.

ἐκαλοῦντο] A. B. F. H. I. K. L. N. O. P. S. b. c. d. e. f. g. h. i. Vulgo ἐκαλεῖτο. Verbum structuram non subjecti, sed prædicati sequitur. V. Dorv. ad Charit. p. 565. Matth. Gr. § 305.

περιῤῥέοντος τοῦ Στρυμόνος] Hæc ante oculos habuit Stephanus in Ἀμφίπολις, et, ut Jungerm. putat, Pollux ix, 27. Duker. —Bredovius offensus est vocabulo περιφανῆ, exspectans potius περίφρακτον vel simile quid. Sed ita nomen Amphipolis urbs non tulisset, et interpretari debebat, 'which by Hagnon was named Amphipolis, because it is almost surrounded by the Strymon, which flows along it on both sides: running therefore a wall from the river to the river, he planted his colony on a spot conspicuous both to the land and the sea.'

103. Αὐλῶνα] Eustath. ad Homer. Odyss. p. 1483. ἀρσενικῶς δέ φασιν ὁ αὐλὼν παρὰ Θουκυδίδῃ καὶ τοῖς καταλογάδην συγγραφεῦσι, παρὰ δὲ ποιηταῖς θηλυκῶς, etc. Hæc exscripsit ex Athenæo v, 15. p. 189. c. Cas. At hic proprium loci nomen est, neque alius in libro quarto Thucydidis locus ubi legatur. Mox, verba ἡ Βόλβη — θάλασσαν habet Thom. M. p. 280. Et ἐκείνῃ τῇ νυκτὶ pro vulgata ἐν ἐκ. τ. νυκτὶ Bekkerus dedit ex A. B. H. I. K. L. N. O. P. b. c. d. e. g. h. i., quibus accedit S., probatum Schæfero ad L. Bos. Ellipses p. 701.

τὸν πρὸ ἕω ἐπὶ τὴν γέφυραν τοῦ ποταμοῦ. Ἀπέχει δὲ τὸ πόλισμα πλέον τῆς διαβάσεως, καὶ οὐ καθεῖτο τείχη ὥσπερ νῦν, φυλακὴ δέ τις βραχεῖα καθειστήκει· ἣν βιασάμενος ῥᾳδίως ὁ Βρασίδας, ἅμα μὲν τῆς προδοσίας οὔσης, ἅμα δὲ καὶ χειμῶνος ὄντος καὶ ἀπροσδόκητος προσπεσὼν, διέβη τὴν γέφυραν, καὶ τὰ ἔξω τῶν Ἀμφιπολιτῶν οἰκούντων κατὰ πᾶν τὸ χωρίον εὐθὺς εἶχε.

104. Τῆς δὲ διαβάσεως αὐτοῦ ἄφνω τοῖς ἐν τῇ πόλει γεγενημένης, καὶ τῶν ἔξω πολλῶν μὲν ἁλισκομένων, τῶν δὲ καὶ καταφευγόντων ἐς τὸ τεῖχος, οἱ Ἀμφιπολῖται ἐς θόρυβον μέγαν κατέστησαν, ἄλλως τε καὶ ἀλλήλοις ὕποπτοι ὄντες. Καὶ λέγεται Βρασίδαν, εἰ ἠθέλησε μὴ ἐφ' ἁρπαγὴν τῷ στρατῷ τραπέσθαι, ἀλλ' εὐθὺς χωρῆσαι πρὸς τὴν πόλιν, δοκεῖν ἂν ἑλεῖν. Νῦν δὲ ὁ μὲν ἱδρύσας τὸν στρατὸν ἐπὶ τὰ ἔξω ἐπέδραμε, καὶ ὡς οὐδὲν αὐτῷ ἀπὸ τῶν ἔνδον ὡς προσεδέχετο ἀπέβαινεν, ἡσύχαζεν· οἱ δ' ἐναντίοι τοῖς προδιδοῦσι, κρατοῦντες τῷ πλήθει ὥστε μὴ αὐτίκα τὰς πύλας ἀνοίγεσθαι, πέμπουσι μετὰ Εὐκλέους τοῦ στρατηγοῦ, ὃς ἐκ τῶν Ἀθηναίων παρῆν αὐτοῖς φύλαξ τοῦ χωρίου, ἐπὶ τὸν ἕτερον στρατηγὸν τῶν ἐπὶ Θρᾴκης Θουκυδίδην τὸν Ὀλόρου, ὃς τάδε ξυνέγραψεν, ὄντα περὶ Θάσον, ἔστι δὲ ἡ νῆσος Παρίων ἀποικία, ἀπέχουσα τῆς Ἀμφιπόλεως ἡμισείας ἡμέρας μάλιστα πλοῦν, κελεύοντες σφίσι βοηθεῖν. Καὶ ὁ μὲν ἀκούσας κατὰ τάχος ἑπτὰ ναυσὶν αἳ ἔτυχον παροῦσαι ἔπλει, καὶ ἐβούλετο φθάσαι μάλιστα μὲν οὖν τὴν Ἀμφίπολιν, πρίν τι ἐνδοῦναι, εἰ δὲ μὴ, τὴν Ἠϊόνα προκαταλαβών.

105. Ἐν τούτῳ δὲ ὁ Βρασίδας δεδιὼς καὶ τὴν ἀπὸ τῆς Θάσου τῶν νεῶν βοήθειαν καὶ πυνθανόμενος τὸν Θουκυδίδην κτῆσίν τε ἔχειν τῶν χρυσείων μετάλλων ἐργασίας ἐν τῇ περὶ ταῦτα Θρᾴκῃ καὶ ἀπ' αὐτοῦ δύνασθαι ἐν τοῖς πρώτοις τῶν ἠπειρωτῶν, ἠπείγετο προκατασχεῖν, εἰ δύναιτο, τὴν πόλιν, μὴ ἀφικνουμένου αὐτοῦ τὸ πλῆθος τῶν Ἀμφιπολιτῶν, ἐλπίσαν ἐκ θαλάσσης ξυμμαχικὸν καὶ ἀπὸ τῆς Θρᾴκης ἀγεί-

πρὸ ἕω] γρ. H. ceteri πρόσω. Dixi jam olim ad Dionys. de C. V. p. 199., mihi vehementer probari hanc scripturam, ut quæ doceat, quare nocte potissimum Brasidas imprudentibus Amphipolitis exercitum trajecerit, ejus urbis incolis paulo a trajectu remotius habitantibus. Dixit de hoc loco etiam Heilm. in Animadv. Crit. in Thuc. p. 47. Mox, οὐ καθεῖτο intelligo, 'non demissi muri erant ad flumen vel mare brachio.'

105. ἐν τοῖς πρώτοις] Bekker. legendum esse conjecit ἐν τοῖς πρῶτον.

ραντα αὐτὸν περιποιήσειν σφᾶς, οὐκέτι προσχωροῖ. Καὶ τὴν ξύμβασιν μετρίαν ἐποιεῖτο, κήρυγμα τόδε ἀνειπὼν, Ἀμφιπολιτῶν καὶ Ἀθηναίων τῶν ἐνόντων τὸν μὲν βουλόμενον ἐπὶ τοῖς ἑαυτοῦ τῆς ἴσης καὶ ὁμοίας μετέχοντα μένειν, τὸν δὲ μὴ ἐθέλοντα ἀπιέναι τὰ ἑαυτοῦ ἐκφερόμενον πέντε ἡμερῶν.

106. Οἱ δὲ πολλοὶ ἀκούσαντες ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας, ἄλλως τε καὶ βραχὺ μὲν Ἀθηναίων ἐμπολιτεῦον, τὸ δὲ πλεῖον ξύμμικτον. Καὶ τῶν ἔξω ληφθέντων συχνοὶ οἰκεῖοι ἔνδον ἦσαν· καὶ τὸ κήρυγμα πρὸς τὸν φόβον δίκαιον εἶναι ἐλάμβανον, οἱ μὲν Ἀθηναῖοι διὰ τὸ ἄσμενοι ἂν ἐξελθεῖν, ἡγούμενοι οὐκ ἐν ὁμοίῳ σφίσιν εἶναι τὰ δεινὰ, καὶ ἅμα οὐ προσδεχόμενοι βοήθειαν ἐν τάχει, ὁ δὲ ἄλλος ὅμιλος, πόλεώς τε ἐν τῷ ἴσῳ οὐ στερισκόμενοι καὶ κινδύνου παρὰ δόξαν ἀφιέμενοι. Ὥστε τῶν πρασσόντων τῷ Βρασίδᾳ ἤδη καὶ ἐκ τοῦ φανεροῦ διαδικαιούντων αὐτὰ, ἐπειδὴ καὶ τὸ πλῆθος ἑώρων τετραμμένον καὶ τοῦ παρόντος Ἀθηναίων στρατηγοῦ οὐκέτι ἀκροώμενον, ἐγένετο ἡ ὁμολογία καὶ προσεδέξαντο ἐφ᾽ οἷς ἐκήρυξε. Καὶ οἱ μὲν τὴν πόλιν τοιούτῳ τρόπῳ παρέδοσαν, ὁ δὲ Θουκυδίδης καὶ αἱ νῆες ταύτῃ τῇ ἡμέρᾳ ὀψὲ κατέπλεον ἐς τὴν Ἠϊόνα. Καὶ τὴν μὲν Ἀμφίπολιν Βρασίδας ἄρτι εἶχε, τὴν δὲ Ἠϊόνα παρὰ νύκτα ἐγένετο λαβεῖν· εἰ γὰρ μὴ ἐβοήθησαν αἱ νῆες διὰ τάχους, ἅμα ἕῳ ἂν εἴχετο.

107. Μετὰ δὲ τοῦτο ὁ μὲν τὰ ἐν τῇ Ἠϊόνι καθίστατο, ὅπως καὶ τὸ αὐτίκα, ἢν ἐπίῃ ὁ Βρασίδας, καὶ τὸ ἔπειτα ἀσφαλῶς ἕξει, δεξάμενος τοὺς ἐθελήσαντας ἐπιχωρῆσαι ἄνωθεν κατὰ τὰς σπονδάς· ὁ δὲ πρὸς μὲν τὴν Ἠϊόνα κατά τε τὸν ποταμὸν πολλοῖς πλοίοις ἄφνω καταπλεύσας, εἴ πως τὴν προύχουσαν ἄκραν ἀπὸ τοῦ τείχους λαβὼν κρατοίη τοῦ ἔσπλου, καὶ κατὰ γῆν ἀποπειράσας ἅμα, ἀμφοτέρωθεν ἀπεκρούσθη, τὰ δὲ περὶ τὴν Ἀμφίπολιν ἐξηρτύετο. Καὶ Μύρκινός τε αὐτῷ προσεχώρησεν Ἠδωνικὴ πόλις, Πιττακοῦ τοῦ Ἠδώνων βασιλέως ἀποθανόντος ὑπὸ τῶν Γοάξιος παίδων καὶ

106. ἐλάμβανον] i. e. ὑπελάμβανον, quod ipsum habent H. L. N. O. P. Q. S. d. f. i. ex interpretamento. Mox, πρὸς τὸν φόβον intelligo 'qui erat metus eorum,' et οὐκ ἐν ὁμοίῳ sicut mox ἐν τῷ ἴσῳ, 'non perinde ac antea,' sc. ante conventionem sive pactum cum Brasida. Denique, de verbis παρὰ νύκτα ἐγένετο vide Viger. p. 646. Conf. Thucyd. iii, 49. extr.

Βραυροῦς τῆς γυναικὸς αὐτοῦ, καὶ Γαληψὸς οὐ πολλῷ ὕστερον καὶ Οἰσύμη· εἰσὶ δὲ αὗται Θασίων ἀποικίαι. Παρὼν δὲ καὶ Περδίκκας εὐθὺς μετὰ τὴν ἅλωσιν ξυγκαθίστη ταῦτα.

108. Ἐχομένης δὲ τῆς Ἀμφιπόλεως οἱ Ἀθηναῖοι ἐς μέγα δέος κατέστησαν, ἄλλως τε καὶ ὅτι ἡ πόλις αὐτοῖς ἦν ὠφέλιμος ξύλων τε ναυπηγησίμων πομπῇ καὶ χρημάτων προσόδῳ καὶ ὅτι μέχρι μὲν τοῦ Στρυμόνος ἦν πάροδος Θεσσαλῶν διαγόντων ἐπὶ τοὺς ξυμμάχους σφῶν τοῖς Λακεδαιμονίοις, τῆς δὲ γεφύρας μὴ κρατούντων, ἄνωθεν μὲν μεγάλης οὔσης ἐπὶ πολὺ λίμνης τοῦ ποταμοῦ, τὰ δὲ πρὸς Ἠϊόνα τριήρεσι τηρουμένων, οὐκ ἂν δύνασθαι προελθεῖν· τότε δὲ ῥᾳδία ἤδη ἐνομίζετο γεγενῆσθαι. Καὶ τοὺς ξυμμάχους ἐφοβοῦντο μὴ ἀποστῶσιν. Ὁ γὰρ Βρασίδας ἔν τε τοῖς ἄλλοις μέτριον ἑαυτὸν παρεῖχε καὶ ἐν τοῖς λόγοις πανταχοῦ

107. Γάψηλος] Popp. Proleg. t. ii. p. 395. memoratur, ait, Galepsus (Γαληψὸς) Græca urbs Herodoto vii, 112. sed non occurrit hæc urbs apud Thucydidem, quanquam is habet Gapselum, quæ cum Galepso sæpe licet pessime confundi solet. At in nota ad hunc locum Prolegomenorum adjecit, 'hæc res valde dubia:' nam confirmat quidem Gattereri Gapselum a Galepso discernentis et illam ad oram Pæoniæ Strymonicæ collocantis sententiam, quod iv, 107. cum Myrcino et Œsyme conjungitur, et urbs Sithoniæ tunc nondum ausa esse videtur ad Brasidam deficere. Obstat tamen primum, quod apud Diodor. xii, 68., qui locus loco Thucydidis respondet, cum Myrcino et Œsyme Galepsus memoratur; tunc quod v, 6., ubi aperte de eadem urbe agitur, in ipsis Thucydidis libris melioribus scribitur Galepsus, et urbes hoc ordine recensentur; Eion, Stagirus, Galepsus, quod magis ad Sithoniam quam ad Pæoniam Strymonicam ducit; denique quod Gapselus aliunde non nota. Servavit etiam iv, 107. e scriptura Γαληψὸς Reg. nisi aliud, certe accentum Γαψηλὸς (pro vulgata Γάψηλος). Itaque certatim viri docti correxerunt Γαληψός. Laudat Dukerus Casaubonum ad Exc. Strabonis lib. vii. Maussac. et Vales. ad Harpocr. h. v.—Casaubon. p. 511. Alm. nostro loco corrigit Γαληψόν. Apud Thuc. v, 6. tantum L. O. P. habent Γαψηλός. Cum utroque loco urbem Thasiorum coloniam fuisse dicat, cum in illo ipso loco quo Gattererus (Comment. de Thrac. p. 93. et 102. vers. vern.) Danvillium secutus collocavit Gapselum, Straboni l. l. sita sit Galepsus: εἶτα αἱ τοῦ Στρυμόνος ἐκβολαί· εἶτα Φάγρης, Γαληψὸς, Ἀπολλωνία πᾶσαι πόλεις· εἶτα τὸ Νέσσου (sive Νέστου) στόμα, cum accedat Diodori et Stephani Byzantini auctoritas, qui et ipse in suo Thucydidis exemplari Γαληψὸς invenit: Γαληψὸς, πόλις Θρᾴκης—Θουκυδίδης τετάρτῃ ἑτέραν λέγει, καὶ Γαληψὸς οὐ πολλῷ ὕστερον καὶ Οἰσύμη, (quanquam immerito ex una urbe duas fecisse videtur,) non dubitavi nostro loco Γαληψὸς recipere.

108. πομπῇ] Verba ξύλων—πομπῇ habent Photius et Suidas in v. πομπή. Partem glossæ eorum habet Timæus Lexico Plat. p. 220. Schol. Lucian. t. ii. p. 124. πομπή, ἡ πρόπεμψις καὶ ἡ πέμψις παρὰ Θουκυδίδῃ.

μὴ κρατούντων—τηρουμένων] Genitivi absoluti pro accusativis, quos sequens verbum postulat; uterque autem genitivus ad Lacedæmonios recte refertur, cum τηρουμένων, non ut vult Schol. medium sit, sed passivum. Similia ad structuram cum genitivo sunt verba iii, 22., ubi præter subjecti genitivos item alii genitivi accedunt: προσέμιξαν τῷ τείχει τῶν πολεμίων λαθόντες τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν οὐ προϊδόντων αὐτῶν, ψόφῳ δὲ τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς ἀντιπαταγοῦντος τοῦ ἀνέμου οὐ κατακουσάντων. Porro in his verbis structura ἀπὸ κοινοῦ est: nam qui sequitur infinitivus, οὐκ ἂν δύνασθαι, non habet unde pendeat, nisi ex verbo prima-

ἐδήλου ὡς ἐλευθερώσων τὴν Ἑλλάδα ἐκπεμφθείη. Καὶ αἱ πόλεις πυνθανόμεναι αἱ τῶν Ἀθηναίων ὑπήκοοι τῆς τε Ἀμφιπόλεως τὴν ἅλωσιν καὶ ἃ παρέχεται, τήν τε ἐκείνου πρᾳότητα, μάλιστα δὴ ἐπήρθησαν ἐς τὸ νεωτερίζειν, καὶ ἐπεκηρυκεύοντο πρὸς αὐτὸν κρύφα, ἐπιπαριέναι τε κελεύοντες καὶ βουλόμενοι αὐτοὶ ἕκαστοι πρῶτοι ἀποστῆναι. Καὶ γὰρ καὶ ἄδεια ἐφαίνετο αὐτοῖς, ἐψευσμένοις μὲν τῆς Ἀθηναίων δυνάμεως ἐπὶ τοσοῦτον ὅση ὕστερον διεφάνη, τὸ δὲ πλέον βουλήσει κρίνοντες ἀσαφεῖ ἢ προνοίᾳ ἀσφαλεῖ, εἰωθότες οἱ ἄνθρωποι, οὗ μὲν ἐπιθυμοῦσιν, ἐλπίδι ἀπερισκέπτῳ διδόναι, ὃ δὲ μὴ προσίενται, λογισμῷ αὐτοκράτορι διωθεῖσθαι. Ἅμα δὲ τῶν Ἀθηναίων ἐν τοῖς Βοιωτοῖς νεωστὶ πεπληγμένων, καὶ τοῦ Βρασίδου ἐφολκὰ καὶ οὐ τὰ ὄντα λέγοντος, ὡς αὐτῷ ἐπὶ Νίσαιαν τῇ ἑαυτοῦ μόνῃ στρατιᾷ οὐκ ἠθέλησαν οἱ Ἀθηναῖοι ξυμβαλεῖν, ἐθάῤῥουν καὶ ἐπίστευον μηδένα ἂν ἐπὶ σφᾶς βοηθῆσαι. Τὸ δὲ μέγιστον, διὰ τὸ ἡδονὴν ἔχον ἐν τῷ αὐτίκα, καὶ ὅτι τὸ

rio *κατέστησαν ἐς δέος* repetas *ἤλπισαν*, quod cum verbum mediæ significationis sit, et tum metum tum spem exprimat, commode arcessi poterit. Dubia sunt verba *ἄνωθεν—τοῦ ποταμοῦ*, nam et per trajectionem intelligi possunt, ut sint pro *ἄνωθεν μὲν μεγάλης οὔσης λίμνης ἐπὶ πολὺ τοῦ ποταμοῦ*, i. e. 'quod a superiore pontis parte palus erat longe propter flumen porrecta,' vel cum Porto et Heilmanno jungi poterit *λίμνης τοῦ ποταμοῦ*, i. e. 'quod superne longa palus sive stagnum erat fluminis sive flumen longo spatio stagnabat.' Hoc modo accepit etiam Abresch. ad Hesych. v. *λίμνη*. Mox, *ῥᾳδία* non habet substantivum quo referatur. Atque *ἐνόμιζε* habent B. F. H. K. L. N. O. P. S. b. c. e. f. g. *ἐνόμιζον* d., quod recte scribi Bekker. putat, modo *ῥᾴδια* simul scribatur pro fœminino: quod si ita fit, ne structuram *ἀπὸ κοινοῦ* quidem in antecedentibus statui necesse erit: ad quæ explicanda factum mihi hoc ipsum *ἐνόμιζον* interpretamentum esse videtur. Correxi *ῥᾴδια* pro vulgato *ῥᾳδία*. Supplendum *προελθεῖν*. Kistemakerus prorsus delet *ἐνομίζετο*, ut interpretamentum.

καὶ γὰρ καὶ ἄδεια—διωθεῖσθαι] Anacoluthon; nominativus *κρίνοντες* pro dativo *κρίνουσι*, quia in verbis *ἄδεια ἐφαίνετο αὐτοῖς* eadem sententia inest ac si dixisset *ἐνόμιζον ἄδειαν εἶναι ἑαυτοῖς*. Quibus jam adjicitur alius nominativus *εἰωθότες*, aliter ille explicandus, et propterea, ut Popp. Proleg. t. i. p. 110. statuit, admissus, quia in *αὐτοί*, quod subjectum est participii *κρίνοντες*, nomen *οἱ ἄνθρωποι* certe ex parte inest. De qua re dixi supra ad cap. 73. et dicam rursus ad cap. 118. Sententiam ita exponit Schol. cod. H. *τοῦτο ἐξηγητικόν ἐστι τοῦ προτέρου, εἰωθότες οἱ ἄνθρωποι οὗ μὲν ἂν ἐπιθυμοῦσι, τούτου ἐλπίζειν τεύξεσθαι ἄνευ λογισμοῦ· τοῦτο γάρ ἐστιν ἐλπίδι ἀπερισκέπτῳ διδόναι· οὗ δὲ ἂν μὴ ἐπιθυμῶσι, τοῦτο μόνον λογισμῷ ἐξακριβοῦντες ὡς ἀνέλπιστον παραιτεῖσθαι*, ubi *αὐτοκράτορι* est 'arbitrarily, 'without control,' quo sensu etiam vocabulo usus est supra cap. 64. Huc faciunt porro verba iii, 3. *καὶ οὐκ ἀπεδέχοντο τὸ πρῶτον τὰς κατηγορίας, μεῖζον μέρος νέμοντες τῷ μὴ βούλεσθαι ἀληθῆ εἶναι*, ubi vide adnotata, adde Dorv. ad Charit. p. 541. Bredovius totum locum ita in vernaculum sermonem convertit, 'they thought themselves safe enough; being as much mistaken with respect to the power of the Athenians, as it afterwards appeared,' i. e. 'as they did not think the power of the Athenians to be as great as it afterwards appeared, and as the multitude were more guided in their opinions by an unaccountable (malim 'uncertain') wish than by a certain knowledge; men being accustomed inconsiderately to expect what they wish for, and to remove by arbitrary reasons what they dislike.'

ἐφολκὰ] Thom. M. p. 398. citat, *ἐφ. καὶ οὐ τὰ ὄντα λέγεται*. Phot. *ἐφολκὰ λέγοντες*. Recte Scholiastes explicat *ἐπαγωγά*, ut legitur ap. Thucyd. iv, 88. Conf. Eustath. ad Hom. p. 1761, 43.

διὰ τὸ ἡδονὴν ἔχον] i. e. *διὰ τὸ ἡδονὴν ἔχειν*, nam vel sic dicere poterat, vel omit-

πρῶτον Λακεδαιμονίων ὀργώντων ἔμελλον πειράσεσθαι, κινδυνεύειν παντὶ τρόπῳ ἑτοῖμοι ἦσαν. Ὧν αἰσθόμενοι οἱ μὲν Ἀθηναῖοι φυλακὰς, ὡς ἐξ ὀλίγου καὶ ἐν χειμῶνι, διέπεμπον ἐς τὰς πόλεις, ὁ δὲ ἐς τὴν Λακεδαίμονα ἐφιέμενος στρατιάν τε προσαποστέλλειν ἐκέλευε καὶ αὐτὸς ἐν τῷ Στρυμόνι ναυπηγίαν τριήρων παρεσκευάζετο. Οἱ δὲ Λακεδαιμόνιοι τὰ μὲν καὶ φθόνῳ ἀπὸ τῶν πρώτων ἀνδρῶν οὐχ ὑπηρέτησαν αὐτῷ, τὰ δὲ καὶ βουλόμενοι μᾶλλον τούς τε ἄνδρας τοὺς ἐκ τῆς νήσου κομίσασθαι καὶ τὸν πόλεμον καταλῦσαι.

109. Τοῦ δ' αὐτοῦ χειμῶνος Μεγαρῆς τά τε μακρὰ τείχη, ἃ σφῶν οἱ Ἀθηναῖοι εἶχον, κατέσκαψαν ἑλόντες ἐς ἔδαφος, καὶ Βρασίδας μετὰ τὴν Ἀμφιπόλεως ἅλωσιν ἔχων τοὺς ξυμμάχους στρατεύει ἐπὶ τὴν Ἀκτὴν καλουμένην. Ἔστι δὲ ἀπὸ τοῦ βασιλέως διορύγματος ἔσω προὔχουσα, καὶ ὁ Ἄθως αὐτῆς ὄρος ὑψηλὸν τελευτᾷ ἐς τὸ Αἰγαῖον πέλαγος. Πόλεις δὲ ἔχει Σάνην μὲν Ἀνδρίων ἀποικίαν παρ' αὐτὴν τὴν διώρυχα, ἐς τὸ πρὸς Εὔβοιαν πέλαγος τετραμμένην, τὰς δὲ ἄλλας Θύσσον καὶ Κλεωνὰς καὶ Ἀκροθώους καὶ Ὀλόφυξον καὶ Δῖον· αἳ οἰκοῦνται ξυμμίκτοις ἔθνεσι βαρβάρων διγλώσσων. Καί τι καὶ Χαλκιδικὸν ἔνι βραχὺ, τὸ δὲ πλεῖστον Πελασγικὸν, τῶν καὶ Λῆμνόν ποτε καὶ Ἀθήνας Τυρσηνῶν οἰκησάντων, καὶ Βισαλτικὸν καὶ Κρηστωνικὸν καὶ Ἤδωνες· κατὰ δὲ μικρὰ πολίσματα οἰκοῦσι. Καὶ οἱ μὲν πλείους προσεχώρησαν τῷ Βρασίδᾳ, Σάνη δὲ καὶ Δῖον ἀντέστη, καὶ αὐτῶν τὴν χώραν ἐμμείνας τῷ στρατῷ ἐδῄου.

110. Ὡς δ' οὐκ ἐσήκουον, εὐθὺς στρατεύει ἐπὶ Τορώνην τὴν Χαλκιδικὴν, κατεχομένην ὑπὸ Ἀθηναίων· καὶ αὐτὸν ἄνδρες ὀλίγοι ἐπήγοντο, ἑτοῖμοι ὄντες τὴν πόλιν παραδοῦναι. Καὶ ἀφικόμενος νυκτὸς ἔτι καὶ περὶ ὄρθρον τῷ στρατῷ ἐκαθέζετο πρὸς τὸ Διοσκούρειον, ὃ ἀπέχει τῆς πόλεως τρεῖς μάλιστα σταδίους. Τὴν μὲν οὖν ἄλλην πόλιν τῶν Τορωναίων

tere διὰ τὸ, quo facto ἔχον absolute positum esset, ut ἐξὸν, δῆλον ὄν. Commixtio duarum locutionum est, qualem exposui ad cap. 63. initio. Totum autem dictum est pro διότι ἡδονὴν εἶχε. Mox, ὀργώντων Schol. codicis H. explicat ὡρμημένων, προθυμουμένων. Suidas in ὀργᾷν· ὀργῶντες παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ ἐπιθυμοῦντες.

ἐφιέμενος] Verba ὁ δὲ—ἐκέλευεν citat Thom. M. p. 397. explicans per πέμπων, quam vim verbum medium habere negat Popp. Proleg. t. i. p. 183. probatque explicationem Neophyti Ducæ, ὁ δὲ Βρασίδας αὖθις ἔστειλε μετὰ πάσης ἐφέσεως εἰς τὴν Λακεδαίμονα ζητῶν νὰ στείλωσιν εἰς αὐτὸν ἐκεῖθεν προσέτι καὶ ἄλλην δύναμιν. Thomas M. ad probandam hanc verbi significationem utitur loco Thucydidis i, 128. ἐφιέμενοι τῆς Ἑλληνικῆς ἀρχῆς.

109. καὶ—Τυρσηνῶν] Dionys. A. R. i. p. 67. Reisk., ubi est ἔνι δέ τι καὶ Χαλκιδικὸν et Τυῤῥηνῶν.

καὶ τοὺς Ἀθηναίους τοὺς ἐμφρουροῦντας ἔλαθεν· οἱ δὲ πράσσοντες αὐτῷ εἰδότες ὅτι ἥξοι, καὶ προελθόντες τινὲς αὐτῶν λάθρα ὀλίγοι, ἐτήρουν τὴν πρόσοδον, καὶ ὡς ᾔσθοντο παρόντα, ἐσκομίζουσι παρ' αὐτοὺς ἐγχειρίδια ἔχοντας ἄνδρας ψιλοὺς ἑπτά· τοσοῦτοι γὰρ μόνοι ἀνδρῶν εἴκοσι τὸ πρῶτον ταχθέντων οὐ κατέδεισαν ἐσελθεῖν· ἦρχε δὲ αὐτῶν Λυσίστρατος Ὀλύνθιος· οἳ διαδύντες διὰ τοῦ πρὸς τὸ πέλαγος τείχους καὶ λαθόντες τούς τε ἐπὶ τοῦ ἀνώτατα φυλακτηρίου φρουροὺς, οὔσης τῆς πόλεως πρὸς λόφον, ἀναβάντες διέφθειραν καὶ τὴν κατὰ Καναστραῖον πυλίδα διῄρουν.

111. Ὁ δὲ Βρασίδας τῷ μὲν ἄλλῳ στρατῷ ἡσύχαζεν ὀλίγον προελθὼν, ἑκατὸν δὲ πελταστὰς προπέμπει, ὅπως ὁπότε πύλαι τινὲς ἀνοιχθεῖεν καὶ τὸ σημεῖον ἀρθείη ὃ ξυνέκειτο, πρῶτοι ἐσδράμοιεν. Καὶ οἱ μὲν χρόνου ἐγγιγνομένου καὶ θαυμάζοντες κατὰ μικρὸν ἔτυχον ἐγγὺς τῆς πόλεως προσελθόντες· οἱ δὲ τῶν Τορωναίων ἔνδοθεν παρασκευάζοντες μετὰ τῶν ἐσεληλυθότων, ὡς αὐτοῖς ἥ τε πυλὶς διῄρητο καὶ αἱ κατὰ τὴν ἀγορὰν πύλαι τοῦ μοχλοῦ διακοπέντος ἀνεῴγοντο, πρῶτον μὲν κατὰ τὴν πυλίδα τινὰς περιαγαγόντες ἐσεκόμισαν, ὅπως κατὰ νώτου καὶ ἀμφοτέρωθεν τοὺς ἐν τῇ πόλει οὐδὲν εἰδότας ἐξαπίνης φοβήσειαν, ἔπειτα τὸ σημεῖόν τε τοῦ πυρὸς, ὡς εἴρητο, ἀνέσχον καὶ διὰ τῶν κατὰ τὴν ἀγορὰν πυλῶν τοὺς λοιποὺς ἤδη τῶν πελταστῶν ἐσεδέχοντο.

112. Καὶ ὁ Βρασίδας ἰδὼν τὸ ξύνθημα ἔθει δρόμῳ, ἀναστήσας τὸν στρατὸν ἐμβοήσαντά τε ἀθρόον καὶ ἔκπληξιν πολλὴν τοῖς ἐν τῇ πόλει παρασχόντα. Καὶ οἱ μὲν κατὰ τὰς πύλας εὐθὺς ἐσέπιπτον, οἱ δὲ κατὰ δοκοὺς τετραγώνους,

110. λάθρα—πρόσοδον] Thom. M. p. 753. omisso ὀλίγοι.

112. ἐμβοήσαντα—παρασχόντα] A. B. F. H. K. Q. et correctus S. c. f. g. h. i. Vulgo ἐμβοήσαντας—παρασχόντας. Per se quidem, Poppo ait, Obs. p. 239., post nomen collectivum rectissime subjicitur pluralis ἐμβοήσαντας et παρασχόντας, sed hoc quum fit, non potest singularis ἀθρόον his participiis addi. In singularibus ἐμβοήσαντα et παρασχόντα duo esse monet quæ dubitationem moveant. Primum enim pluralis unde ortus sit, non intelligi, qui exquisitior sit quam quem librariis tribuas, nisi forte contrarium probes e fine cap. 100. Deinde participia ἐμβοήσαντας sive ἐμβοήσαντα et παρασχόντας sive παρασχόντα cum ἀναστήσας commode conjungi non posse: ita enim, addit, Brasidas diceretur milites excitasse, quum clamorem sustulissent et metum Toronæis incussissent; quasi clamor prius sublatus et urbis incolæ prius in timorem conjecti essent, quam Peloponnesii ad oppidum accessissent. Quare emendat καὶ ὁ Βρασίδας—ἔθει δρόμῳ, ἀναστήσας τὸν στρατόν· ἐμβοήσαντές τε ἀθρόοι, καὶ ἔκπληξιν—παρασχόντες, οἱ μὲν κατὰ τὰς πύλας εὐθὺς ἐσέπιπτον, οἱ δὲ κατὰ δόκους τετραγώνους, etc. Ad hæc respondeas, non intelligi rursus, qui ex tam plana oratione mutatio facta sit in accusativum, qui difficilior sit, cum στρατὸν junctus, quam quem librariis tribuas; neque obstare aoristos,

αἳ ἔτυχον τῷ τείχει πεπτωκότι καὶ οἰκοδομουμένῳ πρὸς λίθων ἀνολκὴν προσκείμεναι. Βρασίδας μὲν οὖν καὶ τὸ πλῆθος εὐθὺς ἄνω καὶ ἐπὶ τὰ μετέωρα τῆς πόλεως ἐτράπετο, βουλόμενος κατ' ἄκρας καὶ βεβαίως ἑλεῖν αὐτήν· ὁ δὲ ἄλλος ὅμιλος κατὰ πάντα ὁμοίως ἐσκεδάννυντο.

113. Τῶν δὲ Τορωναίων γιγνομένης τῆς ἁλώσεως τὸ μὲν πολὺ οὐδὲν εἰδὸς ἐθορυβεῖτο, οἱ δὲ πράσσοντες καὶ οἷς ταῦτα ἤρεσκε μετὰ τῶν εἰσελθόντων εὐθὺς ἦσαν. Οἱ δὲ Ἀθηναῖοι, ἔτυχον γὰρ ἐν τῇ ἀγορᾷ ὁπλῖται καθεύδοντες ὡς πεντήκοντα, ἐπειδὴ ᾔσθοντο, οἱ μέν τινες· ὀλίγοι διαφθείρονται ἐν χερσὶν αὐτῶν, τῶν δὲ λοιπῶν οἱ μὲν πεζῇ, οἱ δὲ ἐς τὰς ναῦς, αἳ ἐφρούρουν δύο, καταφυγόντες διασώζονται ἐς τὴν Λήκυθον τὸ φρούριον, ὃ εἶχον αὐτοί, καταλαβόντες ἄκρον τῆς πόλεως ἐς τὴν θάλασσαν ἀπειλημμένον ἐν στενῷ ἰσθμῷ. Κατέφυγον δὲ καὶ τῶν Τορωναίων ἐς αὐτοὺς ὅσοι ἦσαν σφίσιν ἐπιτήδειοι.

114. Γεγενημένης δὲ ἡμέρας ἤδη καὶ βεβαίως τῆς πόλεως ἐχομένης ὁ Βρασίδας τοῖς μὲν μετὰ τῶν Ἀθηναίων Τορωναίοις καταπεφευγόσι κήρυγμα ἐποιήσατο τὸν βουλόμενον ἐπὶ τὰ ἑαυτοῦ ἐξελθόντα ἀδεῶς πολιτεύειν, τοῖς δὲ Ἀθηναίοις κήρυκα προσπέμψας ἐξιέναι ἐκέλευσεν ἐκ τῆς Ληκύθου ὑποσπόνδους καὶ τὰ ἑαυτῶν ἔχοντας ὡς οὔσης Χαλκιδέων. Οἱ δὲ ἐκλείψειν μὲν οὐκ ἔφασαν, σπείσασθαι δὲ σφίσιν ἐκέλευον ἡμέραν τοὺς νεκροὺς ἀνελέσθαι. Ὁ δὲ ἐσπείσατο δύο. Ἐν ταύταις δὲ αὐτός τε τὰς ἐγγὺς οἰκίας ἐκρατύνατο καὶ Ἀθηναῖοι τὰ σφέτερα. Καὶ ξύλλογον τῶν Τορωναίων ποιήσας ἔλεξε τοῖς ἐν τῇ Ἀκάνθῳ παραπλήσια, ὅτι οὐ δίκαιον εἴη οὔτε τοὺς πράξαντας πρὸς αὐτὸν τὴν λῆψιν τῆς πόλεως χείρους οὐδὲ προδότας ἡγεῖσθαι· οὐδὲ γὰρ ἐπὶ δουλείᾳ οὐδὲ χρήμασι πεισθέντας δρᾶσαι τοῦτο, ἀλλ' ἐπὶ ἀγαθῷ καὶ

quominus oratio recte conformata sit si singulares adsciscas: etenim cum milites prope urbem accessissent, paulisper adstiterunt, signum irruptionis exspectantes; quo dato clamore sublato, eoque oppidanis terrore injecto, Brasidas raptim milites duxit.

κατάκρας] Ita Suidas, qui citat *ὁ δὲ Βρασίδας ἐπὶ τὰ μετέωρα τῆς πόλεως ἐτράπετο, βουλόμενος κατάκρας καὶ βεβαίως ἑλεῖν αὐτήν*. De *κατ' ἄκρας*, 'a culmine,' v. Heyn. ad Il. t. vi. p. 505. Dorv. ad Charit. p. 574.

113. *καταλαβόντες ἄκρον*] i. e. 'Lecythum castellum, quod tenebant ipsi, occupata extrema Toronæ parte, quæ in angusto isthmo in mare porrecta et ab reliqua urbe intercepta erat.' Non igitur urbs erat Lecythus, sed pars Toronæ extrema ejusque castellum, ut explicat Popp. Prol. t. ii. p. 395. not. Paulo superius, junge *οἱ μέν τινες ὀλίγοι—αὐτῶν*. Pronomen trajectum est. Propter Haackium moneo, qui jungit cum *ἐν χερσίν*. Conf. i, 21. *καὶ τὰ πολλὰ ὑπὸ χρόνου αὐτῶν*, ubi *αὐτῶν* ad *τὰ πολλὰ* spectat.

ἐλευθερίᾳ τῆς πόλεως· οὔτε τοὺς μὴ μετασχόντας οἴεσθαι μὴ τῶν αὐτῶν τεύξεσθαι· ἀφῖχθαι γὰρ οὐ διαφθερῶν οὔτε πόλιν οὔτε ἰδιώτην οὐδένα. Τὸ δὲ κήρυγμα ποιήσασθαι τούτου ἕνεκα τοῖς παρ' Ἀθηναίους καταπεφευγόσιν, ὡς ἡγούμενος οὐδὲν χείρους τῇ ἐκείνων φιλίᾳ· οὐδ' ἂν σφῶν πειρασαμένους αὐτοὺς τῶν Λακεδαιμονίων δοκεῖν ἧσσον, ἀλλὰ πολλῷ μᾶλλον, ὅσῳ δικαιότερα πράσσουσιν, εὔνους ἂν σφίσι γενέσθαι, ἀπειρίᾳ δὲ νῦν πεφοβῆσθαι. Τούς τε πάντας παρασκευάζεσθαι ἐκέλευσεν ὡς βεβαίους τε ἐσομένους ξυμμάχους, καὶ τὸ ἀπὸ τοῦδε ἤδη ὅ,τι ἂν ἁμαρτάνωσιν αἰτίαν ἕξοντας· τὰ δὲ πρότερα οὐ σφεῖς ἀδικεῖσθαι, ἀλλ' ἐκείνους μᾶλλον ὑπ' ἄλλων κρεισσόνων, καὶ ξυγγνώμην εἶναι, εἴ τι ἠναντιοῦντο.

115. Καὶ ὁ μὲν τοιαῦτα εἰπὼν καὶ παραθαρσύνας, διελθουσῶν τῶν σπονδῶν τὰς προσβολὰς ἐποιεῖτο τῇ Ληκύθῳ· οἱ δὲ Ἀθηναῖοι ἠμύναντό τε ἐκ φαύλου τειχίσματος καὶ ἀπ' οἰκιῶν ἐπάλξεις ἐχουσῶν. Καὶ μίαν μὲν ἡμέραν ἀπεκρούσαντο· τῇ δ' ὑστεραίᾳ μηχανῆς μελλούσης προσάξεσθαι αὐτοῖς ἀπὸ τῶν ἐναντίων, ἀφ' ἧς πῦρ ἐνήσειν διενοοῦντο ἐς τὰ ξύλινα παραφράγματα, καὶ προσιόντος ἤδη τοῦ στρατεύματος, ᾗ ᾤοντο μάλιστα αὐτοὺς προσκομιεῖν τὴν μηχανὴν καὶ ἦν ἐπιμαχώτατον, πύργον ξύλινον ἐπ' οἴκημα ἀντέστησαν, καὶ ὕδατος ἀμφορέας πολλοὺς καὶ πίθους ἀνεφόρησαν καὶ λίθους μεγάλους, ἄνθρωποί τε πολλοὶ ἀνέβησαν. Τὸ δὲ οἴκημα λαβὸν μεῖζον ἄχθος ἐξαπίνης κατεῤῥάγη, καὶ ψόφου πολλοῦ γενομένου τοὺς μὲν ἐγγὺς καὶ ὁρῶντας τῶν Ἀθηναίων ἐλύπησε μᾶλλον ἢ ἐφόβησεν, οἱ δὲ ἄποθεν, καὶ μάλιστα οἱ διὰ πλείστου, νομίσαντες ταύτῃ ἑαλωκέναι ἤδη τὸ χωρίον φυγῇ ἐς τὴν θάλασσαν καὶ τὰς ναῦς ὥρμησαν.

116. Καὶ ὁ Βρασίδας ὡς ᾔσθετο αὐτοὺς ἀπολείποντάς τε τὰς ἐπάλξεις καὶ τὸ γιγνόμενον ὁρῶν, ἐπιφερόμενος τῷ στρατῷ εὐθὺς τὸ τείχισμα λαμβάνει, καὶ ὅσους ἐγκατέλαβε διέφθειρε. Καὶ οἱ μὲν Ἀθηναῖοι τοῖς τε πλοίοις καὶ ταῖς ναυσὶ τούτῳ τῷ τρόπῳ ἐκλιπόντες τὸ χωρίον ἐς Παλλήνην

114. *σφῶν—τῶν Λακεδαιμονίων*] Deletum volunt *τῶν Λακεδαιμονίων*. Temere. Vide dicta ad i, 144. Heilmann. scriptum vult *οὐδ' αὖ*. Particulam *ἂν* in una eademque sententia, præsertim post parenthesin iterari, non rarum. Vide Matth. Gr. § 600. Herm. ad Viger. p. 814. Greg. Cor. p. 43., ibique interpretes.

διεκομίσθησαν· ὁ δὲ Βρασίδας, ἔστι γὰρ ἐν τῇ Ληκύθῳ Ἀθηνᾶς ἱερὸν, καὶ ἔτυχε κηρύξας, ὅτε ἔμελλε βάλλειν, τῷ ἐπιβάντι πρώτῳ τοῦ τείχους τριάκοντα μνᾶς ἀργυρίου δώσειν, νομίσας ἄλλῳ τινὶ τρόπῳ ἢ ἀνθρωπείῳ τὴν ἅλωσιν γενέσθαι, τάς τε τριάκοντα μνᾶς τῇ θεῷ ἀπέδωκεν ἐς τὸ ἱερὸν καὶ τὴν Λήκυθον καθελὼν καὶ ἀνασκευάσας τέμενος ἀνῆκεν ἅπαν. Καὶ ὁ μὲν τὸ λοιπὸν τοῦ χειμῶνος ἅ τε εἶχε τῶν χωρίων καθίστατο καὶ τοῖς ἄλλοις ἐπεβούλευε. Καὶ τοῦ χειμῶνος διελθόντος ὄγδοον ἔτος ἐτελεύτα τῷ πολέμῳ.

117. Λακεδαιμόνιοι δὲ καὶ Ἀθηναῖοι ἅμα ἦρι τοῦ ἐπιγιγνομένου θέρους εὐθὺς ἐκεχειρίαν ἐποιήσαντο ἐνιαύσιον, νομίσαντες Ἀθηναῖοι μὲν οὐκ ἂν ἔτι τὸν Βρασίδαν σφῶν προσαποστῆσαι οὐδὲν πρὶν παρασκευάσαιντο καθ' ἡσυχίαν, καὶ ἅμα εἰ καλῶς σφίσιν ἔχοι, καὶ ξυμβῆναι τὰ πλείω, Λακεδαιμόνιοι δὲ ταῦτα τοὺς Ἀθηναίους ἡγούμενοι ἅπερ ἔδεισαν φοβεῖσθαι, καὶ γενομένης ἀνακωχῆς κακῶν καὶ ταλαιπωρίας μᾶλλον ἐπιθυμήσειν αὐτοὺς πειρασαμένους ξυναλλαγῆναί τε καὶ τοὺς ἄνδρας σφίσιν ἀποδόντας σπονδὰς ποιήσασθαι καὶ ἐς τὸν πλείω χρόνον. Τοὺς γὰρ δὴ ἄνδρας περὶ πλείονος ἐποιοῦντο κομίσασθαι, ὡς ἔτι Βρασίδας εὐτύχει· καὶ ἔμελλον ἐπὶ μεῖζον χωρήσαντος αὐτοῦ καὶ ἀντίπαλα καταστήσαντος τῶν μὲν στέρεσθαι, τοῖς δ' ἐκ τοῦ ἴσου ἀμυνόμενοι κινδυνεύειν καὶ κρατήσειν. Γίγνεται οὖν ἐκεχειρία αὐτοῖς τε καὶ τοῖς ξυμμάχοις ἥδε.

118. Περὶ μὲν τοῦ ἱεροῦ καὶ τοῦ μαντείου τοῦ Ἀπόλλωνος τοῦ Πυθίου δοκεῖ ἡμῖν χρῆσθαι τὸν βουλόμενον ἀδόλως καὶ ἀδεῶς κατὰ τοὺς πατρίους νόμους. Τοῖς μὲν Λακεδαιμονίοις ταῦτα δοκεῖ καὶ τοῖς ξυμμάχοις τοῖς παροῦσι·

116. *βάλλειν*] Bekker. pro vulgata *προσβάλλειν* recepit ex A. B. F. H. h. Subaudio *ταῖς μηχαναῖς*. Super voce *βάλλειν* absolute posita conf. lib. viii. cap. 84.

ἀνασκευάσας] i. e. 'sublata ædificiorum supellectile;' vide ad i, 10. Verba *ἅτε εἶχε—καθίστατο* habet Thom. M. p. 487.

117. *ἐκεχειρίαν*] Falsus est scholiastes Aristophanis ad Equites 793., qui ad istas inducias spectare ait Aristophanem l. l. Spectat enim ad pacem iv, 20. memoratam, et ad legationem, cujus caput erat Archeptolemus. Vid. ad iv, 17.

ὡς ἔτι Βρασίδας] *ἕως ὅ τε* Schol. Aristophanis ad Pacem 478. *ἕως* utique amplectendum dicit Bekkerus.

118. Formula induciarum ab Atheniensibus cum Lacedæmoniis factarum. Inde ab initio capitis leges proponuntur quibus Lacedæmonii inducias fieri posse putarunt; inde a verbis *ἔδοξε τῷ δήμῳ Ἀκάμαντις*, etc. verba Atheniensium sequuntur, quibus conditiones ab altera parte propositas ratas habuerunt. Vide de hac formula, et in universum de formulis et præscriptionibus senatusconsultorum, decretorum, et populiscitorum, Schœmann. de Comitiis Athen. p. 181.

Βοιωτοὺς δὲ καὶ Φωκέας πείσειν φασὶν ἐς δύναμιν προσκηρυκευόμενοι. Περὶ δὲ τῶν χρημάτων τῶν τοῦ θεοῦ ἐπιμελεῖσθαι ὅπως τοὺς ἀδικοῦντας ἐξευρήσομεν, ὀρθῶς καὶ δικαίως τοῖς πατρίοις νόμοις χρώμενοι καὶ ἡμεῖς καὶ ὑμεῖς καὶ τῶν ἄλλων οἱ βουλόμενοι, τοῖς πατρίοις νόμοις χρώμενοι πάντες. Περὶ μὲν οὖν τούτων ἔδοξε Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις, ἐὰν σπονδὰς ποιῶνται οἱ Ἀθηναῖοι, ἐπὶ τῆς αὐτῶν μένειν ἑκατέρους ἔχοντας ἅπερ νῦν ἔχομεν, τοὺς μὲν ἐν τῷ Κορυφασίῳ ἐντὸς τῆς Βουφράδος καὶ τοῦ Τομέως μένοντας, τοὺς δὲ ἐν Κυθήροις μὴ ἐπιμισγομένους ἐς τὴν ξυμμαχίαν, μήτε ἡμᾶς πρὸς αὐτοὺς μήτε αὐτοὺς πρὸς ἡμᾶς, τοὺς δὲ ἐν Νισαίᾳ καὶ Μινώᾳ μὴ ὑπερβαίνοντας τὴν ὁδὸν τὴν ἀπὸ τῶν Πυλῶν τῶν παρὰ τοῦ Νίσου ἐπὶ τὸ Ποσειδώνιον, ἀπὸ δὲ τοῦ Ποσειδωνίου εὐθὺς ἐπὶ τὴν γέφυραν τὴν ἐς Μινώαν, μηδὲ Μεγαρέας καὶ τοὺς ξυμμάχους ὑπερβαίνειν τὴν ὁδὸν ταύτην. Καὶ τὴν νῆσον, ἥνπερ ἔλαβον οἱ Ἀθηναῖοι, ἔχοντας, μήτε ἐπιμισγομένους μηδετέρους μηδετέρωσε· καὶ τὰ ἐν Τροιζῆνι, ὅσαπερ νῦν ἔχουσι καὶ οἷα ξυνέθεντο πρὸς Ἀθηναίους· καὶ τῇ θαλάσσῃ χρωμένους, ὅσα ἂν κατὰ τὴν ἑαυτῶν καὶ κατὰ τὴν ξυμμαχίαν. Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους πλεῖν μὴ μακρᾷ νηΐ, ἄλλῳ δὲ κωπήρει πλοίῳ, ἐς πεντακόσια

ἐς τὴν ξυμμαχίαν] abstractum pro concreto, pro *ἐς τὸ ξυμμαχικὸν*, vel *ἐς τοὺς ξυμμάχους*. Heilmann. monet verborum, ii, 9. *αὕτη μὲν ἡ ξυμμαχία τῶν Λακεδαιμονίων—ἡ ξυμμαχία τῶν Ἀθηναίων—ξυμμαχία μὲν αὕτη ἑκατέρων.*

ἄλλῳ δὲ κωπήρει πλοίῳ] i. e. 'navibus remigio actis, præterquam navibus longis.' Memorant *κωπῆρες πλοῖον* ex hoc loco Suidas, Photius, et Phavorinus, nulla explicatione addita, nisi *ὡς ἡμεῖς καὶ Θουκυδίδης*. Vid. Dorvill. ad Chariton. p. 294. Paulo ante, ad verba *καὶ τὴν νῆσον*, (Minoam sc.) *ἥνπερ ἔλαβον οἱ Ἀθηναῖοι, ἔχοντας* supple *μένειν Ἀθηναίους*, itemque ad *καὶ τὰ ἐν Τροιζῆνι* supple *ἔχοντας Ἀθηναίους μένειν*. Propter Bredovium moneo, qui cogitavit de supplendo *Μεγαρέας*. At quid est Megarensibus cum Minoa, quam ceperant Athenienses? Vide iii, 51. Et volebant Lacedæmonii, ut supra est, *μένειν ἑκατέρους, ἔχοντας ἅπερ νῦν ἔχομεν*. Quid porro Megarensibus est cum Trœzene? At Athenienses urbem habuisse, vel agri partem aliquam, verisimile est; nam Trœzenem, i, 115. narrantur Lacedæmoniis reddidisse induciis post Euboicum bellum Periclis factis, quam deinde vel recuperarunt, vel inducias ratas non habuerunt: quod nisi accipias ita factum esse, superest ut ad *καὶ τὰ ἐν Τροιζῆνι* suppleatur *ἔχοντας ἡμᾶς* sive *Λακεδαιμονίους μένειν*, quod flagitare videntur sequentia, *καὶ οἷα ξυνέθεντο πρὸς Ἀθηναίους*, ubi verbum nullum aliud subjectum habere potest nisi *Λακεδαιμόνιοι*, si quæ de Trœzene ab historico prolata sunt, spectes. Quod ut commodius fieri possit, distinctionem immutavi, posita virgula post *ἐς Μινώαν*, et puncto post *τὴν ὁδὸν ταύτην*. Propterea que factum esse videtur, ut scriberet *καὶ τὴν νῆσον, ἥνπερ ἔλαβον οἱ Ἀθηναῖοι, ἔχοντας*, non, quod exspectes *καὶ τὴν νῆσον, ἥνπερ ἔλαβον, Ἀθηναίους ἔχοντας*, quod, si ita scripsisset, lector non potuisset non repetere eadem verba *Ἀθηναίους ἔχοντας* etiam ad *τὰ ἐν Τροιζῆνι*. Jam vero ex his *καὶ οἷα ξυνέθεντο πρὸς Ἀθηναίους* prima facie apparet, non posse, quod ad Trœzenem spectat, alios intelligi, nisi aliquos e Peloponnesiis, et Lacedæmonios quidem, neque opus est repeti ambo verba *Ἀθηναίους ἔχοντας*, sed solum *ἔχοντας*.

τάλαντα ἄγοντι μέτρα. Κήρυκι δὲ καὶ πρεσβείᾳ καὶ ἀκολούθοις ὁπόσοις ἂν δοκῇ περὶ καταλύσεως τοῦ πολέμου καὶ δικῶν ἐς Πελοπόννησον καὶ Ἀθήναζε σπονδὰς εἶναι ἰοῦσι καὶ ἀπιοῦσι, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. Τοὺς δὲ αὐτομόλους μὴ δέχεσθαι ἐν τούτῳ τῷ χρόνῳ, μήτε ἐλεύθερον μήτε δοῦλον, μήτε ἡμᾶς μήτε ὑμᾶς. Δίκας τε διδόναι ὑμᾶς τε ἡμῖν καὶ ἡμᾶς ὑμῖν κατὰ τὰ πάτρια, τὰ ἀμφίλογα δίκῃ διαλύοντας ἄνευ πολέμου. Τοῖς μὲν Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις ταῦτα δοκεῖ· εἰ δέ τι ὑμῖν εἴτε κάλλιον εἴτε δικαιότερον τούτων δοκεῖ εἶναι, ἰόντες ἐς Λακεδαίμονα διδάσκετε· οὐδενὸς γὰρ ἀποστήσονται ὅσα ἂν δίκαια λέγητε, οὔτε οἱ Λακεδαιμόνιοι οὔτε οἱ ξύμμαχοι. Οἱ δὲ ἰόντες τέλος ἔχοντες ἰόντων, ᾗπερ καὶ ὑμεῖς ἡμᾶς κελεύετε. Αἱ δὲ σπονδαὶ ἐνιαυτὸν ἔσονται. Ἔδοξε τῷ δήμῳ. Ἀκάμαντις ἐπρυτάνευε, Φαίνιππος ἐγραμμάτευε, Νικιάδης ἐπεστάτει. Λάχης εἶπε, τύχῃ ἀγαθῇ τῇ Ἀθηναίων, ποιεῖσθαι τὴν ἐκεχειρίαν καθὰ ξυγχωροῦσι Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι αὐτῶν· καὶ ὡμολόγησαν ἐν τῷ δήμῳ τὴν ἐκεχειρίαν εἶναι ἐνιαυτὸν, ἄρχειν δὲ τήνδε τὴν ἡμέραν, τετράδα ἐπὶ δέκα τοῦ

κάλλιον εἴτε δικαιότερον, etc.] conf. Buttm. Gr. Max. t. i. p. 280. not. Matth. Gr. § 136.

Ἀκάμαντις ἐπρυτάνευε] Primus Clisthenes populum Atticum in decem tribus descripsit, senatumque multiplicavit, quinquagenis e singulis tribubus senatoribus sortitis, ut universorum numerus efficeretur quingentorum. Quinquageni autem illi uniuscujusque tribus senatores decimam anni partem senatui comitiisque præsidebant, Prytanum per id tempus nomine insigniti. Quare cum, quo tempore hoc populiscitum factum est, tribus Acamantis prytanes dedisset, præscriptio hæc est, *Ἀκάμαντις ἐπρυτάνευε*. Tempus illud, per quod prytanes erant, tricenorum quinorum aut senorum, pro lunaris anni modo, dierum, Prytania dicebatur. Præsidebant autem singulæ senatorum tribus non certo quodam et definito ordine, sed eo qui sorte evenisset. Sed prytanes ipsi munera sua non simul omnes, sed per vices obibant, in quinas decurias sorte distributi, quarum singulæ septenos dies reliquis omnibus præsidebant, et præsides vel *πρόεδροι* ab re appellabantur. His autem præsidibus ad singulos e septenis dies singuli præerant Epistatæ item sorte ducti, penes quos arcis et ærarii claves erant. Jam vero præsides illi cum Epistata et in senatu et in comitiis res consultandas proponebant, et ubi satis erat disceptatum, senatum populumve in *suffragium* mittebant. Sed adjuncti iis erant ex reliquis novem tribubus, quarum non erat eo tempore Prytania, singuli viri, *ab* Epistata sorte ducti, qui et ipsi Proëdri appellabantur, suumque habebant Epistatam, et quorum officium erat videre *ut in* ipsa consultatione rite omnia et legitimo ordine fierent. Schœmann. de Comitiis Ath. p. xv.

Φαίνιππος ἐγραμμάτευε] Scribæ erant tum senatus tum populi, tum alii qui *ἀντιγραφεῖς* dicebantur *τῆς βουλῆς* aut *τῆς διοικήσεως*, quos 'Conscriptores' Latine dixeris. Ex illis unus erat *γραμματεὺς κατὰ πρυτανείαν*, quaque prytania a senatoribus *sorte* ductus, cujus munus Pollux fuisse dicit, ut psephismata aliasque literas publicas custodiret, ea nimirum quæ per suam *prytaniam* scripta essent. Hunc fuisse illum putat Schœmannus, qui oratoribus aderat in conscribendis psephismatibus, ejusque nomen ante archontem Euclidem psephismatibus præscribebatur. Idem ibidem p. 318.

Λάχης εἶπε] Hoc est nomen ejus, qui rogationem tulit, cujusque rogatu populus inducias faciendas decrevit. Vid. Schœmann. l. l. cap. 8. p. 281. sqq.

Ἐλαφηβολιῶνος μηνός. Ἐν τούτῳ τῷ χρόνῳ ἰόντας ὡς ἀλλήλους πρέσβεις καὶ κήρυκας ποιεῖσθαι τοὺς λόγους, καθ' ὅτι ἔσται ἡ κατάλυσις τοῦ πολέμου. Ἐκκλησίαν δὲ ποιήσαντας τοὺς στρατηγοὺς καὶ τοὺς πρυτάνεις πρῶτον περὶ τῆς εἰρήνης βουλεύσασθαι Ἀθηναίους καθ' ὅτι ἂν ἐσίῃ ἡ πρεσβεία περὶ τῆς καταλύσεως τοῦ πολέμου. Σπείσασθαι δὲ αὐτίκα μάλα τὰς πρεσβείας ἐν τῷ δήμῳ τὰς παρούσας ἦ μὴν ἐμμενεῖν ἐν ταῖς σπονδαῖς τὸν ἐνιαυτόν.

119. Ταῦτα ξυνέθεντο Λακεδαιμόνιοι, καὶ ὡμολόγησαν καὶ οἱ ξύμμαχοι, Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις μηνὸς ἐν Λακεδαίμονι Γεραστίου δωδεκάτῃ. Ξυνετίθεντο δὲ καὶ ἐσπένδοντο Λακεδαιμονίων μὲν οἵδε, Ταῦρος Ἐχετιμίδα, Ἀθήναιος Περικλείδα, Φιλοχαρίδας Ἐρυξιδαΐδα, Κορινθίων δὲ Αἰνέας Ὠκύτου, Εὐφαμίδας Ἀριστωνύμου, Σικυωνίων δὲ Δαμότιμος Ναυκράτους, Ὀνάσιμος Μεγακλέους, Μεγαρέων δὲ Νίκασος Κεκάλου, Μενεκράτης Ἀμφιδώρου, Ἐπιδαυρίων δὲ Ἀμφίας Εὐπαΐδα, Ἀθηναίων δὲ οἱ στρατηγοὶ Νικόστρατος Διιτρέφους, Νικίας Νικηράτου, Αὐτοκλῆς Τολμαίου. Ἡ μὲν δὴ ἐκεχειρία αὕτη ἐγένετο, καὶ ξυνῄεσαν ἐν αὐτῇ περὶ τῶν μειζόνων σπονδῶν διὰ παντὸς ἐς λόγους.

120. Περὶ δὲ τὰς ἡμέρας ταύτας αἷς ἐπήρχοντο, Σκιώνη ἐν τῇ Παλλήνῃ πόλις ἀπέστη ἀπ' Ἀθηναίων πρὸς Βρασίδαν.

τετράδα ἐπὶ δέκα] i. e. quarto decimo die Elaphebolionis mensis inducias incipere voluerunt. Sed pugnant hæc cum verbis cap. 119. *μηνὸς ἐν Λακεδαίμονι Γεραστίου δωδεκάτῃ.* Transponenda censet Dodwell. Annal. Thucyd. ad annum 9. belli Peloponnesiaci et Dissert. viii, 10., ut hic legatur *δωδεκάτῃ*, ibi *τετράδι ἐπὶ δέκα*. Sed vereor ut hoc in usu fuerit Atticis, ita dies mensium numerare. Malim altero loco scribere *ἑκκαιδεκάτῃ*; cum alii numeri facile confunduntur, tum *ιβ'* et *ιϛ'*. Non tamen satis certum, an ab illo die mensis Gerastii induciæ fuerint inchoandæ: quanquam diem eundem utrobique designari putat Dodwellus, quo cœperint induciæ, diemque dicit significari Martii 22. anni ante Chr. N. 423.

ἐκκλησίαν δὲ ποιήσαντας τοὺς στρατηγοὺς—βουλεύσασθαι Ἀθηναίους] De muneribus *στρατηγῶν* vid. Schœmann. de Comitiis Athen. p. 313. Accusativo *τοὺς στρατηγοὺς* et *τοὺς πρυτάνεις* usus est, quia hæc subjecta ex parte jam insunt in subjecto verbi primarii *βουλεύσασθαι*, nam sensus idem est ac si dixisset, *ἐκκλησίαν δὲ ποιήσαντας Ἀθηναίους, στρατηγοὺς καὶ πρυτάνεις, βουλεύσασθαι Ἀθηναίους*, pro *ἐκκλησίαν δὲ ποιησάντων τῶν στρατηγῶν καὶ πρυτανέων βουλεύσασθαι Ἀθηναίους.*

119. *ταῦτα ξυνέθεντο — οἱ ξύμμαχοι*] *ταῦτα ξυνέθεντο Λακεδαιμόνιοι καὶ ὤμοσαν καὶ οἱ ξ.* B. K. c. e. f. g. *ταῦτα ξυνέθεντο Λακεδαιμόνιοι καὶ ὤμοσαν Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι* H. I. L. O. P. Q. S. d. *καὶ ὡμολόγησαν* omittit N., qui habet *ταῦτα ξυνέθεντο Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι.* Quid auctor dederit, quis decernere audeat? Nominum, quæ sequuntur, pleraque perperam scribi a scholiasta Aristophanis Equit. 791. et hinc corrigendum esse, monet Duker. Valcken. ad Herodot. p. 346, 92. apud Thucydidem corrigit *Ἐρυξιλαΐδα.*

120. *Παλλήνῃ*] Vulgo *Πελλήνῃ*, et hoc cap. iterum paulo inferius *Πελλήνης*. Constat Chersonesum, in qua Scione erat, *Παλλήνην* dictam esse. Vide cap. 123., ubi in omnibus libris nomen recte legitur. Idem vitium e Diodoro t. ii. p. 375.

Φασὶ δὲ οἱ Σκιωναῖοι Παλληνῆς μὲν εἶναι ἐκ Πελοποννήσου, πλέοντας δ᾽ ἀπὸ Τροίας σφῶν τοὺς πρώτους κατενεχθῆναι ἐς τὸ χωρίον τοῦτο τῷ χειμῶνι ᾧ ἐχρήσαντο Ἀχαιοὶ, καὶ αὐτοῦ οἰκῆσαι. Ἀποστᾶσι δ᾽ αὐτοῖς ὁ Βρασίδας διέπλευσε νυκτὸς ἐς τὴν Σκιώνην, τριήρει μὲν φιλίᾳ προπλεούσῃ, αὐτὸς δὲ ἐν κελητίῳ ἄποθεν ἐφεπόμενος, ὅπως εἰ μέν τινι τοῦ κέλητος μείζονι πλοίῳ περιτυγχάνοι, ἡ τριήρης ἀμύνοι αὐτῷ, ἀντιπάλου δὲ ἄλλης τριήρους ἐπιγενομένης οὐ πρὸς τὸ ἔλασσον νομίζων τρέψεσθαι, ἀλλ᾽ ἐπὶ τὴν ναῦν, καὶ ἐν τούτῳ αὐτὸν διασώσειν. Περαιωθεὶς δὲ καὶ ξύλλογον ποιήσας τῶν Σκιωναίων ἔλεγεν ἅ τε ἐν τῇ Ἀκάνθῳ καὶ Τορώνῃ, καὶ προσέτι φάσκων ἀξιωτάτους αὐτοὺς εἶναι ἐπαίνου, οἵτινες τῆς Παλλήνης ἐν τῷ ἰσθμῷ ἀπειλημμένης ὑπὸ τῶν Ἀθηναίων Ποτίδαιαν ἐχόντων καὶ ὄντες οὐδὲν ἄλλο ἢ νησιῶται αὐτεπάγγελτοι ἐχώρησαν πρὸς τὴν ἐλευθερίαν καὶ οὐκ ἀνέμειναν ἀτολμίᾳ ἀνάγκην σφίσι προσγενέσθαι περὶ τοῦ φανερῶς οἰκείου ἀγαθοῦ· σημεῖόν τ᾽ εἶναι τοῦ καὶ ἄλλο τι ἂν αὐτοὺς τῶν μεγίστων ἀνδρείως ὑπομεῖναι, εἰ τεθήσεται κατὰ νοῦν τὰ πράγματα· πιστοτάτους τε τῇ ἀληθείᾳ ἡγήσεσθαι αὐτοὺς Λακεδαιμονίων φίλους καὶ τἄλλα τιμήσειν.

121. Καὶ οἱ μὲν Σκιωναῖοι ἐπήρθησάν τε τοῖς λόγοις καὶ θαρσήσαντες πάντες ὁμοίως, καὶ οἷς πρότερον μὴ ἤρεσκε τὰ πρασσόμενα, τόν τε πόλεμον διενοοῦντο προθύμως οἴσειν καὶ τὸν Βρασίδαν τά τ᾽ ἄλλα καλῶς ἐδέξαντο καὶ δημοσίᾳ μὲν χρυσῷ στεφάνῳ ἀνέδησαν ὡς ἐλευθεροῦντα τὴν Ἑλλάδα, ἰδίᾳ δὲ ἐταινίουν τε καὶ προσήρχοντο ὥσπερ ἀθλητῇ. Ὁ δὲ τό

Wesselingius sustulit. Conf. Casaubon. ad Strabon. vii. p. 510.

ἀμύνοι αὐτῷ] *αὐτῇ* A. B. K. N. c. d. e. f. g. h. i. Alii pronomen prorsus removendum censent, alii vulgatum servandum esse. Benedict. conjecit *αὐτὴ*, quam scripturam rite explicatam ut optimam defendi posse putat Censor in Ephemerid. Jenens. 1816. mens. Jan. n. 13. Brasidas, ait, parvo intervallo navi celoce sequitur. Cui si alia navis non triremis quidem, sed tamen grandior forte obviam venit; ipsa navis longæ sive triremis, quæ Brasidam comitabatur, specie terretur, neque audet celocem aggredi. Ita auxiliatur *τριήρης αὐτὴ*, 'solus triremis adspectus.' Sin occurret navis longa, quæ par sit triremi Brasidæ; non in celocem impetum faciet, sed in majus navigium. Mox, vocabulum *αὐτεπάγγελτος* Zonaras explicat per *αὐτόκλητος*, et citat Thom. M. p. 160. *οὐκ ἀνέμειναν ἀνάγκην σφίσι γενέσθαι.*

121. *προσήρχοντο ὥσπερ ἀθλητῇ*] "Vocem non capiunt interpretes, ideoque addidi 'officii causa.' Locum mirifice illustrat Pindarus Pyth. iv, 425. *πρὸς δ᾽ ἑταῖροι καρτερὸν ἄνδρα φίλας ὤρεγον χεῖρας· στεφάνοισί τέ μιν ποίας ἔρεπτον· μειλιχίοις τε λόγοις ἀγαπάζοντο.* Altius Meleagr. 'gaudent, currunt, celebrant, herbam conferunt, donant, tenent.' Huc spectant illa deplorata et intellecta adhuc nemini Prisciani verba xviii. p. 1202. *προσήρχοντο ὡς* ΔΕΔΕΝΓΗΗ. Lege *ὥσπερ ἀθλητῇ*. Valer. Flaccus iv, 824. 'at manus

τε παραυτίκα φυλακήν τινα αὐτοῖς ἐγκαταλιπὼν διέβη πάλιν καὶ ὕστερον οὐ πολλῷ στρατιὰν πλείω ἐπεραίωσε, βουλόμενος μετ' αὐτῶν τῆς τε Μένδης καὶ τῆς Ποτιδαίας ἀποπειρᾶσαι, ἡγούμενος καὶ τοὺς Ἀθηναίους βοηθῆσαι ἂν ὡς ἐς νῆσον, καὶ βουλόμενος φθάσαι· καί τι αὐτῷ καὶ ἐπράσσετο ἐς τὰς πόλεις ταύτας προδοσίας πέρι. Καὶ ὁ μὲν ἔμελλεν ἐγχειρήσειν ταῖς πόλεσι ταύταις.

122. Ἐν τούτῳ δὲ τριήρει οἱ τὴν ἐκεχειρίαν περιαγγέλλοντες ἀφικνοῦνται παρ' αὐτόν, Ἀθηναίων μὲν Ἀριστώνυμος, Λακεδαιμονίων δὲ Ἀθήναιος. Καὶ ἡ μὲν στρατιὰ πάλιν διέβη ἐς Τορώνην, οἱ δὲ τῷ Βρασίδᾳ ἀνήγγελλον τὴν ξυνθήκην, καὶ ἐδέξαντο πάντες οἱ ἐπὶ Θρᾴκης ξύμμαχοι Λακεδαιμονίων τὰ πεπραγμένα. Ἀριστώνυμος δὲ τοῖς μὲν ἄλλοις κατῄνει, Σκιωναίους δὲ αἰσθόμενος ἐκ λογισμοῦ τῶν ἡμερῶν ὅτι ὕστερον ἀφεστήκοιεν, οὐκ ἔφη ἐνσπόνδους ἔσεσθαι. Βρασίδας δὲ ἀντέλεγε πολλά, ὡς πρότερον, καὶ οὐκ ἀφίει τὴν πόλιν. Ὡς δ' ἀπήγγειλεν ἐς τὰς Ἀθήνας ὁ Ἀριστώνυμος περὶ αὐτῶν, οἱ Ἀθηναῖοι εὐθὺς ἑτοῖμοι ἦσαν στρατεύειν ἐπὶ τὴν Σκιώνην. Οἱ δὲ Λακεδαιμόνιοι πρέσβεις πέμψαντες παραβήσεσθαι ἔφασαν αὐτοὺς τὰς σπονδάς, καὶ τῆς πόλεως ἀντεποιοῦντο Βρασίδᾳ πιστεύοντες, δίκῃ τε ἑτοῖμοι ἦσαν περὶ αὐτῆς κρίνεσθαι. Οἱ δὲ δίκῃ μὲν οὐκ ἤθελον κινδυνεύειν, στρατεύειν δὲ ὡς τάχιστα, ὀργὴν ποιούμενοι εἰ καὶ οἱ ἐν ταῖς νήσοις ἤδη ὄντες ἀξιοῦσι σφῶν ἀφίστασθαι, τῇ κατὰ γῆν Λακεδαιμονίων ἰσχύϊ ἀνωφελεῖ πιστεύοντες. Εἶχε δὲ καὶ ἡ ἀλήθεια περὶ τῆς ἀποστάσεως μᾶλλον ᾗ οἱ Ἀθηναῖοι ἐδι-

omnis Heroum densis certatim amplexibus urguent: Armaque ferre juvat, fessasque adtollere palmas.' Confer Oppianum Hal. i, 199." Wasse. — "Pollux iii, 152. pro *προσήρχοντο* habet *προσήεσαν*, et memoria lapsus Xenophontem pro Thucydide nominat. Vide ibi interpretes. *Προσήρχοντο* quosdam interpretari 'tanquam victorem athletam salutandi et honorandi causa adibant,' jam Stephanus ad h. l. adnotavit. *Ἀθλητὴν* hic Olympionicen interpretatur Muretus Var. Lect. xv, 7. Sed ad omnes hieronicas pertinere potest." Duker. Charito p. 132, 5. pugilibus deductis in stadium cum 'pompatico favore' (ut vocat Apuleius) comparat Chæream et Dionysium in tribunal manu advocatorum et faventis populi deductum. Sed hoc aliud est, neque comparari licet cum honorifica deductione et salutatione, quæ fiebat postquam jam victoriam adepti et *ἱερονῖκαι* declarati erant. Verum quando primum intrabant pugiles, ab amicis et populo favente quisque in stadium deducebantur, ut monuit Dorvill. p. 513.

122. *Ἀριστώνυμος—κατῄνει*] Tho. p. 503. et Phavorin. in *συναινῶ*. Sensus est, 'Aristonymus ceteris quidem assentiebatur et induciis non teneri concessit,' etc., quia ante illas defecerant. Infra, vulgo legebatur *μᾶλλον ἢ οἱ Ἀθηναῖοι*. Correxerunt ex K. g. qui habent *ἧι*, quibus nunc accedit S., qui habet *ἧ* sine iota

καίουν· δύο γὰρ ἡμέραις ὕστερον ἀπέστησαν οἱ Σκιωναῖοι. Ψήφισμά τ' εὐθὺς ἐποιήσαντο, Κλέωνος γνώμῃ πεισθέντες, Σκιωναίους ἐξελεῖν τε καὶ ἀποκτεῖναι. Καὶ τἄλλα ἡσυχάζοντες ἐς τοῦτο παρεσκευάζοντο.

123. Ἐν τούτῳ δὲ Μένδη ἀφίσταται αὐτῶν, πόλις ἐν τῇ Παλλήνῃ, Ἐρετριέων ἀποικία. Καὶ αὐτοὺς ἐδέξατο ὁ Βρασίδας, οὐ νομίζων ἀδικεῖν, ὅτι ἐν τῇ ἐκεχειρίᾳ φανερῶς προσεχώρησαν· ἔστι γὰρ ἃ καὶ αὐτὸς ἐνεκάλει τοῖς Ἀθηναίοις παραβαίνειν τὰς σπονδάς. Διὸ καὶ οἱ Μενδαῖοι μᾶλλον ἐτόλμησαν, τήν τε τοῦ Βρασίδου γνώμην ὁρῶντες ἑτοίμην, τεκμαιρόμενοι καὶ ἀπὸ τῆς Σκιώνης ὅτι οὐ προὐδίδου, καὶ ἅμα τῶν πρασσόντων σφίσιν ὀλίγων τε ὄντων καὶ ὡς τότε ἐμέλλησαν οὐκέτι ἀνέντων ἀλλὰ περὶ σφίσιν αὐτοῖς φοβουμένων τὸ κατάδηλον καὶ καταβιασαμένων παρὰ γνώμην τοὺς πολλούς. Οἱ δὲ Ἀθηναῖοι εὐθὺς πυθόμενοι, πολλῷ ἔτι μᾶλλον ὀργισθέντες, παρεσκευάζοντο ἐπ' ἀμφοτέρας τὰς πόλεις. Καὶ Βρασίδας προσδεχόμενος τὸν ἐπίπλουν αὐτῶν ὑπεκκομίζει ἐς Ὄλυνθον τὴν Χαλκιδικὴν παῖδας καὶ γυναῖκας τῶν Σκιωναίων καὶ Μενδαίων, καὶ τῶν Πελοποννησίων αὐτοῖς πεντακοσίους ὁπλίτας διέπεμψε καὶ πελταστὰς τριακοσίους Χαλκιδέων, ἄρχοντά τε τῶν ἁπάντων Πολυδαμίδαν. Καὶ οἱ μὲν τὰ περὶ σφᾶς αὐτοὺς ὡς ἐν τάχει παρεσομένων τῶν Ἀθηναίων κοινῇ εὐτρεπίζοντο.

124. Βρασίδας δὲ καὶ Περδίκκας ἐν τούτῳ στρατεύουσιν ἅμα ἐπὶ Ἀῤῥιβαῖον τὸ δεύτερον ἐς Λύγκον. Καὶ ἦγον ὁ μὲν ὧν ἐκράτει Μακεδόνων τὴν δύναμιν, καὶ τῶν ἐνοικούντων Ἑλλήνων ὁπλίτας, ὁ δὲ πρὸς τοῖς αὑτοῦ περιλοίποις τῶν Πελοποννησίων Χαλκιδέας καὶ Ἀκανθίους καὶ τῶν ἄλλων κατὰ δύναμιν ἑκάστων. Ξύμπαν δὲ τὸ ὁπλιτικὸν τῶν Ἑλλήνων τρισχίλιοι μάλιστα. Ἱππῆς δ' οἱ πάντες ἠκολούθουν Μακεδόνων ξὺν Χαλκιδεῦσιν ὀλίγου ἐς χιλίους, καὶ ἄλλος ὅμιλος τῶν βαρβάρων πολύς. Ἐσβαλόντες δὲ ἐς τὴν Ἀῤῥιβαίου καὶ εὑρόντες ἀντεστρατοπεδευμένους αὐ-

vel adscripto vel subscripto.

Σκιωναίους—ἀποκτεῖναι] Thom. M. p. 321. et Phavorin. in ἐξεῖλε.

124. ὀλίγου ἐς χιλίους] Omnes libri ὀλίγῳ habent; veram scripturam servavit Priscianus xviii. p. 1192. Sic iterum ὀλίγου εἷλον legitur viii, 35. et alibi sæpius eodem sensu. Verba τῆς τε Μένδης περιορώμενος habet Thom. M. p. 710. et explicat φροντίζων.

τοῖς τοὺς Λυγκηστὰς, ἀντεκαθέζοντο καὶ αὐτοί. Καὶ ἐχόντων τῶν μὲν πεζῶν λόφον ἑκατέρωθεν, πεδίου δὲ τοῦ μέσου ὄντος, οἱ ἱππῆς ἐς αὐτὸ καταδραμόντες ἱππομάχησαν πρῶτα ἀμφοτέρων, ἔπειτα δὲ καὶ ὁ Βρασίδας καὶ ὁ Περδίκκας, προελθόντων πρότερον ἀπὸ τοῦ λόφου μετὰ τῶν ἱππέων τῶν Λυγκηστῶν ὁπλιτῶν καὶ ἑτοίμων ὄντων μάχεσθαι, ἀντεπαγαγόντες καὶ αὐτοὶ ξυνέβαλον, καὶ ἔτρεψαν τοὺς Λυγκηστὰς, καὶ πολλοὺς μὲν διέφθειραν, οἱ δὲ λοιποὶ διαφεύγοντες πρὸς τὰ μετέωρα ἡσύχαζον. Μετὰ δὲ τοῦτο τροπαῖον στήσαντες δύο μὲν ἢ τρεῖς ἡμέρας ἐπέσχον, τοὺς Ἰλλυριοὺς μένοντες, οἳ ἔτυχον τῷ Περδίκκᾳ μισθοῦ μέλλοντες ἥξειν. Ἔπειτα ὁ Περδίκκας ἐβούλετο προϊέναι ἐπὶ τὰς τοῦ Ἀῤῥιβαίου κώμας καὶ μὴ καθῆσθαι, Βρασίδας δὲ τῆς τε Μένδης περιορώμενος μὴ τῶν Ἀθηναίων πρότερον ἐπιπλευσάντων τι πάθῃ, καὶ ἅμα τῶν Ἰλλυριῶν οὐ παρόντων, οὐ πρόθυμος ἦν, ἀλλὰ ἀναχωρεῖν μᾶλλον.

125. Καὶ ἐν τούτῳ διαφερομένων αὐτῶν ἠγγέλθη ὅτι οἱ Ἰλλυριοὶ μετ' Ἀῤῥιβαίου προδόντες Περδίκκαν γεγένηνται· ὥστε ἤδη ἀμφοτέροις μὲν δοκοῦν ἀναχωρεῖν διὰ τὸ δέος αὐτῶν, ὄντων ἀνθρώπων μαχίμων, κυρωθὲν δὲ οὐδὲν ἐκ τῆς διαφορᾶς ὁπηνίκα χρὴ ὁρμᾶσθαι, νυκτός τε ἐπιγενομένης, οἱ μὲν Μακεδόνες καὶ τὸ πλῆθος τῶν βαρβάρων εὐθὺς φοβηθέντες, ὅπερ φιλεῖ μεγάλα στρατόπεδα ἀσαφῶς ἐκπλήγνυσθαι, καὶ

125. *κυρωθὲν—οἴκου*] Greg. Cor. p. 40., qui locum profert ad explicandum casum absolutum participii, ubi v. interpp. p. 38.

ὅπερ φιλεῖ—ἐκπλήγνυσθαι] *ἀσαφῶς* H. et scholiastes et correctus S. Vulgo *σαφῶς*. Structura eadem quam explicavi ad iii, 12. Relativum ὃ ad totam præcedentem sententiam refertur, et per appositionem: *ἀσαφῶς ἐκπλήγνυσθαι* explicatur, ubi nos dicimus 'what happens with great armies, namely, that they are overcome with fright, without knowing why.' Ita per appositionem infinitivi explicatur *ὥσπερ* viii, 22. *στρατεύονται* Chii *τρισκαίδεκα ναυσὶν ἐπὶ τὴν Λέσβον, ὥσπερ εἴρητο ὑπὸ τῶν Λακεδαιμονίων, δεύτερον ἐπ' αὐτὴν ἰέναι, καὶ ἐκεῖθεν ἐπὶ τὸν Ἑλλήσποντον*, ubi Krueger. ad Dionys. p. 291. hoc jam monuit laudato Matth. Gr. §. 476. qui attulit Thucydidis locum v, 6. *ὥστε οὐκ ἂν ἔλαθεν αὐτόθεν ὁρμώμενος ὁ Κλέων τῷ στρατῷ· ὅπερ προσεδέχετο ποιήσειν αὐτὸν, ἐπὶ τὴν Ἀμφίπολιν ὑπεριδόντα σφῶν τὸ πλῆθος ἀναβήσεσθαι*. Nostro loco etiam ex correctione codicem F. habere *ἀσαφῶς* Kruegerus addit, et hoc appositionis genus ad demonstrativa quoque pronomina pertinere, laudato Xenophonte Anab. i, 1, 7. *ἐν Μιλήτῳ δ' ὁ Τισσαφέρνης προαισθόμενος τὰ αὐτὰ ταῦτα βουλομένους, ἀποστῆναι πρὸς Κῦρον, τοὺς μὲν ἀπέκτεινε, τοὺς δ' ἐξέβαλε*, ubi Valckenar., Wyttenb. ad Ecl. Hist. p. 382. Wolf. ad Leptin. p. 323. et Schneiderus verba *ἀποστῆναι πρὸς Κῦρον* insititia putabant. Confert porro Kruegerus Thucyd. viii, 24. *μετὰ πολλῶν, οἷς τὰ αὐτὰ ἔδοξε, τὰ τῶν Ἀθηναίων ταχὺ ξυναιρεθήσεσθαι, τὴν ἁμαρτίαν ξυνέγνωσαν*. Addit Thucyd. ii, 35. iii, 47. Aristoph. Lysistr. 177., defenditque vulgatam apud Demosth. Lept. § 87., solam particulam *ἢ* abjiciens cum Aug. I. et Reiskio. Interdum ait ejusmodi infinitivis articulum præmitti, velut Xenoph. Hist. Gr. iv, 1, 2. Aristoph. Vesp. 89. Demosth.

νομίσαντες πολλαπλασίους μὲν ἢ ἦλθον ἐπιέναι, ὅσον δὲ οὔπω παρεῖναι, καταστάντες ἐς αἰφνίδιον φυγὴν ἐχώρουν ἐπ' οἴκου, καὶ τὸν Περδίκκαν τὸ πρῶτον οὐκ αἰσθανόμενον, ὡς ἔγνω, ἠνάγκασαν πρὶν τὸν Βρασίδαν ἰδεῖν, ἄποθεν γὰρ πολὺ ἀλλήλων ἐστρατοπεδεύοντο, προαπελθεῖν. Βρασίδας δὲ ἅμα τῇ ἕῳ ὡς εἶδε τοὺς Μακεδόνας προκεχωρηκότας, τούς τε Ἰλλυριοὺς καὶ τὸν Ἀρρίβαιον μέλλοντας ἐπιέναι, ξυναγαγὼν καὶ αὐτὸς ἐς τετράγωνον τάξιν τοὺς ὁπλίτας καὶ τὸν ψιλὸν ὅμιλον ἐς μέσον λαβὼν, διενοεῖτο ἀναχωρεῖν. Ἐκδρόμους δὲ, εἴ πη προσβάλλοιεν αὐτοῖς, ἔταξε τοὺς νεωτάτους, καὶ αὐτὸς λογάδας ἔχων τριακοσίους τελευταῖος γνώμην εἶχεν ὑποχωρῶν τοῖς τῶν ἐναντίων πρώτοις προσκεισομένοις ἀνθιστάμενος ἀμύνεσθαι. Καὶ πρὶν τοὺς πολεμίους ἐγγὺς εἶναι, ὡς διὰ ταχέων παρεκελεύσατο τοῖς στρατιώταις τοιάδε.

126. Εἰ μὲν μὴ ὑπώπτευον, ἄνδρες Πελοποννήσιοι, ὑμᾶς τῷ τε μεμονῶσθαι καὶ ὅτι βάρβαροι οἱ ἐπιόντες καὶ πολλοὶ ἔκπληξιν ἔχειν, οὐκ ἂν ὁμοίως διδαχὴν ἅμα τῇ παρακελεύσει ἐποιούμην· νῦν δὲ πρὸς μὲν τὴν ἀπόλειψιν τῶν ἡμετέρων καὶ τὸ πλῆθος τῶν ἐναντίων βραχεῖ ὑπομνήματι καὶ παραινέσει τὰ μέγιστα πειράσομαι πείθειν. Ἀγαθοῖς γὰρ εἶναι ὑμῖν προσήκει τὰ πολέμια οὐ διὰ ξυμμάχων παρουσίαν ἑκάστοτε, ἀλλὰ δι' οἰκείαν ἀρετὴν, καὶ μηδὲν πλῆθος πεφοβῆσθαι ἑτέρων, οἵγε μηδὲ ἀπὸ πολιτειῶν τοιούτων ἥκετε ἐν αἷς

Leptin. § 11., ubi v. Wolf. Nostro loco simillimus est alter, vii, 80. *οἷον φιλεῖ καὶ πᾶσι στρατοπέδοις, μάλιστα δὲ τοῖς μεγίστοις, φόβος καὶ δείματα ἐγγίγνεσθαι*, ubi *φόβος* et *δείματα* epexegesis sunt vocabuli *οἷον*. Neque igitur *ὥσπερ* corrigendum nostro loco, ut voluit Popp. Prol. t. i. p. 133., neque *ποιεῖν* seu *παθεῖν* ad *ὅπερ* supplendum, quanquam id additum est v, 70. *ὅπερ φιλεῖ τὰ μεγάλα στρατόπεδα ποιεῖν*, neque *οἷον* cum Poppone pro adverbio accipiendum altero loco. Aliter se habent verba vi, 33. *ὅπερ καὶ Ἀθηναῖοι αὐτοὶ οὗτοι, τοῦ Μήδου παρὰ λόγον πολλὰ σφαλέντος, ἐπὶ τῷ ὀνόματι ὡς ἐπ' Ἀθήνας ᾔει ηὐξήθησαν*, ubi verba *ὅπερ—οὗτοι* prorsus sine verbo relicta sunt, quia auctor in fine enuntiationis addere voluit *ἔπαθον* vel simile quid, sed pro eo statim ipsam explicationem, quid experti sint, *ηὐξήθησαν* addit. Adde adnotata ad iii, 59. Ceterum *ἀσαφῶς* etiam Valla expressit, et agnoscit Thom. M. p. 286., qui citat verba *ὅπερ — ἐκπλήγνυσθαι*. Mœris *ἐκπλήγνυσθαι* formam Thucydideam ait esse pro *ἐκπλήττεσθαι*, quod ipsum habent L. O. P. Q. Et in marg. codicis H. scriptum est, adnotandam hanc vocem esse, ut raram scilicet. Glossam illam habent etiam Suidas, ubi male est *ἐκπήγνυσθαι*, Hesych., ubi est *ἐκπληγύεσθαι*, corruptius etiam apud Phavorinum *ἐκπληγέεσθαι*.

πρὶν—ἰδεῖν] Schol. *πρὶν διαλεχθῆναι τῷ Βρασίδᾳ. Οὕτω γὰρ οἱ Ἀττικοὶ λέγουσιν, ὡς τὸ ἰδεῖν τί σε ἐβουλόμην, ἀντὶ τοῦ διαλεχθῆναί σοί τι.* Lucian. D. D. 9. Neptuno interroganti *Ἔστιν, ὦ Ἑρμῆ, ἐντυχεῖν τῷ Διί;* Mercurius respondet, *Οὐδαμῶς*, et, quibusdam interjectis, *ὥστε οὐκ ἂν ἴδοις αὐτὸν ἐν τῷ παρόντι*. Ibidem Dialog. 24. *ἐν παρόδῳ τὴν Ἀντιόπην ἰδὲ*, ubi v. Hemsterh. t. ii. p. 276. Affert Duker. Evangelium Lucæ viii, 20. *ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες*, et in Evangel. Matthæi xii, 46. in ejusdem rei narratione dicitur *ζητοῦντες αὐτῷ λαλῆσαι*. Latini eodem sensu 'visere,' velut Horat. Serm. i, 9, 17.

126. Brasidæ oratio ad milites.

οἵγε μηδὲ—μαχόμενοι κρατεῖν] Addidit

οὐ πολλοὶ ὀλίγων ἄρχουσιν, ἀλλὰ πλειόνων μᾶλλον ἐλάσσους, οὐκ ἄλλῳ τινὶ κτησάμενοι τὴν δυναστείαν ἢ τῷ μαχόμενοι κρατεῖν. Βαρβάρους δὲ, οὓς νῦν ἀπειρίᾳ δέδιτε, μαθεῖν χρὴ ἐξ ὧν τε προηγώνισθε τοῖς Μακεδόσιν αὐτῶν καὶ ἀφ' ὧν ἐγὼ εἰκάζω τε καὶ ἄλλων ἀκοῇ ἐπίσταμαι οὐ δεινοὺς ἐσομένους. Καὶ γὰρ ὅσα μὲν τῷ ὄντι ἀσθενῆ ὄντα τῶν πολεμίων δόκησιν ἔχει ἰσχύος, διδαχὴ ἀληθὴς προσγενομένη περὶ αὐτῶν ἐθάρσυνε μᾶλλον τοὺς ἀμυνομένους· οἷς δὲ βεβαίως τι πρόσεστιν ἀγαθὸν, μὴ προειδώς τις ἂν αὐτοῖς τολμηρότερον προσφέροιτο. Οὗτοι δὲ τὴν μέλλησιν μὲν ἔχουσι τοῖς ἀπείροις φοβεράν· καὶ γὰρ πλήθει ὄψεως δεινοὶ καὶ βοῆς μεγέθει ἀφόρητοι, ἥ τε διὰ κενῆς ἐπανάσεισις τῶν ὅπλων

οὐ, quasi superius μηδὲ abesset. Alia ejusmodi negligentiæ exempla habet Reisig. ad Aristoph. t. i. p. 30. Simile est quod supra illustratum ad cap. 62. Krueger. ad Dionys. p. 383. cum Haackio non recte punctum ponit post ἥκετε. Stephanus οἱ πολλοὶ correxit.

ἐξ ὧν τε—τοῖς Μακεδόσιν αὐτῶν] Recte hunc locum intellexit Heilmannus: 'you may easily persuade yourselves, as well by your own experience in former conflicts with the Macedonians, as by my judgment, and by what I know from certain reports, that they will be by no means terrible in action.' Αὐτῶν igitur referendum ad βαρβάρων, estque idem ac si dixisset αὐτῶν οὖσιν, 'qui ex barbarorum numero sunt.' Intelligit Macedonas non Perdiccæ, sed Lyncestas; nam τῶν Μακεδόνων εἰσὶ καὶ Λυγκησταὶ, ut dicit ii, 99. Et cum his Lacedæmonii pugnaverant, non cum Macedonibus Perdiccæ, qui adhuc socii Spartanorum erant. Et προηγώνισθε Scholiastes recte accipit dictum pro προεπολεμήσατε. Constat autem Macedonas, quanquam Græcæ originis vel Philippi, Alexandri Magni patris, ætate, reliquis Græcis barbaros visos esse. Vid. Jacobs. ad Dem. Orationum interpretat. vernaculam p. 148. 497.

καὶ γὰρ ὅσα—προσφέροιτο] Schol. ὅσοι πολέμιοι ἀσθενεῖς ὄντες δόκησιν ἰσχύος παρέχουσι τοῖς ἐναντίοις, περὶ τούτων τἀληθῆ μαθόντες οἱ δι' ἐναντίας θαρσύνονται μᾶλλον· ὅσοι δὲ τῷ ὄντι εἰσὶν ἰσχυροὶ, τούτους εἰ μή τις ἔμπροσθεν μάθοι, τολμηρότερον καὶ οὐκ ὀρθῶς αὐτοῖς προσενεχθήσεται. Dixi de hoc loco ad librum primum. Commixtio duarum constructionum est; alterius, καὶ γὰρ ὅσα μὲν τῷ ὄντι ἀσθενῆ ὄντα τῶν πολεμίων δόκησιν ἔχει ἰσχύος, διδαχῆς ἀληθοῦς προσγενομένης περὶ αὐτῶν ἐθάρσυνε μᾶλλον, etc.; alterius, καὶ γὰρ τῶν μὲν τῷ ὄντι ἀσθενέων ὄντων πολεμίων, δόκησιν δὲ ἐχόντων ἰσχύος διδαχὴ ἀληθὴς προσγενομένη ἐθάρσυνε, etc. Vide i, 22. init. Deinde exspectes οἷς δὲ βεβαίως τι πρόσεστιν ἀγαθὸν, τούτοις μὴ προειδώς τις τολμηρότερον προσφέροιτο, sed αὐτοῖς scripsit, quasi præcessisset εἰ δέ τισιν βεβαίως τι πρόσεστιν ἀγαθὸν, etc. Aptius Bekkero videtur προγενομένη. Mox, μέλλησις est 'minæ,' ut i, 69. et infra extremo cap. jungitur cum ἀπειλαῖς. Schol. τοῦ ἐπιέναι δηλονότι ait.

πλήθει ὄψεως] Heyn. ad Hom. t. vii. p. 244. historicum dicit conversione orationis usum esse, ut sit pro ὄψει πλήθους. Coraës monet unum ex his substantivis adjectivi vice fungi, ut comparari hæc posse dicat Popp. Prol. t. i. p. 162., cum ἄστρων εὐφρόνη et similibus, quæ tanquam unam notionem continentia cogitantur, et de quibus conferri jubet Herm. ad Viger. p. 890. Ὄψις igitur Corai est 'externa species,' et ὄψις πολλὴ 'multa, i. e. pulchra externa species.' Conf. supra ad iii, 82. ad lemma οὐ γὰρ—μετὰ πλεονεξίας. Similia Manlius Cos. adversus Gallos cohortans apud Livium, xxxvii, 17. 'procera corpora, promissæ et rutilatæ comæ, vasta scuta, prælongi gladii: ad hoc cantus ineuntium prœlium et ululatus et tripudia et quatientium scuta in patrium quendam morem horrendus armorum crepitus: omnia de industria composita ad metum.' Vid. Lips. de Mil. Rom. iv, 11. Gail. Obs. p. 232. Tacitus Annal. iv, 47. 'simul in ferocissimos Thracum, qui ante vallum more gentis cum carminibus et tripudiis persultabant, mittit delectos sagittariorum,' ubi Lipsius nostro loco usus emendavit πλήξει ὄψεως.

ἔχει τινὰ δήλωσιν ἀπειλῆς. Προσμῖξαι δὲ τοῖς ὑπομένουσιν αὐτὰ οὐχ ὁμοῖοι· οὔτε γὰρ τάξιν ἔχοντες αἰσχυνθεῖεν ἂν λιπεῖν τινα χώραν βιαζόμενοι, ἥ τε φυγὴ καὶ ἡ ἔφοδος αὐτῶν ἴσην ἔχουσα δόξαν τοῦ καλοῦ ἀνεξέλεγκτον καὶ τὸ ἀνδρεῖον ἔχει. Αὐτοκράτωρ δὲ μάχη μάλιστ' ἂν καὶ πρόφασιν τοῦ σώζεσθαί τινι πρεπόντως πορίσειε. Τοῦ τε ἐς χεῖρας ἐλθεῖν πιστότερον τὸ ἐκφοβήσειν ἡμᾶς ἀκινδύνως ἡγοῦνται· ἐκείνῳ γὰρ ἂν πρὸ τούτου ἐχρῶντο. Σαφῶς τε πᾶν τὸ προϋπάρχον δεινὸν ἀπ' αὐτῶν ὁρᾶτε ἔργῳ μὲν βραχὺ ὄν, ὄψει δὲ καὶ ἀκοῇ κατασπέρχον. Ὃ ὑπομείναντες ἐπιφερόμενον καὶ ὅταν καιρὸς ᾖ κόσμῳ καὶ τάξει αὖθις ὑπαγαγόντες, ἔς τε τὸ ἀσφαλὲς θᾶσσον ἀφίξεσθε καὶ γνώσεσθε τὸ λοιπὸν ὅτι οἱ τοιοῦτοι ὄχλοι τοῖς μὲν τὴν πρώτην ἔφοδον δεξαμένοις ἄποθεν ἀπειλαῖς τὸ ἀνδρεῖον μελλήσει ἐπικομποῦσιν, οἱ δ' ἂν εἴξωσιν αὐτοῖς, κατὰ πόδας τὸ εὔψυχον ἐν τῷ ἀσφαλεῖ ὀξεῖς ἐνδείκνυνται.

127. Τοιαῦτα ὁ Βρασίδας παραινέσας ὑπῆγε τὸ στράτευμα. Οἱ δὲ βάρβαροι ἰδόντες πολλῇ βοῇ καὶ θορύβῳ προσέκειντο, νομίσαντες φεύγειν τε αὐτὸν καὶ καταλαβόντες διαφθείρειν. Καὶ ὡς αὐτοῖς αἵ τε ἐκδρομαὶ ὅπῃ προσπίπτοιεν ἀπήντων, καὶ αὐτὸς ἔχων τοὺς λογάδας ἐπικειμένους ὑφίστατο, τῇ τε πρώτῃ ὁρμῇ παρὰ γνώμην ἀντέστησαν καὶ τὸ

οὔτε γὰρ τάξιν—αἰσχυνθεῖεν ἂν] Vide dicta ad i, 12. init. Negatio et ad *ἔχοντες* et ad *αἰσχυνθεῖεν ἂν* pertinet. Proxime sequentia spectant ad morem barbarorum, qui in fuga retrorsum hostem telis petebant. Horat. Od. i, 19, 11. 'versis animosum equis Parthum,' et alibi. Virg. Georg. iii, 31. 'Fidentemque fuga Parthum versisque sagittis.' Pugnam *αὐτοκράτορα* dicit, ubi et fugere et pugnare licet, nullo dedecore. Verba *ἄποθεν—ἐπικομποῦσιν* habet Thom. M. p. 545.

οἱ δ' ἂν εἴξωσιν αὐτοῖς κατὰ πόδας, τὸ] Ita vulgo distinguebatur. "Distinctionem post *αὐτοῖς* locandam puto; nam vix Græce dici potest *εἴκειν τινὶ κατὰ πόδας*. Est autem oratio elliptica, quam ita suppleas, *οἱ δ' ἂν εἴξωσιν αὐτοῖς, κατὰ πόδας διώκοντες, ἐλθόντες*, vel aliud eorum quæ phrasi *κατὰ πόδας* jungi solent, *τὸ εὔψυχον—ἐνδείκνυνται*." Duker.

127. *ὑπῆγε τὸ στράτευμα*] "Thomas M. [p. 867.] *ὑπάγειν* hic exponit *προάγειν*, et vetat *ὑπάγειν* dici pro *ἀπέρχεσθαι*. Non dubium est quin *ὑπάγειν* sæpe ponatur pro *προάγειν*, i. e. *εἰς τοὔμπροσθεν πορεύεσθαι*, quod etiam Harpocration e Demosthene, Ammonius ex Eupoli, et Schol. Demosthenis ad Chersonesiacam p. 62. docent. Sed sententia hujus loci non patitur, ut *ὑπάγειν* aliter accipiatur quam pro *ὑποχωρεῖν*. Hoc apparet ex iis quæ in fine cap. 125. dicit Thucydides, *ὑποχωρῶν τοῖς τῶν ἐναντίων πρώτοις προσκεισομένοις*, et quæ mox cap. sequente *νομίσαντες φεύγειν αὐτὸν* et *ἡσυχαζόντων δὲ αὐτοὶ ὑπεχώρουν*. Nam hæc plane ostendunt, Brasidam cum suis non progredi, sed paulatim retro cedere voluisse. Eadem est significatio hujus verbi in iis quæ paulo superius leguntur, *κόσμῳ καὶ τάξει αὖθις ὑπαγαγόντες*, et v, 10. *ὑπάγειν ἐπὶ τῆς Ἠϊόνος*. Apud Aristophanem quoque Nubibus 1301. *ὕπαγε, τί μέλλεις;* *ὕπαγε* est 'abi,' 'discede,' ut intelligitur ex eo quod præcedit, *οὐκ ἀποδιώξεις σαυτὸν ἐς τῆς οἰκίας;* sic *ὑπαγωγὴ* pro *ἀναχώρησις*, Thucyd. iii, 97. *καὶ ἦν ἐπὶ πολὺ τοιαύτη ἡ μάχη, διώξεις τε καὶ ὑπαγωγαί*." Duker.

λοιπὸν ἐπιφερομένους μὲν δεχόμενοι ἠμύνοντο, ἡσυχαζόντων δὲ αὐτοὶ ὑπεχώρουν, τότε δὴ τῶν μετὰ τοῦ Βρασίδου Ἑλλήνων ἐν τῇ εὐρυχωρίᾳ οἱ πολλοὶ τῶν βαρβάρων ἀπέσχοντο, μέρος δέ τι καταλιπόντες αὐτοῖς ἐπακολουθοῦν προσβάλλειν, οἱ λοιποὶ χωρήσαντες δρόμῳ ἐπί τε τοὺς φεύγοντας τῶν Μακεδόνων, οἷς ἐντύχοιεν, ἔκτεινον, καὶ τὴν ἐσβολὴν, ἥ ἐστι μεταξὺ δυοῖν λόφοιν στενὴ ἐς τὴν Ἀῤῥιβαίου, φθάσαντες προκατέλαβον, εἰδότες οὐκ οὖσαν ἄλλην τῷ Βρασίδᾳ ἀναχώρησιν. Καὶ προσιόντος αὐτοῦ ἐς αὐτὸ ἤδη τὸ ἄπορον τῆς ὁδοῦ κυκλοῦνται ὡς ἀποληψόμενοι.

128. Ὁ δὲ γνοὺς προεῖπε τοῖς μεθ' αὑτοῦ τριακοσίοις, ὃν ᾤετο μᾶλλον ἂν ἑλεῖν τῶν λόφων, χωρήσαντας πρὸς αὐτὸν δρόμῳ ὡς τάχιστα ἕκαστος δύναται ἄνευ τάξεως πειρᾶσαι ἀπ' αὐτοῦ ἐκκροῦσαι τοὺς ἤδη ἐπιόντας βαρβάρους, πρὶν καὶ τὴν πλείονα κύκλωσιν σφῶν αὐτόσε προσμῖξαι. Καὶ οἱ μὲν προσπεσόντες ἐκράτησάν τε τῶν ἐπὶ τοῦ λόφου, καὶ ἡ πλείων ἤδη στρατιὰ τῶν Ἑλλήνων ῥᾷον πρὸς αὐτὸν ἐπορεύοντο· οἱ γὰρ βάρβαροι καὶ ἐφοβήθησαν, τῆς τροπῆς αὐτοῖς ἐνταῦθα γενομένης σφῶν ἀπὸ τοῦ μετεώρου, καὶ ἐς τὸ πλεῖον οὐκέτ' ἐπηκολούθουν, νομίζοντες καὶ ἐν μεθορίοις εἶναι αὐτοὺς ἤδη καὶ διαπεφευγέναι. Βρασίδας δὲ ὡς ἀντελάβετο τῶν μετεώρων, κατὰ ἀσφάλειαν μᾶλλον ἰὼν αὐθημερὸν ἀφικνεῖται ἐς Ἄρνισσαν πρῶτον τῆς Περδίκκου ἀρχῆς. Καὶ αὐτοὶ ὀργιζόμενοι οἱ στρατιῶται τῇ προαναχωρήσει τῶν Μακεδόνων, ὅσοις ἐνέτυχον κατὰ τὴν ὁδὸν ζεύγεσιν αὐτῶν βοεικοῖς, ἢ εἴ τινι σκεύει ἐκπεπτωκότι, οἷα ἐν νυκτερινῇ καὶ φοβερᾷ ἀναχωρήσει εἰκὸς ἦν ξυμβῆναι, τὰ μὲν ὑπολύοντες κατέκοπτον, τῶν δὲ οἰκείωσιν ἐποιοῦντο. Ἀπὸ τούτου τε πρῶτον Περδίκκας

ἐπί τε τοὺς φεύγοντας] Trajecta est particula; nam sic debebant se membra orationis excipere, *οἱ λοιποὶ χωρήσαντές τε—ἐπὶ τοὺς φεύγοντας—οἷς ἐντύχοιεν, ἔκτεινον, καὶ τὴν ἐσβολὴν—φθάσαντες προκατέλαβον.*

128. *τοὺς ἤδη ἐπιόντας*] Barbari inferiorem collis partem occupasse et jam ejus jugum ascensuri esse cogitari possunt, quum Peloponnesii iis obviam facti sunt. Verum propter ea quæ statim adduntur (*ἐκράτησαν τῶν ἐπὶ τοῦ λόφου*), et propter finem præcedentis capitis, recte Popp. Obs. p. 241. corrigit *ἰόντας*. Deinde ad *τὴν πλείονα κύκλωσιν* hæc extat Scholiastæ adnotatio: *πρὶν τοὺς πολλοὺς* (scribere debebat *πρὶν τοὺς πλείους*) *τῶν κυκλοῦν τοὺς Λακεδαιμονίους μελλόντων παρεῖναι.*

τῆς τροπῆς αὐτοῖς—γενομένης σφῶν ἀπὸ τοῦ μετεώρου] i. e. 'cum depulsi essent jugo, quod insederant.' Id dicit *σφῶν τὸ μετέωρον*, 'suum jugum.' Non igitur dixerim cum Kruegero ad Dionys. p. 98., alterum pronomen abundare.

τὰ μὲν ὑπολύοντες—ἐποιοῦντο] Thom. M. p. 875.

Βρασίδαν τε πολέμιον ἐνόμιζε καὶ ἐς τὸ λοιπὸν Πελοποννησίων τῇ μὲν γνώμῃ δι' Ἀθηναίους οὐ ξύνηθες μῖσος εἶχε, τῶν δὲ ἀναγκαίων ξυμφόρων διαναστὰς ἔπρασσεν ὅτῳ τρόπῳ τάχιστα τοῖς μὲν ξυμβήσεται, τῶν δὲ ἀπαλλάξεται.

129. Βρασίδας δὲ ἀναχωρήσας ἐκ Μακεδονίας ἐς Τορώνην καταλαμβάνει Ἀθηναίους Μένδην ἤδη ἔχοντας, καὶ αὐτοῦ ἡσυχάζων ἐς μὲν τὴν Παλλήνην ἀδύνατος ἤδη ἐνόμιζεν εἶναι διαβὰς τιμωρεῖν, τὴν δὲ Τορώνην ἐν φυλακῇ εἶχεν. Ὑπὸ γὰρ τὸν αὐτὸν χρόνον τοῖς ἐν τῇ Λύγκῳ ἐξέπλευσαν ἐπί τε τὴν Μένδην καὶ τὴν Σκιώνην οἱ Ἀθηναῖοι, ὥσπερ παρεσκευάζοντο, ναυσὶ μὲν πεντήκοντα, ὧν ἦσαν δέκα Χῖαι, ὁπλίταις δὲ χιλίοις ἑαυτῶν καὶ τοξόταις ἑξακοσίοις καὶ Θρᾳξὶ μισθωτοῖς χιλίοις καὶ ἄλλοις τῶν αὐτόθεν ξυμμάχων πελτασταῖς· ἐστρατήγει δὲ Νικίας ὁ Νικηράτου καὶ Νικόστρατος ὁ Διιτρέφους. Ἄραντες δὲ ἐκ Ποτιδαίας ταῖς ναυσὶ καὶ σχόντες κατὰ τὸ Ποσειδώνιον ἐχώρουν ἐς τοὺς Μενδαίους. Οἱ δὲ αὐτοί τε καὶ Σκιωναίων τριακόσιοι βεβοηθηκότες, Πελοποννησίων τε οἱ ἐπίκουροι, ξύμπαντες δὲ ἑπτακόσιοι ὁπλῖται, καὶ Πολυδαμίδας ὁ ἄρχων αὐτῶν, ἔτυχον ἐξεστρατοπεδευμένοι ἔξω τῆς πόλεως ἐπὶ λόφου καρτεροῦ. Καὶ αὐτοῖς Νικίας μὲν, Μεθωναίους τε ἔχων εἴκοσι καὶ ἑκατὸν ψιλοὺς καὶ λογάδας τῶν Ἀθηναίων ὁπλιτῶν ἑξήκοντα καὶ τοὺς τοξότας ἅπαντας, κατὰ ἀτραπόν τινα τοῦ λόφου πειρώμενος προσβῆναι καὶ τραυματιζόμενος ὑπ' αὐτῶν οὐκ ἠδυνήθη βιάσασθαι· Νικόστρατος δὲ ἄλλῃ ἐφόδῳ ἐκ πλείονος παντὶ τῷ ἄλλῳ στρατοπέδῳ ἐπιὼν τῷ λόφῳ ὄντι δυσπροσβάτῳ καὶ πάνυ ἐθορυβήθη καὶ ἐς ὀλίγον ἀφίκετο πᾶν τὸ στράτευμα τῶν Ἀθηναίων νικηθῆναι. Καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ, ὡς οὐκ ἐνέδοσαν οἱ Μενδαῖοι καὶ οἱ ξύμμαχοι, οἱ Ἀθηναῖοι ἀναχωρήσαντες

καὶ ἐς τὸ λοιπὸν—ἀπαλλάξεται] i. e. 'odium adversus Lacedæmonios concepit, animo propter Athenienses (antea ipsi invisos) minus consuetum.' Verba *τῇ γνώμῃ* pendent ex *οὐ ξύνηθες*. Sequentia male intellexerunt quicunque *τῶν ἀναγκαίων ξυμφόρων* pro genitivis acceperunt pendentibus ex omisso *ἕνεκα*. Neque sunt *ἀναγκαῖα ξύμφορα* calamitates fatales, quanquam hoc sensu *ἀνάγκη* et *ἀναγκαῖος* usurpari docuit abunde Dorvill. ad Chariton. p. 609., sed quod nos dicimus, 'a natural interest exacted by his circumstances.' Etenim Perdiccæ intererat, a partibus Peloponnesiorum stare propterea, quod quo magis in hoc tractu terrarum ad Thraciam sitarum Athenienses proficiebant, eo angustioribus finibus ipsius regnum coërcebatur, ipsique a nimia illorum potentia et vicinia periculum imminebat. Interpretare igitur, 'he disregarded his natural interest.' Si calamitates significarentur, mutato accentu *ξυμφορῶν* legendum esset.

ἐστρατοπεδεύσαντο, καὶ οἱ Μενδαῖοι νυκτὸς ἐπελθούσης ἐς τὴν πόλιν ἀπῆλθον.

130. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι περιπλεύσαντες ἐς τὸ πρὸς Σκιώνης τό τε προάστειον εἷλον καὶ τὴν ἡμέραν ἅπασαν ἐδῄουν τὴν γῆν οὐδενὸς ἐπεξιόντος· ἦν γάρ τι καὶ στασιασμοῦ ἐν τῇ πόλει· οἱ δὲ τριακόσιοι τῶν Σκιωναίων τῆς ἐπιούσης νυκτὸς ἀπεχώρησαν ἐπ' οἴκου. Καὶ τῇ ἐπιγιγνομένῃ ἡμέρᾳ Νικίας μὲν τῷ ἡμίσει τοῦ στρατοῦ προϊὼν ἅμα ἐς τὰ μεθόρια τῶν Σκιωναίων τὴν γῆν ἐδῄου, Νικόστρατος δὲ τοῖς λοιποῖς κατὰ τὰς ἄνω πύλας, ᾗ ἐπὶ Ποτιδαίας ἔρχονται, προσεκάθητο τῇ πόλει. Ὁ δὲ Πολυδαμίδας, ἔτυχε γὰρ ταύτῃ τοῖς Μενδαίοις καὶ ἐπικούροις ἐντὸς τοῦ τείχους τὰ ὅπλα κείμενα, διατάσσει τε ὡς ἐς μάχην, καὶ παρῄνει τοῖς Μενδαίοις ἐπεξιέναι. Καί τινος αὐτῷ τῶν ἀπὸ τοῦ δήμου ἀντειπόντος κατὰ τὸ στασιωτικὸν ὅτι οὐκ ἐπέξεισιν οὐδὲ δέοιτο πολεμεῖν, καὶ ὡς ἀντεῖπεν ἐπισπασθέντος τῇ χειρὶ ὑπ' αὐτοῦ καὶ θορυβηθέντος, ὁ δῆμος εὐθὺς ἀναλαβὼν τὰ ὅπλα περιοργὴς ἐχώρει ἐπί τε Πελοποννησίους καὶ τοὺς τὰ ἐναντία σφίσι μετ' αὐτῶν πράξαντας. Καὶ προσπεσόντες τρέπουσιν, ἅμα μὲν μάχῃ αἰφνιδίῳ, ἅμα δὲ τοῖς Ἀθηναίοις τῶν πυλῶν ἀνοιγομένων φοβηθέντων· ᾠήθησαν γὰρ ἀπὸ προειρημένου τινὸς αὐτοῖς τὴν ἐπιχείρησιν γενέσθαι. Καὶ οἱ μὲν ἐς τὴν ἀκρόπολιν, ὅσοι μὴ αὐτίκα διεφθάρησαν, κατέφυγον, ἥνπερ καὶ τὸ πρότερον αὐτοὶ εἶχον· οἱ δὲ Ἀθηναῖοι, ἤδη γὰρ καὶ ὁ Νικίας ἐπαναστρέψας πρὸς τῇ πόλει ἦν, ἐσπεσόντες ἐς τὴν Μένδην πόλιν, ἅτε οὐκ ἀπὸ ξυμβάσεως ἀνοιχθεῖσαν, ἁπάσῃ τῇ στρατιᾷ, ὡς κατὰ κράτος ἑλόντες διήρπασαν, καὶ μόλις οἱ στρατηγοὶ κατέσχον ὥστε μὴ καὶ τοὺς ἀνθρώπους διαφθείρεσθαι. Καὶ τοὺς μὲν Μενδαίους μετὰ ταῦτα πολιτεύειν ἐκέλευον ὥσπερ εἰώθεσαν, αὐτοὺς κρίναντας ἐν σφίσιν αὐτοῖς, εἴ τινας ἡγοῦνται αἰτίους εἶναι τῆς ἀποστάσεως· τοὺς δ' ἐν τῇ ἀκροπόλει ἀπετείχισαν ἑκατέρωθεν τείχει ἐς θάλασσαν, καὶ φυλακὴν ἐπεκαθίσαντο. Ἐπειδὴ δὲ τὰ περὶ τὴν Μένδην κατέσχον, ἐπὶ τὴν Σκιώνην ἐχώρουν.

130. *κατὰ τὸ στασιωτικὸν*] *στασιαστικὸν* L. O. P. S. c. d. e. i. *στασιωτικὸν* habet etiam Thom. M. p. 808. et melius esse dicit. Mox, vulgo legitur *περὶ ὀργῆς*. In K. f. g. est *ὑπὸ ὀργῆς*. Sed ex Photii Lexico correctum est, qui dicit, *περιοργὴς, ὡς περιχαρὴς ἐν δ' Θουκυδίδης εἴρηκεν ὀργιζόμενος*. Suidas, *περιοργὴς ὠργισμένος*. Hesychius adverbium *περιόργως* habet.

τρέπουσιν — τοῖς Ἀθηναίοις — φοβηθέντων] Schol. *ἀντὶ τοῦ φοβηθέντας*. Vid. Popp. Proleg. t. i. p. 121.

131. Οἱ δὲ ἀντεπεξελθόντες αὐτοὶ καὶ Πελοποννήσιοι ἱδρύθησαν ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς πόλεως, ὃν εἰ μὴ ἕλοιεν οἱ ἐναντίοι, οὐκ ἐγίγνετο σφῶν περιτείχισις. Προσβαλόντες δ' αὐτῷ κατὰ κράτος οἱ Ἀθηναῖοι, καὶ μάχῃ ἐκκρούσαντες τοὺς ἐπόντας, ἐστρατοπεδεύσαντό τε καὶ ἐς τὸν περιτειχισμὸν τροπαῖον στήσαντες παρεσκευάζοντο. Καὶ αὐτῶν οὐ πολὺ ὕστερον ἤδη ἐν ἔργῳ ὄντων οἱ ἐκ τῆς ἀκροπόλεως ἐν τῇ Μένδῃ πολιορκούμενοι ἐπίκουροι βιασάμενοι παρὰ θάλασσαν τὴν φυλακὴν νυκτὸς ἀφικνοῦνται, καὶ διαφυγόντες οἱ πλεῖστοι τὸ ἐπὶ τῇ Σκιώνῃ στρατόπεδον ἐσῆλθον ἐς αὐτήν.

132. Περιτειχιζομένης δὲ τῆς Σκιώνης Περδίκκας τοῖς τῶν Ἀθηναίων στρατηγοῖς ἐπικηρυκευσάμενος ὁμολογίαν ποιεῖται πρὸς τοὺς Ἀθηναίους διὰ τὴν τοῦ Βρασίδου ἔχθραν περὶ τῆς ἐκ τῆς Λύγκου ἀναχωρήσεως, εὐθὺς τότε ἀρξάμενος πράσσειν. Καὶ, ἐτύγχανε γὰρ τότε Ἰσχαγόρας ὁ Λακεδαιμόνιος στρατιὰν μέλλων πεζῇ πορεύσειν ὡς Βρασίδαν· ὁ δὲ Περδίκκας, ἅμα μὲν κελεύοντος τοῦ Νικίου, ἐπειδὴ ξυνεβεβήκει, ἔνδηλόν τι ποιεῖν τοῖς Ἀθηναίοις βεβαιότητος πέρι, ἅμα δ' αὐτὸς οὐκέτι βουλόμενος Πελοποννησίους ἐς τὴν αὐτοῦ ἀφικνεῖσθαι, παρασκευάσας τοὺς ἐν Θεσσαλίᾳ ξένους, χρώμενος ἀεὶ τοῖς πρώτοις, διεκώλυσε τὸ στράτευμα καὶ τὴν παρασκευὴν, ὥστε μηδὲ πειρᾶσθαι Θεσσαλῶν. Ἰσχαγόρας μέντοι καὶ Ἀμεινίας καὶ Ἀριστεὺς αὐτοί τε ὡς Βρασίδαν ἀφίκοντο, ἐπιδεῖν πεμψάντων Λακεδαιμονίων τὰ

131. λόφου καρτεροῦ] A. B. F. H. L. O. P. Q. S. c. f. g. h. ὑψηλοῦ λόφου d. i. λόφου, omisso epitheto, K. Vulgo καρτεροῦ λόφου. Poppo Obs. p. 241. deletum vult καρτεροῦ, ut ex cap. 129. repetitum.

τοὺς ἐπόντας] Vulgo τοὺς ἐπιόντας. Correxit Poppo l. l., frustra renitente Kruegero ad Dionys. p. 150.

132. καὶ ἐτύγχανε γὰρ—μηδὲ πειρᾶσθαι Θεσσαλῶν] καὶ γὰρ ubi 'etenim' significant, nunquam alia voce interposita a Thucydide separantur. Verba ἐτύγχανε γὰρ—ὡς Βρασίδαν igitur in parenthesi posita cogitanda sunt, et καὶ ad sententiam primariam pertinere. Sed huic rationi obstare videtur δὲ, quod est in verbis ὁ δὲ Περδίκκας. Sed δὲ sic post parenthesin inferri solet, et reponendum est etiam in verbis iii, 107. καὶ—μεῖζον γὰρ ἐγένετο καὶ περιέσχε τὸ τῶν Πελοποννησίων στρατόπεδον· ὁ δὲ Δημοσθένης—λοχίζει, ubi δὲ, quum in optimis libris desit, non tamen recte a Bauero deletum est, ut docuit Poppo Proleg. t. i. p. 307. duobus aliis locis, quorum altero præter δὲ etiam καὶ post parenthesin abundat. viii, 29. Ἑρμοκράτους δὲ ἀντειπόντος—(ὁ γὰρ Θηραμένης—μαλακὸς ἦν περὶ τοῦ μισθοῦ)—ὅμως δὲ, etc. viii, 79. οἱ δὲ Ἀθηναῖοι ταῖς ἐκ Σάμου ναυσὶ δυοῖν καὶ ὀγδοήκοντα, αἳ ἔτυχον ἐν Γλαύκῃ τῆς Μυκάλης ὁρμοῦσαι—διέχει δὲ ὀλίγον ταύτῃ ἡ Σάμος τῆς ἠπείρου πρὸς τὴν Μυκάλην—καὶ ὡς εἶδον τὰς τῶν Πελοποννησίων ναῦς ἐπιπλεούσας, ὑπεχώρησαν ἐς τὴν Σάμον, οὐ νομίσαντες τῷ πλήθει διακινδυνεῦσαι περὶ τοῦ παντὸς ἱκανοὶ εἶναι· καὶ ἅμα—προῄσθοντο γὰρ αὐτοὺς ἐκ τῆς Μιλήτου ναυμαχησείοντας·—προσεδέχοντο δὲ καὶ τὸν Στρομβιχίδην, etc. Addit Poppo locum i, 72. τῶν δὲ Ἀθηναίων—ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ Λακεδαίμονι περὶ ἄλλων παροῦσα,—καὶ ὡς ᾔσθοντο τῶν λόγων, ἔδοξεν αὐτοῖς παριτητέα ἐς τοὺς Λακεδαιμονίους εἶναι.

πράγματα, καὶ τῶν ἡβώντων αὐτῶν παρανόμως ἄνδρας ἐξῆγον ἐκ Σπάρτης, ὥστε τῶν πόλεων ἄρχοντας καθιστάναι καὶ μὴ τοῖς ἐντυχοῦσιν ἐπιτρέπειν. Καὶ Κλεαρίδαν μὲν τὸν Κλεωνύμου καθίστησιν ἐν Ἀμφιπόλει, Ἐπιτελίδαν δὲ τὸν Ἡγησάνδρου ἐν Τορώνῃ.

133. Ἐν δὲ τῷ αὐτῷ θέρει Θηβαῖοι Θεσπιέων τεῖχος περιεῖλον, ἐπικαλέσαντες ἀττικισμὸν, βουλόμενοι μὲν καὶ ἀεὶ, παρεστηκὸς δὲ ῥᾷον ἐπειδὴ καὶ ἐν τῇ πρὸς Ἀθηναίους μάχῃ ὅ,τι ἦν αὐτῶν ἄνθος ἀπολώλει. Καὶ ὁ νεὼς τῆς Ἥρας τοῦ αὐτοῦ θέρους ἐν Ἄργει κατεκαύθη, Χρυσίδος τῆς ἱερείας λύχνον τινὰ θείσης ἡμμένον πρὸς τὰ στέμματα καὶ ἐπικαταδαρθούσης, ὥστε ἔλαθεν ἀφθέντα πάντα καὶ καταφλεχθέντα. Καὶ ἡ Χρυσὶς μὲν εὐθὺς τῆς νυκτὸς δείσασα τοὺς Ἀργείους ἐς Φλιοῦντα φεύγει· οἱ δὲ ἄλλην ἱέρειαν ἐκ τοῦ νόμου τοῦ προκειμένου κατεστήσαντο Φαεινίδα ὄνομα. Ἔτη δὲ Χρυσὶς τοῦ πολέμου τοῦδε ἐπέλαβεν ὀκτὼ καὶ ἔνατον ἐκ μέσου, ὅτε ἐπεφεύγει. Καὶ ἡ Σκιώνη τοῦ θέρους ἤδη τελευτῶντος περιετετείχιστό τε παντελῶς, καὶ οἱ Ἀθηναῖοι ἐπ' αὐτῇ φυλακὴν καταλιπόντες ἀνεχώρησαν τῷ ἄλλῳ στρατῷ.

134. Ἐν δὲ τῷ ἐπιόντι χειμῶνι τὰ μὲν Ἀθηναίων καὶ Λακεδαιμονίων ἡσύχαζε διὰ τὴν ἐκεχειρίαν, Μαντινῆς δὲ καὶ Τεγεᾶται καὶ οἱ ξύμμαχοι ἑκατέρων ξυνέβαλον ἐν Λαοδικίῳ τῆς Ὀρεσθίδος, καὶ νίκη ἀμφιδήριτος ἐγένετο· κέρας γὰρ ἑκάτεροι τρέψαντες τὸ καθ' αὑτοὺς τροπαῖά τε ἀμφότεροι ἔστησαν καὶ σκῦλα ἐς Δελφοὺς ἀπέπεμψαν.

παρανόμως] Heilmann. 'contrary to the treaties.' Schol. duplicem explicationem profert, ὡς οὐκ ὄντος νομικοῦ ἐξάγειν τοὺς ἡβῶντας· ἢ οὐκ ὄντος νομικοῦ ἄρχοντας καθιστάνειν ταῖς πόλεσι τοὺς ἡβῶντας, ἀλλὰ τοὺς προβεβηκότας καθ' ἡλικίαν. Prior harum rationum probatur Mansoni Sparta, Part. ii. p. 140. not., qui intelligit 'præter instituta Spartanorum.' Ante trigesimum vitæ annum non licebat Spartanis in foro versari, teste Plutarcho, Vit. Lycurg. cap. 25., unde Manso colligit, iis ne harmostis quidem fieri ante id ætatis licuisse. Verba τῶν πόλεων—καθιστάναι habet Thom. M. p. 487.

133. ἀπολώλει] Schol. in suo codice invenit διεφθάρη, enotavit tamen etiam vulgatam. Mox, de verbo ἐπικαταδαρθούσης vide Dorvill. ad Chariton. p. 415. Pausan. ii, 17. p. 240. Fac. κατεκαύθη δὲ, τὴν ἱέρειαν τῆς Ἥρας Χρυσηΐδα ὕπνου καταλαβόντος, ὅτε ὁ λύχνος πρὸ τῶν στεφανωμάτων ἥπτετο, καὶ Χρυσηῒς μὲν ἀπελθοῦσα ἐς Τεγέαν τὴν Ἀθηνᾶν τὴν Ἀλέαν ἱκέτευεν. De articulo in ἱέρειαν, pro quo ex præcepto Etymologi M. in ἐγχείρσι scribendum esset ἱερείαν, vide Thom. M. p. 470. De tempore per quod Chrysis sacerdotio fungebatur, consule Meursium de Archont. Athen. iii, 6.

134. Λαοδικίῳ] A. B. F. H. K. N. f. g. h. Λαοδικείῳ b. Λαοδικίᾳ L. Q. S. Λαδικίᾳ c. d. Vulgo Λαοδικείᾳ. Vide Popp. Proleg. t. ii. p. 185. Mox, Ὀρεσθίδος A. B. F. I. L. b. d. f. g. h. Ὀρεθίδος c. Ἐρεσθίδος e. Vulgo Ὀρεστίδος. Huc spectat Mœris: ἀμφιδήριτον, τὸν ἀγχώμαλον, ὡς Θουκυδίδης Ἀττικῶς· πάρισον, Ἑλληνικῶς.

Διαφθαρέντων μέντοι πολλῶν ἑκατέροις καὶ ἀγχωμάλου τῆς μάχης γενομένης καὶ ἀφελομένης νυκτὸς τὸ ἔργον οἱ Τεγεᾶται μὲν ἐπηυλίσαντό τε καὶ εὐθὺς ἔστησαν τροπαῖον, Μαντινῆς δὲ ἀπεχώρησάν τε ἐς Βουκολίωνα καὶ ὕστερον ἀντέστησαν.

135. Ἀπεπείρασε δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ ὁ Βρασίδας τελευτῶντος καὶ πρὸς ἔαρ ἤδη Ποτιδαίας. Προσελθὼν γὰρ νυκτὸς καὶ κλίμακα προσθεὶς μέχρι μὲν τούτου ἔλαθε· τοῦ γὰρ κώδωνος παρενεχθέντος οὕτως ἐς τὸ διάκενον πρὶν ἐπανελθεῖν τὸν παραδιδόντα αὐτὸν ἡ πρόσθεσις ἐγένετο· ἔπειτα μέντοι εὐθὺς αἰσθομένων πρὶν προσβῆναι ἀπήγαγε πάλιν κατὰ τάχος τὴν στρατιὰν καὶ οὐκ ἀνέμεινεν ἡμέραν γενέσθαι. Καὶ ὁ χειμὼν ἐτελεύτα καὶ ἔνατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

135. *ἐς τὸ διάκενον*] *διάκενον μὲν τὸ ἀφύλακτον λέγει· ἔλαθε δὲ ὁ Βρασίδας προσθεῖναι τὴν κλίμακα· ἕως γὰρ ὁ περιὼν μετὰ τοῦ κώδωνος ἄλλῳ παρεδίδου τὸν κώδωνα, χρόνου ἐγγιγνομένου, ἔλαθε προσθεὶς τὴν κλίμακα.* Converte cum Lipsio Poliorcet. p. 279. 'dum is qui circuit tintinnabulum porrigit, atque ita locum paulisper deserit.' Nam *κώδων* videtur a statione excubiarum in mœnibus positarum ad stationem traditus esse. Hoc ipsum tempus Aratus insidiis legit, cum Sicyonem caperet. Plutarch. Vit. Arat. c. 7. *ἀναβαινόντων δὲ τῶν πρώτων, ὁ τὴν ἑωθινὴν φυλακὴν παραδιδοὺς ἐφώδευε κώδωνι, καὶ φῶτα πολλὰ καὶ θόρυβος ἦν τῶν ἐπιπορευομένων.* Vide Lips. l. l. *Κώδων* autem est 'tintinnabulum' sive 'campanula,' ut apparet ex Hesychio, *κωδωνοφορῶν—οἱ περιπολάρχαι ἐπὶ τοὺς φύλακας ἐρχόμενοι κώδωνα διέσειον καὶ οὕτως ἐξεπείραζον τὸν καθεύδοντα.* Photius in eadem voce habet *καὶ ἐψόφουν πειράζοντες* etc. Apud Sophoclem Ajac. 17. Lobeckius interpretatur per *σάλπιγγα.* Proprie anterior et latior pars tubæ, unde sonus exit, voce *κώδων* significari videtur. Vid. interpretes ad Hesych. s. v. *κώδων.* Vid. Eustath. apud Lobeck. l. l. et Polluc. vi, 110. Forma orificii tubæ, quam tintinnabula, pocula, aliæque res communem habent, fecit, ut *κώδων* etiam campanulam et ejusmodi formæ poculum significaret, velut apud Etym. M. in *ἀκρατοκώθωνες*, dummodo idem vocabulum sit *κώθων* et *κώδων*, de qua re mihi non liquet. Item propter formæ vel soni similitudinem alius instrumenta generis hac voce appellantur, in quibus est *ἠχεῖον*, theatrale instrumentum ad sonum in theatro augendum distribuendumque. Vid. Vitruv. v, 5, 1. et Schneider. ad Eclog. Phys. p. 175. Etiam in alia ex forma vocabulum transiit. Sic apud Hesych. *κώδων* est *μήκων*, *κάλυξ*. Ex sono tintinnabuli vel tubæ garrulus homo *κώδων* audit; apud Plautum Trinummo 'tintinnabulum' appellatur sycophanta, et *κωδωνίζειν* est 'divulgare.' Vide Toup. ad Longin. xxiii, 4. Aristoph. Pace 1078. Demosth. contr. Aristog. i. p. 495., quem imitatur Longinus l. l., ut observavit Ruhnkenius. De instrumentis quæ cum hinnitu equi inflarentur, sonum reddebant tibiarum similem, vox *κώδων* ponitur a Polluce x, 56.